Η ΚΑΙΝΗ ΔΙΑΘΗΚΗ.

Pret 4.5 6.

NOVUM TESTAMENTUM.

Pret. 4.8 5

Huic Editioni omnia difficiliorum
Vocabulorum Themata, quæ
in *Georgii Paſoris* Lexico Grammaticè
reſolvuntur, in Margine
appoſuit

CAROLUS HOOLE.

In eorum ſcilicet gratiam, Qui prima
Græcæ Linguæ tyrocinia faciunt.

Ματθ᾽. κδ᾽. ιε᾽.
Ὁ ἀναγινώσκων νοείτω.

LONDINI:
Excudebat *Andr.Clark*, pro *Sam.Mearne*,
Joan. Martyn, & *Hen. Herringman.*
M D C L X X I V.

16

9

~~D.r.M. 4709~~

Wing B2735

Gilbert Newdigate
an. dom. 1690
Ejus liber.

1123

A

2:ef. 4.^{s}6^{d}

N C – 1 – 26

Η ΚΑΙΝΗ ΔΙΑΘΗΚΗ.

Pret 4.5.8.

NOVUM TESTAMENTUM.

Pret. 4.8.5

Huic Editioni omnia difficiliorum
Vocabulorum Themata, quæ
in *Georgii Paſoris* Lexico Grammaticè
reſolvuntur, in Margine
appoſuit

CAROLUS HOOLE.

In eorum ſcilicet gratiam, Qui prima
Græcæ Linguæ tyrocinia faciunt.

Ματθ'. κδ'. ιε'.
Ὁ ἀναγινώσκων νοείτω.

LONDINI:
Excudebat *Andr. Clark*, pro *Sam. Mearne*,
Joan. Martyn, & *Hen. Herringman*.
MDCLXXIV.

BRITISH MUSEUM
60

ΕΥΑΓΓΕΛΙΟΝ ΤΟ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ.

15 SEP 61

Κεφάλαιον α΄. Caput I.

ΒΙΒΛΟΣ γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβίδ, υἱοῦ Ἀβραάμ.
2 Ἀβραὰμ [a] ἐγέννησε τὸν
Ἰσαάκ. Ἰσαὰκ δὲ [a] ἐγέννησε
τὸν Ἰακώβ. Ἰακὼβ δὲ [a] ἐγέννησε
τὸν Ἰούδαν, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ.
3 Ἰούδας δὲ [a] ἐγέννησε τὸν Φάρες καὶ τὸν Ζαρὰ
ἐκ τῆς Θάμαρ. Φάρες δὲ [a] ἐγέννησε τὸν Ἐσρώμ.
Ἐσρὼμ δὲ [a] ἐγέννησε τὸν Ἀράμ.
4 Ἀρὰμ δὲ [a] ἐγέννησε τὸν Ἀμιναδάβ. Ἀμιναδὰβ
δὲ [a] ἐγέννησε τὸν Ναασσών. Ναασσὼν δὲ
[a] ἐγέννησε τὸν Σαλμών.
5 Σαλμὼν δὲ [a] ἐγέννησε τὸν Βοὸζ ἐκ τῆς Ῥαχάβ.
Βοὸζ δὲ [a] ἐγέννησε τὸν Ὠβὴδ ἐκ τῆς Ῥούθ. Ὠβὴδ
δὲ [a] ἐγέννησε τὸν Ἰεσσαί.
6 Ἰεσσαὶ δὲ [a] ἐγέννησε τὸν Δαβὶδ τὸν βασιλέα.
Δαβὶδ δὲ ὁ βασιλεὺς [a] ἐγέννησε τὸν Σολομῶντα
ἐκ τῆς τοῦ Οὐρίου.
7 Σολομὼν δὲ [a] ἐγέννησε τὸν Ῥοβοάμ. Ῥοβοὰμ
δὲ [a] ἐγέννησε τὸν Ἀβιά. Ἀβιὰ δὲ [a] ἐγέννησε
τὸν Ἀσά.
8 Ἀσὰ δὲ [a] ἐγέννησε τὸν Ἰωσαφάτ. Ἰωσαφὰτ
δὲ [a] ἐγέννησε τὸν Ἰωράμ. Ἰωρὰμ δὲ ἐγέννησε
τὸν Ὀζίαν.
9 Ὀζίας δὲ [a] ἐγέννησε τὸν Ἰωάθαμ. Ἰωάθαμ
δὲ [a] ἐγέννησε τὸν Ἄχαζ. Ἄχαζ δὲ [a] ἐγέννησε
τὸν Ἐζεκίαν.
10 Ἐζεκίας δὲ [a] ἐγέννησε τὸν Μανασσῆ. Μανασσῆς
δὲ [a] ἐγέννησε τὸν Ἀμών. Ἀμὼν δὲ [a] ἐγέννησε
τὸν Ἰωσίαν.

[a] Γεννάω.

11 Ἰωσίας δὲ [a] ἐγέννησε τὸν Ἰακείμ· Ἰακεὶμ δὲ [a] ἐγέννησε τὸν Ἰεχονίαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, ἐπὶ τῆς [b] μετοικεσίας Βαβυλῶνος.

[b] οἶκος.

12 Μετὰ δὲ τὴν [b] μετοικεσίαν Βαβυλῶνος, Ἰεχονίας [c] ἐγέννησε τὸν Σαλαθιήλ. Σαλαθιὴλ δὲ [c] ἐγέννησε τὸν Ζοροβάβελ.

13 Ζοροβάβελ δὲ [c] ἐγέννησε τὸν Ἀβιούδ. Ἀβιοὺδ δὲ [c] ἐγέννησε τὸν Ἐλιακείμ. Ἐλιακεὶμ δὲ [c] ἐγέννησε τὸν Ἀζώρ.

14 Ἀζὼρ δὲ [c] ἐγέννησε τὸν Σαδώκ. Σαδὼκ δὲ [c] ἐγέννησε τὸν Ἀχείμ. Ἀχεὶμ δὲ [c] ἐγέννησε τὸν Ἐλιούδ.

15 Ἐλιοὺδ δὲ [c] ἐγέννησε τὸν Ἐλεάζαρ. Ἐλεάζαρ δὲ [c] ἐγέννησε τὸν Ματθάν. Ματθὰν δὲ [c] ἐγέννησε τὸν Ἰακώβ.

16 Ἰακὼβ δὲ [c] ἐγέννησε τὸν Ἰωσὴφ, τὸν ἄνδρα Μαρίας, ἐξ ἧς [c] ἐγεννήθη ΙΗΣΟΥΣ ὁ λεγόμενος Χριστός.

[c] γεννάω

17 Πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ Ἀβραὰμ ἕως Δαβὶδ, γενεαὶ δεκατέσσαρες· καὶ ἀπὸ Δαβὶδ ἕως τῆς μετοικεσίας Βαβυλῶνος, γενεαὶ δεκατέσσαρες· καὶ ἀπὸ τῆς μετοικεσίας Βαβυλῶνος, ἕως τοῦ Χριστοῦ γενεαὶ δεκατέσσαρες.

18 ¶ Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις οὕτως [d] ἦν· [e] μνηστευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσὴφ, πρὶν ἢ [f] συνελθεῖν αὐτοὺς, [g] εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ πνεύματος ἁγίου.

19 Ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς, δίκαιος [h] ὢν, καὶ μὴ θέλων αὐτὴν [i] παραδειγματίσαι, [k] ἐβουλήθη λάθρα [l] ἀπολῦσαι αὐτήν.

20 Ταῦτα δὲ αὐτοῦ [m] ἐνθυμηθέντος, ἰδοὺ ἄγγελος Κυρίου κατ' ὄναρ [n] ἐφάνη αὐτῷ, λέγων, Ἰωσὴφ, υἱὸς Δαβὶδ, μὴ [o] φοβηθῇς [p] παραλαβεῖν Μαρίαμ τὴν γυναῖκά σου. τὸ γὰρ ἐν αὐτῇ [q] γεννηθὲν, ἐκ πνεύματός ἐστιν ἁγίου.

21 [r] Τέξεται δὲ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ ΙΗΣΟΥΝ. αὐτὸς γὰρ [s] σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν.

[d] εἰμὶ
[e] μιμνήσκομαι
[f] ἔρχομαι
[g] εὑρίσκω
[h] εἰμί
[i] δεικνύω
[k] βούλομαι.
[l] λύω
[m] θυμός.
[n] φαίνω.
[o] φοβέομαι.
[p] λαμβάνω
[q] γεννάω.
[r] τίκτω
[s] σῶος.

22 (Τοῦτο δὲ ὅλον [t] γέγονεν ἵνα [u] πληρωθῇ τὸ [x] ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου, λέγοντος.

23 Ἰδοὺ, ἡ παρθένος ἐν γαστρὶ [y] ἕξει, καὶ [z] τέξεται υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· ὅ ἐστι, [*] μεθερμηνευόμενον, Μεθ᾽ ἡμῶν ὁ Θεός.)

24 [a] Διεγερθεὶς δὲ Ἰωσὴφ ἀπὸ τοῦ ὕπνου, ἐποίησεν ὡς [b] προσέταξεν αὐτῷ ὁ ἄγγελος Κυρίου, καὶ [c] παρέλαβε τὴν γυναῖκα αὐτοῦ.

25 Καὶ οὐκ [d] ἐγίνωσκεν αὐτὴν, ἕως οὗ [e] ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν [e] πρωτότοκον· καὶ [f] ἐκάλεσε τὸ ὄνομα αὐτοῦ ΙΗΣΟΥΝ.

Κεφ. β. Cap. 2.

ΤΟΥ δὲ Ἰησοῦ [a] γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέραις Ἡρώδου τοῦ βασιλέως, ἰδοὺ, μάγοι ἀπὸ ἀνατολῶν [b] παρεγένοντο εἰς Ἱεροσόλυμα,

2 Λέγοντες, Ποῦ ἐστιν ὁ [c] τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; [d] εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ [e] ἀνατολῇ, καὶ [f] ἤλθομεν [g] προσκυνῆσαι αὐτῷ.

3 Ἀκούσας δὲ Ἡρώδης ὁ βασιλεὺς [h] ἐταράχθη, καὶ πᾶσα Ἱεροσόλυμα μετ᾽ αὐτοῦ.

4 Καὶ [x] συναγαγὼν πάντας τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς τοῦ λαοῦ, [i] ἐπυνθάνετο παρ᾽ αὐτῶν ποῦ ὁ Χριστὸς [k] γεννᾶται.

5 Οἱ δὲ εἶπον αὐτῷ, Ἐν Βεθλεὲμ τῆς Ἰουδαίας· οὕτω γὰρ [l] γέγραπται διὰ τοῦ προφήτου,

6 Καὶ σὺ Βεθλεὲμ γῆ Ἰούδα, οὐδαμῶς [m] ἐλαχίστη [†] εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα· ἐκ σοῦ γὰρ [n] ἐξελεύσεται ἡγούμενος ὅστις ποιμανεῖ τὸν λαόν μου, τὸν Ἰσραήλ. //

7 Τότε Ἡρώδης λάθρα καλέσας τοὺς μάγους [o] ἠκρίβωσε παρ᾽ αὐτῶν τὸν χρόνον τοῦ φαινομένου ἀστέρος.

8 Καὶ πέμψας αὐτοὺς εἰς Βεθλεὲμ, εἶπε, [p] Πορευθέντες, ἀκριβῶς [q] ἐξετάσατε περὶ τοῦ

[t] γίνομαι.
[u] πληρόω.
[x] ῥέω.
[y] ἔχω.
[z] τίκτω.
[*] ἑρμηνεύω.
[a] ἐγείρω.
[b] τάττω.
[c] λαμβάνω.
[d] γινώσκω.
[e] τίκτω.
[f] καλέω.

[a] Γεννάω.
[b] γίνομαι.
[c] τίκτω.
[d] εἴδω.
[e] τέλλω.
[f] ἔρχομαι.
[g] κυνέω.
[h] ταράσσω.
[x] ἄγω.
[i] πυνθάνομαι.
[k] γεννάω.
[l] γράφω.
[m] ἐλαχύς.
[†] εἰμί.
[n] ἔρχομαι.
[o] ἀκριβής.
[p] πείρω.
[q] ἐτάζω.

παιδίου· ἐπὰν δὲ [r] εὕρητε, ἀπαγγείλατέ μοι, ὅπως [s] κἀγὼ [t] ἐλθὼν * προσκυνήσω αὐτῷ.

9 Οἱ δὲ ἀκούσαντες τοῦ βασιλέως, [u] ἐπορεύθησαν· καὶ ἰδοὺ, ὁ ἀστὴρ ὃν εἶδον ἐν τῇ ἀνατολῇ, [x] προῆγεν αὐτοὺς, ἕως [y] ἐλθὼν [z] ἔστη ἐπάνω οὗ [a] ἦν τὸ παιδίον.

10 [b] Ἰδόντες δὲ τὸν ἀστέρα, [c] ἐχάρησαν [c] χαρὰν μεγάλην σφόδρα.

11 Καὶ [d] ἐλθόντες εἰς τὴν οἰκίαν, [e] εὗρον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ· καὶ [f] πεσόντες * προσεκύνησαν αὐτῷ· καὶ [g] ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν, [h] προσήνεγκαν αὐτῷ δῶρα, χρυσὸν, καὶ λίβανον, καὶ σμύρναν.

12 Καὶ [i] χρηματισθέντες κατ᾽ ὄναρ μὴ [k] ἀνακάμψαι πρὸς Ἡρώδην, δι᾽ ἄλλης ὁδοῦ [l] ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν.

13 [l] Ἀναχωρησάντων δὲ αὐτῶν, ἰδοὺ ἄγγελος Κυρίου φαίνεται κατ᾽ ὄναρ τῷ Ἰωσὴφ, λέγων, [m] Ἐγερθεὶς [n] παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον. καὶ [o] ἴσθι ἐκεῖ ἕως ἂν εἴπω σοί. μέλλει γὰρ Ἡρώδης ζητεῖν τὸ παιδίον, τοῦ [p] ἀπολέσαι αὐτό.

14 Ὁ δὲ ἐγερθεὶς [q] παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ νυκτὸς, καὶ [r] ἀνεχώρησεν εἰς Αἴγυπτον.

15 Καὶ [s] ἦν ἐκεῖ ἕως τῆς τελευτῆς Ἡρώδου· ἵνα [t] πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου λέγοντος, Ἐξ Αἰγύπτου * ἐκάλεσα τὸν υἱόν μου.

16 Τότε Ἡρώδης ἰδὼν ὅτι [u] ἐνεπαίχθη ὑπὸ τῶν μάγων, [x] ἐθυμώθη λίαν καὶ [y] ἀποστείλας [z] ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βεθλεὲμ καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ [a] κατωτέρω, κατὰ τὸν χρόνον ὃν [b] ἠκρίβωσε παρὰ τῶν μάγων.

17 Τότε [c] ἐπληρώθη τὸ [d] ῥηθὲν ὑπὸ Ἱερεμίου τοῦ προφήτου, λέγοντος,

18 Φωνὴ ἐν Ῥαμᾷ [e] ἠκούσθη, θρῆνος καὶ κλαυθμὸς

[r] εὑρίσκω.
[s] καὶ ἐγώ.
[t] ἔρχομαι.
[u] πορεύομαι.
* κύω.
[x] ἄγω.
[y] ἔρχομαι.
[z] ἵστημι.
[a] εἰμί.
[b] εἴδω.
[c] χαίρω.
[d] ἔρχομαι.
[e] εὑρίσκω.
[f] πίπτω.
* κύω.
[g] οἴγω.
[h] φέρω.
[i] χρῆμα.
[k] κάμπτω.
[l] χῶρος.
[m] ἐγείρω.
[n] λαμβάνω.
[o] εἰμί.
[p] ὀλλύω.
[q] λαμβάνω.
[r] χῶρος.
// [s] εἰμί.
[t] πλέος.
* καλέω.
[u] παίζω.
// [x] θυμός.
[y] στέλλω.
[z] αἱρέω.
[a] κάτω.
[b] ἀκριβής.
[c] πλέος.
[d] ῥέω.
[e] ἀκούω.

//

κλαυθμὸς καὶ ὀδυρμὸς πολύς, Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς, καὶ οὐκ * ἤθελε † παρακληθῆναι, ὅτι οὐκ [f] εἰσί.

19 [g] Τελευτήσαντος δὲ τοῦ Ἡρώδου, ἰδοὺ ἄγγελος Κυρίου κατ᾽ ὄναρ φαίνεται τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ,

20 Λέγων, [h] Ἐγερθεὶς [i] παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ [k] πορεύου εἰς γῆν Ἰσραήλ. [l] τεθνήκασι γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου.

21 Ὁ δὲ ἐγερθεὶς [m] παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ [n] ἦλθεν εἰς γῆν Ἰσραήλ.

22 Ἀκούσας δὲ ὅτι Ἀρχέλαος βασιλεύει ἐπὶ τῆς Ἰουδαίας ἀντὶ Ἡρώδου τοῦ πατρὸς αὐτοῦ, [o] ἐφοβήθη ἐκεῖ ἀπελθεῖν. [p] χρηματισθεὶς δὲ κατ᾽ ὄναρ, [q] ἀνεχώρησεν εἰς τὰ μέρη τῆς Γαλιλαίας.

23 Καὶ [r] ἐλθὼν [ſ] κατῴκησεν εἰς πόλιν λεγομένην Ναζαρέθ. ὅπως [t] πληρωθῇ τὸ [u] ῥηθὲν διὰ τῶν προφητῶν, ὅτι Ναζαραῖος [x] κληθήσεται.

Κεφ. γ. Cap. III.

ΕΝ δὲ ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης ὁ βαπτιστὴς κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας.

2 Καὶ λέγων, Μετανοεῖτε, [a] ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.

3 Οὗτος γάρ ἐστιν ὁ [b] ῥηθεὶς ὑπὸ Ἠσαΐου τοῦ προφήτου, λέγοντος, Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, [c] Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. //

4 Αὐτὸς δὲ ὁ Ἰωάννης [d] εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ * τριχῶν καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ. ἡ δὲ τροφὴ αὐτοῦ † ἦν ἀκρίδες καὶ μέλι ἄγριον.

5 Τότε [e] ἐξεπορεύετο πρὸς αὐτὸν Ἱεροσόλυμα καὶ πᾶσα ἡ Ἰουδαία, καὶ πᾶσα ἡ περίχωρος τοῦ Ἰορδάνου.

* θέλω.
† καλέω.
[f] εἰμί.
[g] τέλος.
[h] ἐγείρω.
[i] λαμβάνω.
[k] πείρω.
[l] θνήσκω.
[m] λαμβάνω.
[n] ἔρχομαι.
[o] φέβομαι.
[p] χρῆμα.
[q] χῶρος.
[r] ἔρχομαι.
[ſ] οἶκος.
[t] πλέος.
[u] ῥέω.
[x] καλέω.
[a] ἐγγύς.
[b] ῥέω.
[c] ἕτοιμος.
[d] ἔχω.
* θρίξ.
† εἰμί.
[e] πείρω.

[f] λέγω.

6 Καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ ὑπ' αὐτοῦ [f] ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν.

[g] εἴδω.
[h] δεικνύω.

7 [g] Ἰδὼν δὲ πολλοὺς τῶν φαρισαίων καὶ σαδδουκαίων ἐρχομένους ἐπὶ τὸ βάπτισμα αὐτοῦ, εἶπεν αὐτοῖς· Γεννήματα ἐχιδνῶν, τίς [h] ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;

8 Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας.

[i] δοκέω.
[k] ἐγείρω.

9 Καὶ μὴ [i] δόξητε λέγειν ἐν ἑαυτοῖς, Πατέρα ἔχομεν τὸν Ἀβραάμ. λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ Θεὸς καὶ ἐκ τῶν λίθων τούτων [k] ἐγεῖραι τέκνα τῷ Ἀβραάμ.

[l] κεῖμαι.
[d] κόπτω.

10 Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων [l] κεῖται. πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν, [d] ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται.

11 Ἐγὼ μὲν βαπτίζω ὑμᾶς ἐν ὕδατι εἰς μετάνοιαν· ὁ δὲ ὀπίσω μου ἐρχόμενος, ἰσχυρότερός μου ἐστὶν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι· αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί.

[a] καθαίρω.
[m] ἄγω.
[y] καίω.

12 Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ [a] διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ [m] συνάξει τὸν σῖτον αὐτοῦ εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον [y] κατακαύσει πυρὶ ἀσβέστῳ.

13 Τότε παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην, τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ.

[z] κωλύω.

14 Ὁ δὲ Ἰωάννης [z] διεκώλυεν αὐτὸν, λέγων, Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με;

[n] κρίνω.
[o] ἔω.
[x] πλέος.

15 [n] Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπε πρὸς αὐτόν· [o] Ἄφες ἄρτι, οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν [x] πληρῶσαι πᾶσαν δικαιοσύνην. τότε [o] ἀφίησιν αὐτόν.

[p] βαίνω.
[q] οἴγω.

16 Καὶ βαπτισθεὶς ὁ Ἰησοῦς [p] ἀνέβη εὐθὺς ἀπὸ τοῦ ὕδατος· καὶ ἰδοὺ [q] ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοὶ, καὶ εἶδε τὸ πνεῦμα τοῦ Θεοῦ καταβαῖνον ὡσεὶ περιστερὰν, καὶ ἐρχόμενον ἐπ' αὐτόν.

17 Καὶ ἰδοὺ φωνὴ ἐκ τῶν οὐρανῶν, λέγουσα,

Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ [r] εὐδόκησα.

Κεφ. δ. Cap. IV.

Τότε ὁ Ἰησοῦς [a] ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ τοῦ πνεύματος, [b] πειρασθῆναι ὑπὸ τοῦ διαβόλου.

2 Καὶ νηστεύσας ἡμέρας τεσσαράκοντα καὶ νύκτας τεσσαράκοντα, ὕστερον [c] ἐπείνασε.

3 Καὶ [d] προσελθὼν αὐτῷ ὁ πειράζων, εἶπεν, Εἰ υἱὸς [x] εἶ τοῦ Θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι [e] γένωνται.

4 Ὁ δὲ [f] ἀποκριθεὶς εἶπε, [g] Γέγραπται, Οὐκ ἐπ' ἄρτῳ μόνῳ [h] ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ.

5 Τότε [i] παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς τὴν ἁγίαν πόλιν, καὶ [k] ἵστησιν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ.

6 Καὶ λέγει αὐτῷ, Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν κάτω. [g] γέγραπται γὰρ, Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ [l] ἐντελεῖται περὶ σοῦ, καὶ ἐπὶ χειρῶν † ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.

7 [m] Ἔφη αὐτῷ ὁ Ἰησοῦς, Πάλιν γέγραπται, Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου.

8 Πάλιν παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν λίαν, καὶ δείκνυσιν αὐτῷ πάσας τὰς βασιλείας τοῦ κόσμου, καὶ τὴν δόξαν αὐτῶν.

9 Καὶ λέγει αὐτῷ, Ταῦτα πάντα σοι [n] δώσω, ἐὰν [o] πεσὼν [z] προσκυνήσῃς μοι.

10 Τότε λέγει αὐτῷ ὁ Ἰησοῦς, [x] Ὕπαγε Σατανᾶ. γέγραπται γὰρ, Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις.

11 Τότε [r] ἀφίησιν αὐτὸν ὁ διάβολος· καὶ ἰδοὺ ἄγγελοι [q] προσῆλθον καὶ [r] διηκόνουν αὐτῷ.

12 Ἀκούσας δὲ ὁ Ἰησοῦς ὅτι Ἰωάννης [ſ] παρεδόθη, [t] ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν.

13 Καὶ [u] καταλιπὼν τὴν Ναζαρέθ, [x] ἐλθὼν [y] κατῴκησεν εἰς Καπερναοὺμ τὴν παραθαλα-

[r] δοκέω.
[a] Ἄγω.
[b] πειράζω.
[c] πεῖνα.
[d] ἔρχομαι.
[x] εἰμί.
[e] γίνομαι.
[f] κρίνω.
[g] γράφω.
[h] ζάω.
[i] λαμβάνω.
[k] ἵστημι.
[l] τέλλω.
† αἴρω.
[m] φημί.
[n] δίδωμι.
[o] πίπτω.
[z] κυνέω.
[x] ἄγω.
[r] ἕω.
[q] ἔρχομαι.
[r] κονέω.
[ſ] δίδωμι.
[t] χωρέω.
[u] λείπω.
[x] ἔρχομαι.
[y] οἰκέω.

σίαν, ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλείμ.

14 Ἵνα [a] πληρωθῇ τὸ [b] ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου, λέγοντος,

15 Γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ, ὁδὸν θαλάσσης, πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν.

16 Ὁ λαὸς ὁ [c] καθήμενος ἐν σκότει, εἶδε φῶς μέγα, καὶ τοῖς [c] καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς [e] ἀνέτειλεν αὐτοῖς.

17 Ἀπὸ τότε [f] ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν, καὶ λέγειν, Μετανοεῖτε. [g] ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.

18 ¶ Περιπατῶν δὲ ὁ Ἰησοῦς παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, εἶδε δύο ἀδελφοὺς, Σίμωνα τὸν λεγόμενον Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν ([h] ἦσαν γὰρ ἁλιεῖς)

19 Καὶ λέγει αὐτοῖς, Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων.

20 Οἱ δὲ εὐθέως [i] ἀφέντες τὰ δίκτυα, * ἠκολούθησαν αὐτῷ.

21 Καὶ [k] προβὰς ἐκεῖθεν, εἶδεν ἄλλους δύο ἀδελφοὺς, Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου τοῦ πατρὸς αὐτῶν, καταρτίζοντας τὰ δίκτυα αὐτῶν καὶ ἐκάλεσεν αὐτούς.

22 Οἱ δὲ εὐθέως [l] ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν, [m] ἠκολούθησαν αὐτῷ.

23 Καὶ [n] περιῆγεν ὅλην τὴν Γαλιλαίαν ὁ Ἰησοῦς, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν, καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.

24 Καὶ [o] ἀπῆλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν Συρίαν· καὶ [p] προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας, ποικίλαις νόσοις καὶ βασάνοις [q] συνεχομένους, καὶ [r] δαιμονιζομένους, καὶ [s] σεληνιαζομένους, καὶ [t] παραλυτικούς· καὶ [u] ἐθεράπευσεν αὐτούς.

25 Καὶ

[a] πλέος.
[b] ῥέω.
[c] ἧμαι.
[e] τέλλω.
[f] ἄρχω.
[g] ἐγγύς.
[h] εἰμί.
[i] ἕω.
* ἀκόλουθος.
[k] βαίνω.
[l] ἕω.
[m] ἀκόλουθος
[n] ἄγω. //
[o] ἔρχομαι
[p] φέρω.
[q] ἔχω. //
[r] δαίμων.
[s] σέλας.
[t] λύω.
[u] θεράπων.

25 Καὶ [q] ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοὶ ἀπὸ τῆς Γαλιλαίας καὶ Δεκαπόλεως καὶ Ἱεροσολύμων καὶ Ἰουδαίας, καὶ πέραν τοῦ Ἰορδάνου.

[q] ἀκόλουθος.

Κεφ. ε. Cap. V.

[a] Ἰδὼν δὲ τοὺς ὄχλους, [b] ἀνέβη εἰς τὸ ὄρος. καὶ * καθίσαντος αὐτοῦ, [c] προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ.

[a] εἴδω. [b] βαίνω. * ἕζω. [c] ἔρχομαι.

2 Καὶ [d] ἀνοίξας τὸ στόμα αὐτοῦ, † ἐδίδασκεν αὐτοὺς, λέγων,

[d] οἴγω. † διδάσκω.

3 Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι· ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

4 Μακάριοι οἱ πενθοῦντες· ὅτι αὐτοὶ [e] παρακληθήσονται.

[e] καλέω.

5 Μακάριοι οἱ πραεῖς· ὅτι αὐτοὶ [f] κληρονομήσουσι τὴν γῆν.

[f] νέμω.

6. Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ [g] χορτασθήσονται.

[g] χόρτος.

7 Μακάριοι οἱ † ἐλεήμονες. ὅτι αὐτοὶ † ἐλεηθήσονται.

† ἔλεος.

8 Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ· ὅτι αὐτοὶ τὸν Θεὸν * ὄψονται.

* ὄπτομαι.

//

9 Μακάριοι οἱ εἰρηνοποιοί· ὅτι αὐτοὶ υἱοὶ Θεοῦ [h] κληθήσονται.

[h] καλέω.

10 Μακάριοι οἱ [i] δεδιωγμένοι ἕνεκεν δικαιοσύνης· ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

[i] διώκω.

11 Μακάριοί * ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ [k] διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι, ἕνεκεν ἐμοῦ.

* εἰμί.

12 Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. οὕτω γὰρ [k] ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν.

[k] διώκω.

13 Ὑμεῖς * ἐστε τὸ ἅλας τῆς γῆς· ἐὰν δὲ τὸ ἅλας [l] μωρανθῇ, ἐν τίνι [m] ἁλισθήσεται; εἰς οὐδὲν ἰσχύει ἔτι εἰ μὴ [n] βληθῆναι ἔξω, καὶ [o] καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων.

* εἰμί. [l] μωρός. [m] ἅλς. [n] βάλλω. [o] πατέω.

14 Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. οὐ δύνα-

ται πόλις [n] κρυβῆναι ἐπάνω ὄρους κειμένη.

[n] κρύπτω.

15 Οὐδὲ καίουσι λύχνον καὶ [o] τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν· καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ.

[o] τίθημι.

16 Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως [x] ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ [p] δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

[x] εἴδω.
[p] δοξάζω.

17 ¶ Μὴ νομίσητε ὅτι [q] ἦλθον καταλῦσαι τὸν νόμον, ἢ τοὺς προφήτας. οὐκ [q] ἦλθον [r] καταλῦσαι, ἀλλὰ [s] πληρῶσαι.

[q] ἔρχομαι.
[r] λύω.
[s] πλέος.

18 Ἀμὴν γὰρ λέγω ὑμῖν, Ἕως ἂν [q] παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ [q] παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα [t] γένηται.

[t] γίνομαι.

19 Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος [u] κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ὃς δ' ἂν ποιήσῃ καὶ [x] διδάξῃ, οὗτος μέγας [u] κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

[u] καλέω.
[x] διδάσκω.

20 Λέγω γὰρ ὑμῖν, ὅτι ἐὰν μὴ [y] περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ φαρισαίων, οὐ μὴ [z] εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

[y] περί.
[z] ἔρχομαι.

21 ¶ [o] Ἠκούσατε ὅτι [a] ἐῤῥέθη τοῖς ἀρχαίοις, Οὐ φονεύσεις· ὃς δ' ἂν φονεύσῃ, ἔνοχος [b] ἔσται τῇ κρίσει.

[o] ἀκούω.
[a] ῥέω.
[b] εἰμί.

22 Ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, ἔνοχος ἔσται τῇ κρίσει. ὃς δ' ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ, ῥακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ· ὃς δ' ἂν εἴπῃ, μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός.

23 Ἐὰν οὖν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, [c] κἀκεῖ [d] μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ.

[c] καὶ ἐκεῖ.
[d] μιμνήσκομαι.

24 [e] Ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε πρῶτον [f] διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε [g] ἐλθὼν πρόσφερε τὸ δῶρόν σου.

[e] ἐάω.
[f] ἀλλάσσω.
[g] ἔρχομαι.

95

25 [h] Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχὺ, ἕως ὅτου [h] εἶ ἐν τῇ ὁδῷ μετ᾽ αὐτοῦ· μήποτέ σε παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ, καὶ ὁ κριτής σε [i] παραδῷ τῷ ὑπηρέτῃ, καὶ εἰς φυλακὴν [m] βληθῇς.

26 Ἀμὴν λέγω σοι, οὐ μὴ [n] ἐξέλθῃς ἐκεῖθεν ἕως ἂν [i] ἀποδῷς τὸν ἔσχατον κοδράντην.

27 ¶ [x] Ἠκούσατε ὅτι [o] ἐῤῥέθη τοῖς ἀρχαίοις, Οὐ μοιχεύσεις.

28 Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ [z] ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ.

29 Εἰ δὲ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε, [p] ἔξελε αὐτὸν, καὶ βάλε ἀπὸ σοῦ. συμφέρει γάρ σοι ἵνα [q] ἀπόληται ἓν τῶν μελῶν σου, καὶ μὴ ὅλον τὸ σῶμά σου [r] βληθῇ εἰς γέενναν.

30 Καὶ εἰ ἡ δεξιά σου χεὶρ σκανδαλίζει σε, [s] ἔκκοψον αὐτὴν καὶ βάλε ἀπὸ σοῦ. συμφέρει γάρ σοι ἵνα [t] ἀπόληται ἓν τῶν μελῶν σου, καὶ μὴ ὅλον τὸ σῶμά σου [u] βληθῇ εἰς γέενναν.

31 ¶ [a] Ἐῤῥέθη δὲ ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, [b] δότω αὐτῇ ἀποστάσιον.

32 Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν [c] μοιχᾶσθαι· καὶ ὃς ἐὰν [d] ἀπολελυμένην γαμήσῃ [e] μοιχᾶται.

33 Πάλιν [c] ἠκούσατε ὅτι [f] ἐῤῥέθη τοῖς ἀρχαίοις, Οὐκ [g] ἐπιορκήσεις· [h] ἀποδώσεις δὲ τῷ Κυρίῳ τοὺς ὅρκους σου.

34 Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ [i] ὀμόσαι ὅλως· μήτε ἐν τῷ οὐρανῷ, ὅτι θρόνος ἐστὶ τοῦ Θεοῦ·

35 Μήτε ἐν τῇ γῇ, ὅτι ὑποπόδιόν ἐστι τῶν [k] ποδῶν αὐτοῦ· μήτε εἰς Ἱεροσόλυμα, ὅτι πόλις ἐστὶ τοῦ μεγάλου βασιλέως.

36 Μήτε ἐν τῇ κεφαλῇ σου [l] ὀμόσῃς, ὅτι οὐ [m] δύνασαι μίαν [n] τρίχα λευκὴν ἢ μέλαιναν ποιῆσαι.

37 [o] Ἔστω δὲ ὁ λόγος ὑμῶν, ναὶ ναὶ, οὒ οὔ, τὸ δὲ περισσὸν τούτων, ἐκ τοῦ πονηροῦ ἐστιν.

38 ¶ Ἠκούσατε

[h] εἰμί. //
[i] δίδωμι.
[m] βάλλω.
[n] ἔρχομαι.
[x] ἀκούω.
[o] ῥέω.
[z] θυμός.
[p] αἱρέω.
[q] ὄλλυω.
[r] βάλλω.
[s] κόπτω.
[t] ὀλλύω.
[u] βάλλω.
[a] ῥέω.
[b] δίδωμι.
[d] λύω.
[c] ἀκούω.
[e] μοιχός.
[f] ῥέω. //
[g] ὅρκος.
[h] δίδωμι.
[i] ὀμνύω.
εἰμί.
[k] πούς.
[l] ὀμνύω.
[m] δύναμαι.
[n] θρίξ.
[o] εἰμί.

38 * ¶ Ἠκούσατε ὅτι † ἐῤῥέθη, Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ [a] ὀδόντα ἀντὶ ὀδόντος.

39 Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ [b] ἀντιστῆναι τῷ πονηρῷ· ἀλλ᾽ ὅστις σε ῥαπίσει ἐπὶ τὴν δεξιὰν σου σιαγόνα, [c] στρέψον αὐτῷ καὶ τὴν ἄλλην.

40 Καὶ τῷ θέλοντί σοι [d] κριθῆναι, καὶ τὸν χιτῶνά σου [e] λαβεῖν, [f] ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον.

41 Καὶ ὅστις σε ἀγγαρεύσει μίλιον ἕν, ὕπαγε μετ᾽ αὐτοῦ δύο.

42 Τῷ αἰτοῦντί σε [g] δίδου, καὶ τὸν θέλοντα ἀπὸ σοῦ [h] δανείσασθαι, μὴ [i] ἀποστραφῇς.

43 ¶ Ἠκούσατε ὅτι [k] ἐῤῥέθη, Ἀγαπήσεις τὸν πλησίον σου, καὶ μισήσεις τὸν ἐχθρόν σου.

44 Ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογεῖτε τοὺς [l] καταρωμένους ὑμᾶς· καλῶς ποιεῖτε τοὺς μισοῦντας ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν [m] ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων ὑμᾶς.

45 Ὅπως [n] γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς· ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους.

46 Ἐὰν γὰρ [o] ἀγαπήσητε τοὺς [o] ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν ἔχετε; οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσι;

47 Καὶ ἐὰν ἀσπάσησθε τοὺς ἀδελφοὺς ὑμῶν μόνον, τί περισσὸν ποιεῖτε; οὐχὶ καὶ οἱ τελῶναι οὕτω ποιοῦσιν;

48 [p] Ἔσεσθε οὖν ὑμεῖς τέλειοι, ὥσπερ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς, τέλειός [p] ἐστι.

Κεφ. ϛ. Cap. VI.

[a] Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων, πρὸς τὸ [b] θεαθῆναι αὐτοῖς, εἰ δὲ μή γε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς.

2 Ὅταν οὖν ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὥσπερ οἱ ὑποκριταὶ ποιοῦσιν.

* ἀκούω.
† ῥέω.
[a] ὀδούς.
[b] ἵστημι.
[c] στρέφω.
[d] κρίνω.
[e] λαμβάνω.
[f] ἐάω.
[g] δίδωμι.
[h] δάνειον.
[i] στρέφω.
[k] ῥέω.
[l] Ἀρά.
[m] ἐπηρεάζω.
[n] γίνομαι.
[o] ἀγάπη.
[p] εἰμί.
[a] ἔχω.
[b] θεάομαι.

ὖσιν ἐν ταῖς συναγωγαῖς, καὶ ἐν ταῖς ῥύμαις, ὅπως [c] δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων· ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν αὐτῶν.

[c] δοκέω.

3 Σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην, μὴ [d] γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου.

[d] γινώσκω.

4 Ὅπως [e] ᾖ σου ἡ ἐλεημοσύνη ἐν τῷ κρυπτῷ, καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, αὐτὸς [f] ἀποδώσει σοι ἐν τῷ φανερῷ.

[e] εἰμί.
[f] δίδωμι.

5 Καὶ ὅταν * προσεύχῃ, οὐκ [g] ἔσῃ ὥσπερ οἱ ὑποκριταί, ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς γωνίαις τῶν πλατειῶν [h] ἑστῶτες [l] προσεύχεσθαι, ὅπως ἂν [i] φανῶσι τοῖς ἀνθρώποις· ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν.

* εὐχή.
[g] εἰμί.
[h] ἵστημι.
[i] φαίνω.

6 Σὺ δὲ ὅταν [l] προσεύχῃ, [k] εἴσελθε εἰς τὸ ταμιεῖόν σου, καὶ κλείσας τὴν θύραν σου, [l] πρόσευξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ. καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, [m] ἀποδώσει σοι ἐν τῷ φανερῷ.

[k] ἔρχομαι.
[l] εὐχή.
[m] δίδωμι.

7 [l] Προσευχόμενοι δὲ μὴ * βαττολογήσητε, ὥσπερ οἱ ἐθνικοί· δοκοῦσι γὰρ ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν [n] εἰσακουσθήσονται.

* λέγω.
[n] ἀκούω.

8 Μὴ οὖν [o] ὁμοιωθῆτε αὐτοῖς· † οἶδε γὰρ ὁ πατὴρ ὑμῶν ὧν χρείαν ἔχετε, πρὸ τοῦ ὑμᾶς * αἰτῆσαι αὐτόν.

[o] ὁμός.
† εἰδῶ.
* αἰτέω.

9 Οὕτως οὖν προσεύχεσθε ὑμεῖς, ΠΑΤΕΡ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου.

10 [p] Ἐλθέτω ἡ βασιλεία σου· [q] γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.

[p] ἔρχομαι.
[q] γίνομαι.

11 Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον [t] δὸς ἡμῖν σήμερον.

[t] δίδωμι.

12 Καὶ [ſ] ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.

[ſ] ἕω.

13 Καὶ μὴ [t] εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ * ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ, ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

[t] φέρω.
* ῥύω.

14 Ἐὰν γὰρ [u] ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, [u] ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος.

[u] ἕω.

15 Ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ πατὴρ ὑμῶν [x] ἀφήσει τὰ παραπτώματα ὑμῶν.

[x] ἕω.

16 ¶ Ὅταν δὲ νηστεύητε, μὴ γίνεσθε ὥσπερ οἱ ὑποκριταὶ σκυθρωποί. [y] ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν, ὅπως φανῶσι τοῖς ἀνθρώποις νηστεύοντες. ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν.

[y] φαίνω.

17 Σὺ δὲ νηστεύων [z] ἄλειψαί σου τὴν κεφαλὴν, καὶ τὸ πρόσωπόν σου [a] νίψαι,

[z] ἀλείφω.
[a] νίπτω.

18 Ὅπως μὴ [b] φανῇς τοῖς ἀνθρώποις νηστεύων, ἀλλὰ τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ. καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, [c] ἀποδώσει σοι ἐν τῷ φανερῷ.

[b] φαίνω.
[c] δίδωμι.

//

19 Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύσσουσι καὶ κλέπτουσι.

20 Θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν, οὐδὲ κλέπτουσιν.

21 Ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ [d] ἔσται καὶ ἡ καρδία ὑμῶν.

[d] εἰμί.

22 Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός. ἐὰν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς [d] ᾖ, ὅλον τὸ σῶμά σου φωτεινὸν [d] ἔσται.

23 Ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρὸς [d] ᾖ, ὅλον τὸ σῶμά σου σκοτεινὸν [d] ἔσται. εἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ, σκότος ἐστὶ, τὸ σκότος πόσον;

24 Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν. ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει. ἢ ἑνὸς [e] ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει. οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμμωνᾷ.

[e] ἔχω.

25 Διὰ τοῦτο λέγω ὑμῖν, μὴ [f] μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, τί [g] φάγητε καὶ τί [h] πίητε· μηδὲ τῷ σώματι ὑμῶν τί [i] ἐνδύσησθε. οὐχὶ ἡ ψυχὴ πλεῖόν [k] ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος;

[f] μέριμνα.
[g] φάγω.
[h] πίνω.
[i] δύω.
[k] εἰμί.

26 [l] Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν

[l] βλέπω.

σιν εἰς ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν;

27 Τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται * προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα;

* τίθημι.

28 Καὶ περὶ ἐνδύματος τί μεριμνᾶτε; [m] καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ πῶς αὐξάνει· οὐ κοπιᾷ, οὐδὲ νήθει.

[m] μανθάνω. //

29 Λέγω δὲ ὑμῖν ὅτι οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ [n] περιεβάλετο ὡς ἓν τούτων.

[n] βάλλω.

30 Εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ σήμερον [x] ὄντα, καὶ αὔριον εἰς κλίβανον βαλλόμενον, ὁ Θεὸς οὕτως [o] ἀμφιέννυσιν, οὐ πολλῷ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι;

[x] εἰμί. //
[o] ἕω.

31 Μὴ οὖν μεριμνήσητε, λέγοντες, Τί φάγωμεν, ἢ τί [p] πίωμεν, ἢ τί [q] περιβαλώμεθα;

[p] πίνω.
[q] βάλλω.

32 (Πάντα γὰρ ταῦτα τὰ ἔθνη ἐπιζητεῖ) οἶδε γὰρ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος ὅτι [r] χρῄζετε τούτων ἁπάντων.

[r] χρή.

33 Ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα [ſ] προστεθήσεται ὑμῖν.

[ſ] τίθημι.

34 Μὴ οὖν [t] μεριμνήσητε εἰς τὴν αὔριον. ἡ γὰρ αὔριον [t] μεριμνήσει τὰ ἑαυτῆς· ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς.

[t] μέριμνα.

Κεφ. ζ. Cap. VII.

ΜΗ † κρίνετε, ἵνα μὴ † κριθῆτε.

† κρίνω.

2 Ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε· καὶ ἐν ᾧ * μέτρῳ μετρεῖτε * ἀντιμετρηθήσεται ὑμῖν.

* μέτρον.

3 Τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς;

4 Ἢ πῶς ἐρεῖς τῷ ἀδελφῷ σου, [a] Ἄφες [b] ἐκβάλω τὸ κάρφος ἀπὸ τοῦ ὀφθαλμοῦ σου· καὶ ἰδοὺ ἡ δοκὸς ἐν τῷ ὀφθαλμῷ σου;

[a] ἕω.

5 Ὑποκριτά, [b] ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε [c] διαβλέψεις [b] ἐκβαλεῖν

[b] βάλλω. //
[c] βλέπω.

τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου.

[b] δίδωμι.

6 Μὴ [b] δῶτε τὸ ἅγιον τοῖς κυσὶ, μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων· μήποτε καταπατήσωσιν αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν, καὶ [c] στραφέντες [d] ῥήξωσιν ὑμᾶς.

[c] στρέφω.
[d] ῥήσσω.
[e] δίδωμι.
[f] εὑρίσκω.
[g] οἴγω.

7 Αἰτεῖτε, καὶ [e] δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ [f] εὑρήσετε· κρούετε, καὶ [g] ἀνοιγήσεται ὑμῖν.

8 Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει· καὶ τῷ κρούοντι [g] ἀνοιγήσεται.

[h] δίδωμι.

9 Ἢ τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃς ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον [h] ἐπιδώσει αὐτῷ;

10 Καὶ ἐὰν ἰχθὺν αἰτήσῃ, μὴ ὄφιν [h] ἐπιδώσει αὐτῷ;

* εἰμί. //
† εἴδω.
* δίδωμι.

11 Εἰ οὖν ὑμεῖς, πονηροὶ * ὄντες, † οἴδατε δόματα ἀγαθὰ * διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν, ὁ ἐν τοῖς οὐρανοῖς * δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν;

12 Πάντα οὖν ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς. οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται.

* ἔρχομαι. //
[i] [m] ἄγω.
[k] εἰμί.

13 ¶ Εἰσέλθετε διὰ τῆς στενῆς πύλης· ὅτι πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ [i] ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί [k] εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς.

[l] θλίβω.

14 Ὅτι στενὴ ἡ πύλη, καὶ [l] τεθλιμμένη ἡ ὁδὸς ἡ [m] ἀπάγουσα εἰς τὴν ζωὴν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν.

[n] ἔχω.
[o] εἰμί.
[p] ἅρπαξ.
[q] γινώσκω.

15 [n] Προσέχετε δὲ ἀπὸ τῶν † ψευδοπροφητῶν οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ [o] εἰσι λύκοι [p] ἅρπαγες.

16 Ἀπὸ τῶν καρπῶν αὐτῶν [q] ἐπιγνώσεσθε αὐτούς· μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλὴν, ἢ ἀπὸ τριβόλων σῦκα;

17 Οὕτω πᾶν δένδρον ἀγαθὸν καρποὺς καλοὺς ποιεῖ. τὸ δὲ σαπρὸν δένδρον καρποὺς πονηροὺς ποιεῖ.

18 Οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς

πονηροὺς ποιεῖν, οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν.

19 Πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται.

20 [r] Ἄραγε ἀπὸ τῶν καρπῶν αὐτῶν * ἐπιγνώσεσθε αὐτούς.

21 Οὐ πᾶς ὁ λέγων μοι Κύριε Κύριε, [s] εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.

22 Πολλοὶ [t] ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, Κύριε Κύριε, οὐ τῷ σῷ ὀνόματι * προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς * ἐποιήσαμεν;

23 Καὶ τότε [u] ὁμολογήσω αὐτοῖς, Ὅτι οὐδέποτε [x] ἔγνων ὑμᾶς· * ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

24. Πᾶς οὖν ὅστις ἀκούει μου τοὺς λόγους τούτους καὶ ποιεῖ αὐτοὺς, ὁμοιώσω αὐτὸν ἀνδρὶ φρονίμῳ, ὅστις [y] ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν.

25 Καὶ [z] κατέβη ἡ βροχὴ, καὶ * ἦλθον οἱ ποταμοὶ καὶ [a] ἔπνευσαν οἱ ἄνεμοι, καὶ [b] προσέπεσον τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ [c] ἔπεσε. [d] τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν.

26 Καὶ πᾶς ὁ ἀκούων μου τοὺς λόγους τούτους, καὶ μὴ ποιῶν αὐτοὺς, [e] ὁμοιωθήσεται ἀνδρὶ μωρῷ, ὅστις [f] ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν ἄμμον.

27 Καὶ κατέβη ἡ βροχὴ, καὶ [g] ἦλθον οἱ ποταμοὶ, καὶ [h] ἔπνευσαν οἱ ἄνεμοι, καὶ * προσέκοψαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ [i] ἔπεσε, καὶ ἦν ἡ πτῶσις αὐτῆς [k] μεγάλη. //

28 Καὶ [l] ἐγένετο ὅτε [m] συνετέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, [n] ἐξεπλήσσοντο οἱ ὄχλοι ἐπὶ τῇ διδαχῇ αὐτοῦ.

29 [o] Ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς.

Κεφ.

[r] ἄρα.
* γινώσκω.
[s] ἔρχομαι.
[t] εἴρω.
* φάω.
* ποιέω.
[u] λέγω.
[x] γινώσκω.
* χῶρος.
[y] δέμω.
[z] βαίνω.
* ἔρχομαι.
[a] πνέω.
[b] πίπτω.
[c] πίπτω.
[d] θεμέλιον.
[e] ὁμός.
[f] δέμω.
[g] ἔρχομαι.
[h] πνέω.
* κόπτω.
[i] πίπτω.
[k] μέγας.
[l] γίνομαι.
[m] τέλος.
[n] πλήσσω.
[o] εἰμί.

Κεφ. η. Cap. VIII.

[a] Καταβάντι δὲ αὐτῷ ἀπὸ τοῦ ὄρους, [b] ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί.

2 Καὶ ἰδοὺ, λεπρὸς [c] ἐλθὼν προσεκύνει αὐτῷ λέγων, Κύριε, ἐὰν θέλῃς, δύνασαί με [d] καθαρίσαι.

3 Καὶ ἐκτείνας τὴν χεῖρα [e] ἥψατο αὐτοῦ ὁ Ἰησοῦς, λέγων, Θέλω, [x] καθαρίσθητι. Καὶ εὐθέως [x] ἐκαθαρίσθη αὐτοῦ ἡ λέπρα.

4 Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς, [f] Ὅρα μηδενὶ εἴπῃς, ἀλλ' ὕπαγε, σεαυτὸν [g] δεῖξον τῷ ἱερεῖ, καὶ [h] προσένεγκε τὸ δῶρον ὃ [i] προσέταξε Μωσῆς, εἰς μαρτύριον αὐτοῖς.

5 ¶ [k] Εἰσελθόντι δὲ τῷ Ἰησοῦ εἰς Καπερναοὺμ, [k] προσῆλθεν αὐτῷ ἑκατόνταρχος, παρακαλῶν αὐτὸν,

6 Καὶ λέγων, Κύριε, ὁ παῖς μου [m] βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικὸς, δεινῶς βασανιζόμενος.

7 Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς, Ἐγὼ [n] ἐλθὼν θεραπεύσω αὐτόν.

8 Καὶ [o] ἀποκριθεὶς ὁ ἑκατόνταρχος [p] ἔφη, Κύριε, οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην [q] εἰσέλθῃς. ἀλλὰ μόνον εἰπὲ λόγον, καὶ [r] ἰαθήσεται ὁ παῖς μου.

9 Καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν, ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας· καὶ λέγω τούτῳ, [x] Πορεύθητι, καὶ [x] πορεύεται· καὶ ἄλλῳ, [l] Ἔρχου, καὶ [l] ἔρχεται· καὶ τῷ δούλῳ μου, Ποίησον τοῦτο, καὶ [a] ποιεῖ.

10 Ἀκούσας δὲ ὁ Ἰησοῦς [x] ἐθαύμασε, καὶ εἶπε τοῖς ἀκολουθοῦσιν, Ἀμὴν λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν [ſ] εὗρον.

11 Λέγω δὲ ὑμῖν ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν [t] ἥξουσι, καὶ [u] ἀνακλιθήσονται μετὰ Ἀβραὰμ, καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

12 Οἱ δὲ υἱοὶ τῆς βασιλείας [x] ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ [y] ἔσται ὁ κλαυθμὸς

a Βαίνω.
b ἀκόλουθος.
c ἔρχομαι.
d καθαίρω.
e ἅπτω. //
x καθαίρω.
f ὁράω. //
g δεικνύω.
h φέρω.
i τάττω.
k ἔρχομαι.
m βάλλω.
n ἔρχομαι.
o κρίνω.
p φάω.
q ἔρχομαι.
r ἰάομαι.
x πείρω.
l ἔρχομαι.
a ποιέω.
x θαῦμα.
ſ εὑρίσκω.
t ἥκω.
u κλίνω.
x βάλλω.
y εἰμί.

θμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

13 Καὶ εἶπεν ὁ Ἰησοῦς τῷ ἑκατοντάρχῳ, Ὕπαγε, καὶ ὡς [z] ἐπίστευσας [*] γενηθήτω σοί. Καὶ [a] ἰάθη ὁ παῖς αὐτοῦ ἐν τῇ ὥρᾳ ἐκείνῃ.

14 ¶ Καὶ [b] ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν Πέτρου, εἶδε τὴν πενθερὰν αὐτοῦ [c] βεβλημένην καὶ [p] πυρέσσουσαν.

15 Καὶ [e] ἥψατο τῆς χειρὸς αὐτῆς· καὶ [f] ἀφῆκεν αὐτὴν ὁ πυρετός· καὶ [g] ἠγέρθη, καὶ διηκόνει αὐτοῖς.

16 Ὀψίας δὲ γενομένης [h] προσήνεγκαν αὐτῷ δαιμονιζομένους πολλούς· καὶ [i] ἐξέβαλε τὰ πνεύματα λόγῳ, καὶ πάντας τοὺς κακῶς ἔχοντας [o] ἐθεράπευσεν.

17 Ὅπως [k] πληρωθῇ τὸ [l] ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου, λέγοντος, Αὐτὸς τὰς ἀσθενείας ἡμῶν [m] ἔλαβε, καὶ τὰς νόσους [n] ἐβάστασεν.

18 [o] Ἰδὼν δὲ ὁ Ἰησοῦς πολλοὺς ὄχλους περὶ αὐτὸν, [p] ἐκέλευσεν [q] ἀπελθεῖν εἰς τὸ πέραν.

19 Καὶ [q] προσελθὼν εἷς γραμματεὺς, εἶπεν αὐτῷ, Διδάσκαλε, ἀκολουθήσω σοι ὅπου ἐὰν [q] ἀπέρχῃ.

20 Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς, Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ.

21 Ἕτερος δὲ τῶν μαθητῶν αὐτοῦ εἶπεν αὐτῷ, Κύριε, [r] ἐπίτρεψόν μοι πρῶτον [x] ἀπελθεῖν, καὶ [s] θάψαι τὸν πατέρα μου.

22 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, Ἀκολούθει μοι, καὶ [t] ἄφες τοὺς νεκροὺς [s] θάψαι τοὺς ἑαυτῶν νεκρούς.

23 ¶ Καὶ [u] ἐμβάντι αὐτῷ εἰς τὸ πλοῖον, [b] ἠκολούθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ.

24 Καὶ ἰδοὺ, σεισμὸς μέγας [x] ἐγένετο ἐν τῇ θαλάσσῃ, ὥστε τὸ πλοῖον καλύπτεσθαι ὑπὸ τῶν κυμάτων· αὐτὸς δὲ ἐκάθευδε.

25 Καὶ [d] προσελθόντες οἱ μαθηταὶ αὐτοῦ [y] ἤγειραν αὐτὸν, λέγοντες, Κύριε [z] σῶσον ἡμᾶς, [*] ἀπολλύμεθα. 26 Καὶ

z πίστις.
* γίνομαι.
a ἰάομαι.
b ἔρχομαι.
c βάλλω.
d πύρ.
e ἅπτω.
f ἔω.
g ἐγείρω.
h φέρω.
i βάλλω.
o θεραπεύω.
k πλέος.
l ῥέω.
m λαμβάνω.
n βαστάζω.
o εἴδω.
p κελεύω.
q ἔρχομαι.
r τρέπω.
x ἔρχομαι.
s θάπτω.
t ἔω.
u βαίνω.
b ἀκόλουθος.
x γίνομαι.
d ἔρχομαι.
y ἐγείρω.
z σῶος.
* ὀλλύω.

a εἰμί.
b τίω.
c γίνομαι.
x θαῦμα.
z εἰμί.
d ἔρχομαι.
e ἄντα.
f δαίμων.
g ἔρχομαι.
h κράζω.
i ἔρχομαι.
k εἰμί.
l τρέπω.
m ἔρχομαι.
n ἄγω.
o ἔρχομαι.
p ὁρμή.
q θνήσκω.
r ὕδωρ.
ſ φεύγω.
t ἔρχομαι.
u ἀγγέλλω.
z δαίμων.
y ἔρχομαι.
z εἴδω.
a καλέω.
b βαίνω.

26 Καὶ λέγει αὐτοῖς, Τί δειλοί [a] ἐστε ὀλιγόπιστοι; Τότε ἐγερθεὶς [b] ἐπετίμησε τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ· καὶ [c] ἐγένετο γαλήνη μεγάλη.

27 Οἱ δὲ ἄνθρωποι [x] ἐθαύμασαν, λέγοντες, Ποταπός [z] ἐστιν οὗτος, ὅτι καὶ οἱ ἄνεμοι καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ.

28 Καὶ [d] ἐλθόντι αὐτῷ εἰς τὸ πέραν εἰς τὴν χώραν τῶν Γεργεσηνῶν, [e] ὑπήντησαν αὐτῷ δύο [f] δαιμονιζόμενοι, ἐκ τῶν μνημείων [g] ἐξερχόμενοι, χαλεποὶ λίαν, ὥστε μὴ ἰσχύειν τινὰ [g] παρελθεῖν διὰ τῆς ὁδοῦ ἐκείνης.

29 Καὶ ἰδοὺ [h] ἔκραξαν λέγοντες, Τί ἡμῖν καὶ σοί, Ἰησοῦ υἱὲ τοῦ Θεοῦ; [i] ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς;

30 [k] Ἦν δὲ μακρὰν ἀπ᾽ αὐτῶν ἀγέλη χοίρων πολλῶν βοσκομένη.

31 Οἱ δὲ δαίμονες παρεκάλουν αὐτὸν, λέγοντες, Εἰ ἐκβάλλεις ἡμᾶς, [l] ἐπίτρεψον ἡμῖν [m] ἀπελθεῖν εἰς τὴν ἀγέλην τῶν χοίρων.

32 Καὶ εἶπεν αὐτοῖς, [n] Ὑπάγετε. Οἱ δὲ [g] ἐξελθόντες [o] ἀπῆλθον εἰς τὴν ἀγέλην τῶν χοίρων. Καὶ ἰδοὺ, [p] ὥρμησε πᾶσα ἡ ἀγέλη τῶν χοίρων κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν, καὶ [q] ἀπέθανον ἐν τοῖς [r] ὕδασιν.

33 Οἱ δὲ βόσκοντες [ſ] ἔφυγον. καὶ [t] ἀπελθόντες εἰς τὴν πόλιν, [n] ἀπήγγειλαν πάντα, καὶ τὰ τῶν [z] δαιμονιζομένων.

34 Καὶ ἰδοὺ, πᾶσα ἡ πόλις [y] ἐξῆλθεν εἰς συνάντησιν τῷ Ἰησοῦ, καὶ [z] ἰδόντες αὐτὸν, [a] παρεκάλεσαν ὅπως [b] μεταβῇ ἀπὸ τῶν ὁρίων αὐτῶν.

Κεφ. θ. Cap. IX.

a βαίνω.
b περάω.
c ἔρχομαι.
d βάλλω.
e θάρσος.
f ἕω.

ΚΑὶ [a] ἐμβὰς εἰς τὸ πλοῖον, [b] διεπέρασε, καὶ [c] ἦλθεν εἰς τὴν ἰδίαν πόλιν.

2 Καὶ ἰδοὺ, προσέφερον αὐτῷ παραλυτικὸν ἐπὶ κλίνης [d] βεβλημένον· καὶ ἰδὼν ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν, εἶπε τῷ παραλυτικῷ, [e] Θάρσει τέκνον, [f] ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου.

3 Καὶ ἰδοὺ, τινὲς τῶν γραμματέων εἶπον ἐν ἑαυτοῖς, Οὗτος βλασφημεῖ. 4

4 Καὶ [f] ἰδὼν ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν, Ἵνα τί ὑμεῖς [g] ἐνθυμεῖσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν;

5 Τί γάρ ἐστιν εὐκοπώτερον εἰπεῖν, [h] Ἀφέωνταί σοι αἱ ἁμαρτίαι, ἢ εἰπεῖν, [i] Ἔγειραι καὶ περιπάτει;

6 Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς [k] ἀφιέναι ἁμαρτίας (τότε λέγει τῷ παραλυτικῷ) [l] Ἐγερθεὶς [m] ἆρόν σου τὴν κλίνην, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου.

7 Καὶ [n] ἐγερθεὶς [o] ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ.

8 Ἰδόντες δὲ οἱ ὄχλοι ἐθαύμασαν, καὶ [p] ἐδόξασαν τὸν Θεὸν, τὸν [†] δόντα ἐξουσίαν τοιαύτην τοῖς ἀνθρώποις.

9 ¶ Καὶ παράγων ὁ Ἰησοῦς ἐκεῖθεν, εἶδεν ἄνθρωπον [q] καθήμενον ἐπὶ τὸ τελώνιον, Ματθαῖον λεγόμενον, καὶ λέγει αὐτῷ, [r] Ἀκολούθει μοι. Καὶ [ſ] ἀναστὰς [r] ἠκολούθησεν αὐτῷ.

10 Καὶ [t] ἐγένετο αὐτοῦ [u] ἀνακειμένου ἐν τῇ οἰκίᾳ, καὶ ἰδοὺ, πολλοὶ Τελῶναι καὶ ἁμαρτωλοὶ [x] ἐλθόντες [y] συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ.

11 Καὶ [z] ἰδόντες οἱ Φαρισαῖοι, εἶπον τοῖς μαθηταῖς αὐτοῦ, Διὰ τί μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει ὁ διδάσκαλος ὑμῶν;

12 Ὁ δὲ Ἰησοῦς ἀκούσας εἶπεν αὐτοῖς, Ὀυ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες.

13 [a] Πορευθέντες δὲ [b] μάθετε τί ἐστιν, Ἔλεον θέλω, καὶ οὐ θυσίαν. οὐ γὰρ [c] ἦλθον καλέσαι δικαίους ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν.

14 Τότε [c] προσέρχονται αὐτῷ οἱ μαθηταὶ Ἰωάννου, λέγοντες, Διὰ τί ἡμεῖς καὶ οἱ Φαρισαῖοι νηστεύομεν πολλὰ, οἱ δὲ μαθηταί σου οὐ νηστεύουσι;

15 Καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, Μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος πενθεῖν ἐφ' ὅσον μετ' αὐτῶν ἐστιν ὁ νυμφίος; [d] ἐλεύσονται δὲ ἡμέραι ὅταν [e] ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσιν.

[f] εἴδω.
[g] θυμός.
[h] ἕω.
[i] ἐγείρω.
[k] ἕω.
[l] ἐγείρω.
[m] αἴρω.
[n] ἐγείρω.
[o] ἔρχομαι.
[p] δοκέω.
[†] δίδωμι.
[q] ἧμαι. //
[r] ἀκόλουθος.
[ſ] ἵστημι.
[t] γίνομαι.
[u] κεῖμαι.
[x] ἔρχομαι.
[y] κεῖμαι.
[z] εἴδω.
[a] πείρω.
[b] μανθάνω.
[c] ἔρχομαι.
//
[d] ἔρχομαι.
[e] αἴρω.

16 Οὐδεὶς δὲ ἐπιβάλλει ἐπίβλημα ῥάκους
ἀγνάφου ἐπὶ ἱματίῳ παλαιῷ. αἴρει γὰρ τὸ πλή-
ρωμα αὐτοῦ ἀπὸ τοῦ ἱματίου, καὶ χεῖρον σχίσμα
γίνεται.

// 17 Οὐδὲ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς πα-
λαιούς· εἰ δὲ μή γε, ῥήγνυνται οἱ ἀσκοὶ, καὶ ὁ
[f] χέω. οἶνος [f] ἐκχεῖται, καὶ οἱ ἀσκοὶ [g] ἀπολοῦνται· ἀλ-
[g] ὀλλύω. λὰ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς καινοὺς, καὶ ἀμ-
φότερα συντηροῦνται.

[h] λαλέω. 18 ¶ Ταῦτα αὐτοῦ [h] λαλοῦντος αὐτοῖς, ἰδοὺ,
[i] ἔρχομαι. ἄρχων τις [i] ἐλθὼν προσεκύνει αὐτῷ λέγων, Ὅ-
[k] τίθημι. τι ἡ θυγάτηρ μου ἄρτι ἐτελεύτησεν· ἀλλὰ [k] ἐλ-
[l] ζάω. θὼν [k] ἐπίθες τὴν χεῖρά σου ἐπ' αὐτὴν καὶ [l] ζήσεται.

[m] ἐγείρω. 19 Καὶ [m] ἐγερθεὶς ὁ Ἰησοῦς [n] ἠκολούθησεν
[n] ἀκόλουθος. αὐτῷ, καὶ οἱ μαθηταὶ αὐτοῦ.

[o] ῥέω. // 20 (Καὶ ἰδοὺ γυνὴ [o] αἱμορροοῦσα δώδεκα ἔ-
[p] ἔρχομαι. τη, [p] προσελθοῦσα ὄπισθεν, [q] ἥψατο τοῦ κρασπέ-
δου τοῦ ἱματίου αὐτοῦ.

[q] ἅπτω. 21 Ἔλεγε γὰρ ἐν ἑαυτῇ, Ἐὰν μόνον [q] ἅψω-
[r] σῶος. μαι τοῦ ἱματίου αὐτοῦ, [r] σωθήσομαι.

[s] στρέφω. 22 Ὁ δὲ Ἰησοῦς [s] ἐπιστραφεὶς καὶ ἰδὼν αὐτὴν,
[t] θάρσος. εἶπε, [t] Θάρσει θύγατερ· ἡ πίστις σου [u] σέσωκέ σε.
[u] σόος. Καὶ [u] ἐσώθη ἡ γυνὴ ἀπὸ τῆς ὥρας ἐκείνης.)

[x] ἔρχομαι. 23 Καὶ [x] ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν τοῦ
ἄρχοντος, καὶ ἰδὼν τοὺς αὐλητὰς, καὶ τὸν ὄχλον
[y] θόρυβος. [y] θορυβούμενον.

[z] χῶρος. 24 Λέγει αὐτοῖς, [z] Ἀναχωρεῖτε· οὐ γὰρ [a] ἀπέ-
[a] θνήσκω. θανε τὸ κοράσιον, ἀλλὰ καθεύδει· [b] Καὶ κατε-
[b] γέλως. γέλων αὐτοῦ.

[c] βάλλω. 25 Ὅτε δὲ [c] ἐξεβλήθη ὁ ὄχλος, [f] εἰσελ-
[d] κράτος. θὼν [d] ἐκράτησε τῆς χειρὸς αὐτῆς. καὶ [e] ἠγέρθη τὸ
[e] ἐγείρω. κοράσιον.

[f] ἔρχομαι. // 26 Καὶ [f] ἐξῆλθεν ἡ φήμη αὕτη εἰς ὅλην τὴν
γῆν ἐκείνην.

[g] ἄγω. 27 ¶ Καὶ [g] παράγοντι ἐκεῖθεν τῷ Ἰησοῦ,
[x] ἀκόλουθος. [x] ἠκολούθησαν αὐτῷ δύο τυφλοὶ, κράζοντες καὶ
[h] ἔλεος. λέγοντες, [h] Ἐλέησον ἡμᾶς υἱὲ Δαβίδ.

[i] ἔρχομαι. 28 [i] Ἐλθόντι δὲ εἰς τὴν οἰκίαν, [i] προσῆλθον

αὐτῷ οἱ τυφλοὶ, ϗ λέγει αὐτοῖς ὁ Ἰησοῦς, Πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι; Λέγουσιν αὐτῷ, Ναὶ Κύριε.

29 Τότε [k] ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν, λέγων, Κατὰ τὴν πίστιν ὑμῶν [l] γενηθήτω ὑμῖν.

30 Καὶ [m] ἀνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοί. ϗ [n] ἐνεβριμήσατο αὐτοῖς ὁ Ἰησοῦς, λέγων, † Ὁρᾶτε μηδεὶς γινωσκέτω.

31 Οἱ δὲ [p] ἐξελθόντες * διεφήμισαν αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ.

32 ¶ Αὐτῶν δὲ [p] ἐξερχομένων, ἰδοὺ [q] προσήνεγκαν αὐτῷ ἄνθρωπον κωφὸν, δαιμονιζόμενον.

33 Καὶ [r] ἐκβληθέντος τοῦ δαιμονίου, * ἐλάλησεν ὁ κωφός. ϗ ἐθαύμασαν οἱ ὄχλοι, λέγοντες, Οὐδέποτε [ſ] ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ.

34 Οἱ δὲ Φαρισαῖοι ἔλεγον, Ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια.

35 Καὶ [t] περιῆγεν ὁ Ἰησοῦς τὰς πόλεις πάσας ϗ τὰς κώμας, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν, ϗ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας, ϗ θεραπεύων πᾶσαν νόσον ϗ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.

36 ¶ † Ἰδὼν δὲ τοὺς ὄχλους, [n] ἐσπλαγχνίσθη περὶ αὐτῶν, ὅτι [x] ἦσαν [y] ἐκλελυμένοι ϗ [z] ἐρριμμένοι ὡσεὶ πρόβατα μὴ ἔχοντα ποιμένα.

37 Τότε λέγει τοῖς μαθηταῖς αὐτοῦ, * Ὁ μὲν θερισμὸς, πολὺς, οἱ δὲ ἐργάται, ὀλίγοι.

38 [a] Δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ ὅπως [b] ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ.

Κεφ. ι. Cap. X.

ΚΑΙ [a] προσκαλεσάμενος τοὺς δώδεκα μαθητὰς αὐτοῦ, [b] ἔδωκεν αὐτοῖς ἐξουσίαν πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ, ϗ [c] θεραπεύειν πᾶσαν νόσον ϗ πᾶσαν μαλακίαν.

2 Τῶν δὲ δώδεκα ἀποστόλων τὰ ὀνόματά [d] ἐστι ταῦτα· πρῶτος, Σίμων ὁ λεγόμενος Πέτρος, ϗ Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ. Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου, ϗ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ.

k ἅπτω.
l γίνομαι.
m οἴγω.
n βριμάομαι.
† ὁράω.
p ἔρχομαι.
* φάω.
q φέρω.
r βάλλω.
* λαλέω.
ſ φαίνω.
t ἄγω.
† εἴδω.
u σπλάγχνον
x εἰμί.
y λύω.
z ῥίπτω.
a δέομαι.
b βάλλω.
a καλέω.
b δίδωμι.
c θεραπεύω.
d εἰμί.

3 Φίλιππος, καὶ Βαρθολομαῖος· Θωμᾶς, καὶ Ματθαῖος ὁ τελώνης· Ἰάκωβος ὁ τοῦ Ἀλφαίου, καὶ Λεββαῖος ὁ [e] ἐπικληθεὶς Θαδδαῖος.

4 Σίμων ὁ Κανανίτης, καὶ Ἰούδας Ἰσκαριώτης, ὁ καὶ [f] παραδοὺς αὐτόν.

5 Τούτους τοὺς δώδεκα [g] ἀπέστειλεν ὁ Ἰησοῦς παραγγείλας αὐτοῖς, λέγων, Εἰς ὁδὸν ἐθνῶν μὴ [h] ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ [h] εἰσέλθητε.

6 Πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ [i] ἀπολωλότα οἴκου Ἰσραήλ.

7 Πορευόμενοι δὲ κηρύσσετε, λέγοντες, Ὅτι [k] ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν.

8 Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, νεκροὺς ἐγείρετε, δαιμόνια ἐκβάλλετε· δωρεὰν [l] ἐλάβετε, δωρεὰν [m] δότε.

9 Μὴ [n] κτήσησθε χρυσὸν, μηδὲ ἄργυρον, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν.

//

10 Μὴ πήραν εἰς ὁδὸν, μηδὲ δύο χιτῶνας, μηδὲ ὑποδήματα, μηδὲ ῥάβδον· ἄξιος γ ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ [o] ἐστιν.

11 ¶ Εἰς ἣν δ᾽ ἂν πόλιν ἢ κώμην [p] εἰσέλθητε, [q] ἐξετάσατε τίς ἐν αὐτῇ ἄξιός [r] ἐστι· [s] κἀκεῖ [t] μείνατε ἕως ἂν [u] ἐξέλθητε.

12 [u] Εἰσερχόμενοι δὲ εἰς τὴν οἰκίαν, ἀσπάσασθε αὐτήν.

13 Καὶ ἐὰν μὲν [x] ᾖ ἡ οἰκία ἀξία, [u] ἐλθέτω ἡ εἰρήνη ὑμῶν ἐπ᾽ αὐτήν· ἐὰν δὲ μὴ [x] ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς [y] ἐπιστραφήτω.

14 Καὶ ὃς ἐὰν μὴ [a] δέξηται ὑμᾶς, μηδ ἀκούσῃ τοὺς λόγους ὑμῶν, [b] ἐξερχόμενοι τῆς οἰκία ἢ τῆς πόλεως ἐκείνης, [c] ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν.

15 Ἀμὴν λέγω ὑμῖν, [d] ἀνεκτότερον [e] ἔσ γῇ Σοδόμων καὶ Γομόῤῥων ἐν ἡμέρᾳ κρίσεως, τῇ πόλει ἐκείνῃ.

16 Ἰδοὺ, ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατ ἐν μέσῳ λύκων· [f] γίνεσθε οὖν φρόνιμοι ὡς

ὄφεις

[e] καλέω.
[f] δίδωμι.
[g] στέλλω.
[h] ἔρχομαι.
[i] ὄλλυμι.
[k] ἐγγύς.
[l] λαμβάνω.
[m] δίδωμι.
[n] κτάομαι.
[o] εἰμί.
[p] ἔρχομαι.
[q] ἐτάζω.
[r] εἰμί.
[s] καὶ ἐκεῖ.
[t] μείνω.
[u] ἔρχομαι.
[x] εἰμί.
[y] στρέφω.
[a] δέχομαι.
[b] ἔρχομαι.
[c] τείνω.
[d] ἔχω.
[e] εἰμί.
[f] γίνομαι.

ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί.

17 Προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων. [g] παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς. — g δίδωμι.

18 Καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς [h] ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν. — h ἄγω.

19 ¶ Ὅταν δὲ [i] παραδιδῶσιν ὑμᾶς, [k] μὴ μεριμνήσητε πῶς ἢ τί [l] λαλήσητε· [i] δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τί [l] λαλήσετε. — i δίδωμι. k μέριμνα. l λαλέω.

20 Οὐ γὰρ ὑμεῖς [m] ἐστε οἱ [l] λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς ὑμῶν τὸ [l] λαλοῦν ἐν ὑμῖν. — m εἰμί.

21 [n] Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον· καὶ [o] ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ [p] θανατώσουσιν αὐτούς. — n δίδωμι. o ἵστημι. p θνήσκω.

22 Καὶ [q] ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος [r] σωθήσεται. — q εἰμί. r σάος.

23 Ὅταν δὲ διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ. φεύγετε εἰς τὴν ἄλλην. ἀμὴν γὰρ λέγω ὑμῖν, οὐ μὴ τελέσητε τὰς πόλεις τοῦ Ἰσραὴλ ἕως ἂν [s] ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου. — s ἔρχομαι.

24 ¶ Οὐκ [t] ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ. — t εἰμί.

25 Ἀρκετὸν τῷ μαθητῇ ἵνα [u] γένηται ὡς ὁ διδάσκαλος αὐτοῦ. καὶ ὁ δοῦλος ὡς ὁ κύριος αὐτοῦ· εἰ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ [x] ἐκάλεσαν, πόσῳ μᾶλλον τοὺς οἰκιακοὺς αὐτοῦ; — u γίνομαι. // x καλέω.

26 Μὴ οὖν [y] φοβηθῆτε αὐτούς· οὐδὲν γάρ ἐστι [z] κεκαλυμμένον ὃ οὐκ [z] ἀποκαλυφθήσεται, καὶ κρυπτὸν, ὃ οὐ [a] γνωσθήσεται. — y φοβέομαι. z καλύπτω. a γινώσκω.

27 Ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ, εἴπατε ἐν τῷ φωτί· καὶ ὃ εἰς τὸ οὖς ἀκούετε, κηρύξατε ἐπὶ τῶν δωμάτων.

28 Καὶ μὴ [b] φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι. * φοβηθῆτε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα [c] ἀπολέσαι ἐν γεέννῃ. — b φοβέομαι. * φοβέομαι. c ὀλλύω.

// 29 Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται, καὶ
[t] πίπτω. ἓν ἐξ αὐτῶν οὐ [t] πεσεῖται ἐπὶ τὴν γῆν ἄνευ τοῦ
πατρὸς ὑμῶν;

[u] θρίξ. 30 Ὑμῶν δὲ καὶ αἱ [u] τρίχες τῆς κεφαλῆς πᾶσαι
[x] ἀριθμός. [x] ἠριθμημέναι εἰσί.

31 Μὴ οὖν * φοβηθῆτε· πολλῶν στρουθίων
διαφέρετε ὑμεῖς.

32 Πᾶς οὖν ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσ-
[y] καὶ ἐγώ. θεν τῶν ἀνθρώπων, ὁμολογήσω [y] κἀγὼ ἐν αὐ-
τῷ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.

[a] ἀρνέομαι. 33 Ὅστις δ' ἂν [a] ἀρνήσηταί με ἔμπροσθεν τῶν
ἀνθρώπων, [a] ἀρνήσομαι αὐτὸν [y] κἀγὼ ἔμπροσ-
θεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.

34 ¶ Μὴ νομίσητε ὅτι [e] ἦλθον βαλεῖν εἰ-
ρήνην ἐπὶ τὴν γῆν· οὐκ [e] ἦλθον βαλεῖν εἰρή-
νην, ἀλλὰ μάχαιραν.

[f] δίς. // 35 [e] Ἦλθον γὰρ [f] διχάσαι ἄνθρωπον κατὰ τοῦ
πατρὸς αὐτοῦ, καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς,
καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς.

36 Καὶ ἐχθροὶ τοῦ ἀνθρώπου, οἱ οἰκιακοὶ
αὐτοῦ.

37 ¶ Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ
[g] εἰμί. ἐμὲ, οὐκ [g] ἔστι μου ἄξιος· καὶ ὁ φιλῶν υἱὸν ἢ θυγα-
τέρα ὑπὲρ ἐμὲ, οὐκ [g] ἔστι μου ἄξιος.

38 Καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ, καὶ
ἀκολουθεῖ ὀπίσω μου, οὐκ [g] ἔστι μου ἄξιος.

[h] εὑρίσκω. 39 Ὁ [h] εὑρὼν τὴν ψυχὴν αὐτοῦ, [k] ἀπολέσει
[k] ὀλλύω. αὐτήν, καὶ ὁ [k] ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνε-
κεν ἐμοῦ, [h] εὑρήσει αὐτήν.

40 Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται· καὶ ὁ
[n] στέλλω. ἐμὲ δεχόμενος, δέχεται τὸν [n] ἀποστείλαντά με.

41 Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προ-
[o] λαμβάνω. φήτου, μισθὸν προφήτου [o] λήψεται· καὶ ὁ δεχό-
μενος δίκαιον εἰς ὄνομα δικαίου, μισθὸν δικαίου
[o] λήψεται.

[p] πίνω. 42 Καὶ ὃς ἐὰν [p] ποτίσῃ ἕνα τῶν μικρῶν τούτων
ποτήριον ψυχροῦ μόνον, εἰς ὄνομα μαθητοῦ, ἀμὴν
[q] ὀλλύω. λέγω ὑμῖν, οὐ μὴ [q] ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ.

Κεφ. ιά.

Κεφ. ια΄. Cap. XI.

Καὶ [a] ἐγένετο ὅτε [b] ἐτέλεσεν ὁ Ἰησοῦς διατάσσων τοῖς δώδεκα μαθηταῖς αὐτοῦ, [c] μετέβη ἐκεῖθεν τοῦ διδάσκειν καὶ κηρύσσειν ἐν ταῖς πόλεσιν αὐτῶν.

2 Ὁ δὲ Ἰωάννης, ἀκούσας ἐν τῷ δεσμωτηρίῳ τὰ ἔργα τοῦ Χριστοῦ, πέμψας δύο τῶν μαθητῶν αὐτοῦ,

3 Εἶπεν αὐτῷ, Σὺ [f] εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν;

4 Καὶ [d] ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, [e] Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ ἀκούετε καὶ βλέπετε.

5 Τυφλοὶ ἀναβλέπουσι, καὶ χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται, καὶ κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται, καὶ πτωχοὶ εὐαγγελίζονται.

6 Καὶ μακάριός [f] ἐστιν ὃς ἐὰν μὴ [g] σκανδαλισθῇ ἐν ἐμοί.

7 Τούτων δὲ πορευομένων [h] ἤρξατο ὁ Ἰησοῦς λέγειν τοῖς ὄχλοις περὶ Ἰωάννου, Τί [i] ἐξήλθετε εἰς τὴν ἔρημον || θεάσασθαι; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον;

8 Ἀλλὰ τί [i] ἐξήλθετε * ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις [k] ἠμφιεσμένον; ἰδοὺ, οἱ τὰ μαλακὰ φοροῦντες, ἐν τοῖς οἴκοις τῶν βασιλέων [l] εἰσίν.

9 Ἀλλὰ τί [i] ἐξήλθετε * ἰδεῖν; προφήτην; ναὶ λέγω ὑμῖν, καὶ [m] περισσότερον προφήτου.

10 Οὗτος γάρ [n] ἐστι περὶ οὗ [o] γέγραπται, Ἰδοὺ, ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου.

11 Ἀμὴν λέγω ὑμῖν οὐκ [p] ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ· ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ [n] ἐστιν.

12 Ἀπὸ δὲ τῶν ἡμερῶν Ἰωάννου τοῦ Βαπτιστοῦ ἕως ἄρτι ἡ βασιλεία τῶν οὐρανῶν [r] βιάζεται, καὶ [r] βιασταὶ ἁρπάζουσιν αὐτήν. //

[a] γίνομαι.
[b] τέλος.
[c] βαίνω.
[d] κρίνω.
[e] πείρω.
[f] εἰμί.
[g] σκάζω.
[h] ἄρχω.
|| θεάομαι.
[i] ἔρχομαι.
* εἴδω.
[k] ἕω.
[l] εἰμί.
[m] περί.
[n] εἰμί.
[o] γράφω.
[p] ἐγείρω.
[r] βία.

13 Πάντες γὰρ οἱ προφῆται καὶ ὁ νόμος ἕως Ἰωάννου [ſ] προεφήτευσαν[c].

14 Καὶ εἰ θέλετε [t] δέξασθαι, αὐτός [u] ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι.

15 Ὁ ἔχων [x] ὦτα ἀκούειν, ἀκουέτω.

16 Τίνι δὲ ὁμοιώσω τὴν γενεὰν ταύτην; [c] ὁμοία ἐστὶ παιδαρίοις ἐν ἀγοραῖς καθημένοις, καὶ [y] προσφωνοῦσι τοῖς ἑταίροις αὐτῶν.

17 Καὶ λέγουσιν, [z] Ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ [a] ὠρχήσασθε· [b] ἐθρηνήσαμεν ὑμῖν, καὶ οὐκ [c] ἐκόψασθε.

18 [d] Ἦλθε γὰρ Ἰωάννης μήτε ἐσθίων, μήτε πίνων· καὶ λέγουσι, Δαιμόνιον ἔχει.

19 [d] Ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων· καὶ λέγουσιν, Ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν. Καὶ [e] ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς.

20 Τότε [f] ἤρξατο ὀνειδίζειν τὰς πόλεις ἐν αἷς [g] ἐγένοντο αἱ πλεῖσται δυνάμεις αὐτοῦ, ὅτι οὐ [h] μετενόησαν[c].

21 Οὐαί σοι Χωραζίν, οὐαί σοι Βηθσαϊδάν· ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι [g] ἐγένοντο αἱ δυνάμεις αἱ [g] γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ [h] μετενόησαν[c].

22 Πλὴν λέγω ὑμῖν, Τύρῳ καὶ Σιδῶνι [i] ἀνεκτότερον [k] ἔσται ἐν ἡμέρᾳ κρίσεως ἢ ὑμῖν.

23 Καὶ σὺ Καπερναούμ, ἡ ἕως τοῦ οὐρανοῦ [l] ὑψωθεῖσα, ἕως ᾅδου [m] καταβιβασθήσῃ. ὅτι εἰ ἐν Σοδόμοις [n] ἐγένοντο αἱ δυνάμεις αἱ [n] γενόμεναι ἐν σοί, [o] ἔμειναν ἂν μέχρι τῆς σήμερον.

24 Πλὴν λέγω ὑμῖν ὅτι γῇ Σοδόμων [p] ἀνεκτότερον [q] ἔσται ἐν ἡμέρᾳ κρίσεως ἢ σοί.

25 Ἐν ἐκείνῳ τῷ καιρῷ [r] ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν, [ſ] Ἐξομολογοῦμαί σοι, πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι [t] ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ [u] ἀπεκάλυψας αὐτὰ νηπίοις.

26 Ναὶ ὁ πατήρ, ὅτι οὕτως [x] ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

27 Πάντα

ſ φάω.
t δέχομαι.
u εἰμί.
x οὖς.
y φωνή.
z αὐλέω.
a ὀρχέομαι.
b θρῆνος.
c κόπτω.
d ἔρχομαι.
e δίκη.
f ἄρχω.
g γίνομαι.
h νόος.
i ἔχω.
k εἰμί.
l ὕψος.
m βαίνω.
n γίνομαι.
o μένω.
p ἔχω.
q εἰμί.
r κρίνω.
ſ λέγω. //
t κρύπτω.
u καλύπτω.
x γίνομαι.

27 Πάντα μοι [y] παρεδόθη ὑπὸ τοῦ πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν υἱὸν εἰ μὴ ὁ πατήρ· οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ υἱὸς, καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι.

28 [z] Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ [a] πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.

29 [b] Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ [c] μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ [d] εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν.

30 Ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

[y] δίδωμι.
[z] δεῦρο.
[a] φέρω.
[b] αἴρω. //
[c] μανθάνω.
[d] εὑρίσκω.
[e] εἰμί.

Κεφ. ιβ. Cap. XII.

ΕΝ ἐκείνῳ τῷ καιρῷ [a] ἐπορεύθη ὁ Ἰησοῦς τοῖς σάββασι διὰ τῶν σπορίμων· οἱ δὲ μαθηταὶ αὐτοῦ ἐπείνασαν, καὶ [b] ἤρξαντο τίλλειν στάχυας, καὶ ἐσθίειν.

2 Οἱ δὲ Φαρισαῖοι [c] ἰδόντες εἶπον αὐτῷ, Ἰδοὺ, οἱ μαθηταί σου ποιοῦσιν ὃ οὐκ [d] ἔξεστι ποιεῖν ἐν σαββάτῳ.

3 Ὁ δὲ εἶπεν αὐτοῖς, Οὐκ [e] ἀνέγνωτε τί [f] ἐποίησε Δαβὶδ, ὅτε [g] ἐπείνασεν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ;

4 Πῶς [h] εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ, καὶ τοὺς ἄρτους τῆς προθέσεως [i] ἔφαγεν, οὓς οὐκ ἐξὸν [k] ἦν αὐτῷ φαγεῖν, οὐδὲ τοῖς μετ' αὐτοῦ, εἰ μὴ τοῖς ἱερεῦσι μόνοις;

5 Ἢ οὐκ [l] ἀνέγνωτε ἐν τῷ νόμῳ ὅτι τοῖς σάββασιν οἱ ἱερεῖς ἐν τῷ ἱερῷ τὸ σάββατον [m] βεβηλοῦσι, καὶ ἀναίτιοί εἰσι;

6 Λέγω δὲ ὑμῖν ὅτι τοῦ ἱεροῦ μείζων ἐστὶν ὧδε.

7 Εἰ δὲ [n] ἐγνώκειτε τί ἐστιν, Ἔλεον θέλω, καὶ οὐ θυσίαν, οὐκ ἂν [o] κατεδικάσατε τοὺς ἀναιτίους.

8 Κύριος γάρ ἐστι καὶ τοῦ σαββάτου ὁ υἱὸς τοῦ ἀνθρώπου.

9 ¶ Καὶ [p] μεταβὰς ἐκεῖθεν, [q] ἦλθεν εἰς τὴν συναγωγὴν αὐτῶν.

10 Καὶ ἰδοὺ, ἄνθρωπος [r] ἦν τὴν χεῖρα ἔχων

[a] πορεύω.
[b] ἄρχω.
[c] εἴδω.
[d] εἰμί.
[e] γινώσκω.
[f] ποιέω.
[g] πεινάω.
[h] ἔρχομαι.
[i] φάγω.
[k] εἰμί.
[l] γινώσκω.
[m] βέβηλος.
[n] γινώσκω. //
[o] δίκη.
[p] βαίνω.
[q] ἔρχομαι.
[r] εἰμί.

ξηράν· καὶ [s] ἐπηρώτησαν αὐτὸν, λέγοντες, Εἰ ἔξεστι τοῖς σάββασι θεραπεύειν; ἵνα [t] κατηγορήσωσιν αὐτοῦ.

11 Ὁ δὲ εἶπεν αὐτοῖς, Τίς [n] ἔσται ἐξ ὑμῶν ἄνθρωπος ὃς [*] ἕξει πρόβατον ἕν, καὶ ἐὰν [x] ἐμπέσῃ τοῦτο τοῖς σάββασιν εἰς βόθυνον, οὐχὶ κρατήσει αὐτὸ καὶ ἐγερεῖ;

12 Πόσῳ οὖν διαφέρει ἄνθρωπος προβάτου; ὥστε ἔξεστι τοῖς σάββασι καλῶς ποιεῖν.

13 Τότε λέγει τῷ ἀνθρώπῳ, Ἔκτεινον τὴν χεῖρά σου. Καὶ ἐξέτεινε· καὶ [y] ἀποκατεστάθη ὑγιὴς ὡς ἡ ἄλλη.

14 ¶ Οἱ δὲ Φαρισαῖοι συμβούλιον [z] ἔλαβον κατ' αὐτοῦ [a] ἐξελθόντες, ὅπως αὐτὸν [b] ἀπολέσωσιν.

15 Ὁ δὲ Ἰησοῦς [c] γνοὺς ἀνεχώρησεν ἐκεῖθεν· καὶ [d] ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί, καὶ [e] ἐθεράπευσεν αὐτοὺς πάντας.

16 Καὶ [f] ἐπετίμησεν αὐτοῖς ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσιν.

17 Ὅπως [g] πληρωθῇ τὸ [h] ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου, λέγοντος,

// 18 Ἰδοὺ ὁ παῖς μου, ὃν [i] ᾑρέτισα, ὁ ἀγαπητός μου, εἰς ὃν [†] εὐδόκησεν ἡ ψυχή μου· [k] θήσω τὸ πνεῦμά μου ἐπ' αὐτὸν, καὶ κρίσιν τοῖς ἔθνεσιν ἀπαγγελεῖ.

// 19 Οὐκ ἐρίσει, οὐδὲ κραυγάσει, οὐδὲ ἀκούσει τις ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ.

20 Κάλαμον [l] συντετριμμένον οὐ [m] κατεάξει, // καὶ λίνον τυφόμενον οὐ [n] σβέσει· ἕως ἂν [o] ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν.

21 Καὶ ἐν τῷ ὀνόματι αὐτοῦ ἔθνη [x] ἐλπιοῦσι.

22 Τότε [p] προσηνέχθη αὐτῷ δαιμονιζόμενος, τυφλὸς καὶ κωφός· καὶ [q] ἐθεράπευσεν αὐτὸν, ὥστε τὸν τυφλὸν καὶ κωφὸν καὶ λαλεῖν καὶ βλέπειν.

23 Καὶ [r] ἐξίσταντο πάντες οἱ ὄχλοι, καὶ ἔλεγον, Μήτι οὗτός [s] ἐστιν ὁ υἱὸς Δαβίδ;

24 Οἱ δὲ φαρισαῖοι ἀκούσαντες εἶπον, Οὗτος

[s] ἐρωτάω.
[t] ἀγορά.
[u] εἰμί.
[*] ἔχω.
[x] πίπτω.
[y] ἵστημι.
[z] λαμβάνω.
[a] ἔρχομαι.
[b] ὄλλυμι.
[c] γινώσκω.
[d] ἀκόλουθος.
[e] θεράπων.
[f] τίω.
[g] πλέος.
[h] ῥέω.
[i] αἱρέω.
[†] δοκέω.
[k] τίθημι.
[l] τρίβω.
[m] Ἄγω.
[n] σβέννυμι.
[o] βάλλω.
[x] ἐλπίς.
[p] φέρω.
[q] θεράπων.
[r] ἵστημι.
[s] εἰμί.

οὐκ ἐκβάλλει τὰ δαιμόνια εἰ μὴ ἐν τῷ Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων.

25 Εἰδὼς δὲ ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν αὐτοῖς, Πᾶσα βασιλεία [t] μερισθεῖσα καθ' ἑαυτῆς, [u] ἐρημοῦται· καὶ πᾶσα πόλις ἢ οἰκία [t] μερισθεῖσα καθ' ἑαυτῆς, οὐ [x] σταθήσεται.

[t] μερίζω. [u] ἔρημος.

26 Καὶ εἰ ὁ Σατανᾶς τὸν Σατανᾶν ἐκβάλλει, ἐφ' ἑαυτὸν [t] ἐμερίσθη· πῶς οὖν [x] σταθήσεται ἡ βασιλεία αὐτοῦ;

[x] ἵστημι.

27 Καὶ εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; διὰ τοῦτο αὐτοὶ ὑμῶν [a] ἔσονται κριταί.

[a] εἰμί.

28 Εἰ δὲ ἐγὼ ἐν πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα [b] ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ.

[b] φθάνω.

29 Ἢ πῶς δύναταί τις [c] εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ, καὶ τὰ σκεύη αὐτοῦ [d] διαρπάσαι, ἐὰν μὴ πρῶτον [e] δήσῃ τὸν ἰσχυρόν, καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσει.

[c] ἔρχομαι. [d] ἁρπάζω. // [e] δέω.

30 Ὁ μὴ [a] ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ [a] ἐστί· καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει.

31 Διὰ τοῦτο λέγω ὑμῖν, πᾶσα ἁμαρτία καὶ βλασφημία [f] ἀφεθήσεται τοῖς ἀνθρώποις· ἡ δὲ τοῦ Πνεύματος βλασφημία οὐκ [f] ἀφεθήσεται τοῖς ἀνθρώποις.

[f] ἵω.

32 Καὶ ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, [f] ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου, οὐκ [f] ἀφεθήσεται αὐτῷ οὔτε ἐν τούτῳ τῷ αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι.

33 Ἢ ποιήσατε τὸ δένδρον καλὸν, καὶ τὸν καρπὸν αὐτοῦ καλόν· ἢ ποιήσατε τὸ δένδρον σαπρὸν, καὶ τὸν καρπὸν αὐτοῦ σαπρόν· ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται.

34 ¶ [g] Γεννήματα ἐχιδνῶν, πῶς δύνασθε ἀγαθὰ λαλεῖν πονηροὶ [h] ὄντες; ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας τὸ στόμα λαλεῖ.

[g] γεννάω. [h] εἰμί.

35 Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας ἐκβάλλει τὰ ἀγαθά· καὶ ὁ

πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ ἐκβάλλει πονηρά.

36 Λέγω δὲ ὑμῖν ὅτι πᾶν ῥῆμα ἀργὸν ὃ ἐὰν [i] λαλήσωσιν οἱ ἄνθρωποι, [k] ἀποδώσουσι περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως.

37 Ἐκ γὰρ τῶν λόγων σου [l] δικαιωθήσῃ, καὶ ἐκ τῶν λόγων σου [l] καταδικασθήσῃ.

38 Τότε [m] ἀπεκρίθησάν τινες τῶν γραμματέων καὶ Φαρισαίων, λέγοντες, Διδάσκαλε, θέλομεν ἀπὸ σοῦ σημεῖον [n] ἰδεῖν.

39 Ὁ δὲ [o] ἀποκριθεὶς εἶπεν αὐτοῖς, Γενεὰ πονηρὰ, καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ· καὶ σημεῖον οὐ [p] δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου.

// 40 Ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως [q] ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας.

41 Ἄνδρες Νινευῖται [r] ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν αὐτήν· ὅτι [s] μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ· καὶ ἰδοὺ, πλεῖον Ἰωνᾶ ὧδε.

42 Βασίλισσα νότου [t] ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινεῖ αὐτήν· ὅτι [u] ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶντος· καὶ ἰδοὺ, πλεῖον Σολομῶντος ὧδε.

43 Ὅταν δὲ τὸ ἀκάθαρτον πνεῦμα [u] ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι' ἀνύδρων τόπων, ζητοῦν ἀνάπαυσιν, καὶ οὐχ εὑρίσκει.

44 Τότε λέγει, [x] Ἐπιστρέψω εἰς τὸν οἶκόν μου, ὅθεν [u] ἐξῆλθον. Καὶ [u] ἐλθὸν, εὑρίσκει σχολάζοντα, [y] σεσαρωμένον, καὶ [z] κεκοσμημένον.

45 Τότε πορεύεται, καὶ παραλαμβάνει μεθ' ἑαυτοῦ ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ, καὶ [a] εἰσελθόντα κατοικεῖ ἐκεῖ· καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων· οὕτως [b] ἔσται καὶ τῇ γενεᾷ ταύτῃ τῇ πονηρᾷ.

46 Ἔτι

[i] λαλέω.
[k] δίδωμι.
[l] δίκη.
[m] κρίνω.
[n] εἴδω.
[o] κρίνω.
[p] δίδωμι.
[q] εἰμί.
[r] ἵστημι.
[s] νόος.
[t] ἐγείρω.
[u] ἔρχομαι.
[x] στρέφω.
[y] σαίρω.
[z] κόσμος.
[a] ἔρχομαι.
[b] εἰμί.

46 ¶ Ἔτι δὲ αὐτοῦ [d] λαλοῦντος τοῖς ὄχλοις,
ἰδοὺ, ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ [c] εἱστήκεισαν — [c] ἵστημι.
ἔξω, ζητοῦντες αὐτῷ [d] λαλῆσαι. — [d] λαλέω.

47 Εἶπε δέ τις αὐτῷ, Ἰδοὺ, ἡ μήτηρ σου καὶ οἱ
ἀδελφοί σου ἔξω [c] ἑστήκασι, ζητοῦντές σοι λα-
λῆσαι.

48 Ὁ δὲ [e] ἀποκριθεὶς εἶπε τῷ εἰπόντι αὐ- — [e] κρίνω.
τῷ, Τίς [f] ἐστιν ἡ μήτηρ μου; καὶ τίνες εἰσὶν οἱ ἀ- — [f] εἰμί.
δελφοί μου;

49 Καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἐπὶ τοὺς μα-
θητὰς αὐτοῦ, εἶπεν, Ἰδοὺ ἡ μήτηρ μου, καὶ οἱ ἀ-
δελφοί μου.

50 Ὅστις γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ πατρός
μου τοῦ ἐν οὐρανοῖς, αὐτός μου ἀδελφὸς, καὶ ἀδελ-
φὴ, καὶ μήτηρ [g] ἐστί. — [g] εἰμί.

Κεφ. ιγʹ. Cap. XIII.

ΕΝ δὲ τῇ ἡμέρᾳ ἐκείνῃ [a] ἐξελθὼν ὁ Ἰησοῦς — [a] ἔρχομαι.
ἀπὸ τῆς οἰκίας, [b] ἐκάθητο παρὰ τὴν θάλασσαν. — [b] ἧμαι.

2 Καὶ [c] συνήχθησαν πρὸς αὐτὸν ὄχλοι πολ- — [c] ἄγω.
λοὶ, ὥστε αὐτὸν εἰς τὸ πλοῖον [d] ἐμβάντα [b] καθῆ- — [d] βαίνω.
σθαι· καὶ πᾶς ὁ ὄχλος ἐπὶ τὸν αἰγιαλὸν [e] εἱστήκει. — [e] ἵστημι.

3 Καὶ [f] ἐλάλησεν αὐτοῖς πολλὰ ἐν παραβο- — [f] λαλέω.
λαῖς, λέγων, Ἰδοὺ, [g] ἐξῆλθεν ὁ σπείρων τοῦ — [g] ἔρχομαι.
σπείρειν.

4 Καὶ ἐν τῷ σπείρειν αὐτὸν, ἃ μὲν [h] ἔπεσε — [h] πίπτω.
παρὰ τὴν ὁδόν· καὶ [g] ἦλθε τὰ πετεινὰ, καὶ κατέφα-
γεν αὐτά.

5 Ἄλλα δὲ [h] ἔπεσεν ἐπὶ τὰ πετρώδη, ὅπου οὐκ
[i] εἶχε γῆν πολλήν· καὶ εὐθέως [k] ἐξανέτειλε, διὰ — [i] ἔχω.
τὸ μὴ ἔχειν βάθος γῆς.

6 Ἡλίου δὲ [k] ἀνατείλαντος [l] ἐκαυματίσθη, — [k] τέλλω.
καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν, [m] ἐξηράνθη. — [l] καίω.

7 Ἄλλα δὲ [h] ἔπεσεν ἐπὶ τὰς ἀκάνθας· καὶ — [m] ξηραίνω.
[n] ἀνέβησαν αἱ ἄκανθαι, καὶ [o] ἀπέπνιξαν αὐτά. — [n] βαίνω.

8 Ἄλλα δὲ [h] ἔπεσεν ἐπὶ τὴν γῆν τὴν καλὴν· — [o] πνίγω.
καὶ [p] ἐδίδου καρπὸν, ὃ μὲν ἑκατὸν, ὃ δὲ ἑξήκον- — [p] δίδωμι.
τα, ὃ δὲ τριάκοντα.

9 Ὁ ἔχων [q] ὦτα ἀκούειν, ἀκουέτω. — [q] οὖς.

10 Καὶ

[r] ἔρχομαι.

10 Καὶ [r] προσελθόντες οἱ μαθηταὶ εἶπον αὐτῷ, Διὰ τί ἐν παραβολαῖς λαλεῖς αὐτοῖς;

[s] κρίνω.
[t] δίδωμι.
[u] γινώσκω.

11 Ὁ δὲ [s] ἀποκριθεὶς εἶπεν αὐτοῖς, Ὅτι ὑμῖν [t] δέδοται [u] γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν, ἐκείνοις δὲ οὐ [t] δέδοται.

[x] περὶ.
[y] αἴρω.

12 Ὅστις γὰρ ἔχει, [t] δοθήσεται αὐτῷ, καὶ [x] περισσευθήσεται. ὅστις δὲ οὐκ ἔχει, καὶ ὃ ἔχει [y] ἀρθήσεται ἀπ' αὐτοῦ.

[z] ἵω.

13 Διὰ τοῦτο ἐν παραβολαῖς αὐτοῖς λαλῶ, ὅτι βλέποντες οὐ βλέπουσι, καὶ ἀκούοντες οὐκ ἀκούουσιν, οὐδὲ [z] συνιοῦσι.

[*] πλέος.
[a] εἴδω.

14 Καὶ [*] ἀναπληροῦται ἐπ' αὐτοῖς ἡ προφητεία Ἠσαΐου, ἡ λέγουσα, Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ [z] συνῆτε· καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ [a] ἴδητε.

[b] παχύς.
[c] οὖς.
[d] μύω.
[e] εἴδω.
[f] στρέφω.
[*] ἰάομαι.

15 [b] Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς [c] ὠσὶ βαρέως [h] ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν [d] ἐκάμμυσαν· μήποτε [e] ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς [c] ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ [z] συνῶσι, καὶ [f] ἐπιστρέψωσι, καὶ [*] ἰάσωμαι αὐτούς.

16 ¶ Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοὶ, ὅτι βλέπουσι· καὶ τὰ [c] ὦτα ὑμῶν, ὅτι ἀκούει.

[g] θυμός.
[h] ἀκούω.

17 Ἀμὴν γὰρ λέγω ὑμῖν ὅτι πολλοὶ προφῆται καὶ δίκαιοι [g] ἐπεθύμησαν [e] ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον· καὶ [h] ἀκοῦσαι ἃ [h] ἀκούετε, καὶ οὐκ [h] ἤκουσαν.

18 Ὑμεῖς οὖν [h] ἀκούσατε τὴν παραβολὴν τοῦ σπείροντος.

19 Παντὸς [h] ἀκούοντος τὸν λόγον τῆς βασιλείας, καὶ μὴ [z] συνιέντος, ἔρχεται ὁ πονηρὸς, καὶ ἁρπάζει τὸ [i] ἐσπαρμένον ἐν τῇ καρδίᾳ αὐτοῦ· οὗτός [k] ἐστιν ὁ παρὰ τὴν ὁδὸν [i] σπαρείς.

[i] σπείρω.
[k] εἰμί.

20 Ὁ δὲ ἐπὶ τὰ πετρώδη [i] σπαρείς, οὗτός [k] ἐστιν ὁ τὸν λόγον ἀκούων, καὶ εὐθὺς μετὰ χαρᾶς λαμβάνων αὐτόν.

21 Οὐκ ἔχει δὲ ῥίζαν ἐν ἑαυτῷ, ἀλλὰ πρόσκαιρός ἐστι· γενομένης δὲ θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον, εὐθὺς σκανδαλίζεται.

22 Ὁ δὲ εἰς τὰς ἀκάνθας [i] σπαρεὶς, οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων· καὶ ἡ [k] μέριμνα τοῦ αἰῶνος τούτου, καὶ ἡ ἀπάτη τοῦ πλούτου συμπνίγει τὸν λόγον, καὶ ἄκαρπος γίνεται.

[i] σπείρω.
[k] εἰμί.

23 Ὁ δὲ ἐπὶ τὴν γῆν τὴν καλὴν [i] σπαρεὶς, οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων, καὶ [l] συνιών· ὃς δὴ καρποφορεῖ, καὶ ποιεῖ, ὁ μὲν ἑκατὸν, ὁ δὲ ἑξήκοντα, ὁ δὲ τριάκοντα.

[l] ἵω.

24 ¶ Ἄλλην παραβολὴν [m] παρέθηκεν αὐτοῖς, λέγων, [n] Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐτοῦ.

[m] τίθημι.
[n] ὁμός.

25 Ἐν δὲ τῷ καθεύδειν τοὺς ἀνθρώπους, [o] ἦλθεν αὐτοῦ ὁ ἐχθρὸς, καὶ [i] ἔσπειρε ζιζάνια ἀνὰ μέσον τοῦ σίτου· καὶ [o] ἀπῆλθεν.

[o] ἔρχομαι.

26 Ὅτε δὲ [p] ἐβλάστησεν ὁ χόρτος, καὶ καρπὸν ἐποίησε, τότε [q] ἐφάνη καὶ τὰ ζιζάνια.

[p] βλαστέω.
[q] φαίνω.

27 [o] Προσελθόντες δὲ οἱ δοῦλοι τοῦ οἰκοδεσπότου, εἶπον αὐτῷ, Κύριε, οὐχὶ καλὸν σπέρμα ἔσπειρας ἐν τῷ σῷ ἀγρῷ; πόθεν οὖν ἔχει τὰ ζιζάνια;

28 Ὁ δὲ [r] ἔφη αὐτοῖς, Ἐχθρὸς ἄνθρωπος τοῦτο [s] ἐποίησεν. Οἱ δὲ δοῦλοι εἶπον αὐτῷ, Θέλεις οὖν [o] ἀπελθόντες [t] συλλέξωμεν αὐτά;

[r] φάω.
[s] ποιέω.
[t] λέγω.

29 Ὁ δὲ ἔφη, Οὔ· μήποτε συλλέγοντες τὰ ζιζάνια, [u] ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον.

[u] ῥίζα.

30 [x] Ἄφετε † συναυξάνεσθαι ἀμφότερα μέχρι τοῦ θερισμοῦ· καὶ ἐν τῷ καιρῷ τοῦ θερισμοῦ [y] ἐρῶ τοῖς θερισταῖς, [z] Συλλέξατε πρῶτον τὰ ζιζάνια, καὶ [a] δήσατε αὐτὰ εἰς δέσμας, πρὸς τὸ [b] κατακαῦσαι αὐτά· τὸν δὲ σῖτον [c] συναγάγετε εἰς τὴν ἀποθήκην μου.

[x] ἔω. //
† αὐξάνω.
[y] εἴρω.
[z] λέγω.
[a] δέω.
[b] καίω.
[c] ἄγω.

31 ¶ Ἄλλην παραβολὴν [d] παρέθηκεν αὐτοῖς, λέγων, Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ σινάπεως, ὃν [e] λαβὼν ἄνθρωπος ἔσπειρεν ἐν τῷ ἀγρῷ αὐτοῦ.

[d] τίθημι.
[e] λαμβάνω.

32 Ὃ μικρότερον μέν [f] ἐστι πάντων τῶν σπερμάτων· ὅταν δὲ [g] αὐξηθῇ, μεῖζον τῶν λαχάνων [g] ἐστὶ, καὶ γίνεται δένδρον· ὥστε [i] ἐλθεῖν τὰ

[f] εἰμί.
[g] αὐξάνω.

k σκηνή. πετεινὰ τοῦ οὐρανοῦ, καὶ k κατασκηνοῦν ἐν τοῖς κλάδοις
αὐτοῦ.

l λαλέω. 33 ¶ Ἄλλην παραβολὴν l ἐλάλησεν αὐτοῖς,
m εἰμί. Ὁμοία m ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ,
n λαμβάνω. m ἣν n λαβοῦσα γυνὴ o ἐνέκρυψεν εἰς ἀλεύρου
o κρύπτω. σάτα τρία, ἕως οὗ p ἐζυμώθη ὅλον.

p ζύμη. 34 Ταῦτα πάντα l ἐλάλησεν ὁ Ἰησοῦς ἐν
παραβολαῖς τοῖς ὄχλοις· καὶ χωρὶς παραβολῆς
οὐκ l ἐλάλει αὐτοῖς.

q πλέως. // 35 Ὅπως q πληρωθῇ τὸ r ῥηθὲν διὰ τοῦ προφήτου,
r ῥέω. λέγοντος, s Ἀνοίξω ἐν παραβολαῖς τὸ
s οἴγω. στόμα μου· t ἐρεύξομαι o κεκρυμμένα ἀπὸ καταβολῆς
t ἐρεύγω. κόσμου.

u ἕω. 36 Τότε u ἀφεὶς τοὺς ὄχλους x ἦλθεν εἰς τὴν
x ἔρχομαι. οἰκίαν ὁ Ἰησοῦς· καὶ προσῆλθεν αὐτῷ οἱ μαθηταὶ
y φράζω. αὐτοῦ, λέγοντες, Φράσον ἡμῖν τὴν παραβολὴν
τῶν ζιζανίων τοῦ ἀγροῦ.

z κρίνω. 37 Ὁ δὲ z ἀποκριθεὶς εἶπεν αὐτοῖς, Ὁ σπείρων
a εἰμί. τὸ καλὸν σπέρμα, a ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου.

38 Ὁ δὲ ἀγρός, a ἐστιν ὁ κόσμος· τὸ δὲ καλὸν
σπέρμα, οὗτοί a εἰσιν οἱ υἱοὶ τῆς βασιλείας· τὰ
δὲ ζιζάνια, a εἰσὶν οἱ υἱοὶ τοῦ πονηροῦ.

39 Ὁ δὲ ἐχθρὸς ὁ σπείρας αὐτά, a ἐστιν ὁ
// διάβολος· ὁ δὲ θερισμός, συντέλεια τοῦ αἰῶνός
a ἐστιν· οἱ δὲ θερισταί, ἄγγελοί a εἰσιν.

40 Ὥσπερ οὖν συλλέγεται τὰ ζιζάνια, καὶ
πυρὶ κατακαίεται· οὕτως a ἔσται ἐν τῇ συντελείᾳ
τοῦ αἰῶνος τούτου.

b στέλλω. 41 b Ἀποστελεῖ ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους
c λέγω. αὐτοῦ, καὶ c συλλέξουσιν ἐκ τῆς βασιλείας
αὐτοῦ πάντα τὰ σκάνδαλα, καὶ τοὺς ποιοῦντας
τὴν ἀνομίαν.

d βάλλω. 42 Καὶ d βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ
e εἰμί. πυρός· ἐκεῖ e ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς
τῶν ὀδόντων.

f λάμπω. // 43 Τότε οἱ δίκαιοι f ἐκλάμψουσιν ὡς ὁ ἥλιος,
g οὖς. ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν. Ὁ ἔχων g ὦτα
ἀκούειν, ἀκουέτω.

h εἰμί. 44 ¶ Πάλιν ὁμοία h ἐστὶν ἡ βασιλεία τῶν

οὐρανῶν θησαυρῷ [i] κεκρυμμένῳ ἐν τῷ ἀγρῷ, ὃν [k] εὑρὼν ἄνθρωπος [i] ἔκρυψε, καὶ ἀπὸ τῆς χαρᾶς αὐτοῦ ὑπάγει καὶ πάντα ὅσα ἔχει πωλεῖ· καὶ ἀγοράζει τὸν ἀγρὸν ἐκεῖνον.

45 ¶ Πάλιν ὁμοία [h] ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ ἐμπόρῳ, ζητοῦντι καλοὺς μαργαρίτας.

46 Ὃς [k] εὑρὼν ἕνα πολύτιμον μαργαρίτην, [l] ἀπελθὼν [m] πέπρακε πάντα ὅσα εἶχε, [n] καὶ ἠγόρασεν αὐτόν.

47 ¶ Πάλιν ὁμοία [o] ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ [p] βληθείσῃ εἰς τὴν θάλασσαν, καὶ ἐκ παντὸς γένους [q] συναγαγούσῃ.

48 [r] Ἣν, ὅτε [s] ἐπληρώθη, [t] ἀναβιβάσαντες ἐπὶ τὸν αἰγιαλὸν, καὶ [u] καθίσαντες [x] συνέλεξαν τὰ καλὰ εἰς ἀγγεῖα, τὰ δὲ σαπρὰ ἔξω [y] ἔβαλον.

49 Οὕτως [a] ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος· [b] ἐξελεύσονται οἱ ἄγγελοι, καὶ [c] ἀφοριοῦσι τοὺς πονηροὺς ἐκ μέσου τῶν δικαίων.

50 Καὶ [d] βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός· ἐκεῖ [e] ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

51 ¶ Λέγει αὐτοῖς ὁ Ἰησοῦς, [f] Συνήκατε ταῦτα πάντα; Λέγουσιν αὐτῷ, Ναὶ Κύριε.

52 Ὁ δὲ εἶπεν αὐτοῖς, Διὰ τοῦτο πᾶς γραμματεὺς [g] μαθητευθεὶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά.

53 Καὶ [h] ἐγένετο ὅτε [i] ἐτέλεσεν ὁ Ἰησοῦς τὰς παραβολὰς ταύτας [k] μετῆρεν ἐκεῖθεν.

54 Καὶ [l] ἐλθὼν εἰς τὴν πατρίδα αὐτοῦ, ἐδίδασκεν αὐτοὺς ἐν τῇ συναγωγῇ αὐτῶν· ὥστε [m] ἐκπλήττεσθαι αὐτοὺς, καὶ λέγειν, Πόθεν τούτῳ ἡ σοφία αὕτη, καὶ αἱ δυνάμεις;

55 Οὐχ οὗτός [n] ἐστιν ὁ τοῦ τέκτονος υἱός; οὐχὶ ἡ μήτηρ λέγεται Μαριὰμ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, Ἰάκωβος καὶ Ἰωσῆς καὶ Σίμων καὶ Ἰούδας;

56 Καὶ αἱ ἀδελφαὶ αὐτοῦ οὐχὶ πᾶσαι πρὸς ἡμᾶς

[i] κρύπτω.
[k] εὑρίσκω.
[l] ἔρχομαι.
[m] περάω.
[n] ἀγοράω.
[o] εἰμί.
[p] βάλλω.
[q] ἄγω. //
[r] ὅς.
[s] πλέος.
[t] βαίνω.
[u] ἕζω.
[x] λέγω. //
[y] βάλλω.
[a] εἰμί.
[b] ἔρχομαι.
[c] ὅρος.
[d] βάλλω.
[e] εἰμί.
[f] ἴω.
[g] μανθάνω.
[h] γίνομαι.
[i] τέλος.
[k] αἴρω.
[l] ἔρχομαι.
[m] πλήττω.
[n] εἰμί.

μᾶς [n] εἰσι; πόθεν οὖν τούτῳ ταῦτα πάντα;

57 Καὶ [o] ἐσκανδαλίζοντο ἐν αὐτῷ. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, Οὐκ [n] ἔστι προφήτης ἄτιμος εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ, καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ.

58 Καὶ οὐκ [p] ἐποίησεν ἐκεῖ δυνάμεις πολλὰς, διὰ τὴν ἀπιστίαν αὐτῶν.

Ͻ2

Κεφ. ιδ΄. Cap. XIV.

ΕΝ ἐκείνῳ τῷ καιρῷ [a] ἤκουσεν Ἡρώδης ὁ τετράρχης τὴν ἀκοὴν Ἰησοῦ.

2 Καὶ εἶπε τοῖς παισὶν αὐτοῦ, Οὗτός [b] ἐστιν Ἰωάννης ὁ Βαπτιστής· αὐτὸς [c] ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ διὰ τοῦτο αἱ δυνάμεις [d] ἐνεργοῦσιν ἐν αὐτῷ.

3 Ὁ γὰρ Ἡρώδης [e] κρατήσας τὸν Ἰωάννην [f] ἔδησεν αὐτὸν, καὶ [g] ἔθετο ἐν φυλακῇ διὰ Ἡρωδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ.

4 Ἔλεγε γὰρ αὐτῷ ὁ Ἰωάννης, Οὐκ [h] ἔξεστί σοι ἔχειν αὐτήν.

5 Καὶ θέλων αὐτὸν ἀποκτεῖναι, [i] ἐφοβήθη τὸν ὄχλον, ὅτι ὡς προφήτην αὐτὸν εἶχον.

6 Γενεσίων δὲ ἀγομένων τοῦ Ἡρώδου, [k] ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρωδιάδος ἐν τῷ μέσῳ· καὶ [l] ἤρεσε τῷ Ἡρώδῃ.

7 Ὅθεν μεθ᾽ ὅρκου [m] ὡμολόγησεν αὐτῇ [n] δοῦναι ὃ ἐὰν αἰτήσηται.

8 Ἡ δὲ, [o] προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς, [n] Δός μοι, φησὶν, ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ.

9 Καὶ [p] ἐλυπήθη ὁ βασιλεύς· διὰ δὲ τοὺς ὅρκους καὶ τοὺς [q] συνανακειμένους, ἐκέλευσε [n] δοθῆναι.

10 Καὶ πέμψας [r] ἀπεκεφάλισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ.

11 Καὶ [s] ἠνέχθη ἡ κεφαλὴ αὐτοῦ ἐπὶ πίνακι, καὶ [n] ἐδόθη τῷ κορασίῳ· καὶ [t] ἤνεγκε τῇ μητρὶ αὐτῆς.

12 Καὶ [u] προσελθόντες οἱ μαθηταὶ αὐτοῦ [x] ἦραν τὸ σῶμα, [y] καὶ ἔθαψαν αὐτό· καὶ [u] ἐλθόντες [z] ἀπήγγειλαν τῷ Ἰησοῦ.

13 ¶ Καὶ ἀκούσας ὁ Ἰησοῦς [a] ἀνεχώρησεν ἐκεῖθεν

n εἰμί.
o σκανδαλίζω.
p ποιέω.
a ἀκούω.
b εἰμί.
c ἐγείρω.
d ἔργον.
e κράτος.
f δέω.
g τίθημι.
h εἰμί.
i φοβέομαι.
k ὀρχέομαι.
l ἀρέσκω.
m λέγω.
n δίδωμι.
o βαίνω.
p λύπη.
q κεῖμαι.
r κεφαλή.
s ἄγω.
t φέρω.
u ἔρχομαι.
x αἴρω.
y θάπτω.
z ἀγγέλλω.
a χώρος.

//

ἐκεῖθεν ἐν πλοίῳ εἰς ἔρημον τόπον κατ' ἰδίαν· καὶ ἀκούσαντες οἱ ὄχλοι [b] ἠκολούθησαν αὐτῷ [c] πεζῇ ἀπὸ τῶν πόλεων.

14 Καὶ [p] ἐξελθὼν ὁ Ἰησοῦς εἶδε πολὺν ὄχλον· καὶ [e] ἐσπλαγχνίσθη ἐπ' αὐτοὺς, καὶ [*] ἐθεράπευσε τοὺς [f] ἀῤῥώστους αὐτῶν.

15 Ὀψίας δὲ γενομένης, [d] προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, λέγοντες, Ἔρημός [g] ἐστιν ὁ τόπος, καὶ ἡ ὥρα ἤδη [d] παρῆλθεν· [h] ἀπόλυσον τοὺς ὄχλους, ἵνα ἀπελθόντες εἰς τὰς κώμας [i] ἀγοράσωσιν ἑαυτοῖς βρώματα.

16 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, Οὐ χρείαν ἔχουσιν [d] ἀπελθεῖν· [k] δότε αὐτοῖς ὑμεῖς φαγεῖν.

17 Οἱ δὲ λέγουσιν αὐτῷ, Οὐκ ἔχομεν ὧδε εἰ μὴ πέντε ἄρτους καὶ δύο ἰχθύας.

18 Ὁ δὲ εἶπε, Φέρετέ μοι αὐτοὺς ὧδε.

19 Καὶ κελεύσας τοὺς ὄχλους [l] ἀνακλιθῆναι ἐπὶ τοὺς χόρτους, καὶ [m] λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, [n] ἀναβλέψας εἰς τὸν οὐρανὸν [o] εὐλόγησε· καὶ [p] κλάσας [q] ἔδωκε τοῖς μαθηταῖς τοὺς ἄρτους, οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις.

20 Καὶ [r] ἔφαγον πάντες, καὶ [s] ἐχορτάσθησαν· καὶ [t] ἦραν τὸ περισσεῦον τῶν κλασμάτων, δώδεκα κοφίνους πλήρεις.

21 Οἱ δὲ ἐσθίοντες, [u] ἦσαν ἄνδρες ὡσεὶ πεντακισχίλιοι, χωρὶς γυναικῶν καὶ παιδίων.

22 Καὶ εὐθέως [x] ἠνάγκασεν ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ [y] ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ [z] ἀπολύσῃ τοὺς ὄχλους.

23 ¶ Καὶ [z] ἀπολύσας τοὺς ὄχλους, [y] ἀνέβη εἰς τὸ ὄρος κατ' ἰδίαν [a] προσεύξασθαι. Ὀψίας δὲ γενομένης, μόνος [b] ἦν ἐκεῖ.

24 Τὸ δὲ πλοῖον ἤδη μέσον τῆς θαλάσσης [b] ἦν, [c] βασανιζόμενον ὑπὸ τῶν κυμάτων· [b] ἦν γὰρ ἐναντίος ὁ ἄνεμος.

25 Τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς [d] ἀπῆλθε πρὸς αὐτοὺς ὁ Ἰησοῦς, περιπατῶν ἐπὶ τῆς θαλάσσης.

26 Καὶ

[b] ἀκόλουθος.
[c] πέζα.
[d] ἔρχομαι.
[e] σπλάγχνον.
[*] θεράπων.
[f] ῥώννυμι.
[g] εἰμί.
[h] λύω.
[i] ἀγορά.
[k] δίδωμι.
[l] κλίνω.
[m] λαμβάνω.
[n] βλέπω.
[o] λέγω.
[p] κλάω.
[q] δίδωμι.
[r] φάγω.
[s] χόρτος.
[t] αἴρω.
[u] εἰμί.
[x] ἀνάγκη.
[y] βαίνω.
[z] λύω.
[a] εὐχή.
[b] εἰμί.
[c] βάσανος.
[d] ἔρχομαι.

26 Καὶ ἰδόντες αὐτὸν οἱ μαθηταὶ ἐπὶ τὴν θά-
e ταράττω. λασσαν περιπατοῦντα, e ἐταράχθησαν, λέγοντες,
f κράζω. Ὅτι φάντασμά ἐστι· καὶ ἀπὸ τοῦ φόβου f ἔκραξαν.
g λαλέω. 27 Εὐθέως δὲ g ἐλάλησεν αὐτοῖς ὁ Ἰησοῦς,
h φέβομαι. λέγων, Θαρσεῖτε· ἐγώ εἰμι, μὴ h φοβεῖσθε.
i κρίνω. 28 i Ἀποκριθεὶς δὲ αὐτῷ ὁ Πέτρος εἶπε, Κύ-
k εἰμί. ριε, εἰ σὺ k εἶ, κέλευσόν με πρός σε l ἐλθεῖν
l ἔρχομαι. ἐπὶ τὰ ὕδατα.
m βαίνω. 29 Ὁ δὲ εἶπεν, l Ἐλθέ. Καὶ m καταβὰς
n πατέω. ἀπὸ τοῦ πλοίου ὁ Πέτρος n περιεπάτησεν ἐπὶ τὰ
o ὕδωρ. o ὕδατα, l ἐλθεῖν πρὸς τὸν Ἰησοῦν.
i ἄρχω. 30 Βλέπων δὲ τὸν ἄνεμον ἰσχυρὸν, h ἐφοβήθη,
k κράζω. καὶ i ἀρξάμενος καταποντίζεσθαι, k ἔκραξε,
l σάος. λέγων, Κύριε l σῶσόν με.
m λαμβάνω. 31 Εὐθέως δὲ ὁ Ἰησοῦς ἐκτείνας τὴν χεῖρα,
n δίς. // m ἐπελάβετο αὐτοῦ, καὶ λέγει αὐτῷ, Ὀλιγόπιστε,
o βαίνω. εἰς τί n ἐδίστασας;
p κόπτω. 32 Καὶ o ἐμβάντων αὐτῶν εἰς τὸ πλοῖον,
q ἔρχομαι. p ἐκόπασεν ὁ ἄνεμος.
r κύω. 33 Οἱ δὲ ἐν τῷ πλοίῳ, q ἐλθόντες r προσ-
εκύνησαν αὐτῷ, λέγοντες, Ἀληθῶς Θεοῦ υἱὸς
s εἰμί. s εἶ.
t περάω. 34 ¶ Καὶ t διαπεράσαντες u ἦλθον εἰς τὴν
u ἔρχομαι. γῆν Γεννησαρέτ.
x γινώσκω. 35 Καὶ x ἐπιγνόντες αὐτὸν οἱ ἄνδρες τοῦ τό-
y στέλλω. που ἐκείνου y ἀπέστειλαν εἰς ὅλην τὴν περίχωρον
z φέρω. ἐκείνην, καὶ z προσήνεγκαν αὐτῷ πάντας τοὺς
κακῶς ἔχοντας.
a ἅπτω. 36 Καὶ παρεκάλουν αὐτὸν ἵνα μόνον a ἅψ-
b σῶος. ωνται τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ. καὶ ὅσοι
a ἥψαντο, b διεσώθησαν.

Κεφ. ιέ. Cap. XV.

ΤΟ'τε προσέρχονται τῷ Ἰησοῦ οἱ ἀπὸ Ἱεροσο-
λύμων γραμματεῖς, καὶ φαρισαῖοι, λέ-
γοντες,
/ 2 Διὰ τί οἱ μαθηταί σου παραβαίνουσι τὴν
παράδοσιν τῶν πρεσβυτέρων; οὐ γὰρ νίπτονται τὰς
χεῖρας αὐτῶν ὅταν ἄρτον ἐσθίωσιν.
a κρίνω. 3 Ὁ δὲ a ἀποκριθεὶς εἶπεν αὐτοῖς, Διὰ τί

καὶ ὑμεῖς παραβαίνετε τὴν ἐντολὴν τοῦ Θεοῦ διὰ
τὴν παράδοσιν ὑμῶν;

4 Ὁ γὰρ Θεὸς [b] ἐνετείλατο, λέγων, Τίμα τὸν — [b] τέλλω.
πατέρα σου, καὶ τὴν μητέρα· καὶ Ὁ κακολογῶν
πατέρα ἢ μητέρα, θανάτῳ [c] τελευτάτω. — [c] τέλος.

5 Ὑμεῖς δὲ λέγετε, Ὃς ἂν εἴπῃ τῷ πατρὶ ἢ
τῇ μητρί, Δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ [d] ὠφεληθῇς, — [d] ὠφελέω.
καὶ οὐ μὴ τιμήσῃ τὸν πατέρα αὐτοῦ ἢ τὴν μητέρα
αὐτοῦ.

6 Καὶ [e] ἠκυρώσατε τὴν ἐντολὴν τοῦ Θεοῦ διὰ — [e] κύρω.
τὴν παράδοσιν ὑμῶν.

7 ¶ Ὑποκριταί, καλῶς [f] προεφήτευσε — [f] φάω.
περὶ ὑμῶν Ἡσαΐας, λέγων,

8 Ἐγγίζει μοι ὁ λαὸς οὗτος τῷ στόματι αὐτῶν,
καὶ τοῖς χείλεσί με τιμᾷ· ἡ δὲ καρδία αὐτῶν πόῤῥω
ἀπέχει ἀπ' ἐμοῦ.

9 Μάτην δὲ σέβονταί με, διδάσκοντες δι-
δασκαλίας ἐντάλματα ἀνθρώπων.

10 Καὶ [g] προσκαλεσάμενος τὸν ὄχλον, εἶ- — [g] καλέω.
πεν αὐτοῖς, Ἀκούετε καὶ [h] συνίετε. — [h] ἔω.

11 Οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα, [i] κοινοῖ — [i] κοινός.
τὸν ἄνθρωπον, ἀλλὰ τὸ [k] ἐκπορευόμενον ἐκ τοῦ — [k] πείρω.
στόματος, τοῦτο [i] κοινοῖ τὸν ἄνθρωπον.

12 Τότε [l] προσελθόντες οἱ μαθηταὶ αὐτοῦ — [l] ἔρχομαι.
εἶπον αὐτῷ, [m] Οἶδας ὅτι οἱ Φαρισαῖοι ἀκούσαν- — [m] εἴδω.
τες τὸν λόγον [n] ἐσκανδαλίσθησαν; — [n] σκάζω.

13 Ὁ δὲ ἀποκριθεὶς εἶπε, Πᾶσα φυτεία — //
ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος [o] ἐκρι- — [o] ῥίζα.
ζωθήσεται.

14 [p] Ἄφετε αὐτούς· [r] ὁδηγοί [q] εἰσι τυφλοὶ — [p] ἔω. //
τυφλῶν· τυφλὸς δὲ τυφλὸν ἐὰν [r] ὁδηγῇ, ἀμφό- — [q] εἰμί.
τεροι εἰς βόθυνον [s] πεσοῦνται. — [r] ἄγω.

15 [t] Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ, — [s] πίπτω. //
[u] Φράσον ἡμῖν τὴν παραβολὴν ταύτην. — [t] κρίνω.

16 Ὁ δὲ Ἰησοῦς εἶπεν, Ἀκμὴν καὶ ὑμεῖς — [u] φράζω. //
ἀσύνετοί [q] ἐστε;

17 Οὔπω νοεῖτε ὅτι πᾶν τὸ [x] εἰσπορευό- — [x] πείρω.
μενον εἰς τὸ στόμα, εἰς τὴν κοιλίαν χωρεῖ, καὶ εἰς ἀφε-
δρῶνα ἐκβάλλεται;

18 Τὰ δὲ [x] ἐκπορευόμενα ἐκ τοῦ στόματος, ἐκ τῆς καρδίας ἐξέρχεται, [y] κἀκεῖνα κοινοῖ τὸν ἄνθρωπον.

19 Ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροὶ, φόνοι, μοιχεῖαι, πορνεῖαι, κλοπαὶ, ψευδομαρτυρίαι, βλασφημίαι,

20 Ταῦτά [z] ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον· τὸ δὲ ἀνίπτοις [a] χερσὶ φαγεῖν, οὐ κοινοῖ τὸν ἄνθρωπον.

21 ¶ Καὶ [b] ἐξελθὼν ἐκεῖθεν ὁ Ἰησοῦς [c] ἀνεχώρησεν εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος.

22 Καὶ ἰδοὺ, γυνὴ Χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων [b] ἐξελθοῦσα, [d] ἐκραύγασεν αὐτῷ, λέγουσα, [e] Ἐλέησόν με Κύριε, υἱὲ Δαβίδ· ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται.

23 Ὁ δὲ οὐκ [f] ἀπεκρίθη αὐτῇ λόγον. Καὶ [g] προσελθόντες οἱ μαθηταὶ αὐτοῦ [h] ἠρώτων αὐτὸν, λέγοντες, [i] Ἀπόλυσον αὐτήν· ὅτι κράζει ὄπισθεν ἡμῶν.

24 Ὁ δὲ [l] ἀποκριθεὶς εἶπεν, Οὐκ [m] ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ [n] ἀπολωλότα οἴκου Ἰσραήλ.

25 Ἡ δὲ [g] ἐλθοῦσα προσεκύνει αὐτῷ, λέγουσα, Κύριε βοήθει μοι.

26 Ὁ δὲ [o] ἀποκριθεὶς εἶπεν, Οὐκ [p] ἔστι καλὸν [q] λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις.

27 Ἡ δὲ εἶπε, Ναὶ Κύριε, καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν.

28 Τότε [r] ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ, Ὦ γύναι, [s] μεγάλη σου ἡ πίστις· [t] γενηθήτω σοι ὡς θέλεις. Καὶ [u] ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης.

29 ¶ Καὶ [x] μεταβὰς ἐκεῖθεν ὁ Ἰησοῦς, [y] ἦλθε παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας· καὶ [x] ἀναβὰς εἰς τὸ ὄρος, [z] ἐκάθητο ἐκεῖ.

30 Καὶ [y] προσῆλθον αὐτῷ ὄχλοι πολλοὶ, ἔχοντες μεθ' ἑαυτῶν χωλοὺς, τυφλοὺς, κωφοὺς, κυλ-

[x] πείρω.
[y] καὶ ἐκεῖνα.
[z] εἰμί.
[a] χείρ.
[b] ἔρχομαι.
[c] χῶρος.
[d] κράζω.
[e] ἔλεος.
[f] κρίνω.
[g] ἔρχομαι.
[h] ἐρωτάω.
[i] λύω.
[l] κρίνω.
[m] στέλλω.
[n] ὀλλύω.
[o] κρίνω.
[p] εἰμί.
[q] λαμβάνω.
[r] κρίνω.
[s] μέγας.
[t] γίνομαι.
[u] ἰάομαι.
[x] βαίνω.
[y] ἔρχομαι.
[z] ἧμαι.

κυλλοὺς, καὶ ἑτέρους πολλούς· καὶ [a] ἔῤῥιψαν αὐτοὺς παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, καὶ [b] ἐθεράπευσεν αὐτούς.

[a] ῥίπτω.
[b] θεραπεύω.

31 Ὥστε τοὺς ὄχλους [c] θαυμάσαι, βλέποντας κωφοὺς λαλοῦντας, κυλλοὺς ὑγιεῖς, χωλοὺς περιπατοῦντας, καὶ τυφλοὺς βλέποντας· καὶ [d] ἐδόξασαν τὸν Θεὸν Ἰσραήλ.

[c] θαῦμα.
[d] δοκέω.

32 ¶ Ὁ δὲ Ἰησοῦς [e] προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ, εἶπε, [f] Σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη ἡμέρας τρεῖς [g] προσμένουσί μοι, καὶ οὐκ ἔχουσι τί φάγωσι· καὶ [h] ἀπολῦσαι αὐτοὺς νήστεις οὐ θέλω, μήποτε [h] ἐκλυθῶσιν ἐν τῇ ὁδῷ.

[e] καλέω.
[f] σπλάγχνον
[g] μένω.
[h] λύω.

33 Καὶ λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, Πόθεν ἡμῖν ἐν ἐρημίᾳ ἄρτοι τοσοῦτοι ὥστε χορτάσαι ὄχλον τοσοῦτον;

34 Καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς, Πόσους ἄρτους ἔχετε; Οἱ δὲ εἶπον, Ἑπτὰ, καὶ ὀλίγα ἰχθύδια.

35 Καὶ [i] ἐκέλευσε τοῖς ὄχλοις [k] ἀναπεσεῖν ἐπὶ τὴν γῆν.

[i] κελεύω.
[k] πίπτω.

36 Καὶ [l] λαβὼν τοὺς ἑπτὰ ἄρτους, καὶ τοὺς ἰχθύας; [m] εὐχαριστήσας [n] ἔκλασε, καὶ [o] ἔδωκε τοῖς μαθηταῖς αὐτοῦ, οἱ δὲ μαθηταὶ τῷ ὄχλῳ.

[l] λαμβάνω.
[m] χάρις.
[n] κλάω.
[o] δίδωμι.

37 Καὶ [p] ἔφαγον πάντες. καὶ [q] ἐχορτάσθησαν· καὶ [r] ἦραν τὸ περισσεῦον τῶν κλασμάτων ἑπτὰ σπυρίδας πλήρεις.

[p] φάγω.
[q] χόρτος.
[r] αἴρω.

38 Οἱ δὲ ἐσθίοντες, [s] ἦσαν τετρακισχίλιοι ἄνδρες, χωρὶς γυναικῶν καὶ παιδίων.

[s] εἰμί.

39 Καὶ [t] ἀπολύσας τοὺς ὄχλους, [u] ἐνέβη εἰς τὸ πλοῖον· καὶ [x] ἦλθεν εἰς τὰ ὅρια Μαγδαλά.

[t] λύω.
[u] βαίνω.
[x] ἔρχομαι.

Κεφ. ιϛʹ. Cap. XVI.

ΚΑΙ' [a] προσελθόντες οἱ φαρισαῖοι καὶ σαδδουκαῖοι, πειράζοντες [b] ἐπηρώτησαν αὐτὸν σημεῖον ἐκ τοῦ οὐρανοῦ [d] ἐπιδεῖξαι αὐτοῖς.

[a] ἔρχομαι.
[b] ἐρωτάω.
[d] δεικνύω.

2 Ὁ δὲ [c] ἀποκριθεὶς εἶπεν αὐτοῖς, Ὀψίας [f] γενομένης λέγετε, Εὐδία· πυῤῥάζει γὰρ ὁ οὐρανός.

[c] κρίνω.
[f] γίνομαι.

3 Καὶ πρωΐ, Σήμερον χειμών· πυῤῥάζει γὰρ στυγνάζων ὁ οὐρανός. Ὑποκριταὶ, τὸ μὲν πρόσωπον τοῦ οὐρανοῦ γινώσκετε διακρίνειν,

g δύναμαι. νειν, τὰ δὲ σημεῖα τῶν καιρῶν οὐ g δύνασθε;

4 Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζη-
h δίδωμι. τεῖ, καὶ σημεῖον οὐ h δοθήσεται αὐτῇ εἰ μὴ τὸ
i λείπω. σημεῖον Ἰωνᾶ τοῦ προφήτου. Καὶ i καταλιπὼν
k ἔρχομαι. αὐτοὺς k ἀπῆλθε.

5 ¶ Καὶ k ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ εἰς τὸ
l λανθάνω. πέραν, l ἐπελάθοντο ἄρτους m λαβεῖν.
m λαμβάνω. 6 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, Ὁρᾶτε καὶ προ-
σέχετε ἀπὸ τῆς ζύμης τῶν φαρισαίων καὶ Σαδδου-
καίων.

7 Οἱ δὲ διελογίζοντο ἐν ἑαυτοῖς, λέγοντες,
Ὅτι ἄρτους οὐκ m ἐλάβομεν.

n γινώσκω. 8 Γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, Τί διαλο-
γίζεσθε ἐν ἑαυτοῖς, ὀλιγόπιστοι, ὅτι ἄρτους οὐκ
o λαμβάνω. o ἐλάβετε;

9 Οὔπω νοεῖτε· οὐδὲ μνημονεύετε τοὺς πέν-
τε ἄρτους τῶν πεντακισχιλίων, καὶ πόσους κοφίνους
o ἐλάβετε;

10 Οὐδὲ τοὺς ἑπτὰ ἄρτους τῶν τετρακισχιλί-
ων, καὶ πόσας σπυρίδας o ἐλάβετε.

11 Πῶς οὐ νοεῖτε ὅτι οὐ περὶ ἄρτου εἶπον ὑμῖν,
προσέχειν ἀπὸ τῆς ζύμης τῶν φαρισαίων καὶ Σαδ-
δουκαίων;

p ἵω. 12 Τότε p συνῆκαν ὅτι οὐκ εἶπε προσέχειν
ἀπὸ τῆς ζύμης τοῦ ἄρτου, ἀλλ' ἀπὸ τῆς διδαχῆς τῶν
φαρισαίων καὶ Σαδδουκαίων.

q ἔρχομαι. 13 q Ἐλθὼν δὲ ὁ Ἰησοῦς εἰς τὰ μέρη Και-
r ἐρωτάω. σαρείας τῆς Φιλίππου, r ἠρώτα τοὺς μαθητὰς
s εἰμί. αὐτοῦ, λέγων, Τίνα με λέγουσιν οἱ ἄνθρωποι s εἶναι,
τὸν υἱὸν τοῦ ἀνθρώπου;

14 Οἱ δὲ εἶπον, Οἱ μὲν Ἰωάννην τὸν Βαπτι-
στήν, ἄλλοι δὲ Ἠλίαν, ἕτεροι δὲ Ἱερεμίαν, ἢ
ἕνα τῶν προφητῶν.

15 Λέγει αὐτοῖς, Ὑμεῖς δὲ τίνα με λέγετε
s εἶναι;

t κρίνω. 16 t Ἀποκριθεὶς δὲ Σίμων Πέτρος εἶπε,
Σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος.

17 Καὶ t ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῷ,
u εἰμί. Μακάριος u εἶ Σίμων βὰρ Ἰωνᾶ· ὅτι σὰρξ καὶ
αἷμα

αἷμα οὐκ [x] ἀπεκάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς.

[x] καλύπτω.

18 * Κἀγὼ δέ σοι λέγω ὅτι σὺ † εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν· καὶ πύλαι ᾅδου οὐ [y] κατισχύσουσιν αὐτῆς.

* καὶ ἐγώ.
† εἰμί.
[y] ἰσχύς.

19 Καὶ [z] δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν· καὶ ὃ ἐὰν [a] δήσῃς ἐπὶ τῆς γῆς, [n] ἔσται [a] δεδεμένον ἐν τοῖς οὐρανοῖς· καὶ ὃ ἐὰν [b] λύσῃς ἐπὶ τῆς γῆς, † ἔσται [l] λελυμένον ἐν τοῖς οὐρανοῖς.

[z] δίδωμι.
[a] δέω.
[b] λύω.

20 Τότε [c] διεστείλατο τοῖς μαθηταῖς αὐτοῦ, ἵνα μηδενὶ εἴπωσιν ὅτι αὐτός ἐστιν Ἰησοῦς ὁ Χριστός.

[c] στέλλω.

21 Ἀπὸ τότε [d] ἤρξατο ὁ Ἰησοῦς δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ ὅτι δεῖ αὐτὸν [e] ἀπελθεῖν εἰς Ἱεροσόλυμα, καὶ πολλὰ [f] παθεῖν ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων, καὶ [g] ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ [h] ἐγερθῆναι.

[d] ἄρχω.
[e] ἔρχομαι.
[f] πάσχω.
[g] κτείνω.
[h] ἐγείρω.

22 Καὶ [i] προσλαβόμενος αὐτὸν ὁ Πέτρος [d] ἤρξατο ἐπιτιμᾶν αὐτῷ, λέγων, [k] Ἵλεώς σοι Κύριε, οὐ μὴ [n] ἔσται σοι τοῦτο.

[i] λαμβάνω.
[k] ἱλάω.

23 Ὁ δὲ * στραφεὶς εἶπε τῷ Πέτρῳ, Ὕπαγε ὀπίσω μου Σατανᾶ, σκάνδαλόν μου [u] εἶ· ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων.

* στρέφω.

24 Τότε ὁ Ἰησοῦς εἶπε τοῖς μαθηταῖς αὐτοῦ, Εἴ τις θέλει ὀπίσω μου [e] ἐλθεῖν, [l] ἀπαρνησάσθω ἑαυτὸν, καὶ [m] ἀράτω τὸν σταυρὸν αὐτοῦ, [n] καὶ ἀκολουθείτω μοι.

[l] ἀρνέομαι.
[m] αἴρω.
[n] ἀκόλουθος.

25 Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ [o] σῶσαι, [p] ἀπολέσει αὐτήν· ὃς δ' ἂν [p] ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, [q] εὑρήσει αὐτήν.

[o] σῶς.
[p] ὀλλύω.
[q] εὑρίσκω.

26 Τί γὰρ [r] ὠφελεῖται ἄνθρωπος ἐὰν τὸν κόσμον ὅλον [s] κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ * ζημιωθῇ; ἢ τί [t] δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ;

[r] ὠφελέω. //
[s] κέρδος.
* ζημία.
[t] δίδωμι.

27 Μέλλει γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ· καὶ τότε [t] ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ.

[u] εἰμί. [x] ἵστημι. [y] εἴδω.

28 Ἀμὴν λέγω ὑμῖν, [u] εἰσί τινες τῶν ὧδε [x] ἑστηκότων οἵτινες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν [y] ἴδωσι τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ.

Κεφ. ιζ΄. Cap. XVII.

ΚΑΙ μεθ' ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν.

[a] μορφή. * λάμπω. [b] γίνομαι.

2 Καὶ [a] μετεμορφώθη ἔμπροσθεν αὐτῶν· καὶ * ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος· τὰ δὲ ἱμάτια αὐτοῦ [b] ἐγένετο λευκὰ ὡς τὸ φῶς.

[c] ὄπτομαι. // [d] λαλέω.

3 Καὶ ἰδοὺ, [c] ὤφθησαν αὐτοῖς Μωσῆς καὶ Ἡλίας, μετ' αὐτοῦ [d] συλλαλοῦντες.

[e] κρίνω. [f] εἰμί.

4 [e] Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπε τῷ Ἰησοῦ, Κύριε, καλόν [f] ἐστιν ἡμᾶς ὧδε [f] εἶναι. εἰ θέλεις, ποιήσωμεν ὧδε τρεῖς σκηνάς. σοὶ μίαν, καὶ Μωσῇ μίαν, καὶ μίαν Ἡλίᾳ.

[g] σκιά. [h] δοκέω.

5 Ἔτι αὐτοῦ [d] λαλοῦντος, ἰδοὺ, νεφέλη φωτεινὴ [g] ἐπεσκίασεν αὐτούς· καὶ ἰδοὺ φωνὴ ἐκ τῆς νεφέλης, λέγουσα, Οὗτός [f] ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ [h] εὐδόκησα· αὐτοῦ ἀκούετε.

[i] πίπτω. [k] φοβέομαι.

6 Καὶ ἀκούσαντες οἱ μαθηταὶ [i] ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν, καὶ [k] φοβήθησαν σφόδρα.

[l] ἔρχομαι. [m] ἅπτω. [n] ἐγείρω.

7 Καὶ [l] προσελθὼν ὁ Ἰησοῦς [m] ἥψατο αὐτῶν, καὶ εἶπεν, [n] Ἐγέρθητε, καὶ μὴ φοβεῖσθε.

[o] αἴρω.

8 [o] Ἐπάραντες δὲ τοὺς ὀφθαλμοὺς αὐτῶν, οὐδένα εἶδον εἰ μὴ τὸν Ἰησοῦν μόνον.

[p] τέλλω. [q] ἵστημι.

9 Καὶ καταβαινόντων αὐτῶν ἀπὸ τοῦ ὄρους, [p] ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς, λέγων, Μηδενὶ εἴπητε τὸ ὅραμα, ἕως οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν [q] ἀναστῇ.

[r] ἐρωτάω. [ſ] ἔρχομαι.

10 Καὶ [r] ἐπηρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες, Τί οὖν οἱ γραμματεῖς λέγουσιν, ὅτι Ἡλίαν δεῖ [ſ] ἐλθεῖν πρῶτον;

[t] κρίνω. [u] ἵστημι.

11 Ὁ δὲ Ἰησοῦς [t] ἀποκριθεὶς εἶπεν αὐτοῖς, Ἡλίας μὲν ἔρχεται πρῶτον, καὶ [u] ἀποκαταστήσει πάντα.

12 Λέγω δὲ ὑμῖν ὅτι Ἠλίας ἤδη [x] ἦλθε· καὶ οὐκ * ἐπέγνωσαν αὐτὸν, ἀλλ' ἐποίησαν ἐν αὐτῷ ὅσα ἠθέλησαν· οὕτω καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου μέλλει πάσχειν ὑπ' αὐτῶν.

[x] ἔρχομαι. * γινώσκω.

13 Τότε [y] συνῆκαν οἱ μαθηταὶ ὅτι περὶ Ἰωάννου τοῦ Βαπτιστοῦ εἶπεν αὐτοῖς.

[y] ἴω.

14 Καὶ [x] ἐλθόντων αὐτῶν πρὸς τὸν ὄχλον, [x] προσῆλθεν αὐτῷ ἄνθρωπος, [z] γονυπετῶν αὐτῷ,

[z] πίπτω.

15 Καὶ λέγων, Κύριε [a] ἐλέησόν μου τὸν υἱὸν, ὅτι [b] σεληνιάζεται, καὶ κακῶς πάσχει· πολλάκις γὰρ πίπτει εἰς τὸ πῦρ, καὶ πολλάκις εἰς τὸ ὕδωρ.

[a] ἔλεος. [b] σέλας.

16 Καὶ [c] προσήνεγκα αὐτὸν τοῖς μαθηταῖς σου, καὶ οὐκ [d] ἠδυνήθησαν αὐτὸν θεραπεῦσαι.

[c] φέρω. [d] δύναμαι.

17 [e] Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν, Ὦ γενεὰ ἄπιστος καὶ [f] διεστραμμένη, ἕως πότε * ἔσομαι μεθ' ὑμῶν; ἕως πότε [g] ἀνέξομαι ὑμῶν; φέρετέ μοι αὐτὸν ὧδε.

[e] κρίνω. [f] στρέφω. * εἰμί. [g] ἔχω.

18 Καὶ † ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς καὶ [h] ἐξῆλθεν ἀπ' αὐτοῦ τὸ δαιμόνιον· καὶ [i] ἐθεραπεύθη ὁ παῖς ἀπὸ τῆς ὥρας ἐκείνης.

† τίω. [h] ἔρχομαι. [i] θεράπων.

19 ¶ Τότε [h] προσελθόντες οἱ μαθηταὶ τῷ Ἰησοῦ κατ' ἰδίαν, εἶπον, Διὰ τί ἡμεῖς οὐκ [k] ἠδυνήθημεν ἐκβαλεῖν αὐτό;

[k] δύναμαι.

20 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, Διὰ τὴν ἀπιστίαν ὑμῶν. Ἀμὴν γὰρ λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, [l] Μετάβηθι ἐντεῦθεν ἐκεῖ, καὶ [l] μεταβήσεται· καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν.

//

[l] βαίνω.

21 Τοῦτο δὲ τὸ γένος οὐκ [m] ἐκπορεύεται εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ.

[m] πείρας.

22 ¶ [n] Ἀναστρεφομένων δὲ αὐτῶν ἐν τῇ Γαλιλαίᾳ, εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, Μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου [o] παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων.

[n] στρέφω. [o] δίδωμι.

23 Καὶ [p] ἀποκτενοῦσιν αὐτὸν, καὶ τῇ τρίτῃ ἡμέρᾳ [q] ἐγερθήσεται. Καὶ [r] ἐλυπήθησαν σφόδρα.

[p] κτείνω. [q] ἐγείρω. [r] λύπη.

24 [ſ] Ἐλθόντων δὲ αὐτῶν εἰς Καπερναοὺμ, [ſ] προσῆλθον οἱ τὰ δίδραχμα λαμβάνοντες, τῷ

[ſ] ἔρχομαι.

//

Πέτρῳ, καὶ εἶπον, Ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ
τὰ δίδραχμα.

// 25 Λέγει, Ναί. Καὶ ὅτε [s] εἰσῆλθεν εἰς τὴν
t φθάνω. οἰκίαν, προέφθασεν [t] αὐτὸν ὁ Ἰησοῦς, λέγων,
Τί σοι δοκεῖ, Σίμων; οἱ βασιλεῖς τῆς γῆς ἀπὸ
u φάω. τίνων λαμβάνουσι τέλη, ἢ κῆνσον; ἀπὸ τῶν υἱῶν
x εἰμί. αὐτῶν, ἢ ἀπὸ τῶν ἀλλοτρίων;

y πείρω. 26 Λέγει αὐτῷ ὁ Πέτρος, Ἀπὸ τῶν ἀλλοτρίων·
y βάλλω. [u] Ἔφη αὐτῷ ὁ Ἰησοῦς, Ἄραγε ἐλεύθεροί
z βαίνω. [x] εἰσιν οἱ υἱοί.

a αἴρω. // 27 Ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτούς, [x] πορευθεὶς
b οἴγω. εἰς τὴν θάλασσαν, [y] βάλε ἄγκιστρον, καὶ
c εὑρίσκω. τὸν [z] ἀναβάντα πρῶτον ἰχθὺν [a] ἆρον· καὶ [b] ἀνοίξας
d λαμβάνω. τὸ στόμα αὐτοῦ, [c] εὑρήσεις στατῆρα· ἐκεῖνον
e δίδωμι. [d] λαβὼν [e] δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ.

Κεφ. ιη΄. Cap. XVIII.

a ἔρχομαι. ἘΝ ἐκείνῃ τῇ ὥρᾳ [a] προσῆλθον οἱ μαθηταὶ
b μέγας. τῷ Ἰησοῦ, λέγοντες, Τίς ἄρα [b] μείζων
ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

c καλέω. 2 Καὶ [c] προσκαλεσάμενος ὁ Ἰησοῦς παιδίον,
d ἵστημι. [d] ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν.

3 Καὶ εἶπεν, Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ
e στρέφω. [e] στραφῆτε, καὶ [f] γένησθε ὡς τὰ παιδία, οὐ μὴ
f γίνομαι. [g] εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

g ἔρχομαι. 4 Ὅστις οὖν ταπεινώσῃ ἑαυτὸν ὡς τὸ παιδίον
h μέγας. τοῦτο, οὗτός [h] ἐστιν ὁ [h] μείζων ἐν τῇ βασιλείᾳ τῶν
οὐρανῶν.

i δέχομαι. 5 Καὶ ὃς ἐὰν [i] δέξηται παιδίον τοιοῦτον ἓν
ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται.

// 6 Ὃς δ' ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν
τούτων τῶν πιστευόντων εἰς ἐμέ, συμφέρει αὐτῷ
k κρεμάω. ἵνα [k] κρεμασθῇ μύλος ὀνικὸς ἐπὶ τὸν τράχηλον
l πόντος. αὐτῷ, καὶ [l] καταποντισθῇ ἐν τῷ πελάγει τῆς
θαλάσσης.

7 Οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων· ἀνάγκη
m εἰμί. γάρ [m] ἐστιν [n] ἐλθεῖν τὰ σκάνδαλα· πλὴν
n ἔρχομαι. οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ τὸ σκάνδαλον
ἔρχεται.

8 Εἰ δὲ ἡ χείρ σου ἢ ὁ πούς σου σκανδαλίζει

σε, [o] ἔκκοψον αὐτὰ, καὶ [p] βάλε ἀπὸ σοῦ. καλόν σοι [m] ἐστὶν [n] εἰσελθεῖν εἰς τὴν ζωὴν χωλὸν ἢ κυλλὸν, ἢ δύο χεῖρας ἢ δύο πόδας ἔχοντα [p] βληθῆναι εἰς τὸ πῦρ τὸ αἰώνιον.

[o] κόπτω.
[p] βάλλω.

9 Καὶ εἰ ὁ ὀφθαλμός σου σκανδαλίζει σε, [q] ἔξελε αὐτὸν, καὶ [p] βάλε ἀπὸ σοῦ. καλόν σοι [m] ἐστὶ μονόφθαλμον εἰς τὴν ζωὴν [n] εἰσελθεῖν, ἢ δύο ὀφθαλμοὺς ἔχοντα [p] βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρός.

[q] αἱρέω.

10 Ὁρᾶτε μὴ [r] καταφρονήσετε ἑνὸς τῶν μικρῶν τούτων· λέγω γὰρ ὑμῖν ὅτι οἱ ἄγγελοι αὐτῶν ἐν οὐρανοῖς διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.

[r] ἐρῶ,

11 [s] Ἦλθε γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου [t] σῶσαι τὸ [u] ἀπολωλός.

[s] ἔρχομαι.
[t] σῶος.

12 Τί ὑμῖν δοκεῖ; ἐὰν [x] γένηταί τινι ἀνθρώπῳ ἑκατὸν πρόβατα, καὶ [y] πλανηθῇ ἓν ἐξ αὐτῶν, οὐχὶ [z] ἀφεὶς τὰ ἐννενηκοντὰ ἐννέα, ἐπὶ τὰ ὄρη πορευθεὶς, ζητεῖ τὸ πλανώμενον;

[u] ὀλλύω. //
[x] γίνομαι.
[y] πλάνη.
[z] ἔω.

13 Καὶ ἐὰν [a] γένηται [b] εὑρεῖν αὐτὸ, ἀμὴν λέγω ὑμῖν ὅτι χαίρει ἐπ᾽ αὐτῷ μᾶλλον ἢ ἐπὶ τοῖς ἐννενηκοντὰ ἐννέα τοῖς μὴ [c] πεπλανημένοις.

[a] γίνομαι.
[b] εὑρίσκω.
[c] πλάνη.

14 Οὕτως οὐκ [p] ἐστὶ θέλημα ἔμπροσθεν τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς ἵνα [e] ἀπόληται εἷς τῶν μικρῶν τούτων.

[d] εἰμι.
[e] ὀλλύω.

15 ¶ Ἐὰν δὲ ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου. [f] ὕπαγε καὶ ἔλεγξον αὐτὸν μεταξύ σου καὶ αὐτοῦ μόνου· ἐὰν σου ἀκούσῃ, [h] ἐκέρδησας τὸν ἀδελφόν σου.

[f] ἄγω.
[g] ἐλέγχω.
[h] κέρδος.

16 Ἐὰν δὲ μὴ ἀκούσῃ, [i] παράλαβε μετὰ σοῦ ἔτι ἕνα ἢ δύο· ἵνα ἐπὶ στόματος δύο μαρτύρων ἢ τριῶν [k] σταθῇ πᾶν ῥῆμα.

[i] λαμβάνω.
[k] ἵστημι.

17 Ἐὰν δὲ παρακούσῃ αὐτῶν, εἰπὲ τῇ ἐκκλησίᾳ· ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ, [l] ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης.

//
[l] εἰμί.

18 Ἀμὴν λέγω ὑμῖν, ὅσα ἐὰν [m] δήσητε ἐπὶ τῆς γῆς [l] ἔσται [m] δεδεμένα ἐν τῷ οὐρανῷ· καὶ ὅσα ἐὰν [n] λύσητε ἐπὶ τῆς γῆς, ἔσται [m] λελυμένα ἐν τῷ οὐρανῷ.

[m] δέω.
[n] λύω.

19 Πάλιν λέγω ὑμῖν ὅτι ἐὰν δύο ὑμῶν [o] συμφωνήσωσιν ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος οὗ ἐὰν αἰτήσωνται, [p] γενήσεται αὐτοῖς παρὰ τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.

20 [q] Οὐ γάρ [l] εἰσι δύο ἢ τρεῖς [r] συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν.

21 ¶ Τότε [s] προσελθὼν αὐτῷ ὁ Πέτρος εἶπε, Κύριε, ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ [t] ἀφήσω αὐτῷ; ἕως ἑπτάκις;

22 Λέγει αὐτῷ ὁ Ἰησοῦς, Οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ᾽ ἕως ἑβδομηκοντάκις ἑπτά.

23 Διὰ τοῦτο [u] ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὃς [x] ἠθέλησε [y] συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ.

24 [z] Ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, [a] προσηνέχθη αὐτῷ εἷς ὀφειλέτης μυρίων ταλάντων.

25 Μὴ ἔχοντος δὲ αὐτοῦ [b] ἀποδοῦναι, [c] ἐκέλευσεν αὐτὸν ὁ κύριος αὐτοῦ [d] πραθῆναι, καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ τὰ τέκνα, καὶ πάντα ὅσα [e] εἶχε, καὶ [b] ἀποδοθῆναι.

26 [f] Πεσὼν οὖν ὁ δοῦλος προσεκύνει αὐτῷ, λέγων, Κύριε, [g] μακροθύμησον ἐπ᾽ ἐμοί, καὶ πάντα σοι [b] ἀποδώσω.

27 [h] Σπλαγχνισθεὶς δὲ ὁ κύριος τοῦ δούλου ἐκείνου, [i] ἀπέλυσεν αὐτόν, καὶ τὸ δάνειον [k] ἀφῆκεν αὐτῷ.

28 [l] Ἐξελθὼν δὲ ὁ δοῦλος ἐκεῖνος [m] εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ ὃς [o] ὤφειλεν αὐτῷ ἑκατὸν δηνάρια· καὶ [p] κρατήσας αὐτὸν [q] ἔπνιγε, λέγων, [b] Ἀπόδος μοι ὅ, τι ὀφείλεις.

29 [f] Πεσὼν οὖν ὁ σύνδουλος αὐτοῦ εἰς τοὺς πόδας αὐτοῦ, παρεκάλει αὐτόν, λέγων, [g] Μακροθύμησον ἐπ᾽ ἐμοί, καὶ πάντα [b] ἀποδώσω σοι.

30 Ὁ δὲ οὐκ [r] ἤθελεν· ἀλλ᾽ [s] ἀπελθὼν [t] ἔβαλεν αὐτὸν εἰς φυλακήν, ἕως οὗ [b] ἀποδῷ τὸ ὀφειλόμενον.

31 [u] Ἰδόντες δὲ οἱ σύνδουλοι αὐτοῦ τὰ [x] γενόμενα, [y] ἐλυπήθησαν σφόδρα· καὶ [s] ἐλθόντες [z] διεσάφησαν τῷ κυρίῳ αὐτῶν πάντα τὰ [a] γενόμενα.

Τότε

o φωνή.
p γίνομαι.
r ἄγω.
s ἔρχομαι.
t ἕω.
u ὁμός.
x θέλω.
y αἴρω.
z ἄρχω.
a φέρω.
b δίδωμι.
c κελεύω.
d περάω.
e ἔχω.
f πίπτω.
g θυμός.
h σπλάγχνον
i λύω.
k ἕω.
l ἔρχομαι.
m εὑρίσκω.
o ὀφείλω.
p κράτος.
q πνίγω.
r θέλω.
s ἔρχομαι.
t βάλλω.
u εἴδω.
x γίνομαι.
y λύπη.
z σαφής.
a γίνομαι.

32 Τότε προσκαλεσάμενος αὐτὸν ὁ κύριος αὐτοῦ λέγει αὐτῷ, Δοῦλε πονηρὲ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην [b] ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με.

[b] ἕω.

33 Οὐκ ἔδει καί σε [c] ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς καὶ ἐγώ σε [c] ἠλέησα;

[c] ἔλεος.

34 Καὶ ὀργισθεὶς ὁ κύριος αὐτοῦ [d] παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς, ἕως οὗ [b] ἀποδῷ πᾶν τὸ ὀφειλόμενον αὐτῷ.

[d] δίδομι. //

35 Οὕτω καὶ ὁ πατήρ μου ὁ ἐπουράνιος ποιήσει ὑμῖν, ἐὰν μὴ [e] ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ [f] παραπτώματα αὐτῶν.

[e] ἕω.
[f] πίπτω.

Κεφ. ιθ'. Cap. XIX.

ΚΑΙ' [a] ἐγένετο, ὅτε [b] ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, [c] μετῆρεν ἀπὸ τῆς Γαλιλαίας, καὶ [d] ἦλθεν εἰς τὰ ὅρια τῆς Ἰουδαίας, πέραν τοῦ Ἰορδάνου.

[a] γίνομαι. //
[b] τέλος.
[c] αἴρω.
[d] ἔρχομαι.

2 Καὶ [e] ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί· καὶ [f] ἐθεράπευσεν αὐτοὺς ἐκεῖ.

[e] ἀκόλουθος.
[f] θεράπων.

3 Καὶ [d] προσῆλθον αὐτῷ οἱ Φαρισαῖοι πειράζοντες αὐτὸν, καὶ λέγοντες αὐτῷ, Εἰ ἔξεστιν ἀνθρώπῳ [g] ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν;

[g] λύω.

4 Ὁ δὲ [h] ἀποκριθεὶς εἶπεν αὐτοῖς, Οὐκ [i] ἀνέγνωτε ὅτι ὁ ποιήσας ἀπ' ἀρχῆς, [k] ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς;

[h] κρίνω. //
[i] γινώσκω.
[k] ἄῤῥην.

5 Καὶ εἶπεν, Ἕνεκεν τούτου [l] καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα, καὶ [m] προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ· καὶ [n] ἔσονται οἱ δύο εἰς σάρκα μίαν.

[l] λείπω.
[m] κόλλα.
[n] εἰμί.

6 Ὥστε οὐκέτι [n] εἰσὶ δύο, ἀλλὰ σὰρξ μία. ὃ οὖν ὁ Θεὸς [o] συνέζευξεν, ἄνθρωπος μὴ [p] χωριζέτω.

[o] ζεύγνυω.
[p] χῶρος.

7 Λέγουσιν αὐτῷ, Τί οὖν Μωσῆς [q] ἐνετείλατο [r] δοῦναι βιβλίον ἀποστασίου, καὶ [s] ἀπολῦσαι αὐτήν;

[q] τέλλω.
[r] δίδωμι.
[s] λύω. //

8 Λέγει αὐτοῖς, Ὅτι Μωσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν [t] ἐπέτρεψεν ὑμῖν [u] ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν· ἀπ' ἀρχῆς δὲ οὐ [x] γέγονεν οὕτω.

[t] τρέπω.
[u] λύω.
[x] γίνομαι.

[u] λύω. 9 Λέγω δὲ ὑμῖν, ὅτι ὃς ἂν [u] ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, εἰ μὴ ἐπὶ πορνείᾳ, καὶ γαμήσῃ ἄλλην, μοιχᾶται· καὶ ὁ [u] ἀπολελυμένην γαμήσας μοιχᾶται.

10 Λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, Εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικὸς, οὐ συμφέρει γαμῆσαι.

[y] χῶρος. [z] δίδωμι. 11 Ὁ δὲ εἶπεν αὐτοῖς, Οὐ πάντες [y] χωροῦσι τὸν λόγον τοῦτον, ἀλλ᾽ οἷς [z] δέδοται.

[a] εἰμί. [b] γεννάω. // [c] ἔχω. 12 [a] Εἰσὶ γὰρ εὐνοῦχοι οἵτινες ἐκ κοιλίας μητρὸς [b] ἐγεννήθησαν οὕτω· καὶ [a] εἰσὶν εὐνοῦχοι οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων· καί [a] εἰσιν εὐνοῦχοι οἵτινες [c] εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν· Ὁ δυνάμενος χωρεῖν, χωρείτω.

[d] φέρω. [e] τίθημι. [f] ἐυχή. [g] τίω. 13 Τότε [d] προσηνέχθη αὐτῷ παιδία, ἵνα τὰς χεῖρας [e] ἐπιθῇ αὐτοῖς, καὶ [f] προσεύξηται. οἱ δὲ μαθηταὶ [g] ἐπετίμησαν αὐτοῖς.

[h] ἐάω. [i] ἔρχομαι. 14 Ὁ δὲ Ἰησοῦς εἶπεν, [h] Ἄφετε τὰ παιδία, καὶ μὴ κωλύετε αὐτὰ [i] ἐλθεῖν πρός με· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν.

* πείρω. 15 Καὶ [e] ἐπιθεὶς αὐτοῖς τὰς χεῖρας, * ἐπορεύθη ἐκεῖθεν.

¶ 16 Καὶ ἰδοὺ, εἷς [i] προσελθὼν εἶπεν αὐτῷ. Διδάσκαλε ἀγαθὲ, τί ἀγαθὸν ποιήσω, ἵνα ἔχω ζωὴν αἰώνιον;

[k] τηρέω. 17 Ὁ δὲ εἶπεν αὐτῷ, Τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς, ὁ Θεός. εἰ δὲ θέλεις [i] εἰσελθεῖν εἰς τὴν ζωὴν, [k] τήρησον τὰς ἐντολάς.

18 Λέγει αὐτῷ, Ποίας; Ὁ δὲ Ἰησοῦς εἶπε, Τὸ, Οὐ φονεύσεις, Οὐ μοιχεύσεις, Οὐ κλέψεις, Οὐ ψευδομαρτυρήσεις.

19 Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα· καὶ, Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.

[l] φυλάττω. [m] ὕστερος. 20 Λέγει αὐτῷ ὁ νεανίσκος, Πάντα ταῦτα [l] ἐφυλαξάμην ἐκ νεότητός μου· τί ἔτι [m] ὑστερῶ;

[n] φάω. [o] δίδωμι [p] ἔχω. 21 [n] Ἔφη αὐτῷ ὁ Ἰησοῦς, Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ [o] δὸς πτωχοῖς· καὶ [p] ἕξεις θησαυρὸν ἐν οὐρανῷ· καὶ δεῦρο, ἀκολούθει μοι.

22 Ἀκούσας δὲ ὁ νεανίσκος τὸν λόγον, [q] ἀπῆλθε λυπούμενος· [t] ἦν γὰρ ἔχων κτήματα πολλά.

23 Ὁ δὲ Ἰησοῦς εἶπε τοῖς μαθηταῖς αὐτοῦ, Ἀμὴν λέγω ὑμῖν ὅτι δυσκόλως πλούσιος [q] εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

24 Πάλιν δὲ λέγω ὑμῖν, Εὐκοπώτερόν [r] ἐστι κάμηλον διὰ τρυπήματος ῥαφίδος [q] διελθεῖν ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ [q] εἰσελθεῖν.

25 Ἀκούσαντες δὲ οἱ μαθηταὶ αὐτοῦ [s] ἐξεπλήσσοντο σφόδρα, λέγοντες, Τίς ἄρα δύναται [t] σωθῆναι;

26 [u] Ἐμβλέψας δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, Παρὰ ἀνθρώποις τοῦτο ἀδύνατόν [r] ἐστι, παρὰ δὲ τῷ Θεῷ πάντα δυνατά [r] ἐστι.

27 Τότε [x] ἀποκριθεὶς ὁ Πέτρος εἶπεν αὐτῷ, Ἰδοὺ, ἡμεῖς [y] ἀφήκαμεν πάντα, καὶ [z] ἠκολουθήσαμέν σοι· τί ἄρα [t] ἔσται ἡμῖν;

28 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, Ἀμὴν λέγω ὑμῖν, ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ, ὅταν [a] καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, [a] καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.

29 Καὶ πᾶς ὃς [b] ἀφῆκεν οἰκίας, ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ τέκνα, ἢ ἀγροὺς, ἕνεκεν τοῦ ὀνόματός μου, ἑκατονταπλασίονα [c] λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει.

30 Πολλοὶ δὲ [t] ἔσονται πρῶτοι, ἔσχατοι· καὶ ἔσχατοι, πρῶτοι.

Κεφ. κ'. Cap. XX.

Ὁμοία γάρ [a] ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις [b] ἐξῆλθεν ἅμα πρωῒ [c] μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ.

2 [d] Συμφωνήσας δὲ μετὰ τῶν ἐργατῶν ἐκ δηναρίου τὴν ἡμέραν, [e] ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀμπελῶνα αὐτοῦ.

[q] ἔρχομαι.
[r] εἰμί. //
[s] πλήσσω.
[t] σῶος.
[u] βλέπω.
[x] κρίνω.
[y] ἔω.
[z] ἀκόλουθος.
[a] ἕζω.
[b] ἕω. //
[c] λαμβάνω.

[a] εἰμί. //
[b] ἔρχομαι.
[c] μισθός.
[d] φωνή.
[e] ἔρχομαι.

3 Καὶ [b] ἐξελθὼν περὶ τὴν τρίτην ὥραν, εἶ-
[f] ἵστημι. — δεν ἄλλους [f] ἑστῶτας ἐν τῇ ἀγορᾷ ἀργούς.
[g] κἀκεῖνος — 4 [g] Κἀκείνοις εἶπεν, [h] Ὑπάγετε καὶ ὑμεῖς εἰς
[h] εἶμι. — τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν [a] ᾖ δίκαιον, [i] δώσω ὑμῖν.
[i] δίδωμι. — 5 Οἱ δὲ [b] ἀπῆλθον· Πάλιν [b] ἐξελθὼν περὶ
[k] ποιέω. — ἕκτην καὶ ἐννάτην ὥραν, [k] ἐποίησεν ὡσαύτως.
[l] εὑρίσκω. — 6 Περὶ δὲ τὴν ἑνδεκάτην ὥραν [b] ἐξελθὼν
[m] ἵστημι. — [l] εὗρεν ἄλλους [m] ἑστῶτας ἀργούς, καὶ λέγει αὐτοῖς,
Τί ὧδε [m] ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί;
7 Λέγουσιν αὐτῷ, Ὅτι οὐδεὶς ἡμᾶς [c] ἐμισθώ-
σατο. Λέγει αὐτοῖς, [h] Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν
[n] λαμβάνω. — ἀμπελῶνα, καὶ ὃ ἐὰν [a] ᾖ δίκαιον, [n] λήψεσθε.
[o] γίνομαι. — 8 Ὀψίας δὲ [o] γενομένης λέγει ὁ κύριος τοῦ
[p] καλέω. — ἀμπελῶνος τῷ ἐπιτρόπῳ αὐτοῦ, [p] Κάλεσον τοὺς
[q] δίδωμι. — ἐργάτας, καὶ [q] ἀπόδος αὐτοῖς τὸν μισθὸν, ἀρξά-
μενος ἀπὸ τῶν ἐσχάτων, ἕως τῶν πρώτων.
9 Καὶ [b] ἐλθόντες οἱ περὶ τὴν ἑνδεκάτην ὥραν,
ἔλαβον ἀνὰ δηνάριον.
[r] νομίζω. — 10 [b] Ἐλθόντες δὲ οἱ πρῶτοι, [r] ἐνόμισαν ὅτι
πλείονα [n] λήψονται· καὶ [n] ἔλαβον καὶ αὐτοὶ ἀνὰ
δηνάριον.
[s] γογγύζω. — 11 [n] Λαβόντες δὲ [s] ἐγόγγυζον κατὰ τοῦ οἰκο-
δεσπότου,
[t] εἷς. — 12 Λέγοντες, Ὅτι οὗτοι οἱ ἔσχατοι [t] μίαν ὥ-
ραν ἐποίησαν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας,
τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύ-
σωνα.
[u] κρίνω. // — 13 Ὁ δὲ [u] ἀποκριθεὶς εἶπεν [t] ἑνὶ αὐτῶν,
[x] φωνή. — Ἑταῖρε, οὐκ ἀδικῶ σε· οὐχὶ δηναρίου [x] συνε-
φώνησάς μοι;
[y] αἴρω. — 14 [y] Ἆρον τὸ σὸν, καὶ ὕπαγε· θέλω δὲ τού-
[z] δίδωμι. — τῳ τῷ ἐσχάτῳ [z] δοῦναι ὡς καὶ σοί·
15 Ἢ οὐκ ἔξεστί μοι ποιῆσαι ὃ θέλω ἐν τοῖς
ἐμοῖς; ἢ ὁ ὀφθαλμός σου πονηρός [a] ἐστιν ὅτι ἐγὼ
ἀγαθός εἰμι;
[a] εἰμί. // — 16 Οὕτως [a] ἔσονται οἱ ἔσχατοι, πρῶτοι· καὶ
οἱ πρῶτοι, ἔσχατοι· πολλοὶ γάρ [a] εἰσι κλητοὶ,
ὀλίγοι δὲ ἐκλεκτοί.
17 ¶ Καὶ ἀναβαίνων ὁ Ἰησοῦς εἰς Ἱεροσό-
λυμα,

λυμα, [b] παρέλαβε τοὺς δώδεκα μαθητὰς κατ' ἰδίαν ἐν τῇ ὁδῷ, καὶ εἶπεν αὐτοῖς,

18 Ἰδοὺ, ἀναβαίνομεν εἰς Ἱεροσόλυμα· καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου [c] παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι, καὶ [d] κατακρινοῦσιν αὐτὸν θανάτῳ.

19 Καὶ [c] παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσιν εἰς τὸ [e] ἐμπαῖξαι, καὶ [f] μαστιγῶσαι καὶ [g] σταυρῶσαι· καὶ τῇ τρίτῃ ἡμέρᾳ [h] ἀναστήσεται.

20 Τότε [i] προσῆλθεν αὐτῷ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου, μετὰ τῶν υἱῶν αὐτῆς, προσκυνοῦσα, καὶ [k] αἰτοῦσά τι παρ' αὐτοῦ.

21 Ὁ δὲ εἶπεν αὐτῇ, Τί θέλεις; Λέγει αὐτῷ, Εἰπὲ ἵνα [l] καθίσωσιν οὗτοι οἱ δύο υἱοί μου, εἷς ἐκ δεξιῶν σου, καὶ εἷς ἐξ εὐωνύμων, ἐν τῇ βασιλείᾳ σου.

22 [m] Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν, Οὐκ * οἴδατε τί αἰτεῖσθε· δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ μέλλω πίνειν, καὶ τὸ [n] βάπτισμα ὃ ἐγὼ [n] βαπτίζομαι, [n] βαπτισθῆναι; Λέγουσιν αὐτῷ, * Δυνάμεθα.

23 Καὶ λέγει αὐτοῖς, Τὸ μὲν ποτήριόν μου πίεσθε, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι, [n] βαπτισθήσεσθε· τὸ δὲ [l] καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων μου, οὐκ [o] ἔστιν ἐμὸν [p] δοῦναι, ἀλλ' οἷς [q] ἡτοίμασται ὑπὸ τοῦ πατρός μου.

24 Καὶ ἀκούσαντες οἱ δέκα † ἠγανάκτησαν περὶ τῶν δύο ἀδελφῶν.

25 Ὁ δὲ Ἰησοῦς || προσκαλεσάμενος αὐτοὺς εἶπεν, [r] Οἴδατε ὅτι οἱ ἄρχοντες τῶν ἐθνῶν [s] κατακυριεύουσιν αὐτῶν, καὶ οἱ μεγάλοι [u] κατεξουσιάζουσιν αὐτῶν.

25 Οὐκ οὕτως δὲ [u] ἔσται ἐν ὑμῖν· ἀλλ' ὃς ἐὰν θέλῃ ἐν ὑμῖν μέγας [x] γενέσθαι, [u] ἔστω ὑμῶν διάκονος.

27 Καὶ ὃς ἐὰν θέλῃ ἐν ὑμῖν [u] εἶναι πρῶτος, [u] ἔστω ὑμῶν δοῦλος.

28 Ὥσπερ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ [y] ἦλθε [z] διακονηθῆναι, ἀλλὰ [z] διακονῆσαι, καὶ [a] δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.

[b] λαμβάνω.
[c] δίδωμι.
[d] κρίνω.
[e] παῖς.
[f] μάστιξ.
[g] σταυρός.
[h] ἵστημι.
[i] ἔρχομαι.
[k] αἰτέω.
[l] ἵζω.
[m] κρίνω.
* εἴδω.
[n] βαπτίζω.
* δύναμαι.
[o] εἰμί.
[p] δίδωμι.
[q] ἕτοιμος.
† ἀγανακτέω.
|| καλέω.
[r] εἴδω.
[s] κύριος.
[u] εἰμί.
[x] γίνομαι.
[y] ἔρχομαι.
[z] κονέω.
[a] δίδωμι.

29 Καὶ [b] ἐκπορευομένων αὐτῶν ἀπὸ Ἱεριχὼ, [c] ἠκολούθησαν αὐτῷ ὄχλος πολύς.

30 ¶ Καὶ ἰδοὺ, δύο τυφλοὶ [d] καθήμενοι παρὰ τὴν ὁδὸν, ἀκούσαντες ὅτι Ἰησοῦς παράγει, [e] ἔκραξαν λέγοντες, [f] Ἐλέησον ἡμᾶς Κύριε, υἱὸς Δαβίδ.

31 Ὁ δὲ ὄχλος [g] ἐπετίμησεν αὐτοῖς ἵνα [h] σιωπήσωσιν· οἱ δὲ μεῖζον [i] ἔκραζον, λέγοντες, [f] Ἐλέησον ἡμᾶς Κύριε, υἱὸς Δαβίδ.

32 Καὶ [k] στὰς ὁ Ἰησοῦς [l] ἐφώνησεν αὐτοὺς, καὶ εἶπε, τί θέλετε ποιήσω ὑμῖν;

33 Λέγουσιν αὐτῷ, Κύριε, ἵνα [m] ἀνοιχθῶσιν ἡμῶν οἱ ὀφθαλμοί.

34 [n] Σπλαγχνισθεὶς δὲ ὁ Ἰησοῦς [o] ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν, καὶ εὐθέως [p] ἀνέβλεψαν αὐτῶν οἱ ὀφθαλμοὶ, καὶ [q] ἠκολούθησαν αὐτῷ.

[b] πείρω.
[c] ἀκόλουθος.
[d] ἧμαι.
[e] κράζω.
[f] ἔλεος.
[g] τίω.
[h] σιωπή.
[i] κράζω.
[k] ἵστημι.
[l] φωνή.
[m] οἴγω.
[n] σπλάγχνον
[o] ἅπτω.
[p] βλέπω.
[q] ἀκόλουθος

Κεφ: κα'. Cap. XXI.

ΚΑΙ ὅτε [a] ἤγγισαν εἰς Ἱεροσόλυμα, καὶ [b] ἦλθον εἰς Βηθφαγῆ πρὸς τὸ ὄρος τῶν ἐλαιῶν, τότε ὁ Ἰησοῦς [c] ἀπέστειλε δύο μαθητάς.

2 Λέγων αὐτοῖς, [d] Πορεύθητε εἰς τὴν κώμην τὴν ἀπέναντι ὑμῶν· καὶ εὐθέως [e] εὑρήσετε ὄνον [f] δεδεμένην καὶ πῶλον μετ' αὐτῆς· [g] λύσαντες [h] ἀγάγετέ μοι.

3 Καὶ ἐάν τις ὑμῖν εἴπῃ τι, ἐρεῖτε ὅτι ὁ Κύριος αὐτῶν χρείαν ἔχει· εὐθέως δὲ [c] ἀποστελεῖ αὐτούς.

4 Τοῦτο δὲ ὅλον [h] γέγονεν ἵνα [i] πληρωθῇ τὸ [k] ῥηθὲν διὰ τοῦ προφήτου, λέγοντος,

5 Εἴπατε τῇ θυγατρὶ Σιὼν, Ἰδοὺ, ὁ βασιλεύς σου ἔρχεταί σοι πραῢς, καὶ [l] ἐπιβεβηκὼς ἐπὶ ὄνον καὶ πῶλον υἱὸν ὑποζυγίου.

6 [d] Πορευθέντες δὲ οἱ μαθηταὶ, καὶ ποιήσαντες καθὼς [m] προσέταξεν αὐτοῖς ὁ Ἰησοῦς.

7 [n] Ἤγαγον τὴν ὄνον καὶ τὸν πῶλον, καὶ [o] ἐπέθηκαν ἐπάνω αὐτῶν τὰ ἱμάτια αὐτῶν, καὶ [p] ἐπεκάθισαν ἐπάνω αὐτῶν.

8 Ὁ δὲ πλεῖστος ὄχλος [q] ἔστρωσαν ἑαυτῶν τὰ ἱμάτια ἐν τῇ ὁδῷ· ἄλλοι δὲ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων, καὶ [q] ἐστρώννυον ἐν τῇ ὁδῷ.

[a] ἐγγύς.
[b] ἔρχομαι.
[c] στέλλω.
[d] πείρω.
[e] εὑρίσκω.
[f] δέω.
[g] λύω.
[h] ἄγω.
[h] γίνομαι.
[i] πλέω.
[k] ῥέω.
[l] βαίνω.
[m] τάττω.
[n] ἄγω.
[o] τίθημι.
[p] ἕω.
[q] στορέω.

9 Οἱ δὲ ὄχλοι οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες, [r] ἔκραζον, λέγοντες, Ὡσαννὰ τῷ υἱῷ Δαβίδ· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

10 Καὶ [s] εἰσελθόντος αὐτοῦ εἰς Ἱεροσόλυμα, * ἐσείσθη πᾶσα ἡ πόλις λέγουσα, Τίς [t] ἐστιν οὗτος;

11 Οἱ δὲ ὄχλοι ἔλεγον, Οὗτός ἐστιν Ἰησοῦς ὁ προφήτης, ὁ ἀπὸ Ναζαρὲθ τῆς Γαλιλαίας.

12 ¶ Καὶ [u] εἰσῆλθεν ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν τοῦ Θεοῦ, καὶ [x] ἐξέβαλε πάντας τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ· καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν [y] κατέστρεψε, καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περιστεράς.

13 Καὶ λέγει αὐτοῖς, [z] Γέγραπται, Ὁ οἶκός μου, οἶκος προσευχῆς [a] κληθήσεται· ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν.

14 Καὶ [b] προσῆλθον αὐτῷ τυφλοὶ καὶ χωλοὶ ἐν τῷ ἱερῷ· καὶ [c] ἐθεράπευσεν αὐτούς.

15 ¶ [d] Ἰδόντες δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τὰ θαυμάσια ἃ ἐποίησε, καὶ τοὺς παῖδας κράζοντας ἐν τῷ ἱερῷ, καὶ λέγοντας, Ὡσαννὰ τῷ υἱῷ Δαβίδ, [e] ἠγανάκτησαν.

16 Καὶ εἶπον αὐτῷ, Ἀκούεις τί οὗτοι λέγουσιν; Ὁ δὲ Ἰησοῦς λέγει αὐτοῖς, Ναί. Οὐδέποτε [f] ἀνέγνωτε ὅτι Ἐκ στόματος νηπίων καὶ θηλαζόντων [g] κατηρτίσω αἶνον;

17 Καὶ [h] καταλιπὼν αὐτοὺς [b] ἐξῆλθεν ἔξω τῆς πόλεως εἰς Βηθανίαν· καὶ [i] ηὐλίσθη ἐκεῖ.

18 ¶ Πρωΐας δὲ ἐπανάγων εἰς τὴν πόλιν [k] ἐπείνασε.

19 Καὶ [l] ἰδὼν συκῆν μίαν ἐπὶ τῆς ὁδοῦ, [b] ἦλθεν ἐπ᾽ αὐτήν, καὶ οὐδὲν [n] εὗρεν ἐν αὐτῇ εἰ μὴ φύλλα μόνον· καὶ λέγει αὐτῇ, Μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα. Καὶ [o] ἐξηράνθη παραχρῆμα ἡ συκῆ.

20 Καὶ ἰδόντες οἱ μαθηταὶ ἐθαύμασαν, λέγοντες, Πῶς παραχρῆμα [o] ἐξηράνθη ἡ συκῆ;

21 [p] Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, Ἀμὴν λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν, καὶ μὴ

[p] διακριθῆτε,

[r] κράζω.

[s] ἔρχομαι.

* σείω.

[t] εἰμί.

[u] ἔρχομαι.

[x] βάλλω.

[y] στρέφω.

[z] γράφω.

[a] καλέω.

[b] ἔρχομαι.

[c] θεραπεύω.

[d] εἴδω.

[e] ἀγανακτέω

[f] γινώσκω.

[g] ἄρτιος.

[h] λείπω.

[i] αὐλή.

[k] πεινάω.

[l] εἴδω.

[n] εὑρίσκω.

[o] ξηρός.

[p] κρίνω.

[p] διακριθῆτε, οὐ μόνον τὸ τῆς συκῆς ποιήσετε,
[q] αἴρω. ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε, [q] Ἄρθητι καὶ
[r] βάλλω. [r] βλήθητι εἰς τὴν θάλασσαν, [s] γενήσεται.
[s] γίνομαι. 22 Καὶ πάντα ὅσα ἂν αἰτήσητε ἐν τῇ προσ-
[t] λαμβάνω. ευχῇ, πιστεύοντες, [t] λήψεσθε.

23 ¶ Καὶ ἐλθόντι αὐτῷ εἰς τὸ ἱερὸν, [h] προσ-
ῆλθον αὐτοῦ διδάσκοντι οἱ ἀρχιερεῖς καὶ οἱ πρεσ-
βύτεροι τοῦ λαοῦ, λέγοντες, Ἐν ποίᾳ ἐξουσίᾳ
[u] δίδωμι. ταῦτα ποιεῖς; καὶ τίς σοι [u] ἔδωκε τὴν ἐξουσίαν ταύ-
την;

[x] κρίνω. 24 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς,
[y] ἐρωτάω. [y] Ἐρωτήσω ὑμᾶς [z] κἀγὼ λόγον ἕνα· ὃν ἐὰν
[z] καὶ ἐγώ. εἴπητέ μοι, [z] κἀγὼ ὑμῖν [a] ἐρῶ ἐν ποίᾳ ἐξουσίᾳ
[a] εἴρω. ταῦτα ποιῶ.

[b] εἰμί. 25 Τὸ βάπτισμα Ἰωάννου πόθεν [b] ἦν; ἐξ
[c] λέγω. οὐρανοῦ ἢ ἐξ ἀνθρώπων; Οἱ δὲ [c] διελογίζοντο
παρ' ἑαυτοῖς, λέγοντες, Ἐὰν εἴπωμεν, Ἐξ
[b] πιστεύω. οὐρανοῦ· [a] ἐρεῖ ἡμῖν, Διὰ τί οὖν οὐκ [b] ἐπιστεύσατε
αὐτῷ;

[c] φοβέομαι. 26 Ἐὰν δὲ εἴπωμεν, Ἐξ ἀνθρώπων· [c] φο-
βούμεθα τὸν ὄχλον· πάντες γὰρ ἔχουσι τὸν Ἰωάννην
ὡς προφήτην.

[d] κρίνω. 27 Καὶ [d] ἀποκριθέντες τῷ Ἰησοῦ εἶπον, Οὐκ
[e] εἴδω. [e] οἴδαμεν. [f] Ἔφη αὐτοῖς καὶ αὐτὸς, Οὐδὲ ἐγὼ
[f] φάω. λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.
[g] ἔχω. 28 Τί δὲ ὑμῖν δοκεῖ; Ἄνθρωπος [g] εἶχε τέκ-
[h] ἔρχομαι. να δύο· καὶ [h] προσελθὼν τῷ πρώτῳ, εἶπε, Τέκ-
[i] ἄγω. νον [i] ὕπαγε, σήμερον ἐργάζου ἐν τῷ ἀμπελῶνί μου.

29 Ὁ δὲ [m] ἀποκριθεὶς εἶπεν, Οὐ θέλω· ὕστε-
[k] μέλω. ρον δὲ [k] μεταμεληθεὶς ἀπῆλθε.
[m] κρίνω. 30 Καὶ [b] προσελθὼν τῷ δευτέρῳ, εἶπεν
ὡσαύτως. Ὁ δὲ [d] ἀποκριθεὶς εἶπεν, Ἐγὼ
κύριε· καὶ οὐκ [b] ἀπῆλθε.

[n] ποιέω. 31 Τίς ἐκ τῶν δύο [n] ἐποίησε τὸ θέλημα τοῦ
πατρός; Λέγουσιν αὐτῷ, Ὁ πρῶτος. Λέγει
αὐτοῖς ὁ Ἰησοῦς, Ἀμὴν λέγω ὑμῖν ὅτι οἱ τε-
λῶναι καὶ αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασι-
λείαν τοῦ Θεοῦ.

32 [h] Ἦλθε γὰρ πρὸς ὑμᾶς Ἰωάννης ἐν ὁδῷ

δικαιοσύνης, καὶ οὐκ [o] ἐπιστεύσατε αὐτῷ. οἱ δὲ τελῶναι καὶ αἱ πόρναι [o] ἐπίστευσαν αὐτῷ· ὑμεῖς δὲ [p] ἰδόντες οὐ [q] μετεμελήθητε ὕστερον, τοῦ πιστεῦσαι αὐτῷ.

33 ¶ Ἄλλην παραβολὴν ἀκούσατε· Ἄνθρωπός τις [r] ἦν οἰκοδεσπότης, ὅστις [s] ἐφύτευσεν ἀμπελῶνα, καὶ φραγμὸν αὐτῷ [t] περιέθηκε, καὶ [n] ὤρυξεν ἐν αὐτῷ ληνὸν, καὶ [y] ᾠκοδόμησε πύργον· καὶ [x] ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ [y] ἀπεδήμησεν.

34 Ὅτε δὲ [z] ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, [a] ἀπέστειλε τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωργοὺς, [b] λαβεῖν τοὺς καρποὺς αὐτοῦ.

35 Καὶ [b] λαβόντες οἱ γεωργοὶ τοὺς δούλους αὐτοῦ, ὃν μὲν [c] ἔδειραν, ὃν δὲ [d] ἀπέκτειναν, ὃν δὲ [c] ἐλιθοβόλησαν.

36 Πάλιν [f] ἀπέστειλεν ἄλλους δούλους πλείονας τῶν πρώτων· καὶ [g] ἐποίησαν αὐτοῖς ὡσαύτως.

37 Ὕστερον δὲ ἀπέστειλε πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ, λέγων, [h] Ἐντραπήσονται τὸν υἱόν μου.

38 Οἱ δὲ γεωργοὶ [i] ἰδόντες τὸν υἱὸν, εἶπον ἐν ἑαυτοῖς, Οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε, [k] ἀποκτείνωμεν αὐτὸν, καὶ [l] κατάσχωμεν τὴν κληρονομίαν αὐτοῦ.

39 Καὶ [m] λαβόντες αὐτὸν [n] ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος, καὶ [k] ἀπέκτειναν.

40 Ὅταν οὖν [o] ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις;

41 Λέγουσιν αὐτῷ, Κακοὺς κακῶς [p] ἀπολέσει αὐτούς· καὶ τὸν ἀμπελῶνα [q] ἐκδώσεται ἄλλοις γεωργοῖς, οἵτινες [q] ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν.

42 Λέγει αὐτοῖς ὁ Ἰησοῦς, Οὐδέποτε [r] ἀνέγνωτε ἐν ταῖς γραφαῖς; Λίθον ὃν [s] ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος [t] ἐγενήθη εἰς κεφαλὴν γωνίας; παρὰ Κυρίου [t] ἐγένετο αὕτη, καὶ [u] ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

43 Διὰ τοῦτο λέγω ὑμῖν, ὅτι [x] ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ [y] δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς.

44 Καὶ

[o] πίστις.
[p] εἴδω.
[q] μέλω.
[r] εἰμί.
[s] φυτεύω.
[t] τίθημι.
[n] ὀρύσσω.
[x] δίδωμι.
[y] δῆμος.
[z] ἐγγύς.
[a] στέλλω.
[b] λαμβάνω.
[c] δέρω.
[d] κτείνω.
[d] βάλλω.
[f] στέλλω.
[g] ποιέω.
[h] τρέπω.
[i] εἴδω.
[k] κτείνω.
[l] ἔχω.
[m] λαμβάνω.
[n] βάλλω.
[o] ἔρχομαι.
[p] ὄλλυμι.
[q] δίδωμι.
[r] γινώσκω.
[s] δοκέω.
[t] γίνομαι.
[u] εἰμί.
[x] αἴρω.
[y] δίδωμι.

44 Καὶ ὁ [z] πεσὼν ἐπὶ τὸν λίθον τοῦτον, [a] συνθλαθήσεται· ἐφ' ὃν δ' ἂν [z] πέσῃ [b] λικμήσει αὐτόν.

[z] πίπτω.
[a] θλάω.
[b] λικμός.

45 Καὶ ἀκούσαντες οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι τὰς παραβολὰς αὐτοῦ, [c] ἔγνωσαν ὅτι περὶ αὐτῶν λέγει.

[c] γινώσκω.

46 Καὶ ζητοῦντες αὐτὸν [d] κρατῆσαι, [e] ἐφοβήθησαν τοὺς ὄχλους, ἐπειδὴ ὡς προφήτην αὐτὸν [f] εἶχον.

[d] κράτος.
[e] φέβομαι.
[f] ἔχω.

Κεφ. κβ. Cap. XXII.

ΚΑὶ [a] ἀποκριθεὶς ὁ Ἰησοῦς, πάλιν εἶπεν αὐτοῖς ἐν παραβολαῖς, λέγων,

[a] κρίνω.

2 ¶ [b] Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις [c] ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ.

[b] ὁμός.
[c] ποιέω.

3 Καὶ [d] ἀπέστειλε τοὺς δούλους αὐτοῦ [e] καλέσαι τοὺς [e] κεκλημένους εἰς τοὺς γάμους· καὶ οὐκ ἤθελον [f] ἐλθεῖν.

[d] στέλλω.
[e] καλέω.
[f] ἔρχομαι.

4 Πάλιν [d] ἀπέστειλεν ἄλλους δούλους, λέγων, Εἴπατε τοῖς [e] κεκλημένοις, Ἰδοὺ, τὸ ἄριστόν μου [g] ἡτοίμασα· οἱ ταῦροί μου καὶ τὰ [h] σιτιστὰ [i] τεθυμένα, καὶ πάντα ἕτοιμα· δεῦτε εἰς τοὺς γάμους.

[g] ἕτοιμος.
[h] σῖτος.
[i] θύω.

5 Οἱ δὲ [k] ἀμελήσαντες [f] ἀπῆλθον, ὁ μὲν εἰς τὸν ἴδιον ἀγρὸν, ὁ δὲ εἰς τὴν ἐμπορείαν αὐτοῦ.

[k] μέλει.

6 Οἱ δὲ λοιποὶ, [g] κρατήσαντες τοὺς δούλους αὐτοῦ, ὕβρισαν καὶ [h] ἀπέκτειναν.

[g] κράτος.
[h] κτείνω.

7 Ἀκούσας δὲ ὁ βασιλεὺς [i] ὠργίσθη, καὶ [k] πέμψας τὰ στρατεύματα αὐτοῦ, [l] ἀπώλεσε τοὺς φονεῖς ἐκείνους, καὶ τὴν πόλιν αὐτῶν [m] ἐνέπρησε.

[i] ὀργή.
[k] πέμπω.
[l] ὀλλύω.
[m] πρήθω.

8 Τότε λέγει τοῖς δούλοις αὐτοῦ, Ὁ μὲν γάμος ἕτοιμός ἐστιν, οἱ δὲ [n] κεκλημένοι οὐκ [o] ἦσαν ἄξιοι.

[n] καλέω.
[o] εἰμί.

9 [p] Πορεύεσθε οὖν ἐπὶ τὰς διεξόδους τῶν ὁδῶν, καὶ ὅσους ἂν εὕρητε, καλέσατε εἰς τοὺς γάμους.

[p] πείρω.
[q] εὑρίσκω.

10 Καὶ [r] ἐξελθόντες οἱ δοῦλοι ἐκεῖνοι εἰς τὰς ὁδοὺς, [s] συνήγαγον πάντας ὅσους [q] εὗρον, πονηρούς

[r] ἔρχομαι.
[s] ἄγω.

νηρούς τε καὶ ἀγαθούς· καὶ [t] ἐπλήσθη ὁ γάμος ἀνακειμένων.

[t] πλήθω.

11 [r] Εἰσελθὼν δὲ ὁ βασιλεὺς θεάσασθαι τοὺς ἀνακειμένους, εἶδεν ἐκεῖ ἄνθρωπον οὐκ [u] ἐνδεδυμένον ἔνδυμα γάμου.

[u] δύω.

12 Καὶ λέγει αὐτῷ, Ἑταῖρε, πῶς [r] εἰσῆλθες ὧδε μὴ ἔχων ἔνδυμα γάμου; Ὁ δὲ [x] ἐφιμώθη.

[x] φιμόω.

13 Τότε εἶπεν ὁ βασιλεὺς τοῖς διακόνοις, [y] Δήσαντες αὐτοῦ πόδας καὶ χεῖρας, [z] ἄρατε αὐτὸν, καὶ [a] ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ [b] ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

[y] δέω.
[z] αἴρω.
[a] βάλλω.
[b] εἰμί.

14 Πολλοὶ γάρ [b] εἰσι κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί.

15 ¶ Τότε [c] πορευθέντες οἱ Φαρισαῖοι συμβούλιον [d] ἔλαβον ὅπως αὐτὸν [e] παγιδεύσωσιν ἐν λόγῳ.

[c] πείρω.
[d] λαμβάνω.
[e] πηγνύω.

16 Καὶ [f] ἀποστέλλουσιν αὐτῷ τοὺς μαθητὰς αὐτῶν μετὰ τῶν Ἡρωδιανῶν, λέγοντες, Διδάσκαλε, [g] οἴδαμεν ὅτι ἀληθὴς [h] εἶ, καὶ τὴν ὁδὸν τοῦ Θεοῦ ἐν ἀληθείᾳ διδάσκεις, καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων.

[f] στέλλω.
[g] εἴδω.

17 Εἰπὲ οὖν ἡμῖν τί σοι δοκεῖ· [h] ἔξεστι [i] δοῦναι κῆνσον Καίσαρι, ἢ οὔ;

[h] εἰμί.
[i] δίδωμι.

18 [k] Γνοὺς δὲ ὁ Ἰησοῦς τὴν πονηρίαν αὐτῶν, εἶπε, Τί με πειράζετε ὑποκριταί;

[k] γινώσκω.

19 [l] Ἐπιδείξατέ μοι τὸ νόμισμα τοῦ κήνσου. Οἱ δὲ [m] προσήνεγκαν αὐτῷ δηνάριον.

[l] δεικνύω.
[m] φέρω.

20 Καὶ λέγει αὐτοῖς, Τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή;

21 Λέγουσιν αὐτῷ, Καίσαρος. Τότε λέγει αὐτοῖς, [n] Ἀπόδοτε οὖν τὰ Καίσαρος, Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ, τῷ Θεῷ.

[n] δίδωμι.

22 Καὶ ἀκούσαντες ἐθαύμασαν· καὶ [o] ἀφέντες αὐτὸν [p] ἀπῆλθον.

[o] ἕω.
[p] ἔρχομαι.

23 ¶ Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ [p] προσῆλθον αὐτῷ Σαδδουκαῖοι, οἱ λέγοντες μὴ [q] εἶναι ἀνάστασιν· καὶ [r] ἐπηρώτησαν αὐτὸν,

[q] εἰμί.
[r] ἐρωτάω.

// 24 Λέγοντες, Διδάσκαλε, Μωσῆς εἶπεν, Ἐάν τις [s] ἀποθάνῃ μὴ ἔχων τέκνα, [t] ἐπιγαμβρεύσει ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ, καὶ [u] ἀναστήσει σπέρμα τῷ ἀδελφῷ αὐτοῦ.

s θνήσκω.
t γαμβρός.
u ἵστημι.

25 [x] Ἦσαν δὲ παρ' ἡμῖν ἑπτὰ ἀδελφοί· καὶ ὁ πρῶτος γαμήσας [y] ἐτελεύτησε· καὶ μὴ ἔχων σπέρμα, [x] ἀφῆκε τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ.

x εἰμί.
y τέλος.
z ἵημι.

26 Ὁμοίως καὶ ὁ δεύτερος, καὶ ὁ τρίτος, ἕως τῶν ἑπτά.

27 Ὕστερον δὲ πάντων [p] ἀπέθανε καὶ ἡ γυνή.

p θνήσκω.

28 Ἐν τῇ οὖν ἀναστάσει, τίνος τῶν ἑπτὰ [q] ἔσται γυνή; πάντες γὰρ [r] ἔσχον αὐτήν.

q εἰμί.
r ἔχω.

29 [s] Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, [t] Πλανᾶσθε, μὴ εἰδότες τὰς γραφὰς, μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ.

s κρίνω.
t πλανάω.

30 Ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίζονται· ἀλλ' ὡς ἄγγελοι τοῦ Θεοῦ ἐν οὐρανῷ [q] εἰσι.

31 Περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν οὐκ [u] ἀνέγνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ τοῦ Θεοῦ, λέγοντος;

u γινώσκω.

32 Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ· οὐκ [q] ἔστιν ὁ Θεὸς, Θεὸς νεκρῶν, ἀλλὰ ζώντων.

33 Καὶ ἀκούσαντες οἱ ὄχλοι [t] ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ.

t πλήσσω.

34 ¶ Οἱ δὲ φαρισαῖοι ἀκούσαντες ὅτι [u] ἐφίμωσε τοὺς Σαδδουκαίους, [x] συνήχθησαν ἐπὶ τὸ αὐτό.

u φιμός.
x ἄγω.

35 Καὶ [y] ἐπηρώτησεν εἷς ἐξ αὐτῶν νομικὸς, πειράζων αὐτὸν, καὶ λέγων,

y ἐρωτάω.

36 Διδάσκαλε, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ;

37 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου.

38 Αὕτη [z] ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή.

z εἰμί.

39 Δευτέρα δὲ ὁμοία αὐτῇ, Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. 40

40 Ἐν ταύταις ταῖς [a] δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται. [a] δύω.

41 ¶ [b] Συνηγμένων δὲ τῶν φαρισαίων, [c] ἐπηρώτησεν αὐτοὺς ὁ Ἰησοῦς, [b] ἄγω. [c] ἐρωτάω.

42 Λέγων, Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος υἱός [z] ἐστι; Λέγουσιν αὐτῷ, Τοῦ Δαβίδ.

43 Λέγει αὐτοῖς, Πῶς οὖν Δαβὶδ ἐν πνεύματι Κύριον αὐτὸν καλεῖ; λέγων,

44 Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, [d] Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν [e] θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. [d] ἧμαι. [e] τίθημι.

45 Εἰ οὖν Δαβὶδ καλεῖ αὐτὸν Κύριον, πῶς υἱὸς αὐτοῦ [z] ἐστι; [x] δύναμαι.

46 Καὶ οὐδεὶς [x] ἐδύνατο αὐτῷ [f] ἀποκριθῆναι λόγον· οὐδὲ [g] ἐτόλμησέ τις ἀπ' ἐκείνης τῆς ἡμέρας [h] ἐπερωτῆσαι αὐτὸν οὐκέτι. [f] κρίνω. [g] τόλμα. [h] ἐρωτάω.

Κεφ. κγ'. Cap. XXIII. d 3

Τότε ὁ Ἰησοῦς [a] ἐλάλησε τοῖς ὄχλοις καὶ τοῖς μαθηταῖς αὐτοῦ, [a] λαλέω.

2 Λέγων, Ἐπὶ τῆς Μωσέως καθέδρας [b] ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι. [b] ἵζω.

3 Πάντα οὖν ὅσα ἂν εἴπωσιν ὑμῖν τηρεῖν, τηρεῖτε καὶ ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε· λέγουσι γὰρ, καὶ οὐ ποιοῦσι.

4 [c] Δεσμεύουσι γὰρ φορτία βαρέα, καὶ [d] δυσβάστακτα, καὶ [e] ἐπιτιθέασιν ἐπὶ τοὺς ὤμους τῶν ἀνθρώπων· τῷ δὲ δακτύλῳ αὐτῶν οὐ θέλουσι [f] κινῆσαι αὐτά. [c] δέω. [d] βαστάζω. [e] τίθημι. [f] κινέω.

5 Πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσι πρὸς τὸ [g] θεαθῆναι τοῖς ἀνθρώποις· [h] πλατύνουσι δὲ τὰ φυλακτήρια αὐτῶν, καὶ [i] μεγαλύνουσι τὰ [k] κράσπεδα τῶν ἱματίων αὐτῶν. // [g] θεάομαι. [h] πλατύς. [i] μέγας. [k] πέδον.

6 Φιλοῦσί τε τὴν [l] πρωτοκλισίαν ἐν τοῖς δείπνοις, καὶ τὰς [m] πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς. [l] κλίνω. [m] ἵζω. //

7 Καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων ῥαββὶ, ῥαββί.

[n] καλέω. 8 Ὑμεῖς δὲ μὴ κληθῆτε ῥαββί. εἷς γάρ
[o] εἰμί. [o] ἐστιν ὑμῶν ὁ καθηγητής, ὁ Χριστός· πάντες δὲ
ὑμεῖς ἀδελφοί [o] ἐστε.

9 Καὶ πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς·
εἷς γάρ [o] ἐστιν ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς.

10 Μηδὲ [n] κληθῆτε καθηγηταί· εἷς γὰρ ὑμῶν
[o] ἐστιν ὁ καθηγητής, ὁ Χριστός.

[p] μέγας. 11 Ὁ δὲ [p] μείζων ὑμῶν, [o] ἔσται ὑμῶν ὁ
διάκονος.

[q] ὕψος. 12 Ὅστις δὲ [q] ὑψώσει ἑαυτὸν, [r] ταπεινωθή-
[r] ταπεινός. σεται· καὶ ὅστις [r] ταπεινώσει ἑαυτὸν, [q] ὑψωθήσεται.

13 ¶ Οὐαὶ δὲ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι
ὑποκριταὶ, ὅτι κλείετε τὴν βασιλείαν τῶν
οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων· ὑμεῖς γὰρ οὐκ
[s] ἔρχομαι. εἰσέρχεσθε, οὐδὲ τοὺς [s] εἰσερχομένους [t] ἀφίετε
[t] ἔω. εἰσελθεῖν.

14 ¶ Οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι
[u] ἐσθίω. ὑποκριταὶ, ὅτι [u] κατεσθίετε τὰς οἰκίας τῶν χη-
ρῶν, καὶ προφάσει μακρὰ προσευχόμενοι· διὰ
[x] λαμβάνω. τοῦτο [x] λήψεσθε περισσότερον κρίμα.

15 Οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι
[y] ἄγω. ὑποκριταὶ, ὅτι [y] περιάγετε τὴν θάλασσαν καὶ τὴν
[z] γίνομαι. ξηρὰν, ποιῆσαι ἕνα προσήλυτον· καὶ ὅταν [z] γέ-
νηται ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον
ὑμῶν.

16 Οὐαὶ ὑμῖν ὁδηγοὶ τυφλοὶ, οἱ λέγοντες,
[a] ὀμνύω. Ὃς ἂν [a] ὀμόσῃ ἐν τῷ ναῷ, οὐδέν [h] ἐστιν· ὃς δ'
ἂν [a] ὀμόσῃ ἐν τῷ χρυσῷ τοῦ ναοῦ, ὀφείλει.

17 Μωροὶ καὶ τυφλοί· τίς γὰρ [c] μείζων [h] ἐστίν;
ὁ χρυσὸς, ἢ ὁ ναὸς ὁ ἁγιάζων τὸν χρυσόν;

18 Καὶ, Ὃς ἐὰν [a] ὀμόσῃ ἐν τῷ θυσιαστη-
[b] εἰμί. ρίῳ, οὐδέν [b] ἐστιν· ὃς δ' ἂν [a] ὀμόσῃ ἐν τῷ δώρῳ
τῷ ἐπάνω αὐτοῦ, ὀφείλει.

[c] μέγας. 19 Μωροὶ καὶ τυφλοί· τί γὰρ [c] μεῖζον; τὸ
δῶρον, ἢ τὸ θυσιαστήριον τὸ ἁγιάζον τὸ δῶρον;

20 Ὁ οὖν ὀμόσας ἐν τῷ θυσιαστηρίῳ, ὀμνύει
ἐν αὐτῷ καὶ ἐν πᾶσι τοῖς ἐπάνω αὐτοῦ.

21 Καὶ ὁ [a] ὀμόσας ἐν τῷ ναῷ, ὀμνύει ἐν
αὐτῷ

αὐτῷ καὶ ἐν τῷ κατοικοῦντι αὐτόν.

22 Καὶ ὁ [a] ὀμόσας ἐν τῷ οὐρανῷ, ὀμνύει ἐν τῷ θρόνῳ τοῦ Θεοῦ καὶ ἐν τῷ [d] καθημένῳ ἐπάνω αὐτοῦ.

23 Οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ, ὅτι [e] ἀποδεκατοῦτε τὸ [f] ἡδύοσμον καὶ τὸ ἄνηθον καὶ τὸ κύμινον, καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν, καὶ τὸν ἔλεον, καὶ τὴν πίστιν· ταῦτα ἔδει ποιῆσαι, κἀκεῖνα μὴ [g] ἀφιέναι.

24 Ὁδηγοὶ τυφλοὶ, οἱ [h] διϋλίζοντες τὸν κώνωπα, τὴν δὲ κάμηλον καταπίνοντες.

25 Οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ, ὅτι καθαρίζετε τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἔσωθεν δὲ γέμουσιν ἐξ ἁρπαγῆς καὶ ἀκρασίας.

26 Φαρισαῖε τυφλὲ, [i] καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἵνα [k] γένηται καὶ τὸ ἐκτὸς αὐτῶν καθαρόν.

27 Οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ, ὅτι [l] παρομοιάζετε τάφοις [m] κεκονιαμένοις, οἵτινες ἔξωθεν μὲν φαίνονται ὡραῖοι, ἔσωθεν δὲ γέμουσιν ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας.

28 Οὕτω καὶ ὑμεῖς ἔξωθεν μὲν φαίνεσθε τοῖς ἀνθρώποις δίκαιοι, ἔσωθεν δὲ μεστοί [n] ἐστε ὑποκρίσεως καὶ ἀνομίας.

29 Οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ, ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν, καὶ κοσμεῖτε τὰ μνημεῖα τῶν δικαίων.

30 Καὶ λέγετε, Εἰ [n] ἦμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν [n] ἦμεν κοινωνοὶ αὐτῶν ἐν τῷ αἵματι τῶν προφητῶν.

31 Ὥστε μαρτυρεῖτε ἑαυτοῖς· ὅτι υἱοί [n] ἐστε τῶν φονευσάντων τοὺς προφήτας.

32 Καὶ ὑμεῖς [o] πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν.

33 Ὄφεις, γεννήματα ἐχιδνῶν, πῶς φύγητε ἀπὸ τῆς κρίσεως τῆς γεέννης;

[d] ἧμαι.
[e] δέκα. //
[f] ὄζω.
[g] ἐάω.
[h] ὕλη. //
//
[i] καθαίρω.
[k] γίνομαι.
[l] ὁμός. //
[m] κονίς.
[n] εἰμί.
[o] πλέος.
//

34 Διὰ τοῦτο ἰδοὺ, ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς
προφήτας, καὶ σοφοὺς, καὶ γραμματεῖς· καὶ ἐξ αὐ-
[p] κτείνω. τῶν [p] ἀποκτενεῖτε καὶ σταυρώσετε· καὶ ἐξ αὐτῶν
[q] διώκω. μαστιγώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν, καὶ [q] δι-
ώξετε ἀπὸ πόλεως εἰς πόλιν.

[r] ἔρχομαι. 35 Ὅπως [r] ἔλθῃ ἐφ' ὑμᾶς πᾶν αἷμα δί-
[s] χέω. καιον, [s] ἐκχυνόμενον ἐπὶ τῆς γῆς ἀπὸ τοῦ αἵμα-
τος Ἄβελ τοῦ δικαίου ἕως τοῦ αἵματος Ζαχαρίου
[t] φονεύω. υἱοῦ Βαραχίου, ὃν [t] ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ
καὶ τοῦ θυσιαστηρίου.

[u] ἥκω. 36 Ἀμὴν λέγω ὑμῖν· [u] ἥξει ταῦτα πάντα
ἐπὶ τὴν γενεὰν ταύτην.

37 Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτείνουσα
[x] βάλλω. // τοὺς προφήτας, καὶ [x] λιθοβολοῦσα τοὺς [y] ἀπε-
[y] στέλλω. σταλμένους πρὸς αὐτὴν, ποσάκις [z] ἠθέλησα
[z] θέλω. [a] ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον [a] ἐπι-
[a] ἄγω. συνάγει ὄρνις τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς
[b] θέλω. πτέρυγας, καὶ οὐκ [b] ἠθελήσατε;

[c] ἔω. 38 Ἰδοὺ, [c] ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρη-
μος.

39 Λέγω γὰρ ὑμῖν, Οὐ μή με ἴδητε ἀπ' ἄρτι
ἕως ἂν εἴπητε, [d] Εὐλογημένος ὁ ἐρχόμενος ἐν
[d] λέγω. ὀνόματι Κυρίου.

Κεφ. κδ'. Cap. XXIV.

[a] ἔρχομαι. ΚΑὶ [a] ἐξελθὼν ὁ Ἰησοῦς [b] ἐπορεύετο ἀπὸ τοῦ
[b] πείρω. ἱεροῦ· καὶ προσῆλθον οἱ μαθηταὶ αὐτοῦ
[c] δεικνύω. [c] ἐπιδεῖξαι αὐτῷ τὰς οἰκοδομὰς τοῦ ἱεροῦ.

2 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, Οὐ βλέπετε
[d] ἔω. πάντα ταῦτα; ἀμὴν λέγω ὑμῖν, οὐ μὴ [d] ἀφε-
[e] λύω. θῇ ὧδε λίθος ἐπὶ λίθον, ὃς οὐ μὴ [e] καταλυ-
θήσεται.

[f] ἧμαι. 3 [f] Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ ὄρους τῶν ἐλαι-
[g] ἔρχομαι. ῶν, [g] προσῆλθον αὐτῷ οἱ μαθηταὶ κατ' ἰδίαν,
[h] εἰμί. λέγοντες, Εἰπὲ ἡμῖν πότε ταῦτα [h] ἔσται; καὶ τί
τὸ σημεῖον τῆς σῆς παρουσίας, καὶ τῆς συντελείας τοῦ
αἰῶνος;

4 Καὶ [i] ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς,
[i] κρίνω. Βλέπετε μή τις ὑμᾶς πλανήσῃ.

5 Πολλοὶ γὰρ [g] ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου,
λέγοντες,

λέγοντες, Ἐγώ εἰμι ὁ Χριστός· καὶ πολλοὺς πλανήσουσι.

6 Μελλήσετε δὲ ἀκούειν πολέμους, καὶ ἀκοὰς πολέμων· [x] ὁρᾶτε μὴ [k] θροεῖσθε· δεῖ γὰρ πάντα [l] γενέσθαι· ἀλλ' οὔπω ἐστὶ τὸ τέλος. //

7 [m] Ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν· καὶ [x] ἔσονται λιμοὶ καὶ λοιμοὶ, καὶ σεισμοὶ κατὰ τόπους.

8 Πάντα δὲ ταῦτα, ἀρχὴ ὠδίνων.

9 Τότε [n] παραδώσουσιν ὑμᾶς εἰς θλῖψιν, καὶ ἀποκτενοῦσιν ὑμᾶς· καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων τῶν ἐθνῶν διὰ τὸ ὄνομά μου.

10 Καὶ τότε [x] σκανδαλισθήσονται πολλοί· καὶ ἀλλήλους [n] παραδώσουσι, καὶ μισήσουσιν ἀλλήλους.

11 Καὶ πολλοὶ ψευδοπροφῆται [p] ἐγερθήσονται καὶ πλανήσουσι πολλούς.

12 Καὶ διὰ τὸ [q] πληθυνθῆναι τὴν ἀνομίαν, [r] ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν. //

13 Ὁ δὲ [ſ] ὑπομείνας εἰς τέλος, οὗτος [t] σωθήσεται.

14 Καὶ [u] κηρυχθήσεται τοῦτο τὸ εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ, εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι· καὶ τότε [x] ἥξει τὸ τέλος.

15 Ὅταν οὖν [y] ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως τὸ [z] ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου, [a] ἑστὼς ἐν τόπῳ ἁγίῳ, (ὁ ἀναγινώσκων νοείτω.)

16 Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ [b] φευγέτωσαν ἐπὶ τὰ ὄρη.

17 Ὁ ἐπὶ τοῦ δώματος, μὴ καταβαινέτω [c] ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ.

18 Καὶ ὁ ἐν τῷ ἀγρῷ, μὴ [d] ἐπιστρεψάτω ὀπίσω [c] ἆραι τὰ ἱμάτια αὐτοῦ.

19 Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις.

20 Προσεύχεσθε δὲ ἵνα μὴ [e] γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος, μηδὲ ἐν σαββάτῳ.

21 [f] Ἔσται γὰρ τότε θλῖψις μεγάλη, οἵα οὐ [g] γέγονεν ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν, οὐδ' οὐ μὴ [g] γένηται.

[x] ὁράω.
[k] θρέω.
[l] γίνομαι.
[m] ἐγείρω.
[x] εἰμί.
[n] δίδωμι.
[o] κτείνω.
[x] σκάζω.
[p] ἐγείρω.
[q] πλέος.
[r] ψύχω.
[ſ] μένω.
[t] σῶος.
[u] κήρυξ.
[x] ἥκω.
[y] εἴδω.
[z] ῥέω.
[a] ἵστημι.
[b] φεύγω.
[c] αἴρω.
[d] στρέφω.
[e] γίνομαι.
[f] εἰμί.
[g] γίνομαι.

22 Καὶ εἰ μὴ [h] ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν [i] ἐσώθη πᾶσα σάρξ· διὰ δὲ τοὺς ἐκλεκτοὺς [h] κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι.

[h] κολοβός.
[i] σόος.

23 ¶ Τότε ἐάν τις ὑμῖν εἴπῃ, Ἰδοὺ, ὧδε ὁ Χριστὸς, ἢ ὧδε· μὴ πιστεύσητε.

24 [k] Ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται, καὶ [l] δώσουσι σημεῖα μεγάλα καὶ τέρατα· ὥστε [m] πλανῆσαι, εἰ δυνατὸν, καὶ τοὺς ἐκλεκτούς.

[k] ἐγείρω.
[l] δίδωμι.
[m] πλανή.

25 Ἰδοὺ, [n] προείρηκα ὑμῖν.

[n] εἴρω.

26 Ἐὰν οὖν εἴπωσιν ὑμῖν, Ἰδοὺ, ἐν τῇ ἐρήμῳ [o] ἐστί· μὴ [p] ἐξέλθητε· ἰδοὺ, ἐν τοῖς ταμείοις· μὴ πιστεύσητε.

[o] εἰμί.
[p] ἔρχομαι.

27 Ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν, οὕτως [o] ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

28 Ὅπου γὰρ ἐὰν [o] ᾖ τὸ πτῶμα, ἐκεῖ [q] συναχθήσονται οἱ ἀετοί.

[q] ἄγω.

29 Εὐθέως δὲ μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων ὁ ἥλιος [r] σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ [s] δώσει τὸ φέγγος αὐτῆς· καὶ οἱ ἀστέρες [t] πεσοῦνται ἀπὸ τοῦ οὐρανοῦ, καὶ αἱ δυνάμεις τῶν οὐρανῶν [u] σαλευθήσονται.

[r] σκότος.
[s] δίδωμι.
[t] πίπτω.
[u] σάλος.

30 Καὶ τότε φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ· καὶ τότε [x] κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ [y] ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ δυνάμεως καὶ δόξης πολλῆς.

[x] κόπτω.
[y] ὄπτομαι.

31 Καὶ [z] ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος φωνῆς μεγάλης· καὶ [a] ἐπισυνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων, ἀπ' ἄκρων οὐρανῶν ἕως ἄκρων αὐτῶν.

[z] στέλλω.
[a] ἄγω.

32 Ἀπὸ δὲ τῆς συκῆς [b] μάθετε τὴν παραβολήν· ὅταν ἤδη ὁ κλάδος αὐτῆς [c] γένηται ἁπαλὸς, καὶ τὰ φύλλα [d] ἐκφύῃ, γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος.

[b] μανθάνω.
[c] γίνομαι.
[d] φύω.

33 Οὕτω καὶ ὑμεῖς, ὅταν ἴδητε πάντα ταῦτα, γινώσκετε ὅτι ἐγγύς [e] ἐστιν ἐπὶ θύραις.

[e] εἰμί.

34 Ἀμὴν λέγω ὑμῖν, οὐ μὴ [f] παρέλθῃ ἡ γενεὰ αὕτη ἕως ἂν πάντα ταῦτα [c] γένηται.

[f] ἔρχομαι.

35 Ὁ οὐρανὸς καὶ ἡ γῆ [f] παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ [f] παρέλθωσι.

36 Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς [g] εἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, εἰ μὴ ὁ πατήρ μου μόνος.

[g] εἴδω.

37 Ὥσπερ δὲ αἱ ἡμέραι τοῦ Νῶε, οὕτως [h] ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

[h] εἰμί.

38 Ὥσπερ γὰρ [h] ἦσαν [c] ἐν ταῖς ἡμέραις ταῖς πρὸ τοῦ κατακλυσμοῦ τρώγοντες καὶ πίνοντες, γαμοῦντες καὶ ἐκγαμίζοντες, ἄχρι ἧς ἡμέρας [f] εἰσῆλθε Νῶε εἰς τὴν κιβωτόν·

39 Καὶ [g] οὐκ ἔγνωσαν [c] ἕως [f] ἦλθεν ὁ κατακλυσμὸς, καὶ [h] ἦρεν ἅπαντας· οὕτως [i] ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

[g] γινώσκω.
[h] αἴρω.

40 Τότε δύο [i] ἔσονται ἐν τῷ ἀγρῷ· ὁ εἷς παραλαμβάνεται, καὶ ὁ εἷς [k] ἀφίεται.

[i] εἰμί.
[k] ἐάω.

41 Δύο [l] ἀλήθουσαι ἐν τῷ μύλωνι· μία παραλαμβάνεται, καὶ μία [k] ἀφίεται.

[l] ἀλέω. //

42 ¶ Γρηγορεῖτε οὖν· ὅτι οὐκ [n] οἴδατε ποίᾳ ὥρᾳ ὁ κύριος ὑμῶν ἔρχεται.

[m] ἐγρήγορος.
[n] εἴδω.

43 Ἐκεῖνο δὲ γινώσκετε, ὅτι εἰ [n] ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, [m] ἐγρηγόρησεν ἂν, καὶ οὐκ ἂν [o] εἴασε [p] διορυγῆναι τὴν οἰκίαν αὐτοῦ.

[o] ἐάω.
[p] ὀρύττω.

44 Διὰ τοῦτο καὶ ὑμεῖς [q] γίνεσθε ἕτοιμοι· ὅτι [r] ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

[q] γίνομαι.
[r] ὅς.

45 Τίς ἄρα [f] ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν [t] κατέστησεν ὁ κύριος αὐτοῦ ἐπὶ τῆς θεραπείας αὐτοῦ, τοῦ [u] διδόναι αὐτοῖς τὴν τροφὴν ἐν καιρῷ.

[f] εἰμί.
[t] ἵστημι.
[u] δίδωμι.

46 Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν [f] ἐλθὼν ὁ κύριος αὐτοῦ [x] εὑρήσει ποιοῦντα οὕτως.

[x] εὑρίσκω.

47 Ἀμὴν λέγω ὑμῖν ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ [y] καταστήσει αὐτόν.

[y] ἵστημι.

48 Ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ, Χρονίζει ὁ κύριός μου [f] ἐλθεῖν.

z ἄρχω. 49 Καὶ [z] ἄρξηται τύπτειν τοὺς συνδούλους,
a ἥκω. ἐσθίειν δὲ καὶ πίνειν μετὰ τῶν μεθυόντων·
b δοκέω. 50 [a] Ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέ-
c τέμνω. ρᾳ ᾗ [b] οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει.
d τίθημι. 51 Καὶ [c] διχοτομήσει αὐτὸν, καὶ τὸ μέρος
e εἰμί. αὐτοῦ μετὰ τῶν ὑποκριτῶν [d] θήσει· ἐκεῖ [e] ἔσται ὁ
κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

Κεφ. κέ. Cap. XXV.

a ὁμός. ΤΟ'τε [a] ὁμοιωθήσεται ἡ βασιλεία τῶν οὐρα-
b ὅστις. νῶν δέκα παρθένοις, [b] αἵτινες [c] λαβοῦσαι
c λαμβάνω. τὰς λαμπάδας αὐτῶν, [d] ἐξῆλθον εἰς ἀπάντη-
d ἔρχομαι. σιν τοῦ νυμφίου.
e εἰμί. 2 Πέντε δὲ [e] ἦσαν ἐξ αὐτῶν φρόνιμοι, καὶ
αἱ πέντε, μωραί.
3 Αἵτινες μωραὶ [c] λαβοῦσαι τὰς λαμπάδας
ἑαυτῶν, οὐκ [c] ἔλαβον μεθ᾽ ἑαυτῶν ἔλαιον·
4 Αἱ δὲ φρόνιμοι [c] ἔλαβον ἔλαιον ἐν τοῖς
ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν.
f νυστάζω. 5 Χρονίζοντος δὲ τοῦ νυμφίου, [f] ἐνύσταξαν
πᾶσαι, καὶ ἐκάθευδον.
g γίνομαι. 6 Μέσης δὲ νυκτὸς κραυγὴ [g] γέγονεν, Ἰδοὺ,
ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν
αὐτοῦ.
h ἐγείρω. 7 Τότε [h] ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖ-
x κόσμος. ναι, καὶ [x] ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν.
i δίδωμι. 8 Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον, [i] Δότε
ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν
x σβέννυμι. [x] σβέννυνται.
l κρίνω. 9 [l] Ἀπεκείθησαν δὲ αἱ φρόνιμοι, λέγουσαι,
m πορεύω. Μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν· [m] πορεύεσθε
δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε
ἑαυταῖς.
n ἔρχομαι. 10 [n] Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι,
[n] ἦλθεν ὁ νυμφίος· καὶ αἱ ἕτοιμοι [n] εἰσῆλθον
o κλείω. μετ᾽ αὐτοῦ εἰς τοὺς γάμους, καὶ [o] ἐκλείσθη ἡ θύρα.
11 Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθέ-
p οἴγω. νοι, λέγουσαι, Κύριε κύριε, [p] ἄνοιξον ἡμῖν.
q κρίνω. 12 Ὁ δὲ [q] ἀποκριθεὶς εἶπεν, Ἀμὴν λέγω
r εἴδω. ὑμῖν, οὐκ [r] οἶδα ὑμᾶς.

13 Γρηγορεῖτε οὖν, ὅτι οὐκ [x] οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

[x] εἴδω.

14 ¶ Ὥσπερ γὰρ ἄνθρωπος ἀποδημῶν [ſ] ἐκάλεσε τοὺς ἰδίους δούλους, καὶ [t] παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ.

[ſ] καλέω.
[t] δίδωμι,

15 Καὶ ᾧ μὲν [t] ἔδωκε πέντε τάλαντα, ᾧ δὲ δύο, ᾧ δὲ ἕν· ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν· καὶ [u] ἀπεδήμησεν εὐθέως.

[u] δῆμος.

16 [x] Πορευθεὶς δὲ ὁ τὰ πέντε τάλαντα [c] λαβὼν, [y] εἰργάσατο ἐν αὐτοῖς, καὶ ἐποίησεν ἄλλα πέντε τάλαντα.

[x] πείρω.
[y] ἔργον.

17 Ὡσαύτως καὶ ὁ τὰ δύο, [z] ἐκέρδησε καὶ αὐτὸς ἄλλα δύο.

[z] κέρδος.

18 Ὁ δὲ τὸ ἓν [a] λαβὼν, [b] ἀπελθὼν [c] ὤρυξεν ἐν τῇ γῇ, καὶ ἀπέκρυψε τὸ ἀργύριον τοῦ κυρίου αὐτοῦ.

[a] λαμβάνω.
[b] ἔρχομαι.
[c] ὀρύττω.

19 Μετὰ δὲ χρόνον πολὺν ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων, καὶ συναίρει μετ᾽ αὐτῶν λόγον.

20 Καὶ [b] προσελθὼν ὁ τὰ πέντε τάλαντα [a] λαβὼν, [d] προσήνεγκεν ἄλλα πέντε τάλαντα λέγων, Κύριε, πέντε τάλαντά μοι [e] παρέδωκας· [f] ἴδε ἄλλα πέντε τάλαντα [g] ἐκέρδησα ἐπ᾽ αὐτοῖς.

[d] φέρω.
[e] δίδωμι.
[f] εἴδω.
[g] κέρδος.

21 [h] Ἔφη δὲ αὐτῷ ὁ κύριος αὐτοῦ, Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ· ἐπὶ ὀλίγα [i] ἦς πιστὸς, ἐπὶ πολλῶν σε [k] καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου.

[h] φάω.
[i] εἰμί.
[k] ἵστημι.

22 [b] Προσελθὼν δὲ καὶ ὁ τὰ δύο τάλαντα [a] λαβὼν, εἶπε, Κύριε, δύο τάλαντά μοι [e] παρέδωκας· ἴδε, ἄλλα δύο τάλαντα [l] ἐκέρδησα ἐπ᾽ αὐτοῖς.

[l] κέρδος.

23 [m] Ἔφη αὐτῷ ὁ κύριος αὐτοῦ, Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ· ἐπὶ ὀλίγα [n] ἦς πιστὸς, ἐπὶ πολλῶν σε [o] καταστήσω· [p] εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου.

[m] φάω.
[n] εἰμί.
[o] ἵστημι.
[p] ἔρχομαι.

24 [p] Προσελθὼν δὲ καὶ ὁ τὸ ἓν τάλαντον [q] εἰληφὼς, εἶπε, Κύριε, [r] ἔγνων σε ὅτι σκληρὸς [ſ] εἶ ἄνθρωπος, θερίζων ὅπου οὐκ [r] ἔσπειρας, καὶ συνάγων ὅθεν οὐ [u] διεσκόρπισας·

[q] λαμβάνω.
[r] γινώσκω.
[ſ] εἰμί.
[t] σπείρω.
[u] σκορπίζω.

25 Καὶ [x] φοβηθεὶς, [p] ἀπελθὼν, [y] ἔκρυψα τὸ τάλαντόν σου ἐν τῇ γῇ· ἴδε ἔχεις τὸ σόν.

26 [z] Ἀποκριθεὶς δὲ ὁ κύριος αὐτοῦ εἶπεν αὐτῷ, Πονηρὲ δοῦλε καὶ ὀκνηρὲ, [a] ᾔδεις ὅτι θερίζω ὅπου οὐκ [b] ἔσπειρα, καὶ συνάγω ὅθεν οὐ [c] διεσκόρπισα.

27 [x] Ἔδει οὖν σε [d] βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις· καὶ [p] ἐλθὼν ἐγὼ [e] ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ.

28 [f] Ἄρατε οὖν ἀπ' αὐτοῦ τὸ τάλαντον, καὶ [g] δότε τῷ ἔχοντι τὰ δέκα τάλαντα.

29 (Τῷ γὰρ ἔχοντι παντὶ [g] δοθήσεται, καὶ [h] περισσευθήσεται· ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ ἔχει [i] ἀρθήσεται ἀπ' αὐτοῦ.)

30 Καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ [k] ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

31 ¶ Ὅταν δὲ [l] ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ, τότε [o] καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ.

32 Καὶ [m] συναχθήσεται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη· καὶ ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλήλων, ὥσπερ ὁ ποιμὴν [l] ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων.

33 Καὶ [n] στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια, ἐξ εὐωνύμων.

34 Τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ, Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, [θ] κληρονομήσατε τὴν [p] ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.

35 [q] Ἐπείνασα γὰρ, καὶ [r] ἐδώκατέ μοι φαγεῖν· [s] ἐδίψησα, καὶ [t] ἐποτίσατέ με· ξένος [u] ἤμην, καὶ [x] συνηγάγετέ με·

36 Γυμνὸς, καὶ [y] περιεβάλετέ με· [z] ἠσθένησα, καὶ [a] ἐπεσκέψασθέ με· ἐν φυλακῇ [b] ἤμην, καὶ [c] ἤλθετε πρός με.

37 Τότε [d] ἀποκριθήσονται αὐτῷ οἱ δίκαιοι, λέγοντες, Κύριε, πότε σε εἴδομεν πεινῶντα, καὶ [e] ἐθρέψαμεν; ἢ διψῶντα, καὶ [f] ἐποτίσαμεν;

[x] φοβέομαι.
[y] κρύπτω.
[z] κρίνω.
[a] εἴδω.
[b] σπείρω.
[c] σκόρπιος.
[x] δεῖ.
[d] βάλλω. //
[e] κομίζω.
[f] αἴρω.
[g] δίδωμι.
[h] περί.
[i] αἴρω.
[k] εἰμί. //
[l] ἔρχομαι.
[o] [illegible]
[m] ἄγω.
[l] ὅρος.
[n] ἵστημι.
[o] νέμω.
[p] ἕτοιμος. //
[s] λαιά.
[r] δίδωμι.
[s] δίψα.
[t] πίνω.
[u] εἰμί.
[v] ἄγω.
[y] βάλλω.
[z] ἀσθενής.
[a] σκέπτομαι.
[b] εἰμί.
[c] ἔρχομαι.
[d] κρίνω.
[e] τρέφω.
[f] πίνω.

38 Πότε δέ σε εἴδομεν ξένον, καὶ [g] συνηγάγομεν; ἢ γυμνὸν, καὶ [h] περιεβάλομεν;

39 Πότε δέ σε εἴδομεν ἀσθενῆ, ἢ ἐν φυλακῇ, καὶ [i] ἤλθομεν πρός σε;

40 Καὶ [k] ἀποκριθεὶς ὁ βασιλεὺς ἐρεῖ αὐτοῖς, Ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον [l] ἐποιήσατε [m] ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν [n] ἐλαχίστων, ἐμοὶ [l] ἐποιήσατε.

41 Τότε ἐρεῖ καὶ τοῖς ἐξ εὐωνύμων, [o] Πορεύεσθε ἀπ' ἐμοῦ οἱ [p] κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ [q] ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.

42 [r] Ἐπείνασα γὰρ, καὶ οὐκ [s] ἐδώκατέ μοι φαγεῖν· [t] ἐδίψησα, καὶ οὐκ [u] ἐποτίσατέ με.

43 Ξένος [x] ἤμην, καὶ οὐ [y] συνηγάγετέ με· γυμνὸς, καὶ οὐ [z] περιεβάλετέ με· ἀσθενὴς, καὶ ἐν φυλακῇ, καὶ οὐκ [a] ἐπεσκέψασθέ με.

44 Τότε [b] ἀποκριθήσονται αὐτῷ καὶ αὐτοὶ, λέγοντες, Κύριε, πότε σε εἴδομεν πεινῶντα, ἢ διψῶντα, ἢ ξένον, ἢ γυμνὸν, ἢ ἀσθενῆ, ἢ ἐν φυλακῇ καὶ οὐ [c] διηκονήσαμέν σοι;

45 Τότε [d] ἀποκριθήσεται αὐτοῖς, λέγων, Ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον οὐκ [e] ἐποιήσατε [f] ἑνὶ τούτων τῶν [g] ἐλαχίστων, οὐδὲ ἐμοὶ [f] ἐποιήσατε.

46 Καὶ [h] ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον· οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον.

Κεφ. κϛ. Cap. XXVI.

ΚΑΙ [a] ἐγένετο ὅτε [b] ἐτέλεσεν ὁ Ἰησοῦς πάντας τοὺς λόγους τούτους, εἶπε τοῖς μαθηταῖς αὐτοῦ,

2 [c] Οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου [d] παραδίδοται εἰς τὸ [e] σταυρωθῆναι.

3 ¶ Τότε [f] συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ, εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως τοῦ λεγομένου Καϊάφα·

4 Καὶ [g] συνεβουλεύσαντο ἵνα τὸν Ἰησοῦν [h] κρατήσωσι δόλῳ, καὶ [i] ἀποκτείνωσιν.

[g] ἄγω.
[h] βάλλω.
[i] ἔρχομαι.
[k] κρίνω.
[l] ποιέω.
[m] εἷς.
[n] ἐλαχὺς.
[o] πεῖρος.
[p] ἀρά.
[q] ἕτοιμος.
[r] πεινα.
[s] δίδωμι.
[t] δίψα.
[u] πίνω.
[x] εἰμί.
[y] ἄγω.
[z] βάλλω.
[a] σκέπτομαι.
[b] κρίνω.
[c] κονέω.
[d] κρίνω.
[e] ποιέω.
[f] εἷς.
[g] ἐλαχὺς.
[h] ἔρχομαι.

[a] γίνομαι.
[b] τέλος.
[c] εἴδω.
[d] δίδωμι.
[e] σταυρός.
[f] ἄγω.
[g] βουλή.
[h] κράτος.
[i] κλείνω.

5 Ἔλεγον δὲ, μὴ ἐν τῇ ἑορτῇ, ἵνα μὴ θόρυβος [l] γένηται ἐν τῷ λαῷ.

6 Τοῦ δὲ Ἰησοῦ [l] γενομένου ἐν Βηθανίᾳ, ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ,

7 [m] Προσῆλθεν αὐτῷ γυνὴ ἀλάβαστρον μύρου ἔχουσα βαρυτίμου, καὶ [n] κατέχεεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ [x] ἀνακειμένου.

8 Ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ [o] ἠγανάκτησαν, λέγοντες, Εἰς τί ἡ ἀπώλεια αὕτη;

9 [p] Ἠδύνατο γὰρ τοῦτο τὸ μύρον [q] πραθῆναι πολλοῦ, καὶ [r] δοθῆναι πτωχοῖς.

10 [s] Γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, Τί κόπους παρέχετε τῇ [t] γυναικί; ἔργον γὰρ καλὸν [u] εἰργάσατο εἰς ἐμέ.

11 Πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε μεθ᾽ ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε.

12 [x] Βαλοῦσα γὰρ αὕτη τὸ μύρον τοῦτο ἐπὶ τοῦ σώματός μου, πρὸς τὸ [y] ἐνταφιάσαι με ἐποίησεν.

13 Ἀμὴν λέγω ὑμῖν, Ὅπου ἐὰν [z] κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ, [a] λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη, εἰς μνημόσυνον αὐτῆς.

14 ¶ Τότε [b] πορευθεὶς εἷς τῶν δώδεκα, ὁ λεγόμενος Ἰούδας Ἰσκαριώτης, πρὸς τοὺς ἀρχιερεῖς,

15 Εἶπε, Τί θέλετέ μοι [c] δοῦναι, [d] κἀγὼ ὑμῖν [c] παραδώσω αὐτόν; Οἱ δὲ [e] ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια.

16 Καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν ἵνα αὐτὸν [c] παραδῷ.

17 ¶ Τῇ δὲ πρώτῃ τῶν ἀζύμων [f] προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ, λέγοντες αὐτῷ, Ποῦ θέλεις [g] ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα;

18 Ὁ δὲ εἶπεν, [h] Ὑπάγετε εἰς τὴν πόλιν πρὸς τὸν δεῖνα, καὶ εἴπατε αὐτῷ, Ὁ διδάσκαλος λέγει, Ὁ καιρός μου ἐγγύς [i] ἐστι· πρὸς σὲ ποιῶ τὸ πάσχα μετὰ τῶν μαθητῶν μου.

19 Καὶ [k] ἐποίησαν οἱ μαθηταὶ ὡς [l] συνέταξεν

[l] γίνομαι.
[m] ἔρχομαι.
[n] χέω.
[x] κεῖμαι.
[o] ἀγανακτέω.
[p] δύναμαι.
[q] περάω.
[r] δίδωμι.
[s] γινώσκω.
[t] γυνή.
[u] ἔργον.
[x] βάλλω.
[y] θάπτω.
[z] κήρυξ.
[a] λαλέω.
[b] πορεύω.
[c] δίδωμι.
[d] καὶ ἐγώ.
[e] ἵστημι.
[f] ἔρχομαι.
[g] ἕτοιμος.
[h] ἄγω.
[i] εἰμί.
[k] ποιέω.
[l] τάττω.

ταξεν αὐτοῖς ὁ Ἰησοῦς· καὶ [g] ἡτοίμασαν τὸ πάσχα.
20 Ὀψίας δὲ γενομένης [m] ἀνέκειτο μετὰ τῶν [m] κεῖμαι.
δώδεκα.
21 Καὶ ἐσθιόντων αὐτῶν εἶπεν, Ἀμὴν λέγω
ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν [c] παραδώσει με.
22 Καὶ λυπούμενοι σφόδρα, [n] ἤρξαντο λέ- [n] ἄρχω.
γειν αὐτῷ ἕκαστος αὐτῶν, Μήτι ἐγώ εἰμι, κύριε;
23 Ὁ δὲ [o] ἀποκριθεὶς εἶπεν, Ὁ [p] ἐμβάψας [o] κρίνω.
μετ' ἐμοῦ ἐν τῷ τρυβλίῳ τὴν χεῖρα, οὗτός με [c] πα- [p] βάπτω.
ραδώσει. [c] δίδωμι.
24 Ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς
[q] γέγραπται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκεί- [q] γράφω.
νῳ δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου [c] παραδίδοται. καλὸν
ἦν αὐτῷ εἰ οὐκ [r] ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. [r] γεννάω.
25 [ſ] Ἀποκριθεὶς δὲ Ἰούδας ὁ [c] παραδιδοὺς [ſ] κρίνω.
αὐτὸν, εἶπε, Μήτι ἐγώ εἰμι, ῥαββί; Λέγει
αὐτῷ, Σὺ εἶπας.
26 [t] Ἐσθιόντων δὲ αὐτῶν, [u] λαβὼν ὁ Ἰησοῦς [t] ἐσθίω.
τὸν ἄρτον, καὶ [x] εὐλογήσας, [y] ἔκλασε, καὶ [c] ἐδίδου [u] λαμβάνω.
τοῖς μαθηταῖς· καὶ εἶπε, [u] Λάβετε, φάγετε· [x] λέγω.
τοῦτο [*] ἐστὶ τὸ σῶμά μου. [y] κλάω.
27 Καὶ [u] λαβὼν τὸ ποτήριον, καὶ [z] εὐχαρι- [*] εἰμί.
στήσας, [a] ἔδωκεν αὐτοῖς, λέγων, [b] Πίετε ἐξ [z] χάρις.
αὐτοῦ πάντες. [a] δίδωμι.
28 Τοῦτο γάρ [c] ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς [b] πίνω.
διαθήκης, τὸ περὶ πολλῶν [d] ἐκχυνόμενον εἰς ἄ- [c] εἰμί.
φεσιν ἁμαρτιῶν. [d] χέω.
29 Λέγω δὲ ὑμῖν ὅτι οὐ μὴ [e] πίω ἀπ' ἄρτι ἐκ [e] πίνω.
τούτου τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως τῆς ἡμέρας
ἐκείνης ὅταν αὐτὸ πίνω μεθ' ὑμῶν καινὸν ἐν τῇ
βασιλείᾳ τοῦ πατρός μου.
30 ¶ Καὶ [f] ὑμνήσαντες [g] ἐξῆλθον εἰς τὸ [f] ὕδω.
ὄρος τῶν ἐλαιῶν. [g] ἔρχομαι.
31 Τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς, Πάντες ὑ- [h] σκάζω.
μεῖς [h] σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ [i] γράφω.
ταύτῃ. [i] γέγραπται γάρ, [k] Πατάξω τὸν ποιμένα, [k] πατάσσω.
καὶ [l] διασκορπισθήσεται τὰ πρόβατα τῆς ποίμνης. [l] σκορπίος.
32 Μετὰ δὲ τὸ [m] ἐγερθῆναί με [n] προάξω [m] ἐγείρω.
ὑμᾶς εἰς τὴν Γαλιλαίαν. [n] ἄγω.

33 [o] Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ, Εἰ καὶ πάντες [p] σκανδαλισθήσονται ἐν σοὶ, ἐγὼ οὐδέποτε [p] σκανδαλισθήσομαι.

34 [q] Ἔφη αὐτῷ ὁ Ἰησοῦς, Ἀμὴν λέγω σοι, ὅτι ἐν ταύτῃ τῇ νυκτὶ, πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς [r] ἀπαρνήσῃ με.

35 Λέγει αὐτῷ ὁ Πέτρος, Κἂν [ſ] δέῃ με σὺν σοὶ [t] ἀποθανεῖν, οὐ μή σε [r] ἀπαρνήσομαι· Ὁμοίως καὶ πάντες οἱ μαθηταὶ εἶπον.

36 ¶ Τότε ἔρχεται μετ᾽ αὐτῶν ὁ Ἰησοῦς εἰς χωρίον λεγόμενον Γεθσημανῆ· καὶ λέγει τοῖς μαθηταῖς, [t] Καθίσατε αὐτοῦ, ἕως οὗ [u] ἀπελθὼν [x] προσεύξωμαι ἐκεῖ.

37 Καὶ [y] παραλαβὼν τὸν Πέτρον καὶ τοὺς δύο υἱοὺς Ζεβεδαίου, [z] ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν.

38 Τότε λέγει αὐτοῖς, Περίλυπός [a] ἐστιν ἡ ψυχή μου ἕως θανάτου· [b] μείνατε ὧδε, καὶ γρηγορεῖτε μετ᾽ ἐμοῦ.

39 Καὶ [c] προελθὼν μικρὸν, [d] ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ προσευχόμενος, καὶ λέγων, Πάτερ μου, εἰ δυνατόν [a] ἐστι, [c] παρελθέτω ἀπ᾽ ἐμοῦ τὸ ποτήριον τοῦτο. πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ᾽ ὡς συ.

40 Καὶ ἔρχεται πρὸς τοὺς μαθητὰς, καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας· καὶ λέγει τῷ Πέτρῳ, Οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ᾽ ἐμοῦ;

41 Γρηγορεῖτε καὶ προσεύχεσθε ἵνα μὴ [c] εἰσέλθητε εἰς πειρασμόν. τὸ μὲν πνεῦμα, πρόθυμον. ἡ δὲ σὰρξ, ἀσθενής.

42 Παλιν ἐκ δευτέρου [c] ἀπελθὼν [f] προσηύξατο, λέγων, Πάτερ μου, εἰ οὐ δύναται τοῦτο τὸ ποτήριον [c] παρελθεῖν ἀπ᾽ ἐμοῦ ἐὰν μὴ αὐτὸ [g] πίω, [h] γενηθήτω τὸ θέλημά σου.

43 Καὶ [c] ἐλθὼν εὑρίσκει αὐτοὺς πάλιν καθεύδοντας. [i] ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ [k] βεβαρημένοι.

44 Καὶ [l] ἀφεὶς αὐτοὺς, [c] ἀπελθὼν πάλιν [m] προσηύξατο ἐκ τρίτου, τὸν αὐτὸν λόγον εἰπών.

[o] κρίνω.
[p] σκάζω.
[q] φάω.
[r] ἀρνέομαι.
[ſ] δεῖ.
[t] θνήσκω.
[t] ἕζω.
[u] ἔρχομαι.
[x] εὐχή.
[y] λαμβάνω.
[z] ἄρχω.
[a] εἰμί.
[b] μένω.
[c] ἔρχομαι.
[d] πίπτω.
[f] εὐχή.
[g] πίνω.
[h] γίνομαι.
[i] εἰμί.
[k] βαρύς.
[l] ἕω,
[m] εὐχή.

45 Τότε ἔρχεται πρὸς τοὺς μαθητὰς αὐτοῦ, καὶ λέγει αὐτοῖς, Καθεύδετε τὸ λοιπὸν, καὶ ἀναπαύεσθε· ἰδοὺ [n] ἤγγικεν ἡ ὥρα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου [o] παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν.

[n] ἐγγύς.
[o] δίδωμι.

46 Ἐγείρεσθε, ἄγωμεν· ἰδοὺ, [y] ἤγγικεν ὁ [o] παραδιδούς με.

47 ¶ Καὶ ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ, Ἰούδας, εἷς τῶν δώδεκα, [q] ἦλθε, καὶ μετ᾽ αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων, ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ.

[q] ἔρχομαι.

48 Ὁ δὲ [r] παραδιδοὺς αὐτὸν, [r] ἔδωκεν αὐτοῖς σημεῖον, λέγων, Ὃν ἂν φιλήσω, αὐτός [f] ἐστι· [t] κρατήσατε αὐτόν.

[r] δίδωμι.
[f] εἰμί.
[t] κράτος.

49 Καὶ εὐθέως [u] προσελθὼν τῷ Ἰησοῦ, εἶπε, Χαῖρε ῥαββί. Καὶ [x] κατεφίλησεν αὐτόν.

[u] ἔρχομαι.
[x] φίλος.

50 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, Ἑταῖρε ἐφ᾽ ᾧ [f] πάρει; Τότε [u] προσελθόντες [y] ἐπέβαλον τὰς χεῖρας ἐπὶ τὸν Ἰησοῦν, καὶ [z] ἐκράτησα[c]ν αὐτόν.

[y] βάλλω.
[z] κράτος.

51 ¶ Καὶ ἰδοὺ εἷς τῶν μετὰ Ἰησοῦ, ἐκτείνας τὴν χεῖρα, [a] ἀπέσπασε τὴν μάχαιραν αὐτοῦ, καὶ [b] πατάξας τὸν δοῦλον τοῦ ἀρχιερέως, [c] ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον.

[a] σπάω.
[b] πατάσσω.
[c] αἱρέω.

52 Τότε λέγει αὐτῷ ὁ Ἰησοῦς, [d] Ἀπόστρεψόν σου τὴν μάχαιραν εἰς τὸν τόπον αὐτῆς· πάντες γὰρ οἱ [e] λαβόντες μάχαιραν, ἐν μαχαίρᾳ [f] ἀπολοῦνται.

[d] στρέφω.
[e] λαμβάνω.
[f] ὄλλυμι.

53 Ἢ δοκεῖς ὅτι οὐ δύναμαι ἄρτι παρακαλέσαι τὸν πατέρα μου, καὶ [g] παραστήσει μοι πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων;

[g] ἵστημι.

54 Πῶς οὖν [h] πληρωθῶσιν αἱ γραφαὶ, ὅτι οὕτω δεῖ [i] γενέσθαι;

[h] πλέος.
[i] γίνομαι.

55 Ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν ὁ Ἰησοῦς τοῖς ὄχλοις, Ὡς ἐπὶ λῃστὴν [k] ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων [l] συλλαβεῖν με; καθ᾽ ἡμέραν πρὸς ὑμᾶς [m] ἐκαθεζόμην διδάσκων ἐν τῷ ἱερῷ, καὶ οὐκ [n] ἐκρατήσατέ με.

[k] ἔρχομαι.
[l] λαμβάνω.
[m] ἕζω.
[n] κράτος.

56 Τοῦτο δὲ ὅλον [o] γέγονεν ἵνα [p] πληρωθῶσιν αἱ γραφαὶ τῶν προφητῶν. Τότε οἱ μαθηταὶ πάντες [q] ἀφέντες αὐτὸν [r] ἔφυγον.

[o] γίνομαι.
[p] πλέος.
[q] ἕω.
[r] φεύγω.

[s] κράτος. 57 Οἱ δὲ [s] κρατήσαντες τὸν Ἰησοῦν [t] ἀπήγαγον
[t] ἄγω. πρὸς Καϊάφαν τὸν ἀρχιερέα, ὅπου οἱ γραμματεῖς
καὶ οἱ πρεσβύτεροι [t] συνήχθησαν.

58 Ὁ δὲ Πέτρος ἠκολούθει αὐτῷ ἀπὸ μα-
[u] ἔρχομαι. κρόθεν ἕως τῆς αὐλῆς τοῦ ἀρχιερέως· καὶ [u] εἰσελ-
[x] ἧμαι. θὼν ἔσω, [x] ἐκάθητο μετὰ τῶν ὑπηρετῶν [y] ἰδεῖν
[y] εἴδω. τὸ τέλος.

59 Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι καὶ τὸ
[z] ζητέω. συνέδριον ὅλον [z] ἐζήτουν ψευδομαρτυρίαν κατὰ
τοῦ Ἰησοῦ, ὅπως αὐτὸν θανατώσωσι.

[a] εὑρίσκω. 60 Καὶ οὐχ [a] εὗρον· καὶ πολλῶν ψευδομαρ-
[b] ἔρχομαι. τύρων [b] προσελθόντων, οὐχ [a] εὗρον. ὕστερον δὲ
[b] προσελθόντες δύο ψευδομάρτυρες,

[c] φάω. 61 Εἶπον, Οὗτος [c] ἔφη, Δύναμαι [d] κα-
[d] λύω. ταλῦσαι τὸν ναὸν τοῦ Θεοῦ, καὶ διὰ τριῶν ἡμερῶν
[e] δέμω. [c] οἰκοδομῆσαι αὐτόν.

[d] ἵστημι. 62 Καὶ [d] ἀναστὰς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ,
Οὐδὲν ἀποκρίνῃ; τί οὗτοί σου καταμαρτυροῦσιν;

[e] σιωπή. 63 Ὁ δὲ Ἰησοῦς [e] ἐσιώπα. Καὶ [f] ἀποκριθεὶς
[f] κρίνω. ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ, Ἐξορκίζω σε κατὰ τοῦ
[g] εἰμί. Θεοῦ τοῦ ζῶντος ἵνα ἡμῖν εἴπῃς εἰ σὺ [g] εἶ ὁ Χρι-
στὸς ὁ υἱὸς τοῦ Θεοῦ.

64 Λέγει αὐτῷ ὁ Ἰησοῦς, Σὺ εἶπας. πλὴν
[h] ὄπτομαι. λέγω ὑμῖν, ἀπ' ἄρτι [h] ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώ-
[i] ἧμαι. που [i] καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως, καὶ ἐρ-
χόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ.

[k] ῥήσσω. 65 Τότε ὁ ἀρχιερεὺς [k] διέρρηξε τὰ ἱμάτια
[l] φάω. αὐτοῦ, λέγων, ὅτι [l] Ἐβλασφήμησε· τί ἔτι χρεί-
αν ἔχομεν μαρτύρων; ἴδε, νῦν ἠκούσατε τὴν
βλασφημίαν αὐτοῦ.

66 Τί ὑμῖν δοκεῖ; Οἱ δὲ ἀποκριθέντες εἶ-
[m] εἰμί. πον, Ἔνοχος θανάτου [m] ἐστί.

[n] πτύω. 67 Τότε [n] ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ,
[o] κολάπτω. καὶ [o] ἐκολάφισαν αὐτόν· οἱ δὲ [p] ἐρράπισαν,

[p] ῥαπίς. 68 Λέγοντες, [l] Προφήτευσον ἡμῖν Χριστέ,
τίς [m] ἐστιν ὁ παίσας σε.

[q] ἧμαι. 69 ¶ Ὁ δὲ Πέτρος ἔξω [q] ἐκάθητο ἐν τῇ
[r] ἔρχομαι. αὐλῇ· καὶ [r] προσῆλθεν αὐτῷ μία παιδίσκη,
λέγουσα, Καὶ σὺ [m] ἦσθα μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου.

70 Ὁ δὲ [s] ἠρνήσατο ἔμπροσθεν πάντων, λέ-
γων, Οὐκ [t] οἶδα τί λέγεις. [s] ἀρνέομαι.
71 [r] Ἐξελθόντα δὲ αὐτὸν εἰς τὸν πυλῶνα, [t] εἴδω.
εἶδεν αὐτὸν ἄλλη, καὶ λέγει τοῖς ἐκεῖ, Καὶ οὗτος
[u] ἦν μετὰ Ἰησοῦ τοῦ Ναζωραίου.
72 Καὶ πάλιν [s] ἠρνήσατο μεθ' ὅρκου, Ὅτι οὐκ [u] εἰμί.
[t] οἶδα τὸν ἄνθρωπον.
73 Μετὰ μικρὸν δὲ [r] προσελθόντες οἱ //
[x] ἑστῶτες εἶπον τῷ Πέτρῳ, Ἀληθῶς καὶ σὺ ἐξ [x] ἵστημι.
αὐτῶν [u] εἶ· καὶ γὰρ ἡ λαλιά σου δῆλόν σε ποιεῖ.
74 Τότε [y] ἤρξατο [z] καταναθεματίζειν, καὶ [y] ἄρχω. //
ὀμνύειν, Ὅτι οὐκ [t] οἶδα τὸν ἄνθρωπον. Καὶ [z] τίθημι.
εὐθέως ἀλέκτωρ * ἐφώνησε. * φωνέω.
75 Καὶ [a] ἐμνήσθη ὁ Πέτρος τοῦ ῥήματος τοῦ [a] μιμνήσκο-
Ἰησοῦ, [b] εἰρηκότος αὐτῷ, Ὅτι πρὶν ἀλέκτο- μαι.
ρα φωνῆσαι, τρὶς [s] ἀπαρνήσῃ με. Καὶ [r] ἐξελ- [b] εἴδω.
θὼν ἔξω, [c] ἔκλαυσε πικρῶς. [c] κλαίω.

Κεφ. κζ. Cap. XXVII.

Πρωΐας δὲ [a] γενομένης, συμβούλιον [b] ἔλα- [a] γίνομαι.
βον πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτε- [b] λαμβάνω.
ροι τοῦ λαοῦ κατὰ τοῦ Ἰησοῦ, ὥστε [c] θανατῶσαι αὐ- [c] θνήσκω.
τόν.
2 Καὶ [d] δήσαντες αὐτὸν [e] ἀπήγαγον, καὶ [d] δέω.
[f] παρέδωκαν αὐτὸν Ποντίῳ Πιλάτῳ τῷ ἡγε- [e] ἄγω.
μόνι. [f] δίδωμι.
3 Τότε ἰδὼν Ἰούδας ὁ [f] παραδιδοὺς αὐτὸν, [g] κρίνω.
ὅτι [g] κατεκρίθη, [k] μεταμεληθεὶς [i] ἀπέστρεψε [h] μέλει.
τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσι καὶ τοῖς [i] στρέφω.
πρεσβυτέροις, [k] ἁμαρτάνω.
4 Λέγων, [k] Ἥμαρτον, [l] παραδοὺς αἷμα ἀ- [l] δίδωμι.
θῶον. Οἱ δὲ εἶπον, Τί πρὸς ἡμᾶς; σὺ [m] ὄψει. [m] ὄπτομαι.
5 Καὶ [n] ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ, [o] ἀν- [n] ῥίπτω. //
εχώρησε· καὶ [p] ἀπελθὼν [q] ἀπήγξατο. [o] χῶρος.
6 Οἱ δὲ ἀρχιερεῖς, [r] λαβόντες τὰ ἀργύρια, [p] ἔρχομαι.
εἶπον, Οὐκ [s] ἔξεστι [t] βαλεῖν αὐτὰ εἰς τὸν κορβα- [q] ἄγχω.
νᾶν· ἐπεὶ τιμὴ αἵματός ἐστι. [r] λαμβάνω.
7 Συμβούλιον δὲ [r] λαβόντες, [u] ἠγόρασαν ἐξ [s] εἰμί. //
αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως, εἰς ταφὴν τοῖς [t] βάλλω.
ξένοις. [u] ἀγοράζω.

8 Διὸ [x] ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος, ἀγρὸς αἵματος, ἕως τῆς σήμερον.

9 (Τότε [y] ἐπληρώθη τὸ [z] ῥηθὲν διὰ Ἰερεμίου τοῦ προφήτου, λέγοντος, Καὶ [a] ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ [b] τετιμημένου, ὃν [b] ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ.

10 Καὶ [c] ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ [d] συνέταξέ μοι Κύριος.)

11 ¶ Ὁ δὲ Ἰησοῦς [e] ἔστη ἔμπροσθεν τοῦ ἡγεμόνος· καὶ [f] ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμὼν, λέγων, Σὺ [c] εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ Ἰησοῦς [g] ἔφη αὐτῷ, Σὺ λέγεις.

12 Καὶ ἐν τῷ [h] κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ τῶν πρεσβυτέρων, οὐδὲν ἀπεκρίνατο.

13 Τότε λέγει αὐτῷ ὁ Πιλάτος, Οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσι;

14 Καὶ οὐκ [i] ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ ἓν ῥῆμα· ὥστε θαυμάζειν τὸν ἡγεμόνα λίαν.

15 Κατὰ δὲ ἑορτὴν * εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ δέσμιον, ὃν [l] ἤθελον.

16 Εἶχον δὲ τότε δέσμιον ἐπίσημον λεγόμενον Βαραββᾶν.

17 [m] Συνηγμένων οὖν αὐτῶν, εἶπεν αὐτοῖς ὁ Πιλάτος, Τίνα θέλετε ἀπολύσω ὑμῖν; Βαραββᾶν; ἢ Ἰησοῦν τὸν λεγόμενον Χριστόν;

18 [n] Ἤδει γὰρ ὅτι διὰ φθόνον [o] παρέδωκαν αὐτόν.

19 [p] Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος, [q] ἀπέστειλε πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ, λέγουσα, Μηδέν σοι καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ [r] ἔπαθον σήμερον κατ' ὄναρ δι' αὐτόν.

20 Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι [s] ἔπεισαν τοὺς ὄχλους ἵνα [t] αἰτήσωνται τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν [u] ἀπολέσωσιν.

21 [x] Ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν εἶπεν αὐτοῖς, Τίνα θέλετε ἀπὸ τῶν δύο ἀπολύσω ὑμῖν; Οἱ δὲ εἶπον, Βαραββᾶν.

22 Λέγει αὐτοῖς ὁ Πιλάτος, Τί οὖν ποιήσω Ἰησοῦν τὸν λεγόμενον Χριστόν; λέγουσιν αὐτῷ πάντες, [y] Σταυρωθήτω.

23 Ὁ

[x] καλέω.
[y] πλέος.
[z] ῥέω.
[a] λαμβάνω.
[b] τίω.
[c] δίδωμι. //
[d] τάττω.
[e] ἵστημι.
[f] ἐρωτάω.
[g] φάω.
[h] ἀγορά.
[i] κρίνω.
[k] ἔθω.
[l] θέλω.
[m] ἄγω.
[n] εἴδω.
[o] δίδωμι.
[p] ἧμαι.
[q] στέλλω.
[r] πάσχω.
[s] πείθω.
[t] αἰτέω.
[u] ὀλλύω.
[x] κρίνω.
[y] σταυρός.

23 Ὁ δὲ ἡγεμὼν ἔφη, Τί γὰρ κακὸν [a] ἐποίησεν; Οἱ δὲ περισσῶς ἔκραζον, λέγοντες, [y] Σταυρωθήτω.

24 [b] Ἰδὼν δὲ ὁ Πιλάτος, ὅτι οὐδὲν ὠφελεῖ, ἀλλὰ μᾶλλον θόρυβος γίνεται, [c] λαβὼν ὕδωρ [d] ἀπενίψατο τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου, λέγων, Ἀθῶός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου· ὑμεῖς [e] ὄψεσθε.

25 Καὶ [f] ἀποκριθεὶς πᾶς ὁ λαὸς εἶπε, Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν.

26 Τότε [g] ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν· τὸν δὲ Ἰησοῦν φραγελλώσας [h] παρέδωκεν ἵνα [i] σταυρωθῇ.

27 Τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος [k] παραλαβόντες τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον, [l] συνήγαγον ἐπ' αὐτὸν ὅλην τὴν σπεῖραν.

28 Καὶ [m] ἐκδύσαντες αὐτὸν, [n] περιέθηκαν αὐτῷ χλαμύδα κοκκίνην.

29 Καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν, [n] ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ κάλαμον ἐπὶ τὴν δεξιὰν αὐτοῦ· καὶ [o] γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ, [p] ἐνέπαιζον αὐτῷ, λέγοντες, Χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων.

30 Καὶ [q] ἐμπτύσαντες εἰς αὐτὸν, [r] ἔλαβον τὸν κάλαμον, καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ.

31 Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, [s] ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα, καὶ [s] ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ, καὶ [t] ἀπήγαγον αὐτὸν εἰς τὸ [u] σταυρῶσαι.

32 Ἐξερχόμενοι δὲ [x] εὗρον ἄνθρωπον Κυρηναῖον, ὀνόματι Σίμωνα· τοῦτον [y] ἠγγάρευσαν ἵνα [z] ἄρῃ τὸν σταυρὸν αὐτοῦ.

33 Καὶ [a] ἐλθόντες εἰς τόπον λεγόμενον Γολγοθᾶ, ὅς [b] ἐστι λεγόμενος Κρανίου τόπος,

34 [c] Ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς [d] μεμιγμένον· καὶ γευσάμενος οὐκ [e] ἤθελε [f] πιεῖν.

35 Σταυρώσαντες δὲ αὐτὸν, [g] διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον· ἵνα [h] πληρωθῇ τὸ [i] ῥηθὲν ὑπὸ τοῦ προφήτου, [g] Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου [k] ἔβαλον κλῆρον.

36 Καὶ

[a] ποιέω.
[b] εἴδω. //
[c] λαμβάνω.
[d] νίπτω.
[e] ὄπτομαι.
[f] κρίνω.
[g] λύω.
[h] δίδωμι.
[i] σταυρός.
[k] λαμβάνω.
[l] ἄγω.
[m] δύω.
[n] τίθημι.
[o] πίπτω. //
[p] παίζω.
[q] πτύω.
[r] λαμβάνω.
[s] δύω.
[t] ἄγω.
[u] σταυρός. //
[x] εὑρίσκω.
[y] ἀγγαρεύω.
[z] αἴρω.
[a] ἔρχομαι.
[b] εἰμί.
[c] δίδωμι.
[d] μίγνυμι.
[e] θέλω. //
[f] πίνω.
[g] μείρω.
[h] πλέος.
[i] ῥέω.
[k] βάλλω.

36 Καὶ [l] καθήμενοι [m] ἐτήρουν αὐτὸν ἐκεῖ.

37 Καὶ [n] ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ [o] γεγραμμένην, ΟΥΤΟΣ [p] ΕΣΤΙΝ ΙΗΣΟΥΣ Ο ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ.

38 Τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταὶ, εἷς ἐκ δεξιῶν, καὶ εἷς ἐξ εὐωνύμων.

39 ¶ Οἱ δὲ [q] παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν,

40 Καὶ λέγοντες, Ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, [r] σῶσον σεαυτόν. εἰ υἱὸς [s] εἶ τοῦ Θεοῦ, [t] κατάβηθι ἀπὸ τοῦ σταυροῦ.

41 Ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς, [u] ἐμπαίζοντες μετὰ τῶν γραμματέων καὶ πρεσβυτέρων, ἔλεγον,

42 Ἄλλους [x] ἔσωσεν, ἑαυτὸν οὐ δύναται [x] σῶσαι· εἰ βασιλεὺς Ἰσραήλ ἐστι, [y] καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύσομεν αὐτῷ.

43 [z] Πέποιθεν ἐπὶ τὸν Θεόν· [a] ῥυσάσθω νῦν αὐτὸν, εἰ θέλει αὐτόν. εἶπε γὰρ, Ὅτι Θεοῦ εἰμι υἱός.

44 Τὸ δ' αὐτὸ καὶ οἱ λῃσταὶ οἱ [b] συσταυρωθέντες αὐτῷ, [c] ὠνείδιζον αὐτῷ.

45 ¶ Ἀπὸ δὲ ἕκτης ὥρας σκότος [d] ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν, ἕως ὥρας ἐννάτης.

46 Περὶ δὲ τὴν ἐννάτην ὥραν [e] ἀνεβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, λέγων, Ἠλὶ, Ἠλὶ, λαμὰ σαβαχθανί; τοῦτ' [f] ἔστι, Θεέ μου, Θεέ μου, ἱνατί με [g] ἐγκατέλιπες;

47 Τινὲς δὲ τῶν ἐκεῖ [h] ἑστώτων ἀκούσαντες ἔλεγον, Ὅτι Ἠλίαν φωνεῖ οὗτος.

48 Καὶ εὐθέως [x] δραμὼν εἷς ἐξ αὐτῶν, καὶ [i] λαβὼν σπόγγον, [k] πλήσας τε ὄξους, καὶ [l] περιθεὶς καλάμῳ, ἐπότιζεν αὐτόν.

49 Οἱ δὲ λοιποὶ ἔλεγον, [m] Ἄφες, [n] ἴδωμεν εἰ ἔρχεται Ἠλίας [o] σώσων αὐτόν.

50 Ὁ δὲ Ἰησοῦς πάλιν [p] κράξας φωνῇ μεγάλῃ, [q] ἀφῆκε τὸ πνεῦμα.

51 Καὶ ἰδοὺ, τὸ καταπέτασμα τοῦ ναοῦ [r] ἐσχίσθη εἰς δύο ἀπὸ ἄνωθεν ἕως κάτω· καὶ ἡ γῆ [s] ἐσείσθη, καὶ αἱ πέτραι [r] ἐσχίσθησαν·

52 Καὶ

[l] ἧμαι.
[m] τηρέω.
[n] τίθημι.
[o] γράφω.
[p] εἰμί.
[q] πείρω.
[r] σόος.
[s] εἰμί.
[t] βαίνω.
[u] παῖς.
[x] σόος.
[y] βαίνω.
[z] πείθω.
[a] ῥύω.
[b] σταυρός.
[c] ὄνειδος.
[d] γίνομαι.
[e] βοή.
[f] εἰμί.
[g] λείπω.
[h] ἵστημι.
[x] τρέχω.
[i] λαμβάνω.
[k] πλέος.
[l] τίθημι.
[m] ἐάω.
[n] εἴδω.
[o] σόος.
[p] κράζω.
[q] ἕω.
[r] σχίζω.
[s] σείω.

52 Καὶ τὰ μνημεῖα [t] ἀνεῴχθησαν· καὶ πολλὰ σώματα τῶν [u] κεκοιμημένων ἁγίων [x] ἠγέρθη,

[t] οἴγω.
[u] κοιμάω.
[x] ἐγείρω. //

53 Καὶ [y] ἐξελθόντες ἐκ τῶν μνημείων μετὰ τὴν ἔγερσιν αὐτοῦ [y] εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν, καὶ [z] ἐνεφανίσθησαν πολλοῖς.

[y] ἔρχομαι.
[z] φαίνω.

54 Ὁ δὲ ἑκατόνταρχος, καὶ οἱ μετ' αὐτοῦ τηροῦντες τὸν Ἰησοῦν, [a] ἰδόντες τὸν σεισμὸν καὶ τὰ [b] γενόμενα, [c] ἐφοβήθησαν σφόδρα· λέγοντες, Ἀληθῶς Θεοῦ υἱὸς [d] ἦν οὗτος.

[a] εἴδω.
[b] γίνομαι.
[c] φοβέομαι.

55 [d] Ἦσαν δὲ ἐκεῖ γυναῖκες πολλαὶ ἀπὸ μακρόθεν [e] θεωροῦσαι, [f] αἵτινες [g] ἠκολούθησαν τῷ Ἰησοῦ ἀπὸ τῆς Γαλιλαίας [h] διακονοῦσαι αὐτῷ.

[d] εἰμί.
[e] θεωρέω.
[f] ὅστις.
[g] ἀκολουθέω.
[h] κονία.

56 Ἐν αἷς [d] ἦν Μαρία ἡ Μαγδαληνή, καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Ἰωσῆ μήτηρ, καὶ μήτηρ τῶν υἱῶν τοῦ Ζεβεδαίου.

57 ¶ Ὀψίας δὲ [e] γενομένης [f] ἦλθεν ἄνθρωπος πλούσιος ἀπὸ Ἀριμαθαίας, τοὔνομα Ἰωσήφ, ὃς καὶ αὐτὸς [g] ἐμαθήτευσε τῷ Ἰησοῦ·

[e] γίνομαι. //
[f] ἔρχομαι.
[g] μανθάνω.

58 Οὗτος [f] προσελθὼν τῷ Πιλάτῳ [g] ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. Τότε ὁ Πιλάτος ἐκέλευσεν [h] ἀποδοθῆναι τὸ σῶμα.

[h] δίδωμι.

59 Καὶ [i] λαβὼν τὸ σῶμα ὁ Ἰωσήφ, [k] ἐνετύλιξεν αὐτὸ σινδόνι καθαρᾷ.

[i] λαμβάνω.
[k] τύλος.

60 Καὶ [l] ἔθηκεν αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ, ὃ [m] ἐλατόμησεν ἐν τῇ πέτρᾳ. καὶ [n] προσκυλίσας λίθον μέγαν τῇ θύρᾳ τοῦ μνημείου [o] ἀπῆλθεν.

[l] τίθημι.
[m] τέμνω.
[n] κυλίω.
[o] ἔρχομαι.

61 [p] Ἦν δὲ ἐκεῖ ἡ Μαρία Μαγδαληνή, καὶ ἡ ἄλλη Μαρία [q] καθήμεναι ἀπέναντι τοῦ τάφου.

[p] εἰμί.
[q] ἧμαι.

62 ¶ Τῇ δὲ ἐπαύριον, ἥτις [p] ἐστὶ μετὰ τὴν παρασκευήν, [r] συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι πρὸς Πιλάτον,

[r] ἄγω.

63 Λέγοντες, Κύριε, [t] ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν, ἔτι [u] ζῶν, Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι.

[t] μιμνήσκομαι.
[u] ζάω.

64 Κέλευσον οὖν [x] ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας· μήποτε [o] ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ νυκτὸς [y] κλέψωσιν αὐτόν, καὶ εἴπωσι τῷ λαῷ, [z] Ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ

[x] σφάλλω.
[y] κλέπτω.
[z] ἐγείρω.

ἔσται

* κακός.
[a] φάω.
[b] σφάλλω.
[c] εἴδω.
[d] πορεύω.
[a] φαίνω.
[b] ἔρχομαι.
[c] θεωρός.
[d] γίνομαι.
[e] βαίνω.
[f] ἔρχομαι.
[g] κυλίω.
[h] ἧμαι.
[i] εἰμί.
[k] σείω.
[l] γίνομαι.
[m] κρίνω.
[n] φοβέομαι.
[o] εἴδω.
[p] σταυρός.
[q] ἐγείρω.
[r] εἴδω.
[s] κεῖμαι.
[t] πορεύω.
[u] ἐγείρω.
[x] ὄπτομαι.
[y] ἔρχομαι.
[z] τρέχω.
[a] πορεύω.
[b] ἀντία.
[c] ἔρχομαι.
[d] κράτος.
[e] κυνέω.
[f] φοβέομαι.
[g] ἔρχομαι.
[h] ὄπτομαι.
[i] πορεύω.

[p] ἔσται ἡ ἐσχάτη πλάνη * χείρων τῆς πρώτης.

65 [a] Ἔφη δὲ αὐτοῖς ὁ Πιλάτος, Ἔχετε κουστωδίαν· ὑπάγετε [b] ἀσφαλίσασθε ὡς [c] οἴδατε.

66 Οἱ δὲ [d] πορευθέντες [b] ἠσφαλίσαντο τὸν τάφον, σφραγίσαντες τὸν λίθον, μετὰ τῆς κουστωδίας.

Κεφ. κή. Cap. XXVIII.

Ὀψὲ δὲ σαββάτων τῇ [a] ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων, [b] ἦλθε Μαρία ἡ Μαγδαληνὴ, καὶ ἡ ἄλλη Μαρία, [c] θεωρῆσαι τὸν τάφον.

2 Καὶ ἰδοὺ, σεισμὸς [d] ἐγένετο μέγας· ἄγγελος γὰρ Κυρίου [e] καταβὰς ἐξ οὐρανοῦ, [f] προσελθὼν [g] ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας, καὶ [h] ἐκάθητο ἐπάνω αὐτοῦ.

3 [i] Ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπὴ, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών.

4 Ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ [k] ἐσείσθησαν οἱ τηροῦντες, καὶ [l] ἐγένοντο ὡσεὶ νεκροί.

5 [m] Ἀποκριθεὶς δὲ ὁ ἄγγελος εἶπε ταῖς γυναιξὶ, Μὴ [n] φοβεῖσθε ὑμεῖς. [o] οἶδα γὰρ ὅτι Ἰησοῦν τὸν [p] ἐσταυρωμένον ζητεῖτε.

6 Οὐκ [i] ἔστιν ὧδε. [q] ἠγέρθη γὰρ, καθὼς εἶπε· δεῦτε, [r] ἴδετε τὸν τόπον ὅπου [s] ἔκειτο ὁ Κύριος.

7 Καὶ ταχὺ [t] πορευθεῖσαι εἴπατε τοῖς μαθηταῖς αὐτοῦ ὅτι [u] ἠγέρθη ἀπὸ τῶν νεκρῶν. καὶ ἰδοὺ, προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν [x] ὄψεσθε. ἰδοὺ, εἶπον ὑμῖν.

8 Καὶ [y] ἐξελθοῦσαι ταχὺ ἀπὸ τοῦ μνημείου μετὰ φόβου καὶ χαρᾶς μεγάλης, [z] ἔδραμον ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ.

9 Ὡς δὲ [a] ἐπορεύοντο ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ, καὶ ἰδοὺ ὁ Ἰησοῦς [b] ἀπήντησεν αὐταῖς, λέγων, Χαίρετε. Αἱ δὲ [c] προσελθοῦσαι [d] ἐκράτησαν αὐτοῦ τοὺς πόδας, καὶ [e] προσεκύνησαν αὐτῷ.

10 Τότε λέγει αὐταῖς ὁ Ἰησοῦς, Μὴ [f] φοβεῖσθε· ὑπάγετε, ἀπαγγείλατε τοῖς ἀδελφοῖς μου ἵνα [g] ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ με [h] ὄψονται.

11 ¶ [i] Πορευομένων δὲ αὐτῶν ἰδοὺ, τινὲς τῆς

κουστωδίας [g] ἐλθόντες εἰς τὴν πόλιν [k] ἀπήγγειλαν τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα.

12 Καὶ [l] συναχθέντες μετὰ τῶν πρεσβυτέρων, συμβούλιόν τε [m] λαβόντες, ἀργύρια ἱκανὰ [n] ἔδωκαν τοῖς στρατιώταις,

13 Λέγοντες, Εἴπατε ὅτι οἱ μαθηταὶ αὐτοῦ νυκτὸς † ἐλθόντες [o] ἔκλεψαν αὐτὸν ἡμῶν [p] κοιμωμένων.

14 Καὶ ἐὰν [q] ἀκουσθῇ τοῦτο ἐπὶ τοῦ ἡγεμόνος, ἡμεῖς [r] πείσομεν αὐτὸν, καὶ ὑμᾶς ἀμερίμνους ποιήσομεν.

15 Οἱ δὲ [s] λαβόντες τὰ ἀργύρια, ἐποίησαν ὡς [t] ἐδιδάχθησαν· καὶ [u] διεφημίσθη ὁ λόγος οὗτος παρὰ Ἰουδαίοις μέχρι τῆς σήμερον.

16 ¶ Οἱ δὲ ἕνδεκα μαθηταὶ [x] ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος οὗ [y] ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς.

17 Καὶ [z] ἰδόντες αὐτὸν, [a] προσεκύνησαν αὐτῷ. οἱ δὲ [b] ἐδίστασαν.

18 Καὶ [c] προσελθὼν ὁ Ἰησοῦς ἐλάλησεν αὐτοῖς, λέγων, [d] Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.

19 [e] Πορευθέντες οὖν [f] μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος·

20 Διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα [g] ἐνετειλάμην ὑμῖν· καὶ ἰδοὺ, ἐγὼ μεθ' ὑμῶν εἰμὶ πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. Ἀμήν.

[k] ἀγγέλλω.
[l] ἄγω.
[m] λαμβάνω.
[n] δίδωμι.
† ἔρχομαι.
[o] κλέπτω.
[p] κοιμάω.
[q] ἀκούω.
[r] πείθω.
[s] λαμβάνω.
[t] διδάσκω.
[u] φάω.
[x] πείρω.
[y] τάττω.
[z] εἴδω.
[a] κύω.
[b] δίς.
[c] ἔρχομαι.
[d] δίδωμι.
[e] πείρω.
[f] μανθάνω.
[g] τέλλω.

BRITISH MUSEUM

ΤΟ ΚΑΤΑ ΜΑΡΚΟΝ ΕΥΑΓΓΕΛΙΟΝ.

Κεφάλαιον α. Caput I.

ΑΡΧῊ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ, υἱοῦ τοῦ Θεοῦ·

[a] γράφω. 2 Ὡς [b] γέγραπται ἐν τοῖς προφήταις, Ἰδοὺ, ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου.

[b] ἕτοιμος. 3 Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, [b] Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.

[c] γίνομαι. 4 [c] Ἐγένετο Ἰωάννης βαπτίζων ἐν τῇ ἐρήμῳ, καὶ κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν.

[d] πορεύομ. 5 Καὶ [d] ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία χώρα, καὶ οἱ Ἱεροσολυμῖται· καὶ ἐβαπτίζοντο πάντες ἐν τῷ Ἰορδάνῃ ποταμῷ ὑπ' αὐτοῦ, [e] ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν.

[e] λέγω.
[f] εἰμί.
[g] δύω.
[h] θρίξ.

// 6 [f] Ἦν δὲ Ἰωάννης [g] ἐνδεδυμένος [h] τρίχας καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ· καὶ ἐσθίων ἀκρίδας καὶ μέλι ἄγριον.

[i] κήρυξ.
[k] κύπτω.
[l] λύω.

// 7 Καὶ [i] ἐκήρυσσε, λέγων, Ἔρχεται ὁ ἰσχυρότερός μου ὀπίσω μου, οὗ οὐκ εἰμὶ ἱκανὸς [k] κύψας [l] λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ.

8 Ἐγὼ μὲν ἐβάπτισα ὑμᾶς ἐν ὕδατι, αὐτὸς δὲ βαπτίσει ὑμᾶς ἐν πνεύματι ἁγίῳ.

[m] γίνομαι.
[n] ἔρχομαι.

9 ¶ Καὶ [m] ἐγένετο ἐν ἐκείναις ταῖς ἡμέραις, [n] ἦλθεν Ἰησοῦς ἀπὸ Ναζαρὲθ τῆς Γαλιλαίας, καὶ ἐβαπτίσθη ὑπὸ Ἰωάννου εἰς τὸν Ἰορδάνην.

10 Καὶ εὐθέως ἀναβαίνων ἀπὸ τοῦ ὕδατος, εἶδε σχιζομένους τοὺς οὐρανοὺς, καὶ τὸ Πνεῦμα ὡσεὶ περιστερὰν καταβαῖνον ἐπ' αὐτόν.

11 Καὶ φωνὴ [m] ἐγένετο ἐκ τῶν οὐρανῶν, Σὺ [f] εἶ ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα.

12 Καὶ εὐθὺς τὸ Πνεῦμα αὐτὸν ἐκβάλλει εἰς τὴν ἔρημον·

13 Καὶ [f] ἦν ἐκεῖ ἐν τῇ ἐρήμῳ ἡμέρας τεσσαράκοντα, πειραζόμενος ὑπὸ τοῦ σατανᾶ. καὶ [f] ἦν μετὰ τῶν θηρίων· καὶ οἱ ἄγγελοι [g] διηκόνουν αὐτῷ.

[g] κονίω.

14 ¶ Μετὰ δὲ τὸ [h] παραδοθῆναι τὸν Ἰωάννην, [n] ἦλθεν ὁ Ἰησοῦς εἰς τὴν Γαλιλαίαν, κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας τοῦ Θεοῦ.

[h] δίδωμι.

15 Καὶ λέγων, Ὅτι [k] πεπλήρωται ὁ καιρὸς, καὶ [l] ἤγγικεν ἡ βασιλεία τοῦ Θεοῦ· [x] μετανοεῖτε, καὶ πιστεύετε ἐν τῷ εὐαγγελίῳ.

[k] πλέος.
[l] ἐγγύς.
[x] νόος.

16 ¶ Περιπατῶν δὲ παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, εἶδε Σίμωνα καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον ἐν τῇ θαλάσσῃ, ([f] ἦσαν γὰρ ἁλιεῖς.)

17 Καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς [m] γενέσθαι ἁλιεῖς ἀνθρώπων.

[m] γίνομαι.

18 Καὶ εὐθέως [o] ἀφέντες τὰ δίκτυα αὐτῶν, * ἠκολούθησαν αὐτῷ.

[o] ἕω.
* ἀκόλουθος.

19 Καὶ [p] προβὰς ἐκεῖθεν ὀλίγον, εἶδεν Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, καὶ αὐτοὺς ἐν τῷ πλοίῳ [q] καταρτίζοντας τὰ δίκτυα.

[p] βαίνω.
[q] ἄρτιος.

20 Καὶ εὐθέως [r] ἐκάλεσεν αὐτούς· καὶ [s] ἀφέντες τὸν πατέρα αὐτῶν Ζεβεδαῖον ἐν τῷ πλοίῳ μετὰ τῶν μισθωτῶν, [t] ἀπῆλθον ὀπίσω αὐτοῦ.

[r] καλέω.
[s] ἕω.
[t] ἔρχομαι.

21 ¶ Καὶ [u] εἰσπορεύονται εἰς Καπερναούμ· καὶ εὐθέως τοῖς σάββασιν [t] εἰσελθὼν εἰς τὴν συναγωγὴν * ἐδίδασκε.

[u] πείρω.
* διδάσκω.

22 Καὶ [x] ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ· [y] ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς.

[x] πλήσσω.
[y] εἰμί.

23 Καὶ [y] ἦν ἐν τῇ συναγωγῇ αὐτῶν ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ· καὶ [z] ἀνέκραξε,

[z] κράζω.

24 Λέγων, [b] Ἔα· τί ἡμῖν καὶ σοὶ Ἰησοῦ Ναζαρηνέ; [c] ἦλθες [d] ἀπολέσαι ἡμᾶς; [e] οἶδά σε τίς [f] εἶ, ὁ ἅγιος τοῦ Θεοῦ.

[b] ἐάω.
[c] ἔρχομαι.
[d] ὀλλύω.
[e] εἴδω.
[f] εἰμί.

25 Καὶ [g] ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, λέγων, [h] Φιμώθητι καὶ [i] ἔξελθε ἐξ αὐτοῦ.

[g] τίω.
[h] φιμόω.
[i] ἔρχομαι.

26 Καὶ

[k] σπαράσσω.
[l] κράζω.
[m] ἔρχομαι.

26 Καὶ [k] σπαράξαν αὐτὸν τὸ πνεῦμα τὸ ἀκάθαρτον, ϗ [l] κράξαν φωνῇ μεγάλῃ, [m] ἐξῆλθεν ἐξ αὐτοῦ.

[n] θάμβος.
[o] εἰμί.

27 Καὶ [n] ἐθαμβήθησαν πάντες, ὥστε συζητεῖν πρὸς αὐτοὺς, λέγοντας· Τί [o] ἐστι τοῦτο; τίς ἡ διδαχὴ ἡ καινὴ αὕτη, ὅτι κατ' ἐξουσίαν ϗ τοῖς πνεύμασι τοῖς ἀκαθάρτοις ἐπιτάσσει, ϗ ὑπακούουσιν αὐτῷ;

28 [m] Ἐξῆλθε δὲ ἡ ἀκοὴ αὐτοῦ εὐθὺς εἰς ὅλην τὴν περίχωρον τῆς Γαλιλαίας.

29 ¶ Καὶ εὐθέως ἐκ τῆς συναγωγῆς [m] ἐξελθόντες, [m] ἦλθον εἰς τὴν οἰκίαν Σίμωνος ϗ Ἀνδρέου, μετὰ Ἰακώβου ϗ Ἰωάννου.

[p] κεῖμαι.
[q] πῦρ.

30 Ἡ δὲ πενθερὰ Σίμωνος [p] κατέκειτο [q] πυρέσσουσα· ϗ εὐθέως λέγουσιν αὐτῷ περὶ αὐτῆς.

[r] ἔρχομαι.
[s] ἐγείρω.
[t] κράτος.
[u] ἕω.
[x] κονέω.

31 Καὶ [r] προσελθὼν [s] ἤγειρεν αὐτὴν, [t] κρατήσας τῆς χειρὸς αὐτῆς ϗ [u] ἀφῆκεν αὐτὴν ὁ πυρετὸς εὐθέως, ϗ [x] διηκόνει αὐτοῖς.

[y] γίνομαι.
[z] δύω.
* φέρω.

32 Ὀψίας δὲ [y] γενομένης, ὅτε [z] ἔδυ ὁ ἥλιος, * ἔφερον πρὸς αὐτὸν πάντας τοὺς κακῶς ἔχοντας ϗ τοὺς δαιμονιζομένους·

[a] ἄγω.
[b] εἰμί.

33 Καὶ ἡ πόλις ὅλη [a] ἐπισυνηγμένη [b] ἦν πρὸς τὴν θύραν.

[c] θεράπων.
[d] βάλλω.
[e] ἕω.
[f] εἴδω.

34 Καὶ [c] ἐθεράπευσε πολλοὺς κακῶς ἔχοντας ποικίλαις νόσοις· ϗ δαιμόνια πολλὰ [d] ἐξέβαλε, ϗ οὐκ [e] ἤφιε λαλεῖν τὰ δαιμόνια ὅτι [f] ᾔδεισαν αὐτόν.

[g] νύξ.
[h] ἵστημι.
[i] ἔρχομαι.
[k] ϗ ἐκεῖ.
[l] εὐχή.

35 ¶ Καὶ πρωῒ, [g] ἔννυχον λίαν, [h] ἀναστὰς [i] ἐξῆλθε· ϗ [i] ἀπῆλθεν εἰς ἔρημον τόπον, [k] κἀκεῖ [l] προσηύχετο.

[m] διώκω.

36 Καὶ [m] κατεδίωξαν αὐτὸν ὁ Σίμων ϗ οἱ μετ' αὐτοῦ.

[n] εὑρίσκω.

37 Καὶ [n] εὑρόντες αὐτὸν, λέγουσιν αὐτῷ, Ὅτι πάντες ζητοῦσί σε.

38 Καὶ λέγει αὐτοῖς, Ἄγωμεν εἰς τὰς ἐχομένας κωμοπόλεις, ἵνα [k] κἀκεῖ κηρύξω. εἰς τοῦτο γὰρ [i] ἐξελήλυθα.

[x] εἰμί.

39 Καὶ [x] ἦν κηρύσσων ἐν ταῖς συναγωγαῖς

αὐτῶν, εἰς ὅλην τὴν Γαλιλαίαν, καὶ τὰ δαιμόνια ἐκβάλλων.

40 ¶ Καὶ ἔρχεται πρὸς αὐτὸν λεπρὸς, παρακαλῶν αὐτὸν καὶ [n] γονυπετῶν αὐτὸν, καὶ λέγων αὐτῷ, Ὅτι, ἐὰν θέλῃς, δύνασαί με [o] καθαρίσαι.

[n] πίπτω.
[o] καθαίρω.

41 Ὁ δὲ Ἰησοῦς σπλαγχνισθεὶς, ἐκτείνας τὴν χεῖρα, [p] ἥψατο αὐτοῦ, καὶ λέγει αὐτῷ, Θέλω, καθαρίσθητι.

[p] ἅπτω.

42 Καὶ εἰπόντος αὐτοῦ, εὐθέως ἀπῆλθεν ἀπ' αὐτοῦ ἡ λέπρα, καὶ [p] ἐκαθαρίσθη.

43 Καὶ [q] ἐμβριμησάμενος αὐτῷ, εὐθέως [r] ἐξέβαλεν αὐτόν·

//
[q] βριμάομαι.
[r] βάλλω.

44 Καὶ λέγει αὐτῷ, * Ὅρα μηδενὶ μηδὲν εἴπῃς· ἀλλ' ὕπαγε, σεαυτὸν [s] δεῖξον τῷ ἱερεῖ, καὶ [t] προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου ἃ [u] προσέταξε Μωσῆς, εἰς μαρτύριον αὐτοῖς.

* ὁράω.
[s] δεικνύω.
[t] φέρω.
[u] τάττω.

45 Ὁ δὲ [x] ἐξελθὼν [y] ἤρξατο κηρύσσειν πολλὰ, καὶ διαφημίζειν τὸν λόγον· ὥστε μηκέτι αὐτὸν δύνασθαι φανερῶς εἰς πόλιν [x] εἰσελθεῖν· ἀλλ' ἔξω ἐν ἐρήμοις τόποις [z] ἦν, καὶ [x] ἤρχοντο πρὸς αὐτὸν πανταχόθεν.

[x] ἔρχομαι.
[y] ἄρχω. //
[z] εἰμί.

Κεφ. β. Cap. II.

ΚΑΙ πάλιν [a] εἰσῆλθεν εἰς Καπερναοὺμ δι' ἡμερῶν, καὶ [b] ἠκούσθη ὅτι εἰς οἶκόν [c] ἐστι.

[a] ἔρχομαι.
[b] ἀκούω.
[c] εἰμί.

2 Καὶ εὐθέως [d] συνήχθησαν πολλοὶ· ὥστε μηκέτι χωρεῖν μηδὲ τὰ πρὸς τὴν θύραν· καὶ ἐλάλει αὐτοῖς τὸν λόγον.

[d] ἄγω.

3 Καὶ ἔρχονται πρὸς αὐτὸν, παραλυτικὸν φέροντες αἰρόμενον ὑπὸ τεσσάρων.

4 Καὶ μὴ δυνάμενοι [e] προσεγγίσαι αὐτῷ διὰ τὸν ὄχλον, [f] ἀπεστέγασαν τὴν στέγην ὅπου [g] ἦν· καὶ [h] ἐξορύξαντες [i] χαλῶσι τὸν κράββατον ἐφ' ᾧ ὁ παραλυτικὸς [k] κατέκειτο.

[e] ἐγγίζω. //
[f] στέγω.
[g] εἰμί.
[h] ὀρύττω.
[i] χαλάω.
[k] κεῖμαι.

5 Ἰδὼν δὲ ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν, λέγει τῷ παραλυτικῷ, Τέκνον, [l] ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου.

[l] ἔω.

6 [m] Ἦσαν δέ τινες τῶν γραμματέων ἐκεῖ [n] καθήμενοι, καὶ [o] διαλογιζόμενοι ἐν ταῖς καρδίαις αὐτῶν.

[m] εἰμί.
[n] ἧμαι.
[o] λέγω.

7 Τί οὗτος οὕτω λαλεῖ βλασφημίας; τίς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ εἷς ὁ Θεός;

[o] γινώσκω.

8 Καὶ εὐθέως [o] ἐπιγνοὺς ὁ Ἰησοῦς τῷ πνεύματι αὐτοῦ ὅτι οὕτως διαλογίζονται ἐν ἑαυτοῖς, εἶπεν αὐτοῖς, Τί ταῦτα διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν;

[p] ἐγείρω.
[q] αἴρω.

9 Τί ἐστιν εὐκοπώτερον; εἰπεῖν τῷ παραλυτικῷ, [l] Ἀφέωνταί σοι αἱ ἁμαρτίαι· ἢ εἰπεῖν [p] Ἔγειραι, καὶ [q] ἆρόν σου τὸν κράββατον, καὶ περιπάτει;

10 Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου [l] ἀφιέναι ἐπὶ τῆς γῆς ἁμαρτίας, (λέγει τῷ παραλυτικῷ)

[*] ἄγω.

11 Σοὶ λέγω, [p] ἔγειραι, καὶ [q] ἆρον τὸν κράββατόν σου, καὶ [*] ὕπαγε εἰς τὸν οἶκόν σου.

[r] ἔρχομαι.
[s] ἵστημι.

12 Καὶ [p] ἠγέρθη εὐθέως, καὶ [q] ἄρας τὸν κράββατον, [r] ἐξῆλθεν ἐναντίον πάντων· ὥστε [s] ἐξίστασθαι πάντας, καὶ δοξάζειν τὸν Θεόν, λέγοντας, Ὅτι οὐδέποτε οὕτως εἴδομεν.

13 ¶ Καὶ [r] ἐξῆλθε πάλιν παρὰ τὴν θάλασσαν· καὶ πᾶς ὁ ὄχλος [r] ἤρχετο πρὸς αὐτόν, καὶ ἐδίδασκεν αὐτούς.

[t] ἀκόλουθος

14 Καὶ παράγων εἶδε Λευϊν τὸν τοῦ Ἀλφαίου καθήμενον ἐπὶ τὸ τελώνιον· καὶ λέγει αὐτῷ, Ἀκολούθει μοι· Καὶ [s] ἀναστὰς [t] ἠκολούθησεν αὐτῷ.

[u] γίνομαι.
[x] κεῖμαι.
[y] εἰμί.
[z] ἀκόλουθος.

15 Καὶ [u] ἐγένετο ἐν τῷ [x] κατακεῖσθαι αὐτὸν ἐν τῇ οἰκίᾳ αὐτοῦ, καὶ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ [x] συνανέκειντο τῷ Ἰησοῦ, καὶ τοῖς μαθηταῖς αὐτοῦ· [y] ἦσαν γὰρ πολλοί, καὶ [z] ἠκολούθησαν αὐτῷ.

16 Καὶ οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι ἰδόντες αὐτὸν ἐσθίοντα μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν, ἔλεγον τοῖς μαθηταῖς αὐτοῦ, Τί ὅτι μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει καὶ πίνει;

[a] ἔρχομαι.

17 Καὶ ἀκούσας ὁ Ἰησοῦς λέγει αὐτοῖς, Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. οὐκ [a] ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

[b] εἰμί.

18 ¶ Καὶ [b] ἦσαν οἱ μαθηταὶ Ἰωάννου καὶ οἱ τῶν φαρισαίων νηστεύοντες· καὶ ἔρχονται καὶ

λέγουσιν αὐτῷ, Διὰ τί οἱ μαθηταὶ Ἰωάννου καὶ οἱ τῶν Φαρισαίων νηστεύουσιν, οἱ δὲ σοὶ μαθηταὶ οὐ νηστεύουσι;

19 Καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, Μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος, ἐν ᾧ ὁ νυμφίος μετ᾽ αὐτῶν [b] ἐστι, νηστεύειν; ὅσον χρόνον μεθ᾽ ἑαυτῶν ἔχουσι τὸν νυμφίον, οὐ δύνανται νηστεύειν·

20 [c] Ἐλεύσονται δὲ ἡμέραι ὅταν [d] ἀπαρθῇ ἀπ᾽ αὐτῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις.

21 Καὶ οὐδεὶς [e] ἐπίβλημα ῥάκους ἀγνάφου ἐπιῤῥάπτει ἐπὶ ἱματίῳ παλαιῷ· εἰ δὲ μή, αἴρει τὸ πλήρωμα αὐτοῦ τὸ καινὸν τοῦ παλαιοῦ, καὶ [f] χεῖρον σχίσμα γίνεται.

22 Καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· εἰ δὲ μή, ῥήσσει ὁ οἶνος ὁ νέος τοὺς ἀσκούς, καὶ ὁ οἶνος ἐκχεῖται, καὶ οἱ ἀσκοὶ [g] ἀπολοῦνται· ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς [h] βλητέον.

23 ¶ Καὶ [i] ἐγένετο [k] παραπορεύεσθαι αὐτὸν ἐν τοῖς σάββασι διὰ τῶν σπορίμων· καὶ [l] ἤρξαντο οἱ μαθηταὶ αὐτοῦ ὁδὸν ποιεῖν τίλλοντες τοὺς στάχυας.

24 Καὶ οἱ Φαρισαῖοι ἔλεγον αὐτῷ, Ἴδε, τί ποιοῦσιν ἐν τοῖς σάββασιν ὃ οὐκ [m] ἔξεστι;

25 Καὶ αὐτὸς ἔλεγεν αὐτοῖς, Οὐδέποτε [n] ἀνέγνωτε τί ἐποίησε Δαβίδ, ὅτε χρείαν [o] ἔσχε, καὶ ἐπείνασεν αὐτὸς καὶ οἱ μετ᾽ αὐτοῦ;

26 Πῶς [p] εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ ἐπὶ Ἀβιάθαρ τοῦ ἀρχιερέως, καὶ τοὺς ἄρτους τῆς προθέσεως [q] ἔφαγεν, οὓς οὐκ [m] ἔξεστι φαγεῖν εἰ μὴ τοῖς ἱερεῦσι, καὶ [r] ἔδωκε καὶ τοῖς σὺν αὐτῷ [m] οὖσι.

27 Καὶ ἔλεγεν αὐτοῖς, Τὸ σάββατον διὰ τὸν ἄνθρωπον [s] ἐγένετο, οὐχ ὁ ἄνθρωπος διὰ τὸ σάββατον.

28 Ὥστε κύριός [m] ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου.

[c] ἔρχομαι.
[d] αἴρω.
[e] βάλλω. //
[f] καινός.
[g] ὄλλυμι.
[h] βάλλω.
[i] γίνομαι.
[k] πείρω.
[l] ἄρχω.
[m] εἰμί.
[n] γινώσκω.
[o] ἔχω.
[p] ἔρχομαι.
[q] φάγω.
[r] δίδωμι.
[s] γίνομαι.

Κεφ. γ. Cap. III.

ΚΑΙ [a] εἰσῆλθε πάλιν εἰς τὴν συναγωγήν· καὶ [b] ἦν ἐκεῖ ἄνθρωπος [c] ἐξηραμμένην ἔχων τὴν χεῖρα.

2 Καὶ [d] παρετήρουν αὐτὸν εἰ τοῖς σάββασι θεραπεύσει αὐτόν· ἵνα [e] κατηγορήσωσιν αὐτοῦ.

3 Καὶ λέγει τῷ ἀνθρώπῳ τῷ [f] ἐξηραμμένην ἔχοντι τὴν χεῖρα, [g] Ἔγειραι εἰς τὸ μέσον.

4 Καὶ λέγει αὐτοῖς, [h] Ἔξεστι τοῖς σάββασιν ἀγαθοποιῆσαι, ἢ κακοποιῆσαι; ψυχὴν [i] σῶσαι, ἢ ἀποκτεῖναι; Οἱ δὲ [k] ἐσιώπων.

// 5 Καὶ [l] περιβλεψάμενος αὐτοὺς μετ' ὀργῆς, [m] συλλυπούμενος ἐπὶ τῇ πωράσει τῆς καρδίας αὐτῶν, λέγει τῷ ἀνθρώπῳ, [n] Ἔκτεινον τὴν χεῖρά σου. Καὶ [n] ἐξέτεινε· καὶ [o] ἀποκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιὴς ὡς ἡ ἄλλη.

6 Καὶ [p] ἐξελθόντες οἱ Φαρισαῖοι, εὐθέως μετὰ τῶν Ἡρωδιανῶν συμβούλιον ἐποίουν κατ' αὐτοῦ, ὅπως αὐτὸν [q] ἀπολέσωσι.

7 ¶ Καὶ ὁ Ἰησοῦς [r] ἀνεχώρησε μετὰ τῶν μαθητῶν αὐτοῦ πρὸς τὴν θάλασσαν, καὶ πολὺ πλῆθος ἀπὸ τῆς Γαλιλαίας [s] ἠκολούθησαν αὐτῷ, καὶ ἀπὸ τῆς Ἰουδαίας,

8 Καὶ ἀπὸ Ἱεροσολύμων, καὶ ἀπὸ τῆς Ἰδουμαίας, καὶ πέραν τοῦ Ἰορδάνου. καὶ οἱ περὶ Τύρον καὶ Σιδῶνα, πλῆθος πολύ, ἀκούσαντες ὅσα ἐποίει [t] ἦλθον πρὸς αὐτόν.

9 Καὶ εἶπε τοῖς μαθηταῖς αὐτοῦ ἵνα πλοιάριον [u] προσκαρτερῇ αὐτῷ, διὰ τὸν ὄχλον, ἵνα μὴ θλίβωσιν αὐτόν.

10 Πολλοὺς γὰρ ἐθεράπευσεν, ὥστε [x] ἐπιπίπτειν αὐτῷ, ἵνα αὐτοῦ [y] ἅψωνται, ὅσοι εἶχον μάστιγας.

11 Καὶ τὰ πνεύματα τὰ ἀκάθαρτα ὅταν αὐτὸν [z] ἐθεώρει, προσέπιπτεν αὐτῷ καὶ [a] ἔκραζε, λέγοντα, Ὅτι σὺ [b] εἶ ὁ υἱὸς τοῦ Θεοῦ.

12 Καὶ πολλὰ [c] ἐπετίμα αὐτοῖς ἵνα μὴ αὐτὸν φανερὸν ποιήσωσι.

13 ¶ Καὶ ἀναβαίνει εἰς τὸ ὄρος, καὶ προσκαλεῖται

[a] ἔρχομαι.
[b] εἰμί.
[c] ξηρός.
[d] τηρέω.
[e] ἀγορά.
[f] ξηρός.
[g] ἐγείρω.
[h] εἰμί.
[i] σόος.
[k] σιωπή.
[l] βλέπω.
[m] λύπη.
[n] τείνω.
[o] ἵστημι.
[p] ἔρχομαι.
[q] ὀλλύω.
[r] χῶρος.
[s] ἀκόλουθος
[t] ἔρχομαι.
[u] κράτος.
[x] πίπτω.
[y] ἅπτω.
[z] θεωρός.
[a] κράζω.
[b] εἰμί.
[c] τίω.

λεῖται οὓς ἤθελεν αὐτός· καὶ [d] ἀπῆλθον πρὸς αὐτόν. [d] ἔρχομαι.

14 Καὶ ἐποίησε δώδεκα, ἵνα [e] ὦσι μετ' αὐτοῦ, [e] εἰμί.
καὶ ἵνα ἀποστέλλῃ αὐτοὺς κηρύσσειν,

15 Καὶ ἔχειν ἐξουσίαν θεραπεύειν τὰς νόσους,
καὶ ἐκβάλλειν τὰ δαιμόνια.

16 Καὶ [f] ἐπέθηκε τῷ Σίμωνι ὄνομα Πέτρον. [f] τίθημι.

17 Καὶ Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν τοῦ Ἰακώβου (καὶ [f] ἐπέθηκεν αὐτοῖς
ὀνόματα Βοανεργὲς, ὅ [g] ἐστιν, υἱοὶ βροντῆς.) [g] εἰμί.

18 Καὶ Ἀνδρέαν, καὶ Φίλιππον, καὶ Βαρθολομαῖον, καὶ Ματθαῖον, καὶ Θωμᾶν, καὶ Ἰάκωβον τὸν τοῦ Ἀλφαίου, καὶ Θαδδαῖον, καὶ Σίμωνα τὸν Κανανίτην,

19 Καὶ Ἰούδαν Ἰσκαριώτην, ὃς καὶ [h] παρέδωκεν αὐτόν· καὶ ἔρχονται εἰς οἶκον. [h] δίδωμι.

20 Καὶ συνέρχεται πάλιν ὄχλος, ὥστε μὴ δύνασθαι αὐτοὺς μήτε ἄρτον φαγεῖν.

21 Καὶ ἀκούσαντες οἱ παρ' αὐτοῦ, [i] ἐξῆλθον [i] ἔρχομαι.
[k] κρατῆσαι αὐτόν· ἔλεγον γὰρ, Ὅτι [l] ἐξέστη. [k] κράτος.

22 ¶ Καὶ οἱ γραμματεῖς οἱ Ἱεροσολύμων [l] ἵστημι.
[m] καταβάντες ἔλεγον, Ὅτι Βεελζεβοὺλ ἔχει, καὶ [m] βαίνω.
ὅτι ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια.

23 Καὶ [n] προσκαλεσάμενος αὐτοὺς ἐν παραβολαῖς ἔλεγεν αὐτοῖς, Πῶς δύναται σατανᾶς σατανᾶν ἐκβάλλειν; [n] καλέω.

24 Καὶ ἐὰν βασιλεία ἐφ' ἑαυτὴν [o] μερισθῇ, οὐ δύναται [p] σταθῆναι ἡ βασιλεία ἐκείνη.

25 Καὶ ἐὰν οἰκία ἐφ' ἑαυτὴν [o] μερισθῇ, οὐ [o] μερίζω.
δύναται [p] σταθῆναι ἡ οἰκία ἐκείνη. [p] ἵστημι.

26 Καὶ εἰ ὁ Σατανᾶς [p] ἀνέστη ἐφ' ἑαυτὸν καὶ [o] μεμέρισται, οὐ δύναται [p] σταθῆναι, ἀλλὰ τελος ἔχει.

27 Οὐ δύναται οὐδεὶς τὰ σκεύη τοῦ ἰσχυροῦ,
[q] εἰσελθὼν εἰς τὴν οἰκίαν αὐτοῦ, [r] διαρπάσαι, [q] ἔρχομαι.
ἐὰν μὴ πρῶτον τὸν ἰσχυρὸν [s] δήσῃ· καὶ τότε τὴν [r] ἁρπάζω.
οἰκίαν αὐτοῦ διαρπάσει. [s] δέω.

28 Ἀμὴν λέγω ὑμῖν, Ὅτι πάντα [t] ἀφεθήσεται τὰ ἁμαρτήματα τοῖς υἱοῖς τῶν ἀνθρώπων, [t] ἕω.

πων, ϗ βλασφημίαι ὅσας ἂν [u] βλασφημήσωσιν·

29 Ὃς δ' ἂν [u] βλασφημήσῃ εἰς τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἔχει ἄφεσιν εἰς τὸν αἰῶνα, ἀλλ' ἔνοχός [x] ἐστιν αἰωνίου κρίσεως.

30 Ὅτι ἔλεγον, Πνεῦμα ἀκάθαρτον ἔχει.

31 Ἔρχονται οὖν οἱ ἀδελφοὶ ϗ ἡ μήτηρ αὐτοῦ· ϗ ἔξω [y] ἑστῶτες [z] ἀπέστειλαν πρὸς αὐτὸν, φωνοῦντες αὐτόν.

32 Καὶ [a] ἐκάθητο ὄχλος περὶ αὐτόν· εἶπον δὲ αὐτῷ, Ἰδοὺ ἡ μήτηρ σου ϗ οἱ ἀδελφοί σου ἔξω ζητοῦσί σε.

33 Καὶ [b] ἀπεκρίθη αὐτοῖς, λέγων, Τίς ἐστιν ἡ μήτηρ μου, ἢ οἱ ἀδελφοί μου;

34 Καὶ [c] περιβλεψάμενος κύκλῳ τοὺς περὶ αὐτὸν [d] καθημένους, λέγει, Ἴδε ἡ μήτηρ μου ϗ οἱ ἀδελφοί μου.

35 Ὃς γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ Θεοῦ, οὗτος ἀδελφός μου ϗ ἀδελφή μου ϗ μήτηρ [e] ἐστί.

Κεφ. δ. Cap. IV.

ΚΑὶ πάλιν [a] ἤρξατο διδάσκειν παρὰ τὴν θάλασσαν· ϗ [b] συνήχθη πρὸς αὐτὸν ὄχλος πολὺς, ὥστε αὐτὸν [c] ἐμβάντα εἰς τὸ πλοῖον, [d] καθῆσθαι ἐν τῇ θαλάσσῃ· ϗ πᾶς ὁ ὄχλος πρὸς τὴν θάλασσαν ἐπὶ τῆς γῆς [e] ἦν.

2 Καὶ [f] ἐδίδασκεν αὐτοὺς ἐν παραβολαῖς πολλὰ, ϗ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ,

3 Ἀκούετε, Ἰδοὺ, [g] ἐξῆλθε ὁ σπείρων τοῦ σπεῖραι·

4 Καὶ [h] ἐγένετο ἐν τῷ σπείρειν, ὃ μὲν [i] ἔπεσε παρὰ τὴν ὁδὸν, ϗ [g] ἦλθε τὰ πετεινὰ τοῦ οὐρανοῦ, ϗ [*] κατέφαγεν αὐτό.

5 Ἄλλο δὲ [i] ἔπεσεν ἐπὶ τὸ πετρῶδες, ὅπου οὐκ [k] εἶχε γῆν πολλήν· ϗ εὐθέως [l] ἐξανέτειλε, διὰ τὸ μὴ ἔχειν βάθος γῆς·

6 Ἡλίου δὲ [l] ἀνατείλαντος [m] ἐκαυματίσθη, ϗ διὰ τὸ μὴ ἔχειν ῥίζαν [n] ἐξηράνθη.

7 Καὶ ἄλλο [i] ἔπεσεν εἰς τὰς ἀκάνθας· ϗ [o] ἀνέβησαν αἱ ἄκανθαι, ϗ [p] συνέπνιξαν αὐτὸ, ϗ καρπὸν οὐκ [q] ἔδωκε.

8 Καὶ

[u] φέω.
[x] εἰμί.
[y] ἵστημι
[z] στέλλω.
[a] ἧμαι.
[b] κρίνω.
[c] βλέπω.
[d] ἧμαι.
[e] εἰμί.
[a] ἄρχω.
[b] ἄγω.
[c] βαίνω.
[d] ἧμαι.
[e] εἰμί.
[f] διδάσκω.
[g] ἔρχομαι.
[h] γίνομαι.
[i] πίπτω.
[*] φάγω.
[k] ἔχω.
[l] τέλλω.
[m] καίω.
[n] ξηρός.
[o] βαίνω.
[p] πνίγω.
[q] δίδωμι.

8 Καὶ ἄλλο [i] ἔπεσεν εἰς τὴν γῆν τὴν καλήν. καὶ [q] ἐδίδου καρπὸν ἀναβαίνοντα καὶ αὐξάνοντα· καὶ [r] ἔφερεν ἓν τριάκοντα, καὶ ἓν ἑξήκοντα, καὶ ἓν ἑκατόν.

[r] φέρω.

9 Καὶ ἔλεγεν αὐτοῖς, Ὁ ἔχων [s] ὦτα ἀκούειν, ἀκουέτω.

[s] οὖς.

10 Ὅτε δὲ [h] ἐγένετο [t] καταμόνας, [u] ἠρώτησαν αὐτὸν οἱ περὶ αὐτὸν σὺν τοῖς δώδεκα τὴν παραβολήν.

[t] μόνας.
[u] ἐρωτάω.

11 Καὶ [x] ἔλεγεν αὐτοῖς, Ὑμῖν [q] δέδοται [y] γνῶναι τὸ μυστήριον τῆς βασιλείας τοῦ Θεοῦ· ἐκείνοις δὲ τοῖς ἔξω ἐν παραβολαῖς τὰ πάντα γίνεται·

[x] λέγω.
[y] γινώσκω.

12 Ἵνα βλέποντες βλέπωσι, καὶ μὴ [z] ἴδωσι· καὶ ἀκούοντες ἀκούωσι, καὶ μὴ [a] συνιῶσι, μήποτε [b] ἐπιστρέψωσι, καὶ [a] ἀφεθῇ αὐτοῖς τὰ ἁμαρτήματα.

[z] εἴδω.
[a] ἵω.
[b] στρέφω.

13 Καὶ λέγει αὐτοῖς, Οὐκ [c] οἴδατε τὴν παραβολὴν ταύτην, καὶ πῶς πάσας τὰς παραβολὰς [d] γνώσεσθε;

[c] εἴδω.
[d] γινώσκω.

14 Ὁ σπείρων τὸν λόγον σπείρει·

15 Οὗτοι δέ [e] εἰσιν οἱ παρὰ τὴν ὁδὸν, ὅπου σπείρεται ὁ λόγος· καὶ ὅταν ἀκούσωσιν εὐθέως ἔρχεται ὁ σατανᾶς, καὶ αἴρει τὸν λόγον τὸν [f] ἐσπαρμένον ἐν ταῖς καρδίαις αὐτῶν.

[e] εἰμί.
[f] σπείρω.

16 Καὶ οὗτοί [e] εἰσιν ὁμοίως οἱ ἐπὶ τὰ πετρώδη σπειρόμενοι. οἳ ὅταν ἀκούσωσι τὸν λόγον, εὐθέως μετὰ χαρᾶς λαμβάνουσιν αὐτόν·

17 Καὶ οὐκ ἔχουσι ῥίζαν ἐν ἑαυτοῖς. ἀλλὰ πρόσκαιροί [e] εἰσιν, εἶτα γενομένης θλίψεως, ἢ διωγμοῦ διὰ τὸν λόγον, εὐθέως σκανδαλίζονται.

18 Καὶ οὗτοί [e] εἰσιν οἱ εἰς τὰς ἀκάνθας σπειρόμενοι, οἱ τὸν λόγον ἀκούοντες·

19 Καὶ αἱ μέριμναι τοῦ αἰῶνος τούτου, καὶ ἡ ἀπάτη τοῦ πλούτου, καὶ αἱ περὶ τὰ λοιπὰ ἐπιθυμίαι [g] εἰσπορευόμεναι συμπνίγουσι τὸν λόγον, καὶ ἄκαρπος γίνεται.

[g] πορεύω.

20 Καὶ οὗτοί [c] εἰσιν οἱ ἐπὶ τὴν γῆν τὴν καλὴν [f] σπαρέντες, οἵτινες ἀκούουσι τὸν λόγον, καὶ

[h] φέρω. παραδέχονται· καὶ [h] καρποφοροῦσιν, ἓν τριάκοντα
καὶ ἓν ἑξήκοντα, καὶ ἓν ἑκατόν.

21 ¶ Καὶ ἔλεγεν αὐτοῖς, Μήτι ὁ λύχνος
[i] τίθημι. ἔρχεται ἵνα ὑπὸ τὸν μόδιον [i] τεθῇ; ἢ ὑπὸ τὴν
κλίνην; οὐχ ἵνα ἐπὶ τὴν λυχνίαν [i] ἐπιτεθῇ;

22 Οὐ γάρ [e] ἐστί τι κρυπτὸν ὃ ἐὰν μὴ φανε-
[k] γίνομαι. ρωθῇ, οὐδὲ [k] ἐγένετο ἀπόκρυφον, ἀλλ' ἵνα εἰς
[l] ἔρχομαι. φανερὸν [l] ἔλθῃ.

23 Εἴ τις ἔχει ὦτα ἀκούειν, ἀκουέτω.

24 ¶ Καὶ ἔλεγεν αὐτοῖς, Βλέπετε τί ἀκούε-
[m] μετρέω. τε. ἐν ᾧ [m] μέτρῳ [m] μετρεῖτε, [m] μετρηθήσεται
[n] τίθημι. ὑμῖν, καὶ [u] προστεθήσεται ὑμῖν τοῖς ἀκούουσιν.

[o] δίδωμι. 25 Ὃς γὰρ ἂν ἔχῃ, [o] δοθήσεται αὐτῷ· καὶ ὃς
[p] αἴρω. οὐκ ἔχει, καὶ ὃ ἔχει, [p] ἀρθήσεται ἀπ' αὐτοῦ.

26 ¶ Καὶ ἔλεγεν, Οὕτως [e] ἐστὶν ἡ βασι-
[q] βάλλω. λεία τοῦ Θεοῦ ὡς ἐὰν ἄνθρωπος [q] βάλῃ τὸν σπό-
ρον ἐπὶ τῆς γῆς·

27 Καὶ καθεύδῃ, καὶ ἐγείρηται νύκτα καὶ ἡ-
[r] σπείρω. μέραν· καὶ ὁ [r] σπόρος βλαστάνῃ, καὶ [s] μηκύνηται
[s] μῆκος. ὡς οὐκ [t] οἶδεν αὐτός.

[t] εἴδω. 28 Αὐτομάτη γὰρ ἡ γῆ [u] καρποφορεῖ· πρῶ-
[u] φέρω. τον χόρτον, εἶτα στάχυν, εἶτα πλήρη σῖτον ἐν
τῷ στάχυϊ.

29 Ὅταν δὲ [o] παραδῷ ὁ καρπὸς, εὐθέως
[x] ἵστημι. ἀποστέλλει τὸ δρέπανον, ὅτι [x] παρέστηκεν ὁ θε-
ρισμός.

[y] ὁμός. 30 ¶ Καὶ ἔλεγε, Τίνι [y] ὁμοιώσωμεν τὴν βα-
[z] βάλλω. σιλείαν τοῦ Θεοῦ; ἢ ἐν ποίᾳ παραβολῇ [z] παρα-
βάλωμεν αὐτήν;

[a] σπείρω. 31 Ὡς κόκκῳ σινάπεως, ὃς ὅταν [a] σπαρῇ
ἐπὶ τῆς γῆς, μικρότερος πάντων τῶν σπερμάτων
[b] εἰμί. [b] ἐστὶ τῶν ἐπὶ τῆς γῆς·

32 Καὶ ὅταν [a] σπαρῇ, ἀναβαίνει, καὶ γίνεται
πάντων τῶν λαχάνων μείζων· καὶ ποιεῖ κλάδους
μεγάλους, ὥστε δύνασθαι ὑπὸ τὴν σκιὰν αὐτοῦ τὰ
[c] σκιά. πετεινὰ τοῦ οὐρανοῦ [c] κατασκηνοῦν.

33 Καὶ τοιαύταις παραβολαῖς πολλαῖς ἐλά-
[d] δύναμαι. λει αὐτοῖς τὸν λόγον, καθὼς [d] ἠδύναντο ἀκούειν.

34 Χωρὶς δὲ παραβολῆς οὐκ ἐλάλει αὐτοῖς·

κατ' ἰδίαν δὲ τοῖς μαθηταῖς αὐτοῦ [c] ἐπέλυε πάντα.

[c] λύω.

35 ¶ Καὶ λέγει αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὀψίας γενομένης, [f] Διέλθωμεν εἰς τὸ πέραν.

[f] ἔρχομαι.

36 Καὶ [g] ἀφέντες τὸν ὄχλον παραλαμβάνουσιν αὐτὸν ὡς [b] ἦν ἐν τῷ πλοίῳ· καὶ ἄλλα δὲ πλοιάρια [b] ἦν μετ' αὐτοῦ.

[g] ἕω.

37 Καὶ γίνεται λαῖλαψ ἀνέμου μεγάλη· τὰ δὲ κύματα [h] ἐπέβαλλον εἰς τὸ πλοῖον, ὥστε αὐτὸ ἤδη γεμίζεσθαι.

[h] βάλλω.

38 Καὶ [b] ἦν αὐτὸς ἐπὶ τῇ πρύμνῃ ἐπὶ τὸ προσκεφάλαιον καθεύδων· καὶ διεγείρουσιν αὐτὸν καὶ λέγουσιν αὐτῷ, Διδάσκαλε, οὐ μέλει σοι ὅτι [i] ἀπολλύμεθα; //

[i] ὀλλύω.

39 Καὶ [k] διεγερθεὶς [l] ἐπετίμησε τῷ ἀνέμῳ, καὶ εἶπε τῇ θαλάσσῃ, Σιώπα, [m] πεφίμωσο· καὶ [n] ἐκόπασεν ὁ ἄνεμος, καὶ [o] ἐγένετο γαλήνη μεγάλη. //

[k] ἐγείρω.
[l] τιω.
[m] φιμός.
[n] κόπτω.
[o] γίνομαι.

40 Καὶ εἶπεν αὐτοῖς, Τί δειλοί [b] ἐστε οὕτω; πῶς οὐκ ἔχετε πίστιν;

41 Καὶ [p] ἐφοβήθησαν φόβον μέγαν, καὶ ἔλεγον πρὸς ἀλλήλους, Τίς ἄρα οὗτός [b] ἐστιν, ὅτι καὶ ὁ ἄνεμος καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ;

[p] φέβομαι.

Κεφ. ε. Cap. V.

ΚΑὶ [a] ἦλθον εἰς τὸ πέραν τῆς θαλάσσης εἰς τὴν χώραν τῶν Γαδαρηνῶν.

[a] ἔρχομαι.

2 Καὶ [a] ἐξελθόντι αὐτῷ ἐκ τοῦ πλοίου, εὐθέως [b] ἀπήντησεν αὐτῷ ἐκ τῶν μνημείων ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ.

[b] ἄντα.

3 Ὃς τὴν κατοίκησιν [c] εἶχεν ἐν τοῖς μνημείοις, καὶ οὔτε ἁλύσεσιν οὐδεὶς [d] ἠδύνατο αὐτὸν [e] δῆσαι·

[c] ἔχω.
[d] δύναμαι.

4 Διὰ τὸ αὐτὸν πολλάκις πέδαις καὶ ἁλύσεσι [e] δεδέσθαι, καὶ [f] διεσπάσθαι ὑπ' αὐτοῦ τὰς ἁλύσεις, καὶ τὰς πέδας [g] συντετρῖφθαι· καὶ οὐδεὶς αὐτὸν ἴσχυε δαμάσαι·

[e] δέω.
[f] σπάω.
[g] τρίβω.

5 Καὶ διαπαντὸς νυκτὸς καὶ ἡμέρας ἐν τοῖς ὄρεσι καὶ ἐν τοῖς μνήμασιν [h] ἦν κράζων, καὶ κατακόπτων ἑαυτὸν λίθοις. //

[h] εἰμί.

6 [i] Ἰδὼν δὲ τὸν Ἰησοῦν ἀπὸ μακρόθεν, [k] ἔδραμε, καὶ [l] προσεκύνησεν αὐτῷ·

[i] εἴδω.
[k] τρέχω.
[l] κύω.

[m] κράζω.

7 Καὶ [m] κράξας φωνῇ μεγάλῃ, εἶπε, Τί ἐμοὶ καὶ σοὶ Ἰησοῦ υἱὲ τοῦ Θεοῦ τοῦ ὑψίστου; ὁρκίζω σε τὸν Θεὸν μή με βασανίσῃς.

8 Ἔλεγε γὰρ αὐτῷ, [a] Ἔξελθε τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐκ τοῦ ἀνθρώπου.

[n] ἐρωτάω.
[o] κρίνω.
[p] εἰμί.

9 Καὶ [n] ἐπηρώτα αὐτόν, Τί σοι ὄνομα; καὶ [o] ἀπεκρίθη λέγων, Λεγεὼν ὄνομά μοι· ὅτι πολλοί [p] ἐσμεν.

[q] στέλλω.

10 Καὶ παρεκάλει αὐτὸν πολλὰ ἵνα μὴ αὐτοὺς [q] ἀποστείλῃ ἔξω τῆς χώρας.

11 [p] Ἦν δὲ ἐκεῖ πρὸς τὰ ὄρη ἀγέλη χοίρων μεγάλη βοσκομένη.

[r] καλέω.
[s] πέμπω.

12 Καὶ [r] παρεκάλεσαν αὐτὸν πάντες οἱ δαίμονες, λέγοντες, [s] Πέμψον ἡμᾶς εἰς τοὺς χοίρους, ἵνα εἰς αὐτοὺς [a] εἰσέλθωμεν.

[t] τρέπω.
[u] ὁρμή.
[x] πνίγω.

13 Καὶ [t] ἐπέτρεψεν αὐτοῖς εὐθέως ὁ Ἰησοῦς. Καὶ [a] ἐξελθόντα τὰ πνεύματα τὰ ἀκάθαρτα [a] εἰσῆλθον εἰς τοὺς χοίρους· καὶ [u] ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν, ([p] ἦσαν δὲ ὡς δισχίλιοι) καὶ [x] ἐπνίγοντο ἐν τῇ θαλάσσῃ.

[y] ἀγγέλλω.
[z] εἴδω.
[a] γίνομαι.

14 Οἱ δὲ βόσκοντες τοὺς χοίρους ἔφυγον, καὶ [y] ἀνήγγειλαν εἰς τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς. Καὶ [a] ἐξῆλθον [z] ἰδεῖν τί [p] ἐστι τὸ [a] γεγονός·

[b] ἧμαι.
[c] ἔχω.
[d] φοβέομαι.

15 Καὶ ἔρχονται πρὸς τὸν Ἰησοῦν, καὶ θεωροῦσι τὸν δαιμονιζόμενον [b] καθήμενον καὶ ἱματισμένον, καὶ σωφρονοῦντα, τὸν [c] ἐσχηκότα τὸν λεγεῶνα· καὶ [d] ἐφοβήθησαν.

[e] ἡγέομαι.
[f] γίνομαι.

16 Καὶ [e] διηγήσαντο αὐτοῖς οἱ ἰδόντες, πῶς [f] ἐγένετο τῷ δαιμονιζομένῳ, καὶ περὶ τῶν χοίρων·

[g] ἄρχω.
[h] ἔρχομαι.

17 Καὶ [g] ἤρξαντο παρακαλεῖν αὐτὸν [h] ἀπελθεῖν ἀπὸ τῶν ὁρίων αὐτῶν.

[i] βαίνω.
[k] εἰμί.

18 Καὶ [i] ἐμβάντος αὐτοῦ εἰς τὸ πλοῖον, παρεκάλει αὐτὸν ὁ δαιμονισθεὶς ἵνα [k] ᾖ μετ' αὐτοῦ.

[l] ἐάω.

19 Ὁ δὲ Ἰησοῦς οὐκ [l] ἀφῆκεν αὐτόν, ἀλλὰ λέγει αὐτῷ, Ὕπαγε εἰς τὸν οἶκόν σου πρὸς τοὺς σούς, καὶ ἀνάγγειλον αὐτοῖς ὅσα σοι ὁ Κύριος ἐποίησε, καὶ ὅτι [m] ἠλέησέ σε.

[m] ἔλεος.
[n] ποιέω.
[o] θαῦμα.

20 Καὶ [h] ἀπῆλθε, καὶ [g] ἤρξατο κηρύσσειν ἐν τῇ Δεκαπόλει ὅσα [n] ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς· καὶ πάντες [o] ἐθαύμαζον.

21 ¶ Καὶ [p] διαπεράσαντος τοῦ Ἰησοῦ ἐν τῷ πλοίῳ πάλιν εἰς τὸ πέραν, [q] συνήχθη ὄχλος πολὺς ἐπ' αὐτόν. καὶ [k] ἦν παρὰ τὴν θάλασσαν.

22 Καὶ ἰδοὺ, ἔρχεται εἷς τῶν ἀρχισυναγώγων, ὀνόματι Ἰάειρος· καὶ [r] ἰδὼν αὐτὸν πίπτει πρὸς τοὺς πόδας αὐτοῦ.

23 Καὶ παρεκάλει αὐτὸν πολλὰ, λέγων, Ὅτι τὸ θυγάτριόν μου ἐσχάτως ἔχει· ἵνα [s] ἐλθὼν [t] ἐπιθῇς αὐτῇ τὰς χεῖρας, ὅπως [u] σωθῇ· καὶ [x] ζήσεται.

24 Καὶ [s] ἀπῆλθε μετ' αὐτοῦ καὶ [y] ἠκολούθει αὐτῷ ὄχλος πολὺς, καὶ [z] συνέθλιβον αὐτόν.

25 Καὶ γυνή τις [a] οὖσα ἐν ῥύσει αἵματος ἔτη δώδεκα·

26 Καὶ πολλὰ [b] παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν, καὶ [c] δαπανήσασα τὰ παρ' ἑαυτῆς πάντα, καὶ μηδὲν [d] ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον [e] ἐλθοῦσα·

27 Ἀκούσασα περὶ τοῦ Ἰησοῦ, [e] ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν, [f] ἥψατο τοῦ ἱματίου αὐτοῦ.

28 Ἔλεγε γὰρ, Ὅτι κἂν τῶν ἱματίων αὐτοῦ [f] ἅψωμαι, [g] σωθήσομαι.

29 Καὶ εὐθέως [h] ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς· καὶ [i] ἔγνω τῷ σώματι ὅτι ἴαται ἀπὸ τῆς μάστιγος.

30 Καὶ εὐθέως ὁ Ἰησοῦς [i] ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν [e] ἐξελθοῦσαν, [k] ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ, ἔλεγε, Τίς μου [f] ἥψατο τῶν ἱματίων;

31 Καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, Βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις, Τίς μου [f] ἥψατο;

32 Καὶ [l] περιεβλέπετο [m] ἰδεῖν τὴν τοῦτο [n] ποιήσασαν.

33 Ἡ δὲ γυνὴ, [o] φοβηθεῖσα καὶ τρέμουσα, [p] εἰδυῖα ὃ [i] γέγονεν ἐπ' αὐτῇ, [e] ἦλθε καὶ [q] προσέπεσεν αὐτῷ, καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν.

34 Ὁ δὲ εἶπεν αὐτῇ, Θύγατερ, ἡ πίστις σου [g] σέσωκέ σε· ὕπαγε εἰς εἰρήνην, καὶ [a] ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.

[p] περάω.
[q] ἄγω.
[r] εἴδω.
[s] ἔρχομαι.
[t] τίθημι.
[u] σόος.
[x] ζάω.
[y] ἀκόλουθος.
[z] θλίβω.
[a] εἰμί.
[b] πάσχω.
[c] δαπανάω.
[d] ὠφελέω.
[e] ἔρχομαι.
[f] ἅπτω.
[g] σόος.
[h] ξηρός.
[i] γινώσκω.
[k] στρέφω.
[l] βλέπω.
[m] εἴδω.
[n] ποιέω.
[o] φοβέομαι.
[p] εἴδω.
[q] πίπτω.

//
35 Ἔτι αὐτοῦ λαλοῦντος ἔρχονται ἀπὸ τοῦ
ἀρχισυναγώγου, λέγοντες, Ὅτι ἡ θυγάτηρ σου
[b] θνήσκω. [b] ἀπέθανε· τί ἔτι σκύλλεις τὸν διδάσκαλον;

36 Ὁ δὲ Ἰησοῦς εὐθέως ἀκούσας τὸν λόγον
[c] λαλέω. [c] λαλούμενον, λέγει τῷ ἀρχισυναγώγῳ, Μὴ
[d] φέβομαι. [d] φοβοῦ, μόνον πίστευε.

[e] ἐάω. 37 Καὶ οὐκ [e] ἀφῆκεν οὐδένα αὐτῷ [f] συνακολουθῆσαι,
[f] ἀκόλουθος. εἰ μὴ Πέτρον καὶ Ἰάκωβον, καὶ Ἰωάννην
τὸν ἀδελφὸν Ἰακώβου.

38 Καὶ ἔρχεται εἰς τὸν οἶκον τοῦ ἀρχισυναγώγου,
καὶ θεωρεῖ θόρυβον, κλαίοντας καὶ ἀλαλάζοντας
πολλά.

[g] ἔρχομαι. 39 Καὶ [g] εἰσελθὼν λέγει αὐτοῖς, Τί θορυβεῖσθε
καὶ κλαίετε; τὸ παιδίον οὐκ [b] ἀπέθανεν,
ἀλλὰ καθεύδει.

//
40 Καὶ κατεγέλων αὐτοῦ. Ὁ δὲ ἐκβαλὼν ἅπαντας,
παραλαμβάνει τὸν πατέρα τοῦ παιδίου καὶ
[h] εἰμί. τὴν μητέρα, καὶ τοὺς μετ᾽ αὐτοῦ, καὶ εἰσπορεύεται ὅπου
[i] κεῖμαι. [h] ἦν τὸ παιδίον [i] ἀνακείμενον·

[k] κράτος. // 41 Καὶ [k] κρατήσας τῆς χειρὸς τοῦ παιδίου,
[l] ἑρμηνεύς. λέγει αὐτῇ, Ταλιθὰ κοῦμι· ὅ ἐστι [l] μεθερμηνευόμενον,
[m] ἐγείρω. Τὸ κοράσιον (σοὶ λέγω) [m] ἔγειραι.

[n] εἰμί. 42 Καὶ εὐθέως [o] ἀνέστη τὸ κοράσιον, καὶ
[o] ἵστημι. περιεπάτει· [n] ἦν γὰρ ἐτῶν δώδεκα· καὶ [o] ἐξέστησαν
[p] στέλλω. ἐκστάσει μεγάλῃ.

[q] γινώσκω. 43 Καὶ [p] διεστείλατο αὐτοῖς πολλὰ ἵνα μηδεὶς
[r] δίδωμι. [q] γνῷ τοῦτο· καὶ εἶπε [r] δοθῆναι αὐτῇ φαγεῖν.

Κεφ. ς΄. Cap. VI.

[a] ἔρχομαι. ΚΑὶ [a] ἐξῆλθεν ἐκεῖθεν, καὶ [a] ἦλθεν εἰς τὴν
πατρίδα αὐτοῦ· καὶ ἀκολουθοῦσιν αὐτῷ οἱ
μαθηταὶ αὐτοῦ.

[b] ἄρχω. 2 Καὶ γενομένου σαββάτου [b] ἤρξατο ἐν τῇ
συναγωγῇ διδάσκειν· καὶ πολλοὶ ἀκούοντες
[c] πλήσσω. [c] ἐξεπλήσσοντο, λέγοντες, Πόθεν τούτῳ ταῦτα;
[d] δίδωμι. καὶ τίς ἡ σοφία ἡ [d] δοθεῖσα αὐτῷ, ὅτι καὶ δυνάμεις
τοιαῦται διὰ τῶν χειρῶν αὐτοῦ γίνονται;

[e] εἰμί. // 3 Οὐχ οὗτός [e] ἐστιν ὁ τέκτων; ὁ υἱὸς Μαρίας,
ἀδελφὸς δὲ Ἰακώβου καὶ Ἰωσῆ καὶ Ἰούδα καὶ Σίμωνος;

μωνος; καὶ οὐκ [e] εἰσὶν αἱ ἀδελφαὶ αὐτοῦ ὧδε πρὸς ἡμᾶς; Καὶ [f] ἐσκανδαλίζοντο ἐν αὐτῷ.

[f] σκάζω.

4 Ἔλεγε δὲ αὐτοῖς ὁ Ἰησοῦς, Ὅτι οὐκ [e] ἔστι προφήτης ἄτιμος εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ, καὶ ἐν τοῖς συγγενέσι, καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ.

5 Καὶ οὐκ [g] ἐδύνατο ἐκεῖ οὐδεμίαν δύναμιν ποιῆσαι, εἰ μὴ ὀλίγοις ἀῤῥώστοις [h] ἐπιθεὶς τὰς χεῖρας * ἐθεράπευσε.

[g] δύναμαι.
[h] τίθημι.
* θεράπω.

6 Καὶ ἐθαύμαζε διὰ τὴν ἀπιστίαν αὐτῶν· καὶ [i] περιῆγε τὰς κώμας κύκλῳ, διδάσκων.

[i] ἄγω.

7 ¶ Καὶ προσκαλεῖται τοὺς δώδεκα, καὶ [k] ἤρξατο αὐτοὺς ἀποστέλλειν δύο δύο· καὶ [l] ἐδίδου αὐτοῖς ἐξουσίαν τῶν πνευμάτων τῶν ἀκαθάρτων.

[k] ἄρχω.
[l] δίδωμι.

8 Καὶ [m] παρήγγειλεν αὐτοῖς ἵνα μηδὲν αἴρωσιν εἰς ὁδὸν, εἰ μὴ ῥάβδον μόνον, μὴ πήραν, μὴ ἄρτον, μὴ εἰς τὴν ζώνην χαλκόν·

[m] ἀγγέλλω.

9 Ἀλλ' [n] ὑποδεδεμένους σανδάλια· καὶ μὴ [o] ἐνδύσασθαι δύο χιτῶνας.

[n] δέω. //
[o] δύω.

10 Καὶ ἔλεγεν αὐτοῖς, Ὅπου ἐὰν [a] εἰσέλθητε εἰς οἰκίαν, ἐκεῖ μένετε ἕως ἂν [a] ἐξέλθητε ἐκεῖθεν.

11 Καὶ ὅσοι ἂν μὴ [p] δέξωνται ὑμᾶς, μηδὲ ἀκούσωσιν ὑμῶν, [q] ἐκπορευόμενοι ἐκεῖθεν [r] ἐκτινάξατε τὸν χοῦν τὸν ὑποκάτω τῶν ποδῶν ὑμῶν, εἰς μαρτύριον αὐτοῖς. Ἀμὴν λέγω ὑμῖν, [s] ἀνεκτότερον [e] ἔσται Σοδόμοις ἢ Γομόῤῥοις ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ.

[p] δέχομαι. //
[q] πείρω.
[r] τινάσσω.
[s] ἔχω.

12 Καὶ [a] ἐξελθόντες ἐκήρυσσον ἵνα [t] μετανοήσωσι·

[t] νόος.

13 Καὶ δαιμόνια πολλὰ ἐξέβαλλον· καὶ [u] ἤλειφον ἐλαίῳ πολλοὺς ἀῤῥώστους, καὶ ἐθεράπευον.

[u] ἀλείφω.

14 ¶ Καὶ ἤκουσεν ὁ βασιλεὺς Ἡρώδης, (φανερὸν γὰρ [x] ἐγένετο τὸ ὄνομα αὐτοῦ) καὶ ἔλεγεν, Ὅτι Ἰωάννης ὁ βαπτίζων ἐκ νεκρῶν [y] ἠγέρθη, καὶ διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις ἐν αὐτῷ.

[x] γίνομαι.
[y] ἐγείρω.

15 Ἄλλοι ἔλεγον, Ὅτι Ἠλίας [e] ἐστίν· ἄλλοι δὲ ἔλεγον, Ὅτι προφήτης [e] ἐστὶν, ἢ ὡς εἷς τῶν προφητῶν.

16 Ἀκούσας δὲ ὁ Ἡρώδης εἶπεν, Ὅτι ὃν

[z] κεφαλή.
[a] εἰμί.
[b] ἐγείρω.

ἐγὼ [z] ἀπεκεφάλισα Ἰωάννην, οὗτός [a] ἐστιν, αὐτὸς [b] ἠγέρθη ἐκ νεκρῶν.

[c] στέλλω.
[d] κράτος.
[e] δέω.

17 Αὐτὸς γὰρ ὁ Ἡρώδης, [c] ἀποστείλας [d] ἐκράτησε τὸν Ἰωάννην, καὶ [e] ἔδησεν αὐτὸν ἐν τῇ φυλακῇ διὰ Ἡρωδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ, ὅτι αὐτὴν ἐγάμησεν.

18 Ἔλεγε γὰρ ὁ Ἰωάννης τῷ Ἡρώδῃ, Ὅτι οὐκ [a] ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου.

[f] ἔχω.
[g] δύναμαι.

19 Ἡ δὲ Ἡρωδιὰς [f] ἐνεῖχεν αὐτῷ, καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι· καὶ οὐκ [g] ἠδύνατο.

[h] φοβέομαι.
[i] ἀκούω.

20 Ὁ γὰρ Ἡρώδης [h] ἐφοβεῖτο τὸν Ἰωάννην, εἰδὼς αὐτὸν ἄνδρα δίκαιον καὶ ἅγιον, καὶ συνετήρει αὐτόν. καὶ ἀκούσας αὐτοῦ, πολλὰ ἐποίει, καὶ ἡδέως αὐτοῦ [i] ἤκουε.

21 Καὶ γενομένης ἡμέρας εὐκαίρου, ὅτε Ἡρώδης τοῖς γενεσίοις αὐτοῦ δεῖπνον ἐποίει τοῖς μεγιστᾶσιν αὐτοῦ, καὶ τοῖς χιλιάρχοις καὶ τοῖς πρώτοις τῆς Γαλιλαίας·

[k] ἔρχομαι.
[l] ὀρχέομαι.
[m] ἀρέσκω.
[n] κεῖμαι.
[o] αἰτέω.
[p] δίδωμι.

22 Καὶ [k] εἰσελθούσης τῆς θυγατρὸς αὐτῆς τῆς Ἡρωδιάδος, καὶ [l] ὀρχησαμένης, καὶ [m] ἀρεσάσης τῷ Ἡρώδῃ καὶ τοῖς [n] συνανακειμένοις, εἶπεν ὁ βασιλεὺς τῷ κορασίῳ, [o] Αἴτησόν με ὃ ἐὰν θέλῃς, καὶ [p] δώσω σοι.

[q] ὀμνύω.

23 Καὶ [q] ὤμοσεν αὐτῇ, Ὅτι ὃ ἐάν με αἰτήσῃς δώσω σοὶ, ἕως ἡμίσους τῆς βασιλείας μου.

[r] αἰτέω.

24 Ἡ δὲ [k] ἐξελθοῦσα εἶπε τῇ μητρὶ αὐτῆς, Τί [r] αἰτήσομαι; Ἡ δὲ εἶπε, Τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ.

25 Καὶ [k] εἰσελθοῦσα εὐθέως μετὰ σπουδῆς πρὸς τὸν βασιλέα, [r] ᾐτήσατο, λέγουσα, Θέλω ἵνα μοι [p] δῷς ἐξ αὐτῆς ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ.

[s] κεῖμαι.
[t] τίθημι.

26 Καὶ περίλυπος γενόμενος ὁ βασιλεὺς, διὰ τοὺς ὅρκους καὶ τοὺς [s] συνανακειμένους οὐκ ἠθέλησεν αὐτὴν [t] ἀθετῆσαι.

[u] στέλλω.
[x] τάσσω.
[y] ἔχω.

27 Καὶ εὐθέως [u] ἀποστείλας ὁ βασιλεὺς σπεκουλάτωρα, [z] ἐπέταξεν [y] ἐνεχθῆναι τὴν κεφαλὴν αὐτοῦ.

28 Ὁ δὲ [z] ἀπελθὼν [a] ἀπεκεφάλισεν αὐτὸν ἐν τῇ φυλακῇ· καὶ [b] ἤνεγκε τὴν κεφαλὴν αὐτοῦ ἐπὶ πίνακι, καὶ [c] ἔδωκεν αὐτὴν τῷ κορασίῳ· καὶ τὸ κοράσιον [c] ἔδωκεν αὐτὴν τῇ μητρὶ αὐτῆς.

29 Καὶ ἀκούσαντες οἱ μαθηταὶ αὐτοῦ [d] ἦλθον, καὶ [e] ἦραν τὸ πτῶμα αὐτοῦ, καὶ [f] ἔθηκαν αὐτὸ ἐν μνημείῳ.

30 Καὶ συνάγονται οἱ ἀπόστολοι πρὸς τὸν Ἰησοῦν, καὶ [g] ἀπήγγειλαν αὐτῷ πάντα καὶ ὅσα ἐποίησαν καὶ ὅσα [h] ἐδίδαξαν.

31 Καὶ εἶπεν αὐτοῖς, Δεῦτε ὑμεῖς αὐτοὶ κατ' ἰδίαν εἰς ἔρημον τόπον, καὶ ἀναπαύεσθε ὀλίγον. [i] Ἦσαν γὰρ οἱ ἐρχόμενοι καὶ οἱ ὑπάγοντες πολλοί· καὶ οὐδὲ φαγεῖν [k] ηὐκαίρουν.

32 Καὶ [l] ἀπῆλθον εἰς ἔρημον τόπον τῷ πλοίῳ κατ' ἰδίαν.

33 Καὶ εἶδον αὐτοὺς ὑπάγοντας οἱ ὄχλοι· καὶ [m] ἐπέγνωσαν αὐτοὺς πολλοί· καὶ [n] πεζῇ ἀπὸ πασῶν τῶν πόλεων [o] συνέδραμον ἐκεῖ, καὶ [l] προῆλθον αὐτούς, καὶ [d] συνῆλθον πρὸς αὐτόν.

34 Καὶ [d] ἐξελθὼν εἶδεν ὁ Ἰησοῦς πολὺν ὄχλον· καὶ [p] ἐσπλαγχνίσθη ἐπ' αὐτοῖς, ὅτι [i] ἦσαν ὡς πρόβατα μὴ ἔχοντα ποιμένα· καὶ [q] ἤρξατο διδάσκειν αὐτοὺς πολλά.

35 Καὶ ἤδη ὥρας πολλῆς γενομένης, [d] προσελθόντες αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγουσιν, Ὅτι ἔρημός [i] ἐστιν ὁ τόπος, καὶ ἤδη ὥρα πολλή.

36 [r] Ἀπόλυσον αὐτούς, ἵνα [d] ἀπελθόντες εἰς τοὺς κύκλῳ ἀγροὺς καὶ κώμας, ἀγοράσωσιν ἑαυτοῖς ἄρτους. Τί γὰρ φάγωσιν οὐκ ἔχουσιν.

37 Ὁ δὲ [s] ἀποκριθεὶς εἶπεν αὐτοῖς, [c] Δότε αὐτοῖς ὑμεῖς φαγεῖν· Καὶ λέγουσιν αὐτῷ, [d] Ἀπελθόντες ἀγοράσωμεν διακοσίων δηναρίων ἄρτους, καὶ [c] δῶμεν αὐτοῖς φαγεῖν;

38 Ὁ δὲ λέγει αὐτοῖς, Πόσους ἄρτους ἔχετε; ὑπάγετε καὶ [t] ἴδετε. Καὶ [u] γνόντες, λέγουσι, Πέντε, καὶ δύο ἰχθύας.

39 Καὶ [x] ἐπέταξεν αὐτοῖς ἀνακλῖναι πάντας [y] συμπόσια [y] συμπόσια ἐπὶ τῷ χλωρῷ χόρτῳ·

[z] ἔρχομαι.
[a] κεφαλή.
[b] φέρω.
[c] δίδωμι.
[d] ἔρχομαι.
[e] αἴρω.
[f] τίθημι.
[g] ἀγγέλλω.
[h] διδάσκω.
[i] εἰμί.
[k] καιρέω.
[l] ἔρχομαι.
[m] γινώσκω.
[n] πέζα.
[o] τρέχω.
[p] σπλαγχνίζω.
[q] ἄρχω.
[r] λύω.
[s] κρίνω.
[t] εἴδω.
[u] γινώσκω.
[x] τάττω.
[y] πίνω.

40 Καὶ [z] ἀνέπεσον [a] πρασιαὶ [a] πρασιαί, ἀνὰ ἑκατὸν, καὶ ἀνὰ πεντήκοντα.

41 Καὶ [b] λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, [c] ἀναβλέψας εἰς τὸν οὐρανὸν, * εὐλόγησε, καὶ [d] κατέκλασε τοὺς ἄρτους· καὶ [e] ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ ἵνα [f] παραθῶσιν αὐτοῖς· καὶ τοὺς δύο ἰχθύας ἐμέρισε πᾶσι.

42 Καὶ ἔφαγον πάντες, καὶ ἐχορτάσθησαν.

43 Καὶ [g] ἦραν κλασμάτων δώδεκα κοφίνους πλήρεις, καὶ ἀπὸ τῶν ἰχθύων.

44 Καὶ [h] ἦσαν οἱ φαγόντες τοὺς ἄρτους, ὡσεὶ πεντακισχίλιοι ἄνδρες.

45 ¶ Καὶ εὐθέως [i] ἠνάγκασε τοὺς μαθητὰς αὐτοῦ [k] ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν εἰς τὸ πέραν πρὸς Βηθσαϊδὰν, ἕως αὐτὸς [l] ἀπολύσῃ τὸν ὄχλον.

46 Καὶ [m] ἀποταξάμενος αὐτοῖς, [n] ἀπῆλθεν εἰς τὸ ὄρος, [o] προσεύξασθαι.

47 Καὶ ὀψίας γενομένης [h] ἦν τὸ πλοῖον ἐν μέσῳ τῆς θαλάσσης, καὶ αὐτὸς μόνος ἐπὶ τῆς γῆς.

48 Καὶ εἶδεν αὐτοὺς βασανιζομένους ἐν τῷ ἐλαύνειν· ([h] ἦν γὰρ ὁ ἄνεμος ἐναντίος αὐτοῖς) καὶ περὶ τετάρτην φυλακὴν τῆς νυκτὸς ἔρχεται πρὸς αὐτοὺς, περιπατῶν ἐπὶ τῆς θαλάσσης· καὶ ἤθελε [u] παρελθεῖν αὐτούς.

49 Οἱ δὲ [o] ἰδόντες αὐτὸν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης, ἔδοξαν φάντασμα [h] εἶναι· καὶ [p] ἀνέκραξαν

50 (Πάντες γὰρ αὐτὸν εἶδον καὶ [q] ἐταράχθησαν) καὶ εὐθέως ἐλάλησε μετ᾽ αὐτῶν, καὶ λέγει αὐτοῖς, Θαρσεῖτε, ἐγώ εἰμι, μὴ [r] φοβεῖσθε.

51 Καὶ [s] ἀνέβη πρὸς αὐτοὺς εἰς τὸ πλοῖον· καὶ [t] ἐκόπασεν ὁ ἄνεμος· καὶ λίαν ἐκ περισσοῦ ἐν ἑαυτοῖς [u] ἐξίσταντο, καὶ ἐθαύμασαν.

52 Οὐ γὰρ [x] συνῆκαν ἐπὶ τοῖς ἄρτοις· [h] ἦν γὰρ ἡ καρδία αὐτῶν [y] πεπωρωμένη.

53 ¶ Καὶ [z] διαπεράσαντες [a] ἦλθον ἐπὶ τὴν γῆν Γεννησαρέτ· καὶ [b] προσωρμίσθησαν.

54 Καὶ [a] ἐξελθόντων αὐτῶν ἐκ τοῦ πλοίου, εὐθέως [c] ἐπιγνόντες αὐτὸν,

55 [d] Περιδρα-

[z] πίπτω.
[a] πρασιά.
[b] λαμβάνω.
[c] βλέπω.
* λέγω.
[d] κλάω.
[e] δίδωμι.
[f] τίθημι.
[g] αἴρω.
[h] εἰμί.
[i] ἀνάγκη.
[k] βαίνω.
[l] λύω.
[m] τάσσω.
[n] ἔρχομαι.
[o] εὐχή.
[o] εἴδω.
[p] κράζω.
[q] ταράττω.
[r] φοβέομαι.
[s] βαίνω.
[t] κόπτω.
[u] ἵστημι.
[x] ἕω.
[y] πωρός.
[z] περάω.
[a] ἔρχομαι.
[b] ὅρμος.
[c] γινώσκω.

55 [d] Περιδραμόντες ὅλην τὴν περίχωρον ἐκείνην [e] ἤρξαντο ἐπὶ τοῖς κραββάτοις τοὺς κακῶς ἔχοντας περιφέρειν ὅπου [f] ἤκουον ὅτι ἐκεῖ ἐστι.

56 Καὶ ὅπου ἂν [g] εἰσεπορεύετο εἰς κώμας, ἢ πόλεις, ἢ ἀγροὺς, ἐν ταῖς ἀγοραῖς [h] ἐτίθουν τοὺς ἀσθενοῦντας, καὶ παρεκάλουν αὐτὸν ἵνα [i] κἂν τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ [k] ἅψωνται· καὶ ὅσοι ἂν [k] ἥπτοντο αὐτοῦ, [l] ἐσώζοντο.

[d] τρέχω. //
[e] ἄρχω.
[f] ἀκούω.
[g] πείρω.
[h] τίθημι.
[i] καὶ ἄν.
[k] ἅπτω.
[l] σώζω.

Κεφ. ζ. Cap. VII.

Καὶ συνάγονται πρὸς αὐτὸν οἱ Φαρισαῖοι, καί τινες τῶν γραμματέων, [a] ἐλθόντες ἀπὸ Ἱεροσολύμων,

2 Καὶ [b] ἰδόντες τινὰς τῶν μαθητῶν αὐτοῦ κοιναῖς χερσὶ (τοῦτ' [c] ἔστιν ἀνίπτοις) ἐσθίοντας ἄρτους, [d] ἐμέμψαντο.

3 (Οἱ γὰρ Φαρισαῖοι καὶ πάντες οἱ Ἰουδαῖοι, ἐὰν μὴ πυγμῇ νίψωνται τὰς χεῖρας, οὐκ ἐσθίουσι, [e] κρατοῦντες τὴν παράδοσιν τῶν πρεσβυτέρων·

4 Καὶ ἀπὸ ἀγορᾶς, ἐὰν μὴ βαπτίσωνται, οὐκ ἐσθίουσι· καὶ ἄλλα πολλά [c] ἐστιν ἃ [f] παρέλαβον κρατεῖν, βαπτισμοὺς ποτηρίων, καὶ ξεστῶν, καὶ χαλκίων, καὶ κλινῶν)

5 Ἔπειτα [g] ἐπερωτῶσιν αὐτὸν οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς, Διὰ τί οἱ μαθηταί σου οὐ περιπατοῦσι κατὰ τὴν παράδοσιν τῶν πρεσβυτέρων, ἀλλὰ ἀνίπτοις χερσὶν ἐσθίουσι τὸν ἄρτον;

6 Ὁ δὲ [h] ἀποκριθεὶς εἶπεν αὐτοῖς, Ὅτι καλῶς [i] προεφήτευσεν Ἡσαΐας περὶ ὑμῶν τῶν ὑποκριτῶν, ὡς [k] γέγραπται, Οὗτος ὁ λαὸς τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ.

7 Μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας, ἐντάλματα ἀνθρώπων.

8 [l] Ἀφέντες γὰρ τὴν ἐντολὴν τοῦ Θεοῦ, κρατεῖτε τὴν παράδοσιν τῶν ἀνθρώπων, βαπτισμοὺς ξεστῶν καὶ ποτηρίων· καὶ ἄλλα παρόμοια τοιαῦτα πολλὰ ποιεῖτε.

9 Καὶ [m] ἔλεγεν αὐτοῖς, Καλῶς [n] ἀθετεῖτε τὴν

ἐντολὴν

[a] ἔρχομαι.
[b] εἴδω. //
[c] εἰμί.
[d] μέμφομαι.
//
[e] κρατέω.
//
[f] λαμβάνω.
[g] ἐρωτάω.
[h] κρίνω.
[i] φάω.
[k] γράφω.
/
[l] ἕω.
[m] λέγω.
[n] τίθημι.

ἐντολὴν τοῦ Θεοῦ, ἵνα τὴν παράδοσιν ὑμῶν τηρήσητε.

10 Μωσῆς γὰρ εἶπε, Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου· καὶ Ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ [o] τελευτάτω.

[o] τέλος.

11 Ὑμεῖς δὲ λέγετε, Ἐὰν εἴπῃ ἄνθρωπος τῷ πατρὶ ἢ τῇ μητρὶ, Κορβᾶν (ὅ [c] ἐστι, δῶρον) ὃ ἐὰν ἐξ ἐμοῦ, [p] ὠφεληθῇς.

[p] ὠφελέω.

12 Καὶ οὐκέτι [l] ἀφίετε αὐτὸν οὐδὲν ποιῆσαι τῷ πατρὶ αὐτοῦ ἢ τῇ μητρὶ αὐτοῦ·

13 [q] Ἀκυροῦντες τὸν λόγον τοῦ Θεοῦ τῇ παραδόσει ὑμῶν ᾗ [r] παρεδώκατε· καὶ παρόμοια τοιαῦτα πολλὰ ποιεῖτε.

[q] κύρω.
[r] δίδωμι.

14 ¶ Καὶ [f] προσκαλεσάμενος πάντα τὸν ὄχλον, ἔλεγεν αὐτοῖς, Ἀκούετέ μου πάντες, καὶ συνίετε.

[f] καλέω.

15 Οὐδέν [c] ἐστιν ἔξωθεν τοῦ ἀνθρώπου εἰσπορευόμενον εἰς αὐτὸν, ὃ δύναται αὐτὸν κοινῶσαι· ἀλλὰ τὰ [t] ἐκπορευόμενα ἀπ' αὐτοῦ, ἐκεῖνά [c] ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον.

[t] πείρω.

16 Εἴ τις ἔχει [u] ὦτα ἀκούειν, ἀκουέτω.

[u] οὖς.

17 Καὶ ὅτε [a] εἰσῆλθεν εἰς οἶκον ἀπὸ τοῦ ὄχλου, [x] ἐπηρώτων αὐτὸν οἱ μαθηταὶ αὐτοῦ περὶ τῆς παραβολῆς.

[x] ἐρωτάω.

18 Καὶ λέγει αὐτοῖς, Οὕτω καὶ ὑμεῖς ἀσύνετοί ἐστε; οὐ νοεῖτε ὅτι πᾶν τὸ ἔξωθεν [t] εἰσπορευόμενον εἰς τὸν ἄνθρωπον, οὐ δύναται αὐτὸν κοινῶσαι;

19 Ὅτι οὐκ [t] εἰσπορεύεται αὐτοῦ εἰς τὴν καρδίαν, ἀλλ' εἰς τὴν κοιλίαν· καὶ εἰς τὸν ἀφεδρῶνα [t] ἐκπορεύεται, καθαρίζον πάντα τὰ βρώματα.

20 Ἔλεγε δὲ ὅτι τὸ ἐκ τοῦ ἀνθρώπου [t] ἐκπορευόμενον, ἐκεῖνο κοινοῖ τὸν ἄνθρωπον.

21 Ἔσωθεν γὰρ ἐκ τῆς καρδίας τῶν ἀνθρώπων οἱ διαλογισμοὶ οἱ κακοὶ [t] ἐκπορεύονται, μοιχεῖαι, πορνεῖαι, φόνοι,

22 Κλοπαὶ, πλεονεξίαι, πονηρίαι, δόλος, ἀσέλγεια, ὀφθαλμὸς πονηρὸς, βλασφημία, ὑπερηφανία, ἀφροσύνη·

23 Πάντα ταῦτα τὰ πονηρὰ ἔσωθεν [t] ἐκπορεύεται, καὶ κοινοῖ τὸν ἄνθρωπον.

24 ¶ Καὶ ἐκεῖθεν [y] ἀναστὰς [a] ἀπῆλθεν εἰς τὰ μεθόρια Τύρου καὶ Σιδῶνος· καὶ [a] εἰσελθὼν εἰς τὴν οἰκίαν, οὐδένα [z] ἤθελε [a] γνῶναι· καὶ οὐκ [b] ἠδυνήθη [c] λαθεῖν.

25 Ἀκούσασα γὰρ γυνὴ περὶ αὐτοῦ, ἧς [d] εἶχε τὸ θυγάτριον αὐτῆς πνεῦμα ἀκάθαρτον, [e] ἐλθοῦσα [f] προσέπεσε πρὸς τοὺς πόδας αὐτοῦ,

26 ([g] Ἦν δὲ ἡ γυνὴ Ἑλληνίς, Συροφοίνισσα τῷ γένει) καὶ [h] ἠρώτα αὐτὸν ἵνα τὸ δαιμόνιον ἐκβάλλῃ ἐκ τῆς θυγατρὸς αὐτῆς.

27 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῇ, [i] Ἄφες πρῶτον χορτασθῆναι τὰ τέκνα· οὐ γὰρ καλόν [g] ἐστι [k] λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις.

28 Ἡ δὲ [l] ἀπεκρίθη, καὶ λέγει αὐτῷ, Ναὶ Κύριε· καὶ γὰρ τὰ κυνάρια ὑποκάτω τῆς τραπέζης ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν παιδίων.

29 Καὶ εἶπεν αὐτῇ, Διὰ τοῦτον τὸν λόγον ὕπαγε· [e] ἐξελήλυθε τὸ δαιμόνιον ἐκ τῆς θυγατρός σου.

30 Καὶ [e] ἀπελθοῦσα εἰς τὸν οἶκον αὐτῆς, [m] εὗρε τὸ δαιμόνιον [e] ἐξεληλυθός, καὶ τὴν θυγατέρα [n] βεβλημένην ἐπὶ τῆς κλίνης.

31 ¶ Καὶ πάλιν [e] ἐξελθὼν ἐκ τῶν ὁρίων Τύρου καὶ Σιδῶνος, [e] ἦλθε πρὸς τὴν θάλασσαν τῆς Γαλιλαίας, ἀνὰ μέσον τῶν ὁρίων Δεκαπόλεως.

32 Καὶ φέρουσιν αὐτῷ κωφὸν [o] μογιλάλον· καὶ παρακαλοῦσιν αὐτὸν ἵνα [p] ἐπιθῇ αὐτῷ τὴν χεῖρα.

33 Καὶ [k] ἀπολαβόμενος αὐτὸν ἀπὸ τοῦ ὄχλου κατ' ἰδίαν, [n] ἔβαλε τοὺς δακτύλους αὐτοῦ εἰς τὰ ὦτα αὐτοῦ, καὶ πτύσας [q] ἥψατο τῆς γλώσσης αὐτοῦ.

34 Καὶ [r] ἀναβλέψας εἰς τὸν οὐρανὸν, ἐστέναξε· καὶ λέγει αὐτῷ, Ἐφφαθά, ὅ [g] ἐστι, [s] Διανοίχθητι.

35 Καὶ εὐθέως [s] διηνοίχθησαν αὐτοῦ αἱ ἀκοαί· καὶ [t] ἐλύθη ὁ δεσμὸς τῆς γλώσσης αὐτοῦ, καὶ ἐλάλει ὀρθῶς.

[y] ἵστημι. //
[z] θέλω.
[a] γινώσκω.
[b] δύναμαι.
[c] λανθάνω.
[d] ἔχω.
[e] ἔρχομαι.
[f] πίπτω.
[g] εἰμί.
[h] ἐρωτάω.
[i] ἐάω.
[k] λαμβάνω.
[l] κρίνω.
[m] εὑρίσκω.
[n] βάλλω.
[o] λαλέω. //
[p] τίθημι.
[q] ἅπτω.
[r] βλέπω.
[s] οἴγω.
[t] λύω.

36 Καὶ [u] διεστείλατο αὐτοῖς ἵνα μηδενὶ εἴπωσιν· ὅσον δὲ αὐτὸς αὐτοῖς [u] διεστέλλετο, μᾶλλον περισσότερον [x] ἐκήρυσσον.

37 Καὶ ὑπερπερισσῶς [y] ἐξεπλήσσοντο, λέγοντες, Καλῶς πάντα [z] πεποίηκε· καὶ τοὺς κωφοὺς ποιεῖ ἀκούειν, καὶ τοὺς ἀλάλους λαλεῖν.

Κεφ. η'. Cap. VIII.

ΕΝ ἐκείναις ταῖς ἡμέραις, παμπόλλου ὄχλου [a] ὄντος, καὶ μὴ ἐχόντων τί φάγωσι, [b] προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ, λέγει αὐτοῖς,

2 [c] Σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον· ὅτι ἤδη ἡμέρας τρεῖς [d] προσμένουσί μοι, καὶ οὐκ ἔχουσι τί φάγωσι·

3 Καὶ ἐὰν [e] ἀπολύσω αὐτοὺς νήστεις εἰς οἶκον αὐτῶν, [e] ἐκλυθήσονται ἐν τῇ ὁδῷ· τινὲς γὰρ αὐτῶν μακρόθεν [f] ἥκουσι.

4 Καὶ [g] ἀπεκρίθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, Πόθεν τούτους δυνήσεταί τις ὧδε χορτάσαι ἄρτων ἐπ' ἐρημίας;

5 Καὶ [h] ἐπηρώτα αὐτούς, Πόσους ἔχετε ἄρτους; Οἱ δὲ εἶπον, Ἑπτά.

6 Καὶ [i] παρήγγειλε τῷ ὄχλῳ [k] ἀναπεσεῖν ἐπὶ τῆς γῆς· καὶ [l] λαβὼν τοὺς ἑπτὰ ἄρτους, εὐχαριστήσας [m] ἔκλασε, καὶ [n] ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ ἵνα [o] παραθῶσι· καὶ [o] παρέθηκαν τῷ ὄχλῳ.

7 Καὶ εἶχον ἰχθύδια ὀλίγα· καὶ [p] εὐλογήσας εἶπε [o] παραθεῖναι καὶ αὐτά.

8 [a] Ἔφαγον δέ, καὶ [q] ἐχορτάσθησαν· καὶ [r] ἦραν περισσεύματα κλασμάτων, ἑπτὰ σπυρίδας.

9 [a] Ἦσαν δὲ οἱ φαγόντες, ὡς τετρακισχίλιοι· καὶ [e] ἀπέλυσεν αὐτούς.

10 ¶ Καὶ εὐθέως [s] ἐμβὰς εἰς τὸ πλοῖον μετὰ τῶν μαθητῶν αὐτοῦ, [t] ἦλθεν εἰς τὰ μέρη Δαλμανουθά.

11 Καὶ [t] ἐξῆλθον οἱ Φαρισαῖοι, καὶ [u] ἤρξαντο συζητεῖν αὐτῷ, ζητοῦντες παρ' αὐτοῦ σημεῖον ἀπὸ τοῦ οὐρανοῦ, πειράζοντες αὐτόν.

[u] στέλλω.
[x] κηρύξ.
[y] πλήσσω. //
[z] ποιέω.
//
[a] εἰμί.
[b] καλέω.
[c] σπλάγχνον
[d] μένω.
[e] λύω.
[f] ἥκω.
[g] κρίνω.
[h] ἐρωτάω.
[i] ἀγγέλλω.
[k] πίπτω.
[l] λαμβάνω.
[m] κλάω.
[n] δίδωμι.
[o] τίθημι. //
[p] λέγω.
[q] χόρτος.
[r] αἴρω.
[s] βαίνω.
[t] ἔρχομαι.
[u] ἄρχω.

12 Καὶ [x] ἀναστενάξας τῷ πνεύματι αὐτοῦ, λέγει, Τί ἡ γενεὰ αὕτη σημεῖον ἐπιζητεῖ; ἀμὴν λέγω ὑμῖν εἰ [y] δοθήσεται τῇ γενεᾷ ταύτῃ σημεῖον.

13 ¶ Καὶ [z] ἀφεὶς αὐτοὺς, [a] ἐμβὰς πάλιν εἰς τὸ πλοῖον, [b] ἀπῆλθεν εἰς τὸ πέραν.

14 Καὶ [c] ἐπελάθοντο [d] λαβεῖν ἄρτους, καὶ εἰ μὴ ἕνα ἄρτον οὐκ [e] εἶχον μεθ' ἑαυτῶν ἐν τῷ πλοίῳ.

15 Καὶ [f] διεστέλλετο αὐτοῖς, λέγων, [g] Ὁρᾶτε, βλέπετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ τῆς ζύμης Ἡρώδου.

16 Καὶ [h] διελογίζοντο πρὸς ἀλλήλους, λέγοντες, Ὅτι ἄρτους οὐκ ἔχομεν.

17 Καὶ [i] γνοὺς ὁ Ἰησοῦς λέγει αὐτοῖς, Τί διαλογίζεσθε ὅτι ἄρτους οὐκ ἔχετε; οὔπω νοεῖτε, οὐδὲ [k] συνίετε; ἔτι [l] πεπωρωμένην ἔχετε τὴν καρδίαν ὑμῶν;

18 Ὀφθαλμοὺς ἔχοντες οὐ βλέπετε; καὶ [m] ὦτα ἔχοντες οὐκ ἀκούετε; καὶ οὐ [n] μνημονεύετε;

19 Ὅτε τοὺς πέντε ἄρτους [o] ἔκλασα εἰς τοὺς πεντακισχιλίους, πόσους κοφίνους πλήρεις κλασμάτων [p] ἤρατε; Λέγουσιν αὐτῷ, Δώδεκα.

20 Ὅτε δὲ τοὺς ἑπτὰ εἰς τοὺς τετρακισχιλίους, πόσων σπυρίδων πληρώματα κλασμάτων [p] ἤρατε; Οἱ δὲ εἶπον, Ἑπτά.

21 Καὶ ἔλεγεν αὐτοῖς, Πῶς οὐ [k] συνίετε;

22 ¶ Καὶ ἔρχεται εἰς Βηθσαϊδάν· καὶ φέρουσιν αὐτῷ τυφλὸν, καὶ παρακαλοῦσιν αὐτὸν ἵνα αὐτοῦ [q] ἅψηται.

23 Καὶ [r] ἐπιλαβόμενος τῆς χειρὸς τοῦ τυφλοῦ, [s] ἐξήγαγεν αὐτὸν ἔξω τῆς κώμης, καὶ πτύσας εἰς τὰ ὄμματα αὐτοῦ, [t] ἐπιθεὶς τὰς χεῖρας αὐτῷ, [u] ἐπηρώτα αὐτὸν εἴ τι [x] βλέπει.

24 Καὶ [x] ἀναβλέψας ἔλεγε, Βλέπω τοὺς ἀνθρώπους, ὅτι ὡς δένδρα περιπατοῦντας.

25 Εἶτα πάλιν [y] ἐπέθηκε τὰς χεῖρας ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ ἐποίησεν αὐτὸν ἀναβλέψαι· καὶ [z] ἀποκατεστάθη, καὶ ἐνέβλεψε [a] τηλαυγῶς ἅπαντας.

26 Καὶ

[x] στενός. //
[y] δίδωμι.
[z] ἕω.
[a] βαίνω.
[b] ἔρχομαι.
[c] λανθάνω.
[d] λαμβάνω.
[e] ἔχω.
[f] στέλλω.
[g] ὁράω.
[h] λέγω.
[i] γινώσκω.
[k] ἵω.
[l] πῶρος.
[m] οὖς.
[n] μιμνήσκομαι.
[o] κλάω.
[p] αἴρω.
[q] ἅπτω.
[r] λαμβάνω. //
[s] ἄγω.
[t] τίθημι.
[u] ἐρωτάω.
[x] βλέπω.
[y] τίθημι. //
[z] ἵστημι.
[a] αὐγή.

[b] στέλλω. 26 Καὶ [b] ἀπέστειλεν αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ,
[c] ἔρχομαι. λέγων, Μηδὲ εἰς τὴν κώμην [c] εἰσέλθῃς, μηδὲ
εἴπῃς τινὶ ἐν τῇ κώμῃ.

27 ¶ Καὶ [c] ἐξῆλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ
αὐτοῦ εἰς τὰς κώμας Καισαρείας τῆς Φιλίππου· καὶ
[d] ἐρωτάω. ἐν τῇ ὁδῷ [d] ἐπηρώτα τοὺς μαθητὰς αὐτοῦ, λέγων
[e] εἰμί. αὐτοῖς, Τίνα με λέγουσιν οἱ ἄνθρωποι [e] εἶναι;

[f] κρίνω. 28 Οἱ δὲ [f] ἀπεκρίθησαν, Ἰωάννην τὸν Βαπτιστήν·
καὶ ἄλλοι, Ἠλίαν· ἄλλοι δὲ, ἕνα τῶν προφητῶν.

29 Καὶ αὐτὸς λέγει αὐτοῖς, Ὑμεῖς δὲ τίνα
με λέγετε [e] εἶναι; [f] Ἀποκριθεὶς δὲ ὁ Πέτρος
λέγει αὐτῷ, Σὺ [e] εἶ ὁ Χριστός.

[g] τίω. 30 Καὶ [g] ἐπετίμησεν αὐτοῖς ἵνα μηδενὶ
λέγωσι περὶ αὐτοῦ.

[h] ἄρχω. 31 ¶ Καὶ [h] ἤρξατο διδάσκειν αὐτοὺς ὅτι
[i] πάσχω. δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ [i] παθεῖν, καὶ [k] ἀποδοκιμασθῆναι
[k] δοκιμή. ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων
[l] κτείνω. καὶ γραμματέων, καὶ [l] ἀποκτανθῆναι· καὶ μετὰ
[m] ἵστημι. τρεῖς ἡμέρας [m] ἀναστῆναι.

32 Καὶ παῤῥησίᾳ τὸν λόγον ἐλάλει· Καὶ
[n] λαμβάνω. [n] προσλαβόμενος αὐτὸν ὁ Πέτρος [o] ἤρξατο
[o] ἄρχω. ἐπιτιμᾷν αὐτῷ.

[p] στρέφω. 33 Ὁ δὲ [p] ἐπιστραφεὶς, καὶ [q] ἰδὼν τοὺς μαθητὰς
[q] εἴδω. αὐτοῦ, [g] ἐπετίμησε τῷ Πέτρῳ, λέγων,
Ὕπαγε ὀπίσω μου Σατανᾶ· ὅτι οὐ φρονεῖς τὰ τοῦ
Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων.

[r] καλέω. 34 Καὶ [r] προσκαλεσάμενος τὸν ὄχλον σὺν
τοῖς μαθηταῖς αὐτοῦ, εἶπεν αὐτοῖς, Ὅστις θέλει
[s] ἀρνέομαι. ὀπίσω μου [c] ἐλθεῖν, [s] ἀπαρνησάσθω ἑαυτὸν, καὶ
[t] αἴρω. [t] ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι.

35 Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ [u] σῶσαι,
[u] σόω. [x] ἀπολέσει αὐτήν· ὃς δ᾽ ἂν [x] ἀπολέσῃ τὴν ψυχὴν
[x] ὀλλύω. αὐτοῦ ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου, οὗτος
[u] σώσει αὐτήν.

36 Τί γὰρ [y] ὠφελήσει ἄνθρωπον ἐὰν κερδήσῃ
[y] ὠφελέω. τὸν κόσμον ὅλον, καὶ [z] ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ;
[z] ζημία. 37 Ἢ τί [a] δώσει ἄνθρωπος ἀντάλλαγμα
[a] δίδωμι. τῆς ψυχῆς αὐτοῦ;

38 Ὃς γὰρ ἂν [b] ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λό- [b] αἶσχος.
γους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρ-
τωλῷ, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου [b] ἐπαισχυνθήσεται
αὐτὸν ὅταν [c] ἔλθῃ ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ [c] ἔρχομαι.
μετὰ τῶν ἀγγέλων τῶν ἁγίων.

Κεφ. θ'. Cap. IX.

ΚΑὶ [a] ἔλεγεν αὐτοῖς, Ἀμὴν λέγω ὑμῖν, ὅτι [a] λέγω.
[b] εἰσί τινες τῶν ὧδε [c] ἑστηκότων, οἵτινες οὐ [b] εἰμί.
μὴ γεύσονται θανάτου, ἕως ἂν [d] ἴδωσι τὴν βασι- [c] ἵστημι.
λείαν τοῦ Θεοῦ [e] ἐληλυθυῖαν ἐν δυνάμει. [d] εἴδω.

2 Καὶ μεθ' ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰη- [e] ἔρχομαι.
σοῦς τὸν Πέτρον καὶ τὸν Ἰάκωβον καὶ τὸν Ἰωάννην.
καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδί-
αν μόνους· καὶ [f] μετεμορφώθη ἔμπροσθεν αὐ- [f] μορφή.
τῶν.

3 Καὶ τὰ ἱμάτια αὐτοῦ [g] ἐγένετο στίλβοντα, [g] γίνομαι. //
λευκὰ λίαν ὡς χιὼν, οἷα γναφεὺς ἐπὶ τῆς γῆς οὐ
δύναται λευκᾶναι.

4 Καὶ [h] ὤφθη αὐτοῖς Ἠλίας σὺν Μωσεῖ. καὶ [h] ὄπτομαι.
[b] ἦσαν συλλαλοῦντες τῷ Ἰησοῦ.

5 Καὶ [i] ἀποκριθεὶς ὁ Πέτρος λέγει τῷ Ἰη- [i] κρίνω.
σοῦ, Ραββὶ, καλόν [b] ἐστιν ἡμᾶς ὧδε [b] εἶναι. καὶ
ποιήσωμεν σκηνὰς τρεῖς, σοὶ μίαν, καὶ Μωσεῖ
μίαν, καὶ Ἠλίᾳ μίαν.

6 Οὐ γὰρ [k] ᾔδει τί λαλήσῃ· [b] ἦσαν γὰρ ἔκ- [b] εἴδω.
φοβοι.

7 Καὶ [l] ἐγένετο νεφέλη [m] ἐπισκιάζουσα αὐ- [l] γίνομαι.
τοῖς· καὶ [c] ἦλθε φωνὴ ἐκ τῆς νεφέλης, λέγουσα, [m] σκία.
Οὗτός [b] ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός· αὐτοῦ ἀκού-
ετε.

8 Καὶ [n] ἐξάπινα [o] περιβλεψάμενοι, οὐκέτι [n] φαίνω. //
οὐδένα εἶδον, ἀλλὰ τὸν Ἰησοῦν μόνον μεθ' ἑαυ- [o] βλέπω.
τῶν.

9 Καταβαινόντων δὲ αὐτῶν ἀπὸ τοῦ ὄρους,
[p] διεστείλατο αὐτοῖς ἵνα μηδενὶ [q] διηγήσωνται [p] στέλλω.
ἃ εἶδον, εἰ μὴ ὅταν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νε- [q] ἡγέομαι.
κρῶν [r] ἀναστῇ. [r] ἵστημι.

10 Καὶ τὸν λόγον [s] ἐκράτησαν πρὸς ἑαυτοὺς, [s] κράτος.
συζητοῦντες τί ἐστι τὸ ἐκ νεκρῶν [r] ἀναστῆναι.

11 ¶ Καὶ

[t] ἐρωτάω.

11 ¶ Καὶ [t] ἐπηρώτων αὐτὸν, λέγοντες, Ὅτι λέγουσιν οἱ γραμματεῖς ὅτι Ἠλίαν δεῖ [e] ἐλθεῖν πρῶτον.

[u] γράφω.
[x] πάσχω.
[y] εἶς.

12 Ὁ δὲ [i] ἀποκριθεὶς εἶπεν αὐτοῖς, Ἠλίας μὲν [e] ἐλθὼν πρῶτον, [r] ἀποκαθιστᾷ πάντα· καὶ πῶς [u] γέγραπται ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου, ἵνα πολλὰ [x] πάθῃ, καὶ [y] ἐξουδενωθῇ;

13 Ἀλλὰ λέγω ὑμῖν ὅτι καὶ Ἠλίας [e] ἐλήλυθε, καὶ ἐποίησαν αὐτῷ ὅσα ἠθέλησαν, καθὼς [u] γέγραπται ἐπ᾽ αὐτόν.

14 ¶ Καὶ [e] ἐλθὼν πρὸς τοὺς μαθητὰς, εἶδεν ὄχλον πολὺν περὶ αὐτοὺς, καὶ γραμματεῖς συζητοῦντας αὐτοῖς.

[z] εἴδω.
[a] θάμβος.
[b] ἀσπάζω.
[c] ἐρωτάω.

15 Καὶ εὐθέως πᾶς ὁ ὄχλος [z] ἰδὼν αὐτὸν [a] ἐξεθαμβήθη, καὶ προστρέχοντες [b] ἠσπάζοντο αὐτόν.

16 Καὶ [c] ἐπηρώτησε τοὺς γραμματεῖς, Τί συζητεῖτε πρὸς αὐτούς;

[d] κρίνω.
[e] φέρω.

17 Καὶ [d] ἀποκριθεὶς εἷς ἐκ τοῦ ὄχλου εἶπε, Διδάσκαλε, [e] ἤνεγκα τὸν υἱόν μου πρός σε, ἔχοντα πνεῦμα ἄλαλον·

[f] λαμβάνω.

18 Καὶ ὅπου ἂν αὐτὸν [f] καταλάβῃ, ῥήσσει αὐτόν· καὶ ἀφρίζει, καὶ τρίζει τοὺς ὀδόντας αὐτοῦ, καὶ ξηραίνεται· καὶ εἶπον τοῖς μαθηταῖς σου ἵνα αὐτὸ ἐκβάλωσι, καὶ οὐκ ἴσχυσαν.

[g] εἰμί.
[h] ἔχω.

19 Ὁ δὲ [d] ἀποκριθεὶς αὐτῷ λέγει, Ὦ γενεὰ ἄπιστος, ἕως πότε πρὸς ὑμᾶς [g] ἔσομαι; ἕως πότε [h] ἀνέξομαι ὑμῶν; φέρετε αὐτὸν πρός με.

[i] φέρω.
[k] εἴδω.
[l] σπαράσσω.
[m] πίπτω.
[n] κυλίω.

20 Καὶ [i] ἤνεγκαν αὐτὸν πρὸς αὐτόν· καὶ [k] ἰδὼν αὐτὸν, εὐθέως τὸ πνεῦμα [l] ἐσπάραξεν αὐτόν· καὶ [m] πεσὼν ἐπὶ τῆς γῆς, [n] ἐκυλίετο ἀφρίζων.

[o] γίνομαι.
[p] παῖς.

21 Καὶ [c] ἐπηρώτησε τὸν πατέρα αὐτοῦ, Πόσος χρόνος [g] ἐστὶν ὡς τοῦτο [o] γέγονεν αὐτῷ; Ὁ δὲ εἶπε, [p] Παιδιόθεν·

[q] ὀλλύω.
[r] βοηθός.
[s] σπλάγχνον

22 Καὶ πολλάκις αὐτὸν καὶ εἰς πῦρ ἔβαλε καὶ εἰς ὕδατα, ἵνα [q] ἀπολέσῃ αὐτόν· ἀλλ᾽ εἴ τι δύνασαι, [r] βοήθησον ἡμῖν, [s] σπλαγχνισθεὶς ἐφ᾽ ἡμᾶς.

23 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, Τὸ εἰ δύνασαι
πιστεῦσαι, πάντα δυνατὰ τῷ πιστεύοντι.

24 Καὶ εὐθέως [t] κράξας ὁ πατὴρ τοῦ παιδίου, [t] κράζω.
μετὰ δακρύων ἔλεγε, Πιστεύω Κύριε· βοήθει μου
τῇ ἀπιστίᾳ.

25 [k] Ἰδὼν δὲ ὁ Ἰησοῦς ὅτι ἐπισυντρέχει ὄχλος,
[u] ἐπετίμησε τῷ πνεύματι τῷ ἀκαθάρτῳ, [u] τίω. //
λέγων αὐτῷ, Τὸ πνεῦμα τὸ ἄλαλον καὶ
κωφὸν, ἐγώ σοι ἐπιτάσσω, [x] Ἔξελθε ἐξ αὐτοῦ,
καὶ μηκέτι [x] εἰσέλθῃς εἰς αὐτόν. [x] ἔρχομαι.

26 Καὶ [y] κράξαν, καὶ πολλὰ [z] σπαράξαν [y] κράζω.
αὐτὸν, [x] ἐξῆλθε· καὶ [a] ἐγένετο ὡσεὶ νεκρὸς, [z] σπαράσσω.
ὥστε πολλοὺς λέγειν ὅτι [b] ἀπέθανεν. [a] γίνομαι.

27 Ὁ δὲ Ἰησοῦς [c] κρατήσας αὐτὸν τῆς χειρὸς, [b] θνήσκω.
[d] ἤγειρεν αὐτόν· καὶ [e] ἀνέστη. [c] κράτος.

28 Καὶ [f] εἰσελθόντα αὐτὸν εἰς οἶκον οἱ μαθηταὶ [d] ἐγείρω.
αὐτοῦ [g] ἐπηρώτων αὐτὸν κατ' ἰδίαν, Ὅτι [e] ἵστημι.
ἡμεῖς οὐκ [h] ἠδυνήθημεν ἐκβαλεῖν αὐτό; [f] ἔρχομαι.

29 Καὶ εἶπεν αὐτοῖς, Τοῦτο τὸ γένος ἐν οὐδενὶ [g] ἐρωτάω.
δύναται [f] ἐξελθεῖν εἰ μὴ ἐν προσευχῇ καὶ [h] δύναμαι.
νηστείᾳ.

30 ¶ Καὶ ἐκεῖθεν [f] ἐξελθόντες [i] παρεπορεύοντο [i] πείρω.
διὰ τῆς Γαλιλαίας· καὶ οὐκ [k] ἤθελεν ἵνα [k] θέλω.
τις [l] γνῷ. [l] γινώσκω.

31 Ἐδίδασκε γὰρ τοὺς μαθητὰς αὐτοῦ, καὶ
ἔλεγεν αὐτοῖς, Ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου [m] παραδίδοται [m] δίδωμι.
εἰς χεῖρας ἀνθρώπων, καὶ [n] ἀποκτενοῦσιν [n] κτείνω.
αὐτόν· καὶ [n] ἀποκτανθεὶς, τῇ τρίτῃ ἡμέρᾳ
[o] ἀναστήσεται. [o] ἵστημι.

32 Οἱ δὲ [p] ἠγνόουν τὸ ῥῆμα, καὶ [q] ἐφοβοῦντο αὐτὸν [p] νόος.
ἐπερωτῆσαι. [q] φέβομαι.

33 ¶ Καὶ [f] ἦλθεν εἰς Καπερναούμ· καὶ ἐν τῇ
οἰκίᾳ γενόμενος [r] ἐπηρώτα αὐτοὺς, Τί ἐν τῇ [r] ἐρωτάω.
ὁδῷ πρὸς ἑαυτοὺς διελογίζεσθε;

34 Οἱ δὲ [s] ἐσιώπων· πρὸς ἀλλήλους γὰρ [t] διελέχθησαν [s] σιωπή.
ἐν τῇ ὁδῷ, τίς μείζων. [t] λέγω.

35 Καὶ [u] καθίσας [x] ἐφώνησε τοὺς δώδεκα, [u] ἕζω.
καὶ λέγει αὐτοῖς· Εἴ τις θέλει πρῶτος εἶναι, [x] φωνή.
[y] ἔσται πάντων ἔσχατος, καὶ πάντων διάκονος. [y] εἰμί.

36 Καὶ

z λαμβάνω. 36 Καὶ [z] λαβὼν παιδίον, [a] ἔστησεν αὐτὸ ἐν
a ἵστημι. μέσῳ αὐτῶν, καὶ [b] ἐναγκαλισάμενος αὐτὸ, εἶ-
b ἀγκή. πεν αὐτοῖς,

37 Ὃς ἐὰν ἓν τῶν τοιούτων παιδίων δέξηται
ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται· καὶ ὃς ἐὰν ἐμὲ
c στέλλω. δέξηται, οὐκ ἐμὲ δέχεται, ἀλλὰ τὸν [c] ἀποστείλαν-
τά με.

d κρίνω. 38 [d] Ἀπεκρίθη δὲ αὐτῷ ὁ Ἰωάννης, λέγων,
Διδάσκαλε, εἴδομέν τινα ἐν τῷ ὀνόματί σου ἐκ-
βάλλοντα δαιμόνια, ὃς οὐκ ἀκολουθεῖ ἡμῖν· καὶ
e κωλύω. [e] ἐκωλύσαμεν αὐτὸν, ὅτι οὐκ ἀκολουθεῖ ἡ-
μῖν.

39 Ὁ δὲ Ἰησοῦς εἶπε, Μὴ κωλύετε αὐτόν·
f εἰμί. οὐδεὶς γάρ [f] ἐστιν ὃς ποιήσει δύναμιν ἐπὶ τῷ
g λέγω. ὀνόματί μου, καὶ δυνήσεται ταχὺ [g] κακολογῆ-
σαί με.

40 Ὃς γὰρ οὐκ [f] ἔστι καθ᾽ ἡμῶν, ὑπὲρ ἡμῶν
[f] ἐστιν.

h πίνω. 41 Ὃς γὰρ ἂν [h] ποτίσῃ ὑμᾶς ποτήριον ὕδατος
ἐν τῷ ὀνόματί μου, ὅτι Χριστοῦ [f] ἐστὲ, ἀμὴν λέγω
i ὀλλύω. ὑμῖν, οὐ μὴ [i] ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ.

5 42 Καὶ ὃς ἂν σκανδαλίζῃ ἕνα τῶν μικρῶν τῶν
πιστευόντων εἰς ἐμὲ, καλόν [f] ἐστιν αὐτῷ μᾶλλον
k κεῖμαι. εἰ [k] περίκειται λίθος μυλικὸς περὶ τὸν τράχηλον
l βάλλω. αὐτοῦ, καὶ [l] βέβληται εἰς τὴν θάλασσαν.

m κόπτω. 43 Καὶ ἐὰν σκανδαλίζῃ σε ἡ χείρ σου, [m] ἀ-
πόκοψον αὐτήν· καλόν σοι [f] ἐστὶ κυλλὸν εἰς τὴν
n ἔρχομαι. ζωὴν [n] εἰσελθεῖν, ἢ τὰς δύο χεῖρας ἔχοντα, [n] ἀ-
πελθεῖν εἰς τὴν γέενναν, εἰς τὸ πῦρ τὸ ἄσβεστον·

44 Ὅπου ὁ σκώληξ αὐτῶν οὐ [p] τελευτᾷ, καὶ
τὸ πῦρ οὐ σβέννυται.

45 Καὶ ἐὰν ὁ πούς σου σκανδαλίζῃ σε, ἀπό-
κοψον αὐτόν· καλόν [f] ἐστί σοι [n] εἰσελθεῖν εἰς τὴν
o βάλλω. ζωὴν χωλὸν, ἢ τοὺς δύο πόδας ἔχοντα [o] βλη-
θῆναι εἰς τὴν γέενναν, εἰς τὸ πῦρ τὸ ἄσβεστον·

p τέλος. 46 Ὅπου ὁ σκώληξ αὐτῶν οὐ [p] τελευτᾷ, καὶ τὸ
πῦρ οὐ σβέννυται.

47 Καὶ ἐὰν ὁ ὀφθαλμός σου σκανδαλίζῃ σε,
ἔκβαλε αὐτόν· καλόν σοι [f] ἐστὶ μονόφθαλμον
[n] εἰσελ-

εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, ἢ δύο ὀφ-
θαλμοὺς ἔχοντα [o] βληθῆναι εἰς τὴν γέενναν τοῦ
πυρός.

48 Ὅπου ὁ σκώληξ αὐτῶν οὐ [p] τελευτᾷ, καὶ
τὸ πῦρ οὐ σβέννυται.

49 Πᾶς γὰρ πυρὶ [q] ἁλισθήσεται, καὶ πᾶσα θυ- [q] ἅλς. //
σία [q] ἁλὶ [q] ἁλισθήσεται.

50 Καλὸν τὸ ἅλας· ἐὰν δὲ τὸ [q] ἅλας [q] ἄνα- [r] γίνομαι. //
λον [r] γένηται, ἐν τίνι αὐτὸ [ſ] ἀρτύσετε; ἔχετε [ſ] ἀρτύω.
ἐν ἑαυτοῖς ἅλας, καὶ [t] εἰρηνεύετε ἐν ἀλλήλοις. [t] εἰρήνη.

Κεφ. ι. Cap. X.

Κἀκεῖθεν [a] ἀναστὰς ἔρχεται εἰς τὰ ὅρια Ἰου- [a] ἵστημι. //
δαίας διὰ τοῦ πέραν τοῦ Ἰορδάνου· καὶ [b] συμ- [b] πείρω.
πορεύονται πάλιν ὄχλοι πρὸς αὐτόν· καὶ ὡς
[c] εἰώθει, πάλιν ἐδίδασκεν αὐτούς. [c] ἔθω.

2 Καὶ [d] προσελθόντες οἱ Φαρισαῖοι [e] ἐπη- [d] ἔρχομαι.
ρώτησαν αὐτὸν εἰ [f] ἔξεστιν ἀνδρὶ γυναῖκα [g] ἀ- [e] ἐρωτάω.
πολῦσαι· πειράζοντες αὐτόν. [f] εἰμί.

3 Ὁ δὲ [h] ἀποκριθεὶς εἶπεν αὐτοῖς, Τί ὑμῖν [g] λύω.
[i] ἐνετείλατο Μωσῆς; [h] κρίνω.

4 Οἱ δὲ εἶπον, Μωσῆς [k] ἐπέτρεψε βιβλίον [i] τέλλω. //
ἀποστασίου [l] γράψαι, καὶ [m] ἀπολῦσαι. [k] τρέπω.

5 Καὶ [n] ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, [l] γράφω.
Πρὸς τὴν σκληροκαρδίαν ὑμῶν [o] ἔγραψεν ὑμῖν, [m] λύω.
τὴν ἐντολὴν ταύτην· [n] κρίνω.

6 Ἀπὸ δὲ ἀρχῆς κτίσεως, ἄρσεν καὶ θῆλυ [o] γράφω.
[p] ἐποίησεν αὐτοὺς ὁ Θεός. [p] ποιέω.

7 Ἕνεκεν τούτου [q] καταλείψει ἄνθρωπος τὸν [q] λείπω.
πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ [r] προσκολληθή- [r] κόλλα.
σεται πρὸς τὴν γυναῖκα αὐτοῦ.

8 Καὶ [f] ἔσονται οἱ δύο εἰς σάρκα μίαν· ὥστε
οὐκέτι [f] εἰσὶ δύο, ἀλλὰ μία σάρξ.

9 Ὃ οὖν ὁ Θεὸς [ſ] συνέζευξεν, ἄνθρωπος [ſ] ζευγνύω. //
μὴ χωριζέτω.

10 Καὶ ἐν τῇ οἰκίᾳ πάλιν οἱ μαθηταὶ αὐτοῦ
περὶ τοῦ αὐτοῦ ἐπηρώτησαν αὐτόν.

11 Καὶ λέγει αὐτοῖς, Ὃς ἐὰν [g] ἀπολύσῃ
τὴν γυναῖκα αὐτοῦ, καὶ γαμήσῃ ἄλλην, μοιχᾶται
ἐπ' αὐτήν.

12 Καὶ ἐὰν γυνὴ ἀπολύσῃ τὸν ἄνδρα αὐτῆς, καὶ γαμηθῇ ἄλλῳ, μοιχᾶται.

13 ¶ Καὶ προσέφερον αὐτῷ παιδία, ἵνα [t] ἅψηται αὐτῶν· οἱ δὲ μαθηταὶ [u] ἐπετίμων τοῖς προσφέρουσιν.

14 [x] Ἰδὼν δὲ ὁ Ἰησοῦς [y] ἠγανάκτησε, καὶ εἶπεν αὐτοῖς, [z] Ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτά· τῶν γὰρ τοιούτων [a] ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ.

15 Ἀμὴν λέγω ὑμῖν, Ὃς ἂν μὴ [b] δέξηται τὴν βασιλείαν τοῦ Θεοῦ ὡς παιδίον, οὐ μὴ [c] εἰσέλθῃ εἰς αὐτήν.

16 Καὶ [d] ἐναγκαλισάμενος αὐτά, [e] τιθεὶς τὰς χεῖρας ἐπ᾽ αὐτά, [f] ηὐλόγει αὐτά.

17 Καὶ [g] ἐκπορευομένου αὐτοῦ εἰς ὁδόν, [h] προσδραμὼν εἷς, καὶ [i] γονυπετήσας αὐτόν, [k] ἐπηρώτα αὐτόν, Διδάσκαλε ἀγαθέ, τί ποιήσω ἵνα ζωὴν αἰώνιον κληρονομήσω;

18 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, Τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς, ὁ Θεός.

19 Τὰς ἐντολὰς [l] οἶδας, Μὴ μοιχεύσῃς, Μὴ φονεύσῃς, Μὴ [m] κλέψῃς, Μὴ ψευδομαρτυρήσῃς, Μὴ [n] ἀποστερήσῃς· Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα.

20 Ὁ δὲ [o] ἀποκριθεὶς εἶπεν αὐτῷ, Διδάσκαλε, ταῦτα πάντα [p] ἐφυλαξάμην ἐκ νεότητός μου.

21 Ὁ δὲ Ἰησοῦς [q] ἐμβλέψας αὐτῷ, ἠγάπησεν αὐτόν, καὶ εἶπεν αὐτῷ, Ἕν σοι ὑστερεῖ· ὕπαγε, ὅσα ἔχεις πώλησον, καὶ [r] δὸς τοῖς πτωχοῖς, καὶ [s] ἕξεις θησαυρὸν ἐν οὐρανῷ· καὶ δεῦρο ἀκολούθει μοι, [t] ἄρας τὸν σταυρόν.

22 Ὁ δὲ στυγνάσας ἐπὶ τῷ λόγῳ, [u] ἀπῆλθε λυπούμενος. [x] ἦν γὰρ ἔχων κτήματα πολλά.

23 Καὶ [y] περιβλεψάμενος ὁ Ἰησοῦς λέγει τοῖς μαθηταῖς αὐτοῦ, Πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες εἰς τὴν βασιλείαν τοῦ Θεοῦ [u] εἰσελεύσονται.

24 Οἱ δὲ μαθηταὶ [z] ἐθαμβοῦντο ἐπὶ τοῖς λόγοις

t ἅπτω.
u τίω.
x εἴδω.
y ἀγανακτέω
z ἔω.
a εἰμί.
b δέχομαι.
c ἔρχομαι.
d ἀγκάς. //
e τίθημι.
f λέγω.
g πείρω.
h τρέχω.
i πίπτω.
k ἐρωτάω.
l εἴδω.
m κλέπτω.
n στερέω.
o κρίνω.
p φυλάττω.
q βλέπω.
r δίδωμι.
s ἔχω.
t αἴρω.
u ἔρχομαι. //
x εἰμί.
y βλέπω.
z θάμβος. //

γοις αὐτοῦ· Ὁ δὲ Ἰησοῦς πάλιν [a] ἀποκριθεὶς λέγει αὐτοῖς, Τέκνα, Πῶς δύσκολόν [b] ἐστι τοὺς [c] πεποιθότας ἐπὶ τοῖς χρήμασιν, εἰς τὴν βασιλείαν τοῦ Θεοῦ [d] εἰσελθεῖν;

25 Εὐκοπώτερόν [b] ἐστι κάμηλον διὰ τῆς τρυμαλιᾶς τῆς ῥαφίδος [d] διελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ [d] εἰσελθεῖν.

26 Οἱ δὲ περισσῶς [e] ἐξεπλήσσοντο, λέγοντες πρὸς ἑαυτοὺς, Καὶ τίς δύναται [f] σωθῆναι;

27 [g] Ἐμβλέψας δὲ αὐτοῖς ὁ Ἰησοῦς, λέγει, Παρὰ ἀνθρώποις ἀδύνατον, ἀλλ᾽ οὐ παρὰ τῷ Θεῷ· πάντα γὰρ δυνατά [b] ἐστι παρὰ τῷ Θεῷ.

28 Καὶ [h] ἤρξατο ὁ Πέτρος λέγειν αὐτῷ, Ἰδοὺ, ἡμεῖς [i] ἀφήκαμεν πάντα, καὶ [k] ἠκολουθήσαμέν σοι.

29 [l] Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν, Ἀμὴν λέγω ὑμῖν, Οὐδείς [b] ἐστιν ὃς [i] ἀφῆκεν οἰκίαν, ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ τέκνα, ἢ ἀγροὺς, ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου,

30 Ἐὰν μὴ [m] λάβῃ ἑκατονταπλασίονα νῦν ἐν τῷ καιρῷ τούτῳ, οἰκίας, καὶ ἀδελφοὺς, καὶ ἀδελφὰς, καὶ μητέρας, καὶ τέκνα, καὶ ἀγροὺς, μετὰ διωγμῶν, καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον.

31 Πολλοὶ δὲ [n] ἔσονται πρῶτοι, ἔσχατοι· καὶ οἱ ἔσχατοι, πρῶτοι.

32 ¶ [n] Ἦσαν δὲ ἐν τῇ ὁδῷ, ἀναβαίνοντες εἰς Ἱεροσόλυμα· καὶ [n] ἦν προάγων αὐτοὺς ὁ Ἰησοῦς· καὶ [o] ἐθαμβοῦντο, καὶ ἀκολουθοῦντες [p] ἐφοβοῦντο. Καὶ [q] παραλαβὼν πάλιν τοὺς δώδεκα, [h] ἤρξατο αὐτοῖς λέγειν τὰ μέλλοντα αὐτῷ συμβαίνειν·

33 Ὅτι ἰδοὺ, ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου [r] παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ τοῖς γραμματεῦσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ, καὶ [r] παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσι·

34 Καὶ [s] ἐμπαίξουσιν αὐτῷ, καὶ μαστιγώσουσιν αὐτὸν,

[a] κρίνω.
[b] εἰμί.
[c] πείθω.
[d] ἔρχομαι.
[e] πλήσσω.
[f] σόος.
[g] βλέπω.
[h] ἄρχω.
[i] ἕω.
[k] ἀκόλουθος.
[l] κρίνω.
[m] λαμβάνω.
[n] εἰμί.
[o] θάμβος.
[p] φέβομαι.
[q] λαμβάνω.
[r] δίδωμι.
[s] παίζω.

[t] πτύω. αὐτὸν, καὶ [t] ἐμπτύσουσιν αὐτῷ, καὶ [u] ἀποκτενοῦσιν
[u] κτείνω. αὐτόν· καὶ τῇ τρίτῃ ἡμέρᾳ [x] ἀναστήσεται.
[x] ἵστημι. 35 ¶ Καὶ [y] προσπορεύονται αὐτῷ Ἰάκωβος
[y] πείρω. καὶ Ἰωάννης οἱ υἱοὶ Ζεβεδαίου, λέγοντες, Διδάσκαλε, θέλομεν ἵνα ὃ ἐὰν αἰτήσωμεν, ποιήσῃς ἡμῖν.

36 Ὁ δὲ εἶπεν αὐτοῖς, Τί θέλετε ποιῆσαί με ὑμῖν;

[z] δίδωμι. 37 Οἱ δὲ εἶπεν αὐτῷ, [z] Δὸς ἡμῖν ἵνα εἷς ἐκ δεξιῶν σου καὶ εἷς ἐξ εὐωνύμων σου καθίσωμεν ἐν τῇ δόξῃ σου.

[a] εἴδω. 38 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, Οὐκ [a] οἴδατε
[b] δύναμαι. τί αἰτεῖσθε· [b] δύνασθε [c] πιεῖν τὸ ποτήριον ὃ ἐγὼ
[c] πίνω. πίνω, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι, βαπτισθῆναι;

39 Οἱ δὲ εἶπον αὐτῷ, [b] δυνάμεθα. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, Τὸ μὲν ποτήριον ὃ ἐγὼ πίνω, [c] πίεσθε· καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε·

40 Τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐω-
[d] εἰμί. νύμων μου, οὐκ [d] ἔστιν ἐμὸν [e] δοῦναι, ἀλλ᾽ οἷς
[e] δίδωμι. ἡτοίμασται.

[f] ἄρχω. 41 Καὶ ἀκούσαντες οἱ δέκα [f] ἤρξαντο ἀγανακτεῖν περὶ Ἰακώβου καὶ Ἰωάννου.

42 Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς,
[g] εἴδω. λέγει αὐτοῖς, [g] Οἴδατε ὅτι οἱ δοκοῦντες ἄρχειν
[h] κύρω. τῶν ἐθνῶν, [h] κατακυριεύουσιν αὐτῶν, καὶ οἱ μεγάλοι αὐτῶν, [d] κατεξουσιάζουσιν αὐτῶν.

43 Οὐχ οὕτω δὲ ἔσται ἐν ὑμῖν· ἀλλ᾽ ὃς ἐὰν θέλῃ γενέσθαι μέγας ἐν ὑμῖν, [d] ἔσται διάκονος ὑμῶν.

44 Καὶ ὃς ἂν θέλῃ ὑμῶν γενέσθαι πρῶτος, [d] ἔσται πάντων δοῦλος.

[i] ἔρχομαι. 45 Καὶ γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ [i] ἦλθε [k] δι-
[k] κονέω. ακονηθῆναι, ἀλλὰ [k] διακονῆσαι, καὶ [e] δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.

[l] πείρω. 46 ¶ Καὶ ἔρχονται εἰς Ἱεριχώ· καὶ [l] ἐκπορευομένου αὐτοῦ ἀπὸ Ἱεριχὼ, καὶ τῶν μαθητῶν αὐτοῦ, καὶ ὄχλου ἱκανοῦ, υἱὸς Τιμαίου Βαρτιμαῖος ὁ τυ-
[m] ἧμαι. φλὸς [m] ἐκάθητο παρὰ τὴν ὁδὸν προσαιτῶν.

47 Καὶ ἀκούσας ὅτι Ἰησοῦς ὁ Ναζωραῖός
[d] ἐστιν, [f] ἤρξατο κράζειν, καὶ λέγειν, Ὁ υἱὸς
Δαβὶδ Ἰησοῦ, ἐλέησόν με.

48 Καὶ [n] ἐπετίμων αὐτῷ πολλοὶ ἵνα σιωπή- [n] τίω.
σῃ· ὁ δὲ πολλῷ μᾶλλον [o] ἔκραζεν, Υἱὲ Δα- [o] κράζω.
βὶδ, ἐλέησόν με.

49 Καὶ [p] στὰς ὁ Ἰησοῦς εἶπεν αὐτὸν [q] φωνη- [p] ἵστημι.
θῆναι. καὶ [q] φωνοῦσι τὸν τυφλὸν, λέγοντες αὐτῷ, [q] φωνή.
[r] Θάρσει, ἔγειραι· φωνεῖ σε. [r] θάρσος.

50 Ὁ δὲ ἀποβαλὼν τὸ ἱμάτιον αὐτοῦ, [q] ἀνα-
στὰς [i] ἦλθε πρὸς τὸν Ἰησοῦν.

51 Καὶ [s] ἀποκριθεὶς λέγει αὐτῷ ὁ Ἰησοῦς, Τί [s] κρίνω.
θέλεις ποιήσω σοι; Ὁ δὲ τυφλὸς εἶπεν αὐτῷ,
Ῥαββονὶ, ἵνα ἀναβλέψω.

52 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, Ὕπαγε· ἡ πίστις
σου [t] σέσωκέ σε. Καὶ εὐθέως ἀνέβλεψε, καὶ [t] σῶος.
[u] ἠκολούθει τῷ Ἰησοῦ ἐν τῇ ὁδῷ. [u] ἀκολουθέω.

Κεφ. ιά. Cap. XI.

ΚΑὶ ὅτε [a] ἐγγίζουσιν εἰς Ἱερουσαλὴμ εἰς Βηθ- [a] ἐγγύς.
φαγὴ καὶ Βηθανίαν πρὸς ὄρος τῶν ἐλαιῶν,
ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ,

2 Καὶ λέγει αὐτοῖς, Ὑπάγετε εἰς τὴν κώμην
τὴν κατέναντι ὑμῶν· καὶ εὐθέως [b] εἰσπορευόμενοι [b] πείρω.
εἰς αὐτὴν [c] εὑρήσετε πῶλον [d] δεδεμένον, ἐφ' [c] εὑρίσκω.
ὃν οὐδεὶς ἀνθρώπων [e] κεκάθικε· [f] λύσαντες αὐ- [d] δέω.
τὸν [g] ἀγάγετε. [e] ἕζω.

3 Καὶ ἐάν τις ὑμῖν εἴπῃ, Τί ποιεῖτε τοῦτο; [f] λύω.
εἴπατε, Ὅτι ὁ Κύριος αὐτοῦ χρείαν ἔχει· καὶ εὐ- [g] ἄγω.
θέως αὐτὸν [h] ἀποστελεῖ ὧδε. [h] στέλλω.

4 [i] Ἀπῆλθον δὲ καὶ [k] εὗρον τὸν πῶλον [l] δεδε- [i] ἔρχομαι.
μένον πρὸς τὴν θύραν ἔξω ἐπὶ τοῦ ἀμφόδου· καὶ [k] εὑρίσκω.
λύουσιν αὐτόν. [l] δέω.

5 Καὶ τινες τῶν ἐκεῖ [m] ἑστηκότων ἔλεγον αὐ- [m] ἵστημι.
τοῖς, Τί ποιεῖτε λύοντες τὸν πῶλον;

6 Οἱ δὲ εἶπον αὐτοῖς καθὼς [n] ἐνετείλατο ὁ [n] τέλλω.
Ἰησοῦς· καὶ [x] ἀφῆκαν αὐτούς. [x] ἕω.

7 Καὶ [o] ἤγαγον τὸν πῶλον πρὸς τὸν Ἰησοῦν, [o] ἄγω.
καὶ [p] ἐπέβαλον αὐτῷ τὰ ἱμάτια αὐτῶν· καὶ [q] ἐκ- [p] βάλλω.
άθισεν ἐπ' αὐτῷ. [q] ἕζω.

8 Πολλοὶ δὲ τὰ ἱμάτια αὐτῶν [r] ἔστρωσαν εἰς τὴν ὁδόν· ἄλλοι δὲ στοιβάδας ἔκοπτον ἐκ τῶν δένδρων, καὶ [r] ἐστρώννυον εἰς τὴν ὁδόν.

9 Καὶ οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες ἔκραζον, λέγοντες, Ὡσαννὰ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου·

10 Εὐλογημένη ἡ ἐρχομένη βασιλεία ἐν ὀνόματι Κυρίου τοῦ πατρὸς ἡμῶν Δαβίδ· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

11 Καὶ [i] εἰσῆλθεν εἰς Ἱεροσόλυμα ὁ Ἰησοῦς, καὶ εἰς τὸ ἱερόν· καὶ περιβλεψάμενος πάντα, ὀψίας ἤδη [f] οὔσης τῆς ὥρας, [i] ἐξῆλθεν εἰς Βηθανίαν μετὰ τῶν δώδεκα.

12 ¶ Καὶ τῇ ἐπαύριον [i] ἐξελθόντων αὐτῶν ἀπὸ Βηθανίας ἐπείνασε·

13 Καὶ [t] ἰδὼν συκῆν μακρόθεν, ἔχουσαν φύλλα, [i] ἦλθεν εἰ ἄρα [k] εὑρήσει τι ἐν αὐτῇ. καὶ [i] ἐλθὼν ἐπ᾽ αὐτὴν, οὐδὲν [k] εὗρεν εἰ μὴ φύλλα. οὐ γὰρ [f] ἦν καιρὸς σύκων.

14 Καὶ [u] ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ, Μηκέτι ἐκ σοῦ εἰς τὸν αἰῶνα μηδεὶς καρπὸν φάγοι· καὶ [x] ἤκουον οἱ μαθηταὶ αὐτοῦ.

15 ¶ Καὶ ἔρχονται εἰς Ἱεροσόλυμα· καὶ [i] εἰσελθὼν ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν, [f] ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ· καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν, καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περιστερὰς [y] κατέστρεψε.

16 Καὶ οὐκ [z] ἤφιεν ἵνα τις [a] διενέγκῃ σκεῦος διὰ τοῦ ἱεροῦ.

17 Καὶ ἐδίδασκε λέγων αὐτοῖς, Οὐ [b] γέγραπται, Ὅτι ὁ οἶκός μου, οἶκος προσευχῆς [c] κληθήσεται πᾶσι τοῖς ἔθνεσιν; ὑμεῖς δὲ ἐποιήσατε αὐτὸν σπήλαιον λῃστῶν.

18 Καὶ [d] ἤκουσαν οἱ γραμματεῖς καὶ οἱ ἀρχιερεῖς, καὶ [e] ἐζήτουν πῶς αὐτὸν [f] ἀπολέσουσιν· [g] ἐφοβοῦντο γὰρ αὐτὸν, ὅτι πᾶς ὁ ὄχλος [h] ἐξεπλήσσετο ἐπὶ τῇ διδαχῇ αὐτοῦ.

19 Καὶ ὅτε ὀψὲ [i] ἐγένετο, [k] ἐξεπορεύετο ἔξω τῆς πόλεως.

20 ¶ Καὶ

[r] στρέω.
[f] εἰμί.
[t] εἴδω.
[u] κρίνω.
[x] ἀκούω.
[f] ἄρχω.
[y] στρέφω.
[z] ἴω.
[a] φέρω.
[b] γράφω.
[c] καλέω.
[d] ἀκούω.
[e] ζητέω.
[f] ὀλλύω.
[g] φέβομαι.
[h] πλήσσω.
[i] γίνομαι.
[k] πείρω.

20 ¶ Καὶ πρωῒ [k] παραπορευόμενοι εἶδον τὴν συκῆν [l] ἐξηραμμένην ἐκ ῥιζῶν.

21 Καὶ [m] ἀναμνησθεὶς ὁ Πέτρος λέγει αὐτῷ, Ῥαββὶ, ἴδε, ἡ συκῆ ἣν [o] κατηράσω, [l] ἐξήρανται.

22 Καὶ [p] ἀποκριθεὶς Ἰησοῦς λέγει αὐτοῖς, Ἔχετε πίστιν Θεοῦ.

23 Ἀμὴν γὰρ λέγω ὑμῖν, ὅτι ὃς ἂν εἴπῃ τῷ ὄρει τούτῳ, [q] Ἄρθητι καὶ [r] βλήθητι εἰς τὴν θάλασσαν· καὶ μὴ [p] διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ, ἀλλὰ πιστεύσῃ ὅτι ἃ λέγει γίνεται· [n] ἔσται αὐτῷ ὃ ἐὰν εἴπῃ.

24 Διὰ τοῦτο λέγω ὑμῖν, Πάντα ὅσα ἂν προσευχόμενοι αἰτεῖσθε, πιστεύετε ὅτι λαμβάνετε· καὶ [n] ἔσται ὑμῖν.

25 Καὶ ὅταν [ſ] στήκητε προσευχόμενοι, [t] ἀφίετε εἴ τι ἔχετε κατά τινος· ἵνα καὶ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς [t] ἀφῇ ὑμῖν τὰ παραπτώματα ὑμῶν.

26 Εἰ δὲ ὑμεῖς οὐκ [t] ἀφίετε, οὐδὲ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς [t] ἀφήσει τὰ παραπτώματα ὑμῶν.

27 ¶ Καὶ ἔρχονται πάλιν εἰς Ἱεροσόλυμα· καὶ ἐν τῷ ἱερῷ περιπατοῦντος αὐτοῦ, ἔρχονται πρὸς αὐτὸν οἱ ἀρχιερεῖς, καὶ οἱ γραμματεῖς, καὶ οἱ πρεσβύτεροι·

28 Καὶ λέγουσιν αὐτῷ, Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; καὶ τίς σοι τὴν ἐξουσίαν ταύτην [u] ἔδωκεν ἵνα ταῦτα ποιῇς;

29 Ὁ δὲ Ἰησοῦς [x] ἀποκριθεὶς εἶπεν αὐτοῖς, [y] Ἐπερωτήσω ὑμᾶς [z] κἀγὼ ἕνα λόγον, καὶ ἀποκρίθητέ μοι· καὶ [a] ἐρῶ ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.

30 Τὸ βάπτισμα τοῦ Ἰωάννου ἐξ οὐρανοῦ [b] ἦν, ἢ ἐξ ἀνθρώπων; [c] ἀποκρίθητέ μοι.

31 Καὶ ἐλογίζοντο πρὸς ἑαυτοὺς, λέγοντες, Ἐὰν εἴπωμεν, Ἐξ οὐρανοῦ, [a] ἐρεῖ, Διὰ τί οὖν οὐκ [d] ἐπιστεύσατε αὐτῷ;

32 Ἀλλ' ἐὰν εἴπωμεν, Ἐξ ἀνθρώπων, [c] ἐφο-

[l] ξηρός.
[m] μιμνήσκομαι.
[o] ἀρά.
[p] κρίνω.
[q] αἴρω.
[r] βάλλω.
[ſ] ἵστημι.
[t] ἕω.
[u] δίδωμι.
[x] κρίνω.
[y] ἐρωτάω.
[z] καὶ ἐγώ.
[a] εἴρω.
[b] εἰμί.
[c] κρίνω.
[d] πίστις.

βοῦντο τὸν λαόν· ἅπαντες γὰρ εἶχον τὸν Ἰωάννην ὅτι ὄντως προφήτης [b] ἦν.

33 Καὶ [c] ἀποκριθέντες λέγουσι τῷ Ἰησοῦ, Οὐκ [f] οἴδαμεν. Καὶ ὁ Ἰησοῦς ἀποκριθεὶς λέγει αὐτοῖς, Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.

[f] εἴδω.

Κεφ. ιβ΄. Cap. XII.

ΚΑὶ [a] ἤρξατο αὐτοῖς ἐν παραβολαῖς λέγειν, Ἀμπελῶνα [b] ἐφύτευσεν ἄνθρωπος, καὶ [c] περιέθηκε φραγμὸν, καὶ [d] ὤρυξεν ὑπολήνιον, καὶ [e] ᾠκοδόμησε πύργον, καὶ [x] ἐξέδοτο αὐτὸν γεωργοῖς· καὶ [f] ἀπεδήμησε.

2 Καὶ [g] ἀπέστειλε πρὸς τοὺς γεωργοὺς τῷ καιρῷ δοῦλον, ἵνα παρὰ τῶν γεωργῶν [h] λάβῃ ἀπὸ τοῦ καρποῦ τοῦ ἀμπελῶνος.

3 Οἱ δὲ, [h] λαβόντες αὐτὸν [i] ἔδειραν, καὶ [k] ἀπέστειλαν κενόν.

4 Καὶ πάλιν [k] ἀπέστειλε πρὸς αὐτοὺς ἄλλον δοῦλον· κἀκεῖνον [l] λιθοβολήσαντες [m] ἐκεφαλαίωσαν, καὶ [k] ἀπέστειλαν [n] ἠτιμωμένον.

5 Καὶ πάλιν ἄλλον [k] ἀπέστειλε· κἀκεῖνον [o] ἀπέκτειναν· καὶ πολλοὺς ἄλλους, τοὺς μὲν δέροντες, τοὺς δὲ ἀποκτείνοντες.

6 Ἔτι οὖν ἕνα υἱὸν ἔχων ἀγαπητὸν αὐτοῦ, [k] ἀπέστειλε καὶ αὐτὸν πρὸς αὐτοὺς ἔσχατον, λέγων, Ὅτι [p] ἐντραπήσονται τὸν υἱόν μου.

7 Ἐκεῖνοι δὲ οἱ γεωργοὶ εἶπον πρὸς ἑαυτοὺς, Ὅτι οὗτός [q] ἐστιν ὁ κληρονόμος· δεῦτε, ἀποκτείνωμεν αὐτὸν, καὶ ἡμῶν ἔσται ἡ κληρονομία.

8 Καὶ [h] λαβόντες αὐτὸν [o] ἀπέκτειναν, καὶ [l] ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος.

9 Τί οὖν ποιήσει ὁ κύριος τοῦ ἀμπελῶνος; [r] ἐλεύσεται καὶ [s] ἀπολέσει τοὺς γεωργοὺς, καὶ [t] δώσει τὸν ἀμπελῶνα ἄλλοις.

10 Οὐδὲ τὴν γραφὴν ταύτην [u] ἀνέγνωτε; Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος [x] ἐγενήθη εἰς κεφαλὴν γωνίας.

11 Παρὰ Κυρίου [x] ἐγένετο αὕτη· καὶ [q] ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

[a] ἄρχω.
[b] φύω.
[c] τίθημι.
[d] ὀρύττω.
[e] δέμω.
[x] δίδωμι.
[f] δῆμος.
[g] στέλλω.
[h] λαμβάνω.
[i] δέρω.
[k] στέλλω.
[l] βάλλω.
[m] κεφαλή.
[n] τίω.
[o] κτείνω.
[p] τρέπω.
[q] εἰμί.
[r] ἔρχομαι.
[s] ὄλλυμι.
[t] δίδωμι.
[u] γινώσκω.
[x] γίνομαι.

12 Καὶ [y] ἐζήτουν αὐτὸν κρατῆσαι· καὶ [z] ἐφοβήθησαν τὸν ὄχλον· [a] ἔγνωσαν γὰρ ὅτι πρὸς αὐτοὺς τὴν παραβολὴν εἶπε· καὶ [b] ἀφέντες αὐτὸν [c] ἀπῆλθον.

13 ¶ Καὶ ἀποστέλλουσι πρὸς αὐτὸν τινὰς τῶν Φαρισαίων καὶ τῶν Ἡρωδιανῶν, ἵνα αὐτὸν ἀγρεύσωσι λόγῳ.

14 Οἱ δὲ [c] ἐλθόντες λέγουσιν αὐτῷ, Διδάσκαλε, [d] οἴδαμεν ὅτι ἀληθὴς [e] εἶ, καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων, ἀλλ᾽ ἐπ᾽ ἀληθείας τὴν ὁδὸν τοῦ Θεοῦ διδάσκεις· [e] Ἔξεστι κῆνσον Καίσαρι [f] δοῦναι, ἢ οὔ; [f] δῶμεν, ἢ μὴ [f] δῶμεν;

15 Ὁ δὲ, [d] εἰδὼς αὐτῶν τὴν ὑπόκρισιν, εἶπεν αὐτοῖς, Τί με πειράζετε; φέρετέ μοι δηνάριον, ἵνα [d] ἴδω.

16 Οἱ δὲ [g] ἤνεγκαν· Καὶ λέγει αὐτοῖς, Τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή; Οἱ δὲ εἶπον αὐτῷ, Καίσαρος.

17 Καὶ [h] ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, [f] Ἀπόδοτε τὰ Καίσαρος, Καίσαρι· καὶ τὰ τοῦ Θεοῦ, τῷ Θεῷ· Καὶ [i] ἐθαύμασαν ἐπ᾽ αὐτῷ.

18 ¶ Καὶ ἔρχονται Σαδδουκαῖοι πρὸς αὐτὸν, οἵτινες λέγουσιν ἀνάστασιν μὴ εἶναι· καὶ [k] ἐπηρώτησαν αὐτὸν, λέγοντες,

19 Διδάσκαλε, Μωσῆς [l] ἔγραψεν ἡμῖν ὅτι ἐάν τινος ἀδελφὸς [m] ἀποθάνῃ, καὶ [n] καταλίπῃ γυναῖκα, καὶ τέκνα μὴ ἀφῇ, ἵνα [o] λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ, καὶ [p] ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ αὐτοῦ.

20 Ἑπτὰ οὖν ἀδελφοὶ [e] ἦσαν· καὶ ὁ πρῶτος [o] ἔλαβε γυναῖκα, καὶ [m] ἀποθνήσκων οὐκ ἀφῆκε σπέρμα·

21 Καὶ ὁ δεύτερος [o] ἔλαβεν αὐτὴν, καὶ [m] ἀπέθανε, καὶ οὐδὲ αὐτὸς [b] ἀφῆκε σπέρμα· καὶ ὁ τρίτος ὡσαύτως.

22 Καὶ [o] ἔλαβον αὐτὴν οἱ ἑπτὰ, καὶ οὐκ [b] ἀφῆκαν σπέρμα· ἐσχάτη πάντων [m] ἀπέθανε καὶ ἡ γυνή.

[y] ζητέω.
[z] φοβέομαι.
[a] γινώσκω.
[b] ἐάω.
[c] ἔρχομαι. //
[d] εἴδω.
[e] εἰμί.
[f] δίδωμι.
[g] φέρω.
[h] κρίνω.
[i] θαῦμα.
[k] ἐρωτάω.
[l] γράφω.
[m] θνήσκω.
[n] λείπω.
[o] λαμβάνω.
[p] ἵστημι.

23 Ἐν τῇ οὖν [p] ἀναστάσει, ὅταν [p] ἀναστῶσι, τίνος αὐτῶν [c] ἔσται γυνή; οἱ γὰρ ἑπτὰ [q] ἔσχον αὐτὴν γυναῖκα.

[q] ἔχω.

[r] κρίνω.

24 Καὶ [r] ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, Οὐ διὰ τοῦτο πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ;

25 Ὅταν γὰρ ἐκ νεκρῶν [p] ἀναστῶσιν, οὔτε γαμοῦσιν, οὔτε γαμίσκονται· ἀλλ' [c] εἰσὶν ὡς ἄγγελοι οἱ ἐν τοῖς οὐρανοῖς.

26 Περὶ δὲ τῶν νεκρῶν, ὅτι ἐγείρονται, οὐκ [a] ἀνέγνωτε ἐν τῇ βίβλῳ Μωσέως, ἐπὶ τῆς βάτου ὡς εἶπεν αὐτῷ ὁ Θεὸς, λέγων, Ἐγὼ ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ;

27 Οὐκ [c] ἔστιν ὁ Θεὸς νεκρῶν, ἀλλὰ Θεὸς ζώντων· ὑμεῖς οὖν πολὺ πλανᾶσθε.

28 ¶ Καὶ [c] προσελθὼν εἷς τῶν γραμματέων, ἀκούσας αὐτῶν συζητούντων, εἰδὼς ὅτι καλῶς αὐτοῖς [r] ἀπεκρίθη, [k] ἐπηρώτησεν αὐτὸν, Ποία [c] ἐστὶ πρώτη πασῶν ἐντολή;

29 Ὁ δὲ Ἰησοῦς [r] ἀπεκρίθη αὐτῷ, Ὅτι πρώτη πασῶν τῶν ἐντολῶν, Ἄκουε Ἰσραὴλ, Κύριος ὁ Θεὸς ἡμῶν, Κύριος εἷς [c] ἐστι.

30 Καὶ ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου· αὕτη πρώτη ἐντολή.

31 Καὶ δευτέρα ὁμοία αὕτη, Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν· μείζων τούτων ἄλλη ἐντολὴ οὐκ [c] ἔστι.

32 Καὶ εἶπεν αὐτῷ ὁ γραμματεὺς, Καλῶς διδάσκαλε, ἐπ' ἀληθείας εἶπας, ὅτι εἷς [c] ἐστι Θεὸς, καὶ οὐκ [c] ἔστιν ἄλλος πλὴν αὐτοῦ.

33 Καὶ τὸ ἀγαπᾷν αὐτὸν ἐξ ὅλης τῆς καρδίας, καὶ ἐξ ὅλης τῆς συνέσεως, καὶ ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς ἰσχύος, καὶ τὸ ἀγαπᾷν τὸν πλησίον ὡς ἑαυτὸν, πλεῖόν [c] ἐστι πάντων τῶν ὁλοκαυτωμάτων καὶ τῶν θυσιῶν.

[f] νόος.

34 Καὶ ὁ Ἰησοῦς [d] ἰδὼν αὐτὸν ὅτι [f] νουνεχῶς

[r] ἀπεκρίθη, εἶπεν αὐτῷ, Οὐ μακρὰν [e] εἶ ἀπὸ τῆς βασιλείας τοῦ Θεοῦ. Καὶ οὐδεὶς οὐκέτι ἐτόλμα αὐτὸν [x] ἐπερωτῆσαι. //

35 ¶ Καὶ [r] ἀποκριθεὶς ὁ Ἰησοῦς ἔλεγε, διδάσκων ἐν τῷ ἱερῷ, Πῶς λέγουσιν οἱ γραμματεῖς ὅτι ὁ Χριστὸς υἱός [e] ἐστι Δαβίδ;

36 Αὐτὸς γὰρ Δαβὶδ εἶπεν ἐν τῷ πνεύματι τῷ ἁγίῳ, Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, [t] Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν [u] θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.

37 Αὐτὸς οὖν Δαβὶδ λέγει αὐτὸν Κύριον· καὶ πόθεν υἱὸς αὐτοῦ [e] ἐστι; Καὶ ὁ πολὺς ὄχλος [x] ἤκουεν αὐτοῦ ἡδέως.

38 Καὶ [y] ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ, Βλέπετε ἀπὸ τῶν γραμματέων τῶν θελόντων ἐν στολαῖς περιπατεῖν, καὶ ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς,

39 Καὶ πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, καὶ πρωτοκλισίας ἐν τοῖς δείπνοις.

40 Οἱ κατεσθίοντες τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρὰ προσευχόμενοι, οὗτοι [o] λήψονται περισσότερον κρίμα.

41 ¶ Καὶ [z] καθίσας ὁ Ἰησοῦς κατέναντι τοῦ γαζοφυλακίου, ἐθεώρει πῶς ὁ ὄχλος βάλλει χαλκὸν εἰς τὸ γαζοφυλάκιον· καὶ πολλοὶ πλούσιοι ἔβαλλον πολλά. //

42 Καὶ [a] ἐλθοῦσα μία χήρα πτωχὴ ἔβαλε λεπτὰ δύο, ὅ [b] ἐστι κοδράντης. //

43 Καὶ [c] προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ λέγει αὐτοῖς, Ἀμὴν λέγω ὑμῖν, ὅτι ἡ χήρα αὕτη ἡ πτωχὴ πλεῖον πάντων [d] βέβληκε τῶν βαλόντων εἰς τὸ γαζοφυλάκιον.

44 Πάντες γὰρ ἐκ τοῦ περισσεύοντος αὐτοῖς [d] ἔβαλον· αὕτη δὲ ἐκ τῆς ὑστερήσεως αὐτῆς πάντα ὅσα [e] εἶχεν [d] ἔβαλεν, ὅλον τὸν βίον αὐτῆς.

Κεφ. ιγ΄. Cap. XIII.

ΚΑὶ [a] ἐκπορευομένου αὐτοῦ ἐκ τοῦ ἱεροῦ, λέγει αὐτῷ εἷς τῶν μαθητῶν αὐτοῦ, Διδάσκαλε, ἴδε ποταποὶ λίθοι καὶ ποταπαὶ οἰκοδομαί.

[x] ἐρωτάω.

[t] ἧμαι.

[u] τίθημι.

[x] ἀκούω.

[y] λέγω.

[z] ἵζω.

[a] ἔρχομαι.

[b] εἰμί.

[c] καλέω.

[d] βάλλω.

[e] ἔχω.

[a] πείρω.

2 Καὶ ὁ Ἰησοῦς [b] ἀποκριθεὶς εἶπεν αὐτῷ, Βλέπεις ταύτας τὰς μεγάλας οἰκοδομάς; οὐ μὴ [c] ἀφεθῇ λίθος ἐπὶ λίθῳ ὃς οὐ μὴ [d] καταλυθῇ.

3 Καὶ [e] καθημένου αὐτοῦ εἰς τὸ ὄρος τῶν ἐλαιῶν κατέναντι τοῦ ἱεροῦ, [f] ἐπηρώτων αὐτὸν κατ' ἰδίαν Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης καὶ Ἀνδρέας,

4 Εἰπὲ ἡμῖν πότε ταῦτα [g] ἔσται; καὶ τί τὸ σημεῖον ὅταν μέλλῃ πάντα ταῦτα [h] συντελεῖσθαι;

5 Ὁ δὲ Ἰησοῦς [i] ἀποκριθεὶς αὐτοῖς [k] ἤρξατο λέγειν, Βλέπετε μή τις ὑμᾶς πλανήσῃ.

6 Πολλοὶ γὰρ [l] ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες, Ὅτι ἐγώ εἰμι· καὶ πολλοὺς πλανήσουσιν.

7 Ὅταν δὲ ἀκούσητε πολέμους καὶ ἀκοὰς πολέμων, μὴ [m] θροεῖσθε· δεῖ γὰρ [n] γενέσθαι. ἀλλ' οὔπω τὸ τέλος.

8 [o] Ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν, καὶ [g] ἔσονται σεισμοὶ κατὰ τόπους, καὶ [g] ἔσονται λιμοὶ καὶ ταραχαί.

9 Ἀρχαὶ ὠδίνων ταῦτα· βλέπετε δὲ ὑμεῖς ἑαυτούς· [p] παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια καὶ εἰς συναγωγάς· [q] δαρήσεσθε, καὶ ἐπὶ ἡγεμόνων καὶ βασιλέων [r] σταθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς.

10 Καὶ εἰς πάντα τὰ ἔθνη δεῖ πρῶτον [s] κηρυχθῆναι τὸ εὐαγγέλιον.

11 Ὅταν δὲ ἀγάγωσιν ὑμᾶς [t] παραδιδόντες, μὴ [u] προμεριμνᾶτε τί [x] λαλήσητε, μηδὲ [y] μελετᾶτε· ἀλλ' ὃ ἐὰν [p] δοθῇ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τοῦτο λαλεῖτε· οὐ γάρ ἐστε ὑμεῖς οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τὸ ἅγιον.

12 [p] Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον· καὶ [r] ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ [z] θανατώσουσιν αὐτούς·

13 Καὶ [a] ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ [b] ὑπομείνας εἰς τέλος, οὗτος [c] σωθήσεται.

14 Ὅταν

[b] κρίνω.
[c] αἴρω.
[d] λύω.
[e] ἧμαι.
[f] ἐρωτάω.
[g] εἰμί.
[h] τέλος.
[i] κρίνω.
[k] ἄρχω.
[l] ἔρχομαι.
[m] θροέω.
[n] γίνομαι.
[o] ἐγείρω.
[p] δίδωμι.
[q] δέρω.
[r] ἵστημι.
[s] κηρύττω.
[t] δίδωμι.
[u] μεριμνάω.
[x] λαλέω.
[y] μέλει.
[z] θνήσκω.
[a] εἰμί.
[b] μένω.
[c] σόος.

14 Ὅταν δὲ [d] ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως τὸ [e] ῥηθὲν ὑπὸ Δανιὴλ τοῦ προφήτου, [f] ἑστὼς ὅπου οὐ δεῖ, (ὁ ἀναγινώσκων νοείτω) τότε οἱ ἐν τῇ Ἰουδαίᾳ [g] φευγέτωσαν εἰς τὰ ὄρη.

15 Ὁ δὲ ἐπὶ τοῦ δώματος, μὴ [h] καταβάτω εἰς τὴν οἰκίαν, μηδὲ [i] εἰσελθέτω [k] ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ.

16 Καὶ ὁ εἰς τὸν ἀγρὸν [x] ὤν, μὴ [l] ἐπιστρεψάτω εἰς τὰ ὀπίσω, ἆραι τὸ ἱμάτιον αὐτοῦ.

17 Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις.

18 Προσεύχεσθε δὲ ἵνα μὴ [m] γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος.

19 [n] Ἔσονται γὰρ αἱ ἡμέραι ἐκεῖναι θλίψις οἵα οὐ [m] γέγονε τοιαύτη ἀπ᾽ ἀρχῆς [o] κτίσεως ἧς [o] ἔκτισεν ὁ Θεὸς, ἕως τοῦ νῦν, καὶ οὐ μὴ [m] γένηται.

20 Καὶ εἰ μὴ Κύριος [p] ἐκολόβωσε τὰς ἡμέρας, οὐκ ἂν [q] ἐσώθη πᾶσα σάρξ· ἀλλὰ διὰ τοὺς ἐκλεκτοὺς οὓς [r] ἐξελέξατο, [p] ἐκολόβωσε τὰς ἡμέρας.

21 Καὶ τότε ἐάν τις ὑμῖν εἴπῃ, Ἰδοὺ ὧδε ὁ Χριστὸς, ἢ ἰδοὺ ἐκεῖ, μὴ πιστεύσητε.

22 [s] Ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται· καὶ [t] δώσουσι σημεῖα καὶ τέρατα, πρὸς τὸ ἀποπλανᾷν, εἰ δυνατὸν, καὶ τοὺς ἐκλεκτούς.

23 Ὑμεῖς δὲ βλέπετε· ἰδοὺ, [e] προείρηκα ὑμῖν πάντα.

24 Ἀλλ᾽ ἐν ἐκείναις ταῖς ἡμέραις, μετὰ τὴν θλίψιν ἐκείνην, ὁ ἥλιος [u] σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ [t] δώσει τὸ φέγγος αὐτῆς·

25 Καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ [u] ἔσονται ἐκπίπτοντες, καὶ αἱ δυνάμεις αἱ ἐν τοῖς οὐρανοῖς [x] σαλευθήσονται.

26 Καὶ τότε [y] ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλαις μετὰ δυνάμεως πολλῆς καὶ δόξης.

27 Καὶ τότε [z] ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ, καὶ [a] ἐπισυνάξει τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν

[d] εἴδω.
[e] εἴρω.
[f] ἵστημι.
[g] φεύγω.
[h] βαίνω.
[i] ἔρχομαι.
[k] αἴρω.
[x] εἰμί.
[l] στρέφω.
[m] γίνομαι.
[n] εἰμί.
[o] κτίζω.
[p] κολοβός.
[q] σόος.
[r] λέγω.
[s] ἐγείρω. //
[t] δίδωμι.
[u] σκότος.
[x] σάλος.
[y] ὄπτομαι.
[z] στέλλω.
[a] ἄγω.

τεσσάρων ἀνέμων, ἀπ' ἄκρου γῆς ἕως ἄκρου οὐρανοῦ.

[b] μανθάνω.
[c] γίνομαι.
[d] φύω.
[e] εἰμί.

28 Ἀπὸ δὲ τῆς συκῆς [b] μάθετε τὴν παραβολήν· ὅταν αὐτῆς ἤδη ὁ κλάδος ἁπαλὸς [c] γένηται, καὶ [d] ἐκφύῃ τὰ φύλλα, γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος [e] ἐστίν.

[f] εἴδω.

29 Οὕτω καὶ ὑμεῖς ὅταν ταῦτα [f] ἴδητε γινόμενα, γινώσκετε ὅτι ἐγγύς [e] ἐστιν ἐπὶ θύραις.

[g] ἔρχομαι.

30 Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐ μὴ [g] παρέλθῃ ἡ γενεὰ αὕτη μέχρις οὗ πάντα ταῦτα γένηται.

31 Ὁ οὐρανὸς καὶ ἡ γῆ [g] παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ [g] παρέλθωσι.

[h] εἴδω.

32 Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς [h] οἶδεν, οὐδὲ οἱ ἄγγελοι οἱ ἐν οὐρανῷ, οὐδὲ ὁ υἱός, εἰ μὴ ὁ πατήρ.

33 Βλέπετε, ἀγρυπνεῖτε καὶ προσεύχεσθε· οὐκ [h] οἴδατε γὰρ πότε ὁ καιρός [e] ἐστιν.

[i] ἔω.
[k] δίδωμι.
[l] τέλλω.

34 Ὡς ἄνθρωπος ἀπόδημος [i] ἀφεὶς τὴν οἰκίαν αὐτοῦ, καὶ [k] δοὺς τοῖς δούλοις αὐτοῦ τὴν ἐξουσίαν, καὶ ἑκάστῳ τὸ ἔργον αὐτοῦ· καὶ τῷ θυρωρῷ [l] ἐνετείλατο ἵνα γρηγορῇ.

[x] φωνή.

35 Γρηγορεῖτε οὖν, [h] (οὐκ οἴδατε γὰρ πότε ὁ κύριος τῆς οἰκίας ἔρχεται· ὀψέ, ἢ μεσονυκτίου, ἢ [x] ἀλεκτοροφωνίας, ἢ πρωΐ)

[m] εὑρίσκω.

36 Μὴ [g] ἐλθὼν ἐξαίφνης, [m] εὕρῃ ὑμᾶς καθεύδοντας.

37 Ἃ δὲ ὑμῖν λέγω, πᾶσι λέγω· γρηγορεῖτε.

Κεφ. ιδʹ. Cap. XIV.

[a] εἰμί.
[b] ζητέω.
[c] κράτος.

[a] Ἦν δὲ τὸ πάσχα καὶ τὰ ἄζυμα μετὰ δύο ἡμέρας· καὶ [b] ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς πῶς αὐτὸν ἐν δόλῳ [c] κρατήσαντες ἀποκτείνωσιν.

[d] εἰμί.

2 Ἔλεγον δέ, Μὴ ἐν τῇ ἑορτῇ, μήποτε θόρυβος [d] ἔσται τοῦ λαοῦ.

[e] ἔρχομαι.
[f] πίνω.
[g] τρίβω.

3 Καὶ [d] ὄντος αὐτοῦ ἐν Βηθανίᾳ ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ κατακειμένου αὐτοῦ, [e] ἦλθε γυνὴ ἔχουσα ἀλάβαστρον μύρου, νάρδου [f] πιστικῆς πολυτελοῦς· καὶ [g] συντρίψασα τὸ ἀλάβαστρον, κατέχεεν αὐτοῦ κατὰ τῆς κεφαλῆς.

4 [h] Ἦσαν

4 [h] Ἦσαν δέ τινες ἀγανακτοῦντες πρὸς ἑαυτοὺς, καὶ λέγοντες, Εἰς τί ἡ ἀπόλεια αὕτη τοῦ μύρου [i] γέγονεν;

[h] εἰμί.
[i] γίνομαι.

5 [k] Ἠδύνατο γὰρ τοῦτο [l] πραθῆναι ἐπάνω τριακοσίων δηναρίων, καὶ [m] δοθῆναι τοῖς πτωχοῖς. Καὶ [n] ἐνεβριμῶντο αὐτῇ.

[k] δύναμαι.
[l] πιπράω.
[m] δίδωμι.
[n] βριμόομαι.

6 Ὁ δὲ Ἰησοῦς εἶπεν, [o] Ἄφετε αὐτήν· τί αὐτῇ κόπους παρέχετε; καλὸν ἔργον [p] εἰργάσατο εἰς ἐμέ.

[o] ἔω.
[p] ἔργον.

7 Πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε μεθ' ἑαυτῶν, καὶ ὅταν θέλετε, [q] δύνασθε αὐτοὺς εὖ ποιῆσαι· ἐμὲ δὲ οὐ πάντοτε ἔχετε.

[q] δύναμαι.

8 Ὃ [r] εἶχεν αὕτη, ἐποίησε· [s] προέλαβε [t] μυρίσαι μου τὸ σῶμα εἰς τὸν ἐνταφιασμόν.

[r] ἔχω. //
[s] λαμβάνω.
[t] μύρω.

9 Ἀμὴν λέγω ὑμῖν, ὅπου ἂν [u] κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο εἰς ὅλον τὸν κόσμον, καὶ ὃ ἐποίησεν αὕτη, [x] λαληθήσεται εἰς μνημόσυνον αὐτῆς.

[u] κηρύττω.
[x] λαλέω.

10 Καὶ ὁ Ἰούδας ὁ Ἰσκαριώτης εἷς τῶν δώδεκα [y] ἀπῆλθε πρὸς τοὺς ἀρχιερεῖς, ἵνα [m] παραδῷ αὐτὸν αὐτοῖς.

[y] ἔρχομαι.

11 Οἱ δὲ ἀκούσαντες [z] ἐχάρησαν· καὶ [a] ἐπηγγείλαντο αὐτῷ ἀργύριον [b] δοῦναι· καὶ ἐζήτει πῶς εὐκαίρως αὐτὸν [m] παραδῷ.

[z] χαίρω.
[a] ἀγγέλλω.
[b] δίδωμι.

12 ¶ Καὶ τῇ πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων, ὅτε τὸ πάσχα [c] ἔθυον, λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, Ποῦ θέλεις [d] ἀπελθόντες [e] ἑτοιμάσωμεν ἵνα φάγῃς τὸ πάσχα;

[c] θύω.
[d] ἔρχομαι.
[e] ἕτοιμος.

13 Καὶ ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ, καὶ λέγει αὐτοῖς, Ὑπάγετε εἰς τὴν πόλιν· καὶ ἀπαντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων· [f] ἀκολουθήσατε αὐτῷ.

[f] ἀκόλουθος.

14 Καὶ ὅπου ἐὰν [d] εἰσέλθῃ εἴπατε τῷ οἰκοδεσπότῃ, Ὅτι ὁ διδάσκαλος λέγει, Ποῦ [g] ἐστι τὸ [h] κατάλυμα ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω;

[g] εἰμί.
[h] λύω.

15 Καὶ αὐτὸς ὑμῖν [i] δείξει ἀνώγεον μέγα [k] ἐστρωμένον, ἕτοιμον· ἐκεῖ [e] ἑτοιμάσατε ἡμῖν.

[i] δεικνύω.
[k] στρώω.

16 Καὶ [p] ἐξῆλθον οἱ μαθηταὶ αὐτοῦ, καὶ [d] ἦλθον εἰς τὴν πόλιν, καὶ [l] εὗρον καθὼς εἶπεν αὐτοῖς· καὶ [c] ἡτοίμασαν τὸ πάσχα.

[l] εὑρίσκω.

17 Καὶ ὀψίας γενομένης ἔρχεται μετὰ τῶν δώδεκα.

18 Καὶ [g] ἀνακειμένων αὐτῶν, καὶ ἐσθιόντων εἶπεν ὁ Ἰησοῦς, Ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν [h] παραδώσει με, ὁ ἐσθίων μετ' ἐμοῦ.

19 Οἱ δὲ [i] ἤρξαντο λυπεῖσθαι, καὶ λέγειν αὐτῷ εἷς καθ' εἷς, Μήτι ἐγώ; καὶ ἄλλος, Μήτι ἐγώ;

20 Ὁ δὲ [k] ἀποκριθεὶς εἶπεν αὐτοῖς, Εἷς ἐκ τῶν δώδεκα, ὁ ἐμβαπτόμενος μετ' ἐμοῦ εἰς τὸ τρυβλίον.

21 Ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς [l] γέγραπται περὶ αὐτοῦ, οὐαὶ δὲ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου [m] παραδίδοται· καλὸν [x] ἦν αὐτῷ εἰ οὐκ [n] ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος.

22 ¶ Καὶ ἐσθιόντων αὐτῶν, [o] λαβὼν ὁ Ἰησοῦς ἄρτον, [p] εὐλογήσας [q] ἔκλασε· καὶ [m] ἔδωκεν αὐτοῖς, καὶ εἶπε, [o] Λάβετε, φάγετε· τοῦτό [t] ἐστι τὸ σῶμά μου.

23 Καὶ [o] λαβὼν τὸ ποτήριον, [r] εὐχαριστήσας [h] ἔδωκεν αὐτοῖς· καὶ [s] ἔπιον ἐξ αὐτοῦ πάντες·

24 Καὶ εἶπεν αὐτοῖς, Τοῦτό [t] ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ περὶ πολλῶν [u] ἐκχυνόμενον.

25 Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐκέτι οὐ μὴ [s] πίω ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου ἕως τῆς ἡμέρας ἐκείνης ὅταν αὐτὸ πίνω καινὸν ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.

26 Καὶ [x] ὑμνήσαντες [y] ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν.

27 ¶ Καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς, Ὅτι πάντες [z] σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ· ὅτι [a] γέγραπται, Πατάξω τὸν ποιμένα, καὶ [b] διασκορπισθήσεται τὰ πρόβατα.

28 Ἀλλὰ μετὰ τὸ [c] ἐγερθῆναί με, [d] προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν.

29 Ὁ δὲ Πέτρος [e] ἔφη αὐτῷ, Καὶ εἰ πάντες [f] σκανδαλισθήσονται, ἀλλ' οὐκ ἐγώ.

30 Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς, Ἀμὴν λέγω σοι, ὅτι σήμερον ἐν τῇ νυκτὶ ταύτῃ, πρὶν ἢ δὶς

ἀλέκτορα

[g] κεῖμαι.
[h] δίδωμι.
[i] ἄρχω.
[k] κρίνω.
[l] γράφω.
[m] δίδωμι.
[x] εἰμί.
[n] γεννάω.
[o] λαμβάνω.
[p] λέγω.
[q] κλάω.
[r] χάρις.
[s] πίνω.
[t] εἰμί.
[u] χέω.
[x] ὕδω.
[y] ἔρχομαι.
[z] σκάζω.
[a] γράφω.
[b] σκορπίος.
[c] ἐγείρω.
[d] ἄγω.
[e] φάω.
[f] σκάζω.

ἀλέκτορα φωνῆσαι, τρὶς [g] ἀπαρνήσῃ με.

31 Ὁ δὲ ἐκ περισσοῦ ἔλεγε μᾶλλον, Ἐάν με [h] δέῃ [i] συναποθανεῖν σοι, οὐ μή σε [g] ἀπαρνήσομαι. Ὡσαύτως δὲ καὶ πάντες ἔλεγον.

32 ¶ Καὶ ἔρχονται εἰς χωρίον οὗ τὸ ὄνομα Γεθσημανῆ· καὶ λέγει τοῖς μαθηταῖς αὐτοῦ, [k] Καθίσατε ὧδε ἕως [l] προσεύξωμαι.

33 Καὶ παραλαμβάνει τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην μεθ' ἑαυτοῦ· καὶ [m] ἤρξατο ἐκθαμβεῖσθαι καὶ ἀδημονεῖν·

34 Καὶ λέγει αὐτοῖς, Περίλυπός [n] ἐστιν ἡ ψυχή μου ἕως θανάτου· μείνατε ὧδε, καὶ γρηγορεῖτε.

35 Καὶ [o] προελθὼν μικρὸν, [p] ἔπεσεν ἐπὶ τῆς γῆς· καὶ [l] προσηύχετο ἵνα, εἰ δυνατόν ἐστι, [o] παρέλθῃ ἀπ' αὐτοῦ ἡ ὥρα.

36 Καὶ ἔλεγεν, Ἀββᾶ ὁ πατὴρ, πάντα δυνατά σοι· [q] παρένεγκε τὸ ποτήριον ἀπ' ἐμοῦ τοῦτο· ἀλλ' οὐ τί ἐγὼ θέλω, ἀλλὰ τί σύ. //

37 Καὶ ἔρχεται καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας· καὶ λέγει τῷ Πέτρῳ, Σίμων, καθεύδεις; οὐκ ἴσχυσας μίαν ὥραν γρηγορῆσαι;

38 Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ [o] εἰσέλθητε εἰς πειρασμόν· τὸ μὲν πνεῦμα πρόθυμον· ἡ δὲ σὰρξ ἀσθενής.

39 Καὶ πάλιν [o] ἀπελθὼν [l] προσηύξατο, τὸν αὐτὸν λόγον εἰπών.

40 Καὶ [r] ὑποστρέψας [s] εὗρεν αὐτοὺς πάλιν καθεύδοντας, ([u] ἦσαν γὰρ οἱ ὀφθαλμοὶ αὐτῶν [t] βεβαρημένοι) καὶ οὐκ [u] ᾔδεισαν τί αὐτῷ [x] ἀποκριθῶσι.

41 Καὶ ἔρχεται τὸ τρίτον, καὶ λέγει αὐτοῖς, Καθεύδετε τὸ λοιπὸν, καὶ [y] ἀναπαύεσθε· ἀπέχει, [a] ἦλθεν ἡ ὥρα· ἰδοὺ, [z] παραδίδοται ὁ υἱὸς τοῦ ἀνθρώπου εἰς τὰς χεῖρας τῶν ἁμαρτωλῶν· //

42 [a] Ἐγείρεσθε, ἄγωμεν. ἰδοὺ, ὁ παραδιδούς με [b] ἤγγικε.

43 ¶ Καὶ εὐθέως, ἔτι αὐτοῦ λαλοῦντος, παραγίνεται Ἰούδας, εἷς [*] ὢν τῶν δώδεκα·

καὶ

[g] ἀρνέομαι.
[h] δεῖ.
[i] θνήσκω.
[k] ἕζω.
[l] εὔχομαι.
[m] ἄρχω.
[n] εἰμί.
[o] ἔρχομαι.
[p] πίπτω.
[q] φέρω.
[r] στρέφω.
[s] εὑρίσκω.
[t] βαρύς.
[u] εἴδω.
[x] κρίνω.
[y] παύω.
[z] δίδωμι.
[a] ἐγείρω.
[b] ἐγγύς.
[*] εἰμί.

καὶ μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ
ξύλων παρὰ τῶν ἀρχιερέων καὶ τῶν γραμματέων
καὶ τῶν πρεσβυτέρων.

c δίδωμι. 44 c Δεδώκει δὲ ὁ c παραδιδοὺς αὐτὸν d σύσσημον
d σῆμα. αὐτοῖς, λέγων, Ὃν ἂν φιλήσω, αὐτός
e εἰμί. e ἐστι· f κρατήσατε αὐτὸν, καὶ g ἀπαγάγετε ἀσφαλῶς.
f κράτος.

g ἄγω. 45 Καὶ h ἐλθὼν, εὐθέως h προσελθὼν αὐτῷ,
h ἔρχομαι. λέγει, Ῥαββὶ, ῥαββί· καὶ i κατεφίλησεν αὐτόν.

i φίλος. 46 Οἱ δὲ k ἐπέβαλον ἐπ' αὐτὸν τὰς χεῖρας
k βάλλω. αὐτῶν· καὶ f ἐκράτησαν αὐτόν.

l ἵστημι. 47 Εἷς δέ τις τῶν l παρεστηκότων σπασάμενος
m παίω. τὴν μάχαιραν, m ἔπαισε τὸν δοῦλον τοῦ ἀρχιερέως,
n αἱρέω. καὶ n ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον.

o κρίνω. 48 Καὶ o ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς,
Ὡς ἐπὶ λῃστὴν h ἐξήλθετε μετὰ μαχαιρῶν καὶ
p λαμβάνω. ξύλων p συλλαβεῖν με;

49 Καθ' ἡμέραν e ἤμην πρὸς ὑμᾶς ἐν τῷ
ἱερῷ διδάσκων, καὶ οὐκ f ἐκρατήσατέ με· ἀλλ'
q πλέος. ἵνα q πληρωθῶσιν αἱ γραφαί.

r ἔω. 50 Καὶ r ἀφέντες αὐτὸν πάντες s ἔφυγον.

s φεύγω. 51 ¶ Καὶ εἷς τις νεανίσκος t ἠκολούθει
t ἀκόλουθος. αὐτῷ, k περιβεβλημένος σινδόνα ἐπὶ γυμνοῦ·
καὶ f κρατοῦσιν αὐτὸν οἱ νεανίσκοι.

u λείπω. 52 Ὁ δὲ u καταλιπὼν τὴν σινδόνα, γυμνὸς
s ἔφυγεν ἀπ' αὐτῶν.

53 ¶ Καὶ g ἀπήγαγον τὸν Ἰησοῦν πρὸς τὸν
ἀρχιερέα· καὶ συνέρχονται αὐτῷ πάντες οἱ ἀρχιερεῖς
καὶ οἱ πρεσβύτεροι καὶ οἱ γραμματεῖς.

54 Καὶ ὁ Πέτρος ἀπὸ μακρόθεν t ἠκολούθησεν
αὐτῷ ἕως ἔσω εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως,
x ἧμαι. καὶ ἦν x συγκαθήμενος μετὰ τῶν ὑπηρετῶν, καὶ
θερμαινόμενος πρὸς τὸ φῶς.

55 Οἱ δὲ ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον
y θνήσκω. ἐζήτουν κατὰ τοῦ Ἰησοῦ μαρτυρείαν, εἰς τὸ y θανατῶσαι
αὐτόν· καὶ οὐχ εὕρισκον.

z μάρτυρ. 56 Πολλοὶ γὰρ z ἐψευδομαρτύρουν κατ' αὐτοῦ,
a εἰμί. καὶ ἴσαι αἱ μαρτυρείαι οὐκ a ἦσαν.

b ἵστημι. 57 Καί τινες b ἀναστάντες z ἐψευδομαρτύρουν
κατ' αὐτοῦ, λέγοντες, 58 Ὅτι

58 Ὅτι ἡμεῖς [c] ἠκούσαμεν αὐτοῦ λέγοντος, Ὅτι ἐγὼ καταλύσω τὸν ναὸν τοῦτον τὸν χειροποίητον, καὶ διὰ τριῶν ἡμερῶν ἄλλον * ἀχειροποίητον οἰκοδομήσω.

[c] ἀκούω. //
* ποιέω.

59 Καὶ οὐδὲ οὕτως ἴση [a] ἦν ἡ μαρτυρία αὐτῶν.

60 Καὶ [b] ἀναστὰς ὁ ἀρχιερεὺς εἰς τὸ μέσον, [d] ἐπηρώτησε τὸν Ἰησοῦν, λέγων, Οὐκ [c] ἀποκρίνῃ οὐδέν; τί οὗτοί σου καταμαρτυροῦσιν;

[d] ἐρωτάω.
[c] κρίνω.

61 Ὁ δὲ [f] ἐσιώπα καὶ οὐδὲν [c] ἀπεκρίνατο· Πάλιν ὁ ἀρχιερεὺς [d] ἐπηρώτα αὐτὸν, καὶ λέγει αὐτῷ, Σὺ [a] εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ εὐλογητοῦ;

[f] σιωπή.

62 Ὁ δὲ Ἰησοῦς εἶπεν, Ἐγώ εἰμι· καὶ [g] ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου [h] καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως, καὶ ἐρχόμενον μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ.

[g] ὄπτομαι.
[h] ἧμαι.

63 Ὁ δὲ ἀρχιερεὺς, [i] διαῤῥήξας τοὺς χιτῶνας αὐτοῦ, λέγει, Τί ἔτι χρείαν ἔχομεν μαρτύρων;

[i] ῥήσσω.

64 [k] Ἠκούσατε τῆς βλασφημίας. Τί ὑμῖν φαίνεται; Οἱ δὲ πάντες [c] κατέκριναν αὐτὸν [a] εἶναι ἔνοχον θανάτου.

[k] ἀκούω.

65 Καὶ [l] ἤρξαντό τινες ἐμπτύειν αὐτῷ, καὶ περικαλύπτειν τὸ πρόσωπον αὐτοῦ, καὶ κολαφίζειν αὐτὸν, καὶ λέγειν αὐτῷ, [m] Προφήτευσον· Καὶ οἱ ὑπηρέται ῥαπίσμασιν αὐτὸν ἔβαλλον.

[l] ἄρχω. //
[m] φάω.

66 ¶ Καὶ ὄντος τοῦ Πέτρου ἐν τῇ αὐλῇ κάτω, ἔρχεται μία τῶν παιδισκῶν τοῦ ἀρχιερέως.

67 Καὶ [n] ἰδοῦσα τὸν Πέτρον θερμαινόμενον, [o] ἐμβλέψασα αὐτῷ, λέγει, Καὶ σὺ μετὰ τοῦ Ναζαρηνοῦ Ἰησοῦ [a] ἦσθα.

[n] εἴδω.
[o] βλέπω.

68 Ὁ δὲ [p] ἠρνήσατο, λέγων, Οὐκ [q] οἶδα, οὐδὲ [r] ἐπίσταμαι τί σὺ λέγεις. Καὶ [s] ἐξῆλθεν ἔξω εἰς τὸ προαύλιον· καὶ ἀλέκτωρ ἐφώνησε.

[p] ἀρνέομαι. //
[q] εἴδω.
[r] ἵστημι.
[s] ἔρχομαι.

69 Καὶ ἡ παιδίσκη [n] ἰδοῦσα αὐτὸν πάλιν, [l] ἤρξατο λέγειν τοῖς [b] παρεστηκόσιν, Ὅτι οὗτος ἐξ αὐτῶν [a] ἐστιν.

70 Ὁ δὲ πάλιν [p] ἠρνεῖτο. Καὶ μετὰ μικρὸν //

πάλιν οἱ [b] παρεστῶτες ἔλεγον τῷ Πέτρῳ, Ἀληθῶς ἐξ αὐτῶν [a] εἶ, καὶ γὰρ Γαλιλαῖος [a] εἶ, καὶ ἡ
[t] ὁμός. λαλιά σου [t] ὁμοιάζει.

[u] τίθημι. 71 Ὁ δὲ [l] ἤρξατο [u] ἀναθεματίζειν καὶ ὀμνύειν, Ὅτι οὐκ [n] οἶδα τὸν ἄνθρωπον τοῦτον ὃν λέγετε.

[x] φωνή. 72 Καὶ ἐκ δευτέρου ἀλέκτωρ [x] ἐφώνησε. καὶ
[y] μιμνήσκομαι. [y] ἀνεμνήσθη ὁ Πέτρος τοῦ ῥήματος οὗ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, Ὅτι πρὶν ἀλέκτορα [x] φωνῆσαι δὶς,
[z] κλαίω. [p] ἀπαρνήσῃ με τρεῖς. Καὶ ἐπιβαλὼν [z] ἔκλαιε.

Κεφ. ιέ. Cap. XV.

Καὶ εὐθέως ἐπὶ τὸ πρωῒ συμβούλιον ποιήσαντες οἱ ἀρχιερεῖς μετὰ τῶν πρεσβυτέρων
[a] δέω. καὶ γραμματέων, καὶ ὅλον τὸ συνέδριον, [a] δή-
[b] φέρω. σαντες τὸν Ἰησοῦν [b] ἀπήνεγκαν καὶ [c] παρέδωκαν
[c] δίδωμι. τῷ Πιλάτῳ.

[d] ἐρωτάω. 2 Καὶ [d] ἐπηρώτησεν αὐτὸν ὁ Πιλάτος, Σὺ
[e] εἰμί. [e] εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ [f] ἀποκρι-
[f] κρίνω. θεὶς εἶπεν αὐτῷ, Σὺ λέγεις.

[g] ἀγορά. 3 Καὶ [g] κατηγόρουν αὐτοῦ οἱ ἀρχιερεῖς πολλά· αὐτὸς δὲ οὐδὲν [f] ἀπεκρίνατο.

4 Ὁ δὲ Πιλάτος πάλιν [d] ἐπηρώτησεν αὐ-
[h] εἴδω. τὸν, λέγων, Οὐκ ἀποκρίνῃ οὐδέν; [h] ἴδε πόσα σου καταμαρτυροῦσιν.

5 Ὁ δὲ Ἰησοῦς οὐκέτι οὐδὲν [f] ἀπεκρίθη· ὥστε θαυμάζειν τὸν Πιλάτον.

[i] λύω. 6 ¶ Κατὰ δὲ ἑορτὴν [i] ἀπέλυεν αὐτοῖς ἕνα
[k] αἰτέω. δέσμιον, ὅνπερ [k] ᾐτοῦντο.

7 [e] Ἦν δὲ ὁ λεγόμενος Βαραββᾶς μετὰ τῶν
[l] ἵστημι. [l] συστασιαστῶν [a] δεδεμένος, οἵτινες ἐν τῇ στά-
[m] ποιέω. σει φόνον [m] πεποιήκεισαν.

[n] βοάω. 8 Καὶ [n] ἀναβοήσας ὁ ὄχλος [o] ἤρξατο αἰ-
[o] ἄρχω. τεῖσθαι, καθὼς ἀεὶ ἐποίει αὐτοῖς.

9 Ὁ δὲ Πιλάτος [f] ἀπεκρίθη αὐτοῖς, λέγων, Θέλετε [i] ἀπολύσω ὑμῖν τὸν βασιλέα τῶν Ἰουδαίων;

[p] γινώσκω. 10 ([p] Ἐγίνωσκε γὰρ ὅτι διὰ φθόνον [c] παραδεδώκεισαν αὐτὸν οἱ ἀρχιερεῖς)

[q] σείω. 11 Οἱ δὲ ἀρχιερεῖς [q] ἀνέσεισαν τὸν ὄχλον

ἵνα μᾶλλον τὸν Βαραββᾶν [i] ἀπολύσῃ αὐτοῖς.

12 Ὁ δὲ Πιλάτος [f] ἀποκριθεὶς, πάλιν εἶπεν αὐτοῖς, Τί οὖν θέλετε ποιήσω ὃν λέγετε βασιλέα τῶν Ἰουδαίων;

13 Οἱ δὲ πάλιν [r] ἔκραξαν, [f] Σταύρωσον αὐτόν.
[r] κράζω.
[f] σταυρός.

14 Ὁ δὲ Πιλάτος ἔλεγεν αὐτοῖς, Τί γὰρ κακὸν ἐποίησεν; Οἱ δὲ περισσοτέρως [r] ἔκραξαν, [f] Σταύρωσον αὐτόν.

15 Ὁ δὲ Πιλάτος βουλόμενος τῷ ὄχλῳ τὸ ἱκανὸν ποιῆσαι, [i] ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν, καὶ [c] παρέδωκε τὸν Ἰησοῦν φραγελλώσας [f] ἵνα σταυρωθῇ. //

16 ¶ Οἱ δὲ στρατιῶται [t] ἀπήγαγον αὐτὸν ἔσω τῆς αὐλῆς, ὅ [e] ἐστι πραιτώριον· καὶ συγκαλοῦσιν ὅλην τὴν σπεῖραν.
[t] ἄγω.

17 Καὶ ἐνδύουσιν αὐτὸν πορφύραν, καὶ [u] περιτιθέασιν αὐτῷ [x] πλέξαντες ἀκάνθινον στέφανον.
[u] τίθημι.
[x] πλέκω.

18 Καὶ [o] ἤρξαντο ἀσπάζεσθαι αὐτὸν, Χαῖρε βασιλεῦ τῶν Ἰουδαίων·

19 Καὶ [y] ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν καλάμῳ, καὶ [z] ἐνέπτυον αὐτῷ, καὶ [a] τιθέντες τὰ γόνατα [b] προσεκύνουν αὐτῷ.
[y] τύπτω.
[z] πτύω.
[a] τίθημι.
[b] κύω.

20 Καὶ ὅτε [c] ἐνέπαιξαν αὐτῷ, [d] ἐξέδυσαν αὐτὸν τὴν πορφύραν, καὶ [d] ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια τὰ ἴδια· καὶ [e] ἐξάγουσιν αὐτὸν ἵνα [f] σταυρώσωσιν αὐτόν.
[c] παῖς.
[d] δύω.
[e] ἄγω.
[f] σταυρός.

21 Καὶ ἀγγαρεύουσι παράγοντά τινα Σίμωνα Κυρηναῖον (ἐρχόμενον ἀπ᾽ ἀγροῦ, τὸν πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου) ἵνα [g] ἄρῃ τὸν σταυρὸν αὐτοῦ.
[g] αἴρω.

22 Καὶ φέρουσιν αὐτὸν ἐπὶ Γολγοθᾶ τόπον, ὅ ἐστι [h] μεθερμηνευόμενον, Κρανίου τόπος.
[h] ἑρμηνεύς.

23 Καὶ [i] ἐδίδουν αὐτῷ πιεῖν [k] ἐσμυρνισμένον οἶνον· ὁ δὲ οὐκ [l] ἔλαβε.
[i] δίδωμι. //
[k] Σμύρνα.
[l] λαμβάνω.

24 Καὶ [f] σταυρώσαντες αὐτὸν, [m] διεμέριζον τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον ἐπ᾽ αὐτὰ, τίς τί [g] ἄρῃ.
[m] μείρω.

25 [n] Ἦν δὲ ὥρα τρίτη, καὶ [f] ἐσταύρωσαν αὐτόν.
[n] εἰμί.

26 Καὶ [n] ἦν ἡ ἐπιγραφὴ τῆς αἰτίας αὐτοῦ
[o] γράφω. [o] ἐπιγεγραμμένη, Ὁ ΒΑΣΙΛΕΥΣ ΤΩΝ
ΙΟΥΔΑΙΩΝ.

27 Καὶ σὺν αὐτῷ [ſ] σταυροῦσι δύο λῃστάς· ἕνα
ἐκ δεξιῶν, καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ.

[p] πλέος. 28 Καὶ [p] ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα, Καὶ
[q] λέγω. μετὰ ἀνόμων [q] ἐλογίσθη.

[r] πείρω. // 29 Καὶ οἱ [r] παραπορευόμενοι [ſ] ἐβλασφή-
[ſ] φάω. μουν αὐτὸν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ
λέγοντες, Οὐὰ, ὁ καταλύων τὸν ναὸν, καὶ ἐν
τρισὶν ἡμέραις οἰκοδομῶν,

[t] σόος. 30 [t] Σῶσον σεαυτὸν, καὶ [u] κατάβα ἀπὸ τοῦ
[u] βαίνω. σταυροῦ.

31 Ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες
πρὸς ἀλλήλους μετὰ τῶν γραμματέων ἔλεγον,
Ἄλλους [t] ἔσωσεν, ἑαυτὸν οὐ δύναται [t] σῶσαι.

[x] εἴδω. 32 Ὁ Χριστὸς ὁ βασιλεὺς τοῦ Ἰσραὴλ [u] κα-
[y] ὄνειδος. ταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα [x] ἴδωμεν καὶ πι-
[z] γίνομαι. στεύσωμεν. Καὶ οἱ [ſ] συνεσταυρωμένοι αὐτῷ [y] ὠ-
[a] βοάω. νείδιζον αὐτόν.

[b] Vid. Heb. 33 ¶ [z] Γενομένης δὲ ὥρας ἕκτης, σκότος
& Syr. Vo- [z] ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐννάτης.
cabulorum 34 Καὶ τῇ ὥρᾳ τῇ ἐννάτῃ [a] ἐβόησεν ὁ Ἰη-
Analyſin in σοῦς φωνῇ μεγάλῃ, λέγων, [b] Ἐλωῒ Ἐλωῒ, λαμ-
fine Paſoris μᾶ σαβαχθανί; ὅ ἐστιν [c] μεθερμηνευόμενον,
Lex.
[c] ἑρμηνεύς. Ὁ Θεός μου, ὁ Θεός μου, εἰς τί με [d] ἐγκατέλι-
[d] λείπω. πες;

[e] ἵστημι. 35 Καί τινες τῶν [e] παρεστηκότων ἀκούσαντες,
[*] τρέχω. ἔλεγον, Ἰδοὺ, Ἠλίαν φωνεῖ.

[f] τίθημι. 36 * Δραμὼν δὲ εἷς, καὶ γεμίσας σπόγγον
[g] πίνω. ὄξους, [f] περιθείς τε καλάμῳ, [g] ἐπότιζεν αὐτὸν,
[h] ἔω. λέγων, [h] Ἄφετε· [i] ἴδωμεν εἰ ἔρχεται Ἠλίας
[i] εἴδω. [k] καθελεῖν αὐτόν.

[k] αἱρέω. 37 Ὁ δὲ Ἰησοῦς, [l] ἀφεὶς φωνὴν μεγάλην,
[l] ἕω. ἐξέπνευσε.

[m] σχίζω. 38 Καὶ τὸ καταπέτασμα τοῦ ναοῦ [m] ἐσχίσθη
[n] ἵστημι. εἰς δύο, ἀπὸ ἄνωθεν ἕως κάτω.

[o] κράζω. // 39 [i] Ἰδὼν δὲ ὁ κεντυρίων ὁ [n] παρεστηκὼς ἐξ
[p] πνέω. ἐναντίας αὐτοῦ, ὅτι οὕτως [o] κράξας [p] ἐξέπνευ-
σεν,

σεν, εἶπεν, Ἀληθῶς ὁ ἄνθρωπος οὗτος, υἱὸς [q] ἦν Θεοῦ.

40 [q] Ἦσαν δὲ καὶ γυναῖκες ἀπὸ μακρόθεν θεωροῦσαι· ἐν αἷς [q] ἦν καὶ Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία ἡ τοῦ Ἰακώβου τοῦ μικροῦ καὶ Ἰωσῆ μήτηρ, καὶ Σαλώμη·

41 Αἳ καὶ ὅτε ἦν ἐν τῇ Γαλιλαίᾳ, [r] ἠκολούθουν αὐτῷ καὶ [s] διηκόνουν αὐτῷ· καὶ ἄλλαι πολλαὶ αἱ [t] συναναβᾶσαι αὐτῷ εἰς Ἱεροσόλυμα.

42 ¶ Καὶ ἤδη ὀψίας γενομένης (ἐπεὶ [q] ἦν παρασκευὴ, ὅ [q] ἐστι προσάββατον)

43 [u] Ἦλθεν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, εὐσχήμων βουλευτὴς, ὃς καὶ αὐτὸς ἦν [x] προσδεχόμενος τὴν βασιλείαν τοῦ Θεοῦ, [y] τολμήσας [u] εἰσῆλθε πρὸς Πιλάτον, καὶ [z] ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ.

44 Ὁ δὲ Πιλάτος [a] ἐθαύμασεν εἰ ἤδη [b] τέθνηκε· καὶ [c] προσκαλεσάμενος τὸν κεντυρίωνα, [d] ἐπηρώτησεν αὐτὸν εἰ πάλαι [b] ἀπέθανε.

45 Καὶ [e] γνοὺς ἀπὸ τοῦ κεντυρίωνος, [f] ἐδωρήσατο τὸ σῶμα τῷ Ἰωσήφ.

46 Καὶ ἀγοράσας σινδόνα, καὶ [g] καθελὼν αὐτὸν, [g] ἐνείλησε τῇ σινδόνι· καὶ [h] κατέθηκεν αὐτὸν ἐν μνημείῳ ὃ [i] ἦν [k] λελατομημένον ἐκ πέτρας· καὶ [l] προσεκύλισε λίθον ἐπὶ τὴν θύραν τοῦ μνημείου.

47 Ἡ δὲ Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία Ἰωσῆ [m] ἐθεώρουν ποῦ [h] τίθεται.

Κεφ. ιϛʹ. Cap. XVI.

ΚΑὶ [a] διαγενομένου τοῦ Σαββάτου, Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Σαλώμη [b] ἠγόρασαν ἀρώματα, ἵνα [c] ἐλθοῦσαι [d] ἀλείψωσιν αὐτόν.

2 Καὶ λίαν πρωῒ τῆς μιᾶς Σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον, [e] ἀνατείλαντος τοῦ ἡλίου.

3 Καὶ ἔλεγον πρὸς ἑαυτάς, Τίς [f] ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου;

4 Καὶ [g] ἀναβλέψασαι [h] θεωροῦσιν ὅτι [f] ἀποκεκύλισται ὁ λίθος· [i] ἦν γὰρ μέγας σφόδρα.

5 Καὶ

[q] εἰμί.
[r] ἀκόλουθος.
[s] κονέω.
[t] βαίνω.
[u] ἔρχομαι.
[x] δέχομαι.
[y] τόλμα.
[z] αἰτέω.
[a] θαῦμα.
[b] θνήσκω.
[c] καλέω.
[d] ἐρωτάω.
[e] γινώσκω.
[f] δίδωμι.
[g] αἱρέω.
[h] τίθημι.
[i] εἰμί.
[k] τέμνω.
[l] κυλίω.
[m] θεωρός.

[a] γίνομαι.
[b] ἀγορά.
[c] ἔρχομαι.
[d] ἀλείφω.
[e] τέλλω.
[f] κυλίω.
[g] βλέπω.
[h] θεωρός.
[i] εἰμί.

5 Καὶ [c] εἰσελθοῦσαι εἰς τὸ μνημεῖον εἶδον νεανίσκον
[l] ἧμαι. [l] καθήμενον ἐν τοῖς δεξιοῖς, [m] περιβεβλημένον
[m] βάλλω. στολὴν λευκήν· καὶ [n] ἐξεθαμβήθησαν.
[n] θάμβος. 6 Ὁ δὲ λέγει αὐταῖς, Μὴ [n] ἐκθαμβεῖσθε·
[o] σταυρός. Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν [o] ἐσταυρωμένον·
[p] ἐγείρω. [p] ἠγέρθη, οὐκ [i] ἔστιν ὧδε· [q] ἴδε ὁ τόπος ὅπου
[q] εἴδω. [r] ἔθηκαν αὐτόν.
[r] τίθημι. 7 Ἀλλ' ὑπάγετε, εἴπατε τοῖς μαθηταῖς
αὐτοῦ, καὶ τῷ Πέτρῳ, ὅτι προάγει ὑμᾶς εἰς τὴν
[s] ὄπτομαι. Γαλιλαίαν· ἐκεῖ αὐτὸν [s] ὄψεσθε, καθὼς εἶπεν
ὑμῖν.
[t] φεύγω. 8 Καὶ [c] ἐξελθοῦσαι ταχὺ, [t] ἔφυγον ἀπὸ τοῦ
μνημείου· εἶχε δὲ αὐτὰς τρόμος καὶ ἔκστασις· καὶ
[u] φέβομαι. οὐδενὶ οὐδὲν εἶπον· [u] ἐφοβοῦντο γάρ.
[x] ἵστημι. 9 [x] Ἀναστὰς δὲ πρωῒ πρώτῃ σαββάτου [y] ἐφάνη
[y] φαίνω. πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ, ἀφ' ἧς
[z] βάλλω. [z] ἐκβεβλήκει ἑπτὰ δαιμόνια.
[a] πείρω. 10 Ἐκείνη [a] πορευθεῖσα [b] ἀπήγγειλε τοῖς
[b] ἀγγέλλω. μετ' αὐτοῦ γενομένοις, πενθοῦσι καὶ κλαίουσι.
[c] ζάω. 11 Κἀκεῖνοι ἀκούσαντες ὅτι [c] ζῇ, καὶ [d] ἐθεάθη
[d] θεάω. ὑπ' αὐτῆς, [e] ἠπίστησαν.
[e] πίστις. 12 Μετὰ δὲ ταῦτα [f] δυσὶν ἐξ αὐτῶν [g] περιπατοῦσι
[f] δύω. [h] ἐφανερώθη ἐν ἑτέρᾳ μορφῇ, [a] πορευομένοις
[g] πατέω. εἰς ἀγρόν.
[h] φαίνω. 13 Κἀκεῖνοι [i] ἀπελθόντες [b] ἀπήγγειλαν
[i] ἔρχομαι. τοῖς λοιποῖς· οὐδὲ ἐκείνοις [e] ἐπίστευσαν.
14 Ὕστερον, ἀνακειμένοις αὐτοῖς τοῖς ἕνδεκα
[k] ὄνειδος. [h] ἐφανερώθη, καὶ [k] ὠνείδισε τὴν ἀπιστίαν αὐτῶν
[l] θεάω. καὶ σκληροκαρδίαν ὅτι τοῖς [l] θεασαμένοις αὐτὸν
[m] ἐγείρω. [m] ἐγηγερμένον οὐκ [e] ἐπίστευσαν.
15 Καὶ εἶπεν αὐτοῖς, [a] Πορευθέντες εἰς τὸν
[n] κῆρυξ. κόσμον ἅπαντα, [n] κηρύξατε τὸ εὐαγγέλιον
πάσῃ τῇ κτίσει.
[o] σόος. 16 Ὁ [e] πιστεύσας καὶ βαπτισθεὶς [o] σωθήσεται·
[p] κρίνω. ὁ δὲ [e] ἀπιστήσας [p] κατακριθήσεται.
[q] ἀκόλουθος. 17 Σημεῖα δὲ τοῖς [e] πιστεύσασι ταῦτα [q] παρακολουθήσει, Ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκ-
[r] αἴρω. βαλοῦσι· γλώσσαις λαλήσουσι καιναῖς·
[s] καὶ ἐάν. // 18 Ὄφεις [r] ἀροῦσι· [s] κἂν θανάσιμόν τι
πίωσιν,

πίωσιν, οὐ μὴ αὐτοὺς βλάψει. ἐπὶ [t] ἀῤῥώστους χεῖρας [u] ἐπιθήσουσι, καὶ καλῶς [x] ἕξουσιν.

19 Ὁ μὲν οὖν Κύριος μετὰ τὸ λαλῆσαι αὐτοῖς, [y] ἀνελήφθη εἰς τὸν οὐρανὸν, καὶ [z] ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ.

20 Ἐκεῖνοι δὲ ἐξελθόντες [n] ἐκήρυξαν πανταχοῦ, τοῦ Κυρίου [y] συνεργοῦντος, καὶ τὸν λόγον [a] βεβαιοῦντος διὰ τῶν [b] ἐπακολουθούντων σημείων.

[t] ῥωννύω.
[u] τίθημι.
[x] ἔχω.
[y] λαμβάνω.
[z] ἕζω.
[a] βία.
[b] ἀκόλουθος.

SEP

ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ ΕΥΑΓΓΕΛΙΟΝ.

Κεφάλαιον α΄. Caput I.

[a] Ἐπειδήπερ πολλοὶ [b] ἐπεχείρησαν [c] ἀνατάξασθαι διήγησιν περὶ τῶν [d] πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων.

2 Καθὼς [e] παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου·

[a] περ.
[b] χείρ.
[c] τάττω.
[d] φέρω.
[e] δίδωμι.

3 [f] Ἔδοξε [g] κἀμοὶ, [h] παρηκολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς, καθεξῆς σοι γράψαι, κράτιστε Θεόφιλε,

4 Ἵνα * ἐπιγνῷς περὶ ὧν [i] κατηχήθης λόγων τὴν ἀσφάλειαν.

[f] δοκέω.
[g] καὶ ἐμοί.
[h] ἀκόλουθος.
* γινώσκω.
[i] ἦχος.

5 [k] Ἐγένετο ἐν ταῖς ἡμέραις Ἡρώδου τοῦ βασιλέως τῆς Ἰουδαίας, ἱερεύς τις ὀνόματι Ζαχαρίας, ἐξ ἐφημερίας Ἀβιά· καὶ ἡ γυνὴ αὐτοῦ ἐκ τῶν θυγατέρων Ἀαρὼν, καὶ τὸ ὄνομα αὐτῆς Ἐλισάβετ.

[k] γίνομαι.

6 [l] Ἦσαν δὲ δίκαιοι ἀμφότεροι ἐνώπιον τοῦ Θεοῦ, [m] πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ Κυρίου ἄμεμπτοι.

[l] εἰμί.
[m] πείρω.

7 Καὶ οὐκ [l] ἦν αὐτοῖς τέκνον, καθότι ἡ

Ἐλισάβετ

[m] βαίνω. Ἐλισάβετ [l] ἦν στεῖρα, καὶ ἀμφότεροι [m] προβεβηκότες
ἐν ταῖς ἡμέραις αὐτῶν [l] ἦσαν.

// 8 [k] Ἐγένετο δὲ ἐν τῷ ἱερατεύειν αὐτὸν ἐν τῇ
τάξει τῆς ἐφημερίας αὐτοῦ ἔναντι τοῦ Θεοῦ,

[n] λαγχάνω. // 9 Κατὰ τὸ ἔθος τῆς ἱερατείας, [n] ἔλαχε τοῦ
[o] ἔρχομαι. θυμιᾶσαι, [o] εἰσελθὼν εἰς τὸν ναὸν τοῦ Κυρίου·

10 Καὶ πᾶν τὸ πλῆθος τοῦ λαοῦ [l] ἦν προσευχόμενον
ἔξω τῇ ὥρᾳ τοῦ θυμιάματος.

[p] ὄπτομαι. 11 [p] Ὤφθη δὲ αὐτῷ ἄγγελος Κυρίου [q] ἑστὼς
[q] ἵστημι. ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος.

[r] ταράσσω. 12 Καὶ [r] ἐταράχθη Ζαχαρίας ἰδὼν, καὶ φόβος
[s] πίπτω. [s] ἐπέπεσεν ἐπ' αὐτόν.

13 Εἶπε δὲ πρὸς αὐτὸν ὁ ἄγγελος, Μὴ
[t] φέβομαι. [t] φοβοῦ Ζαχαρία· διότι [u] εἰσηκούσθη ἡ δέησίς σου.
[u] ἀκούω. καὶ ἡ γυνή σου Ἐλισάβετ [x] γεννήσει υἱόν σοι, καὶ
[x] γεννάω. καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην.

14 Καὶ [l] ἔσται χαρά σοι καὶ ἀγαλλίασις· καὶ
πολλοὶ ἐπὶ τῇ γεννήσει αὐτοῦ χαρήσονται.

15 [l] Ἔσται γὰρ μέγας ἐνώπιον τοῦ Κυρίου, καὶ
[y] πίνω. οἶνον καὶ σίκερα οὐ μὴ [y] πίῃ· καὶ πνεύματος ἁγίου
[z] πλῖος. [z] πλησθήσεται ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ.

16 Καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ἐπιστρέψει
ἐπὶ Κύριον τὸν Θεὸν αὐτῶν.

17 Καὶ αὐτὸς [o] προελεύσεται ἐνώπιον αὐτοῦ
ἐν πνεύματι καὶ δυνάμει Ἠλίου, ἐπιστρέψαι καρδίας
[a] πείθω. πατέρων ἐπὶ τέκνα, καὶ [a] ἀπειθεῖς ἐν φρονήσει
[b] ἕτοιμος. δικαίων, [b] ἑτοιμάσαι Κυρίῳ λαὸν [c] κατεσκευασμένον.
[c] σκεῦος.

18 Καὶ εἶπε Ζαχαρίας πρὸς τὸν ἄγγελον,
[d] γινώσκω. Κατὰ τί [d] γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης,
[e] βαίνω. καὶ ἡ γυνή μου, [e] προβεβηκυῖα ἐν ταῖς
ἡμέραις αὐτῆς.

[f] κρίνω. 19 Καὶ [f] ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῷ,
[g] ἵστημι. Ἐγώ εἰμι Γαβριὴλ ὁ [g] παρεστηκὼς ἐνώπιον τοῦ
[h] στέλλω. Θεοῦ· καὶ [h] ἀπεστάλην λαλῆσαι πρός σε, καὶ εὐαγγελίσασθαί σοι ταῦτα.

[i] εἰμί. 20 Καὶ ἰδοὺ, [i] ἔσῃ σιωπῶν καὶ μὴ δυνάμενος
[k] γίνομαι. λαλῆσαι ἄχρι ἧς ἡμέρας [k] γένηται ταῦτα·

ἀνθ' ὧν οὐκ [l] ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες [m] πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν.

[l] πίστις.
[m] πλέος.

21 Καὶ [i] ἦν ὁ λαὸς προσδοκῶν τὸν Ζαχαρίαν· καὶ ἐθαύμαζον ἐν τῷ χρονίζειν αὐτὸν ἐν τῷ ναῷ.

22 [n] Ἐξελθὼν δὲ οὐκ [o] ἐδύνατο λαλῆσαι αὐτοῖς. καὶ [p] ἐπέγνωσαν, ὅτι ὀπτασίαν [q] ἑώρακεν ἐν τῷ ναῷ· καὶ αὐτὸς [i] ἦν διανεύων αὐτοῖς· καὶ [r] διέμενε κωφός.

[n] ἔρχομαι.
[o] δύναμαι.
[p] γινώσκω.
[q] ὁράω.
[r] μένω.

23 Καὶ [k] ἐγένετο, ὡς ἐπλήσθησαν αἱ ἡμέραι τῆς λειτουργίας αὐτοῦ [n] ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ.

24 Μετὰ δὲ ταύτας τὰς ἡμέρας [ſ] συνέλαβεν Ἐλισάβετ ἡ γυνὴ αὐτοῦ· καὶ [t] περιέκρυβεν ἑαυτὴν μῆνας πέντε λέγουσα,

[ſ] λαμβάνω.
[t] κρύπτω.

25 Ὅτι οὕτω μοι [u] πεποίηκεν ὁ Κύριος ἐν ἡμέραις αἷς [x] ἐπεῖδεν [y] ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις.

[u] ποιέω.
[x] εἴδω.
[y] αἱρέω.

26 ¶ Ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ [z] ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ Θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας ᾗ ὄνομα Ναζαρὲθ,

[z] στέλλω.

27 Πρὸς παρθένον [a] μεμνηστευμένην ἀνδρὶ ᾧ ὄνομα Ἰωσὴφ, ἐξ οἴκου Δαβίδ· καὶ τὸ ὄνομα τῆς παρθένου, Μαριάμ.

[a] μιμνήσκομαι.

28 Καὶ [b] εἰσελθὼν ὁ ἄγγελος πρὸς αὐτὴν, εἶπε, Χαῖρε [c] κεχαριτωμένη· ὁ Κύριος μετὰ σοῦ, [d] εὐλογημένη σὺ ἐν γυναιξίν.

[c] χάρις.
[d] λέγω.

29 Ἡ δὲ [e] ἰδοῦσα [f] διεταράχθη ἐπὶ τῷ λόγῳ αὐτοῦ· καὶ [g] διελογίζετο ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος.

[e] εἴδω.
[f] ταράττω.
[g] λέγω.

30 Καὶ εἶπεν ὁ ἄγγελος αὐτῇ, Μὴ [h] φοβοῦ Μαριὰμ [i] εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ.

[h] φοβέομαι.
[i] εὑρίσκω.

31 Καὶ ἰδοὺ, [k] συλλήψῃ ἐν γαστρὶ, καὶ [l] τέξῃ υἱόν· καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν.

[k] λαμβάνω.
[l] τίκτω.

32 Οὗτος [m] ἔσται μέγας, καὶ υἱὸς Ὑψίστου [n] κληθήσεται· καὶ [o] δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ.

[m] εἰμί.
[n] καλέω.
[o] δίδωμι.

33 Καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ [m] ἔσται τέλος.

34 Εἶπε δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον, Πῶς
ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω;

p κρίνω. 35 Καὶ p ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῇ,
Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις
* γεννάω. Ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ * γεννώμενον
ἐκ σοῦ ἅγιον, n κληθήσεται υἱὸς Θεοῦ.

36 Καὶ ἰδοὺ, Ἐλισάβετ ἡ συγγενής σου, καὶ
αὐτὴ k συνειληφυῖα υἱὸν ἐν γήρᾳ αὐτῆς· καὶ οὗ-
q εἰμί. τος μὴν ἕκτος q ἐστὶν αὐτῇ τῇ n καλουμένῃ
στείρᾳ.

37 Ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν
ῥῆμα.

38 Εἶπε δὲ Μαριὰμ, Ἰδοὺ ἡ δούλη Κυρίου·
r γίνομαι. r γένοιτό μοι κατὰ τὸ ῥῆμά σου. Καὶ b ἀπῆλθεν
ἀπ' αὐτῆς ὁ ἄγγελος.

s ἵστημι. 39 ¶ s Ἀναστᾶσα δὲ Μαριὰμ ἐν ταῖς ἡμέραις
t πείρω. ταύταις, t ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς,
εἰς πόλιν Ἰούδα.

40 Καὶ b εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ
u ἀσπάζομαι u ἠσπάσατο τὴν Ἐλισάβετ·

x ἀκούω. 41 Καὶ r ἐγένετο ὡς x ἤκουσεν ἡ Ἐλισάβετ
y σκαίρω. τὸν ἀσπασμὸν τῆς Μαρίας, y ἐσκίρτησε τὸ βρέφος
z πλέος. ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ z ἐπλήσθη Πνεύματος
ἁγίου ἡ Ἐλισάβετ.

a φωνή. 42 Καὶ a ἀνεφώνησε φωνῇ μεγάλῃ, καὶ εἶ-
b λέγω. πεν, b Εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ b εὐλο-
γημένος ὁ καρπὸς τῆς κοιλίας σου.

c ἔρχομαι. 43 Καὶ πόθεν μοι τοῦτο, ἵνα c ἔλθῃ ἡ μήτηρ
τοῦ Κυρίου μου πρός με;

d γίνομαι. 44 Ἰδοὺ γὰρ ὡς d ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ
e σκαίρω. σου εἰς τὰ ὦτά μου, e ἐσκίρτησεν ἐν ἀγαλλιάσει
τὸ βρέφος ἐν τῇ κοιλίᾳ μου.

f πίστις. 45 Καὶ μακαρία ἡ f πιστεύσασα· ὅτι g ἔσται
g εἰμί. τελείωσις τοῖς h λελαλημένοις αὐτῇ παρὰ Κυ-
h λαλέω. ρίου.

46 Καὶ εἶπε Μαριὰμ, Μεγαλύνει ἡ ψυχή
μου τὸν Κύριον.

i ἀγάλλω. 47 Καὶ i ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ
Θεῷ τῷ σωτῆρί μου·

48 Ὅτι [k] ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

49 Ὅτι [l] ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ.

50 Καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰς γενεῶν τοῖς [m] φοβουμένοις αὐτόν.

51 [l] Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ. [n] διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

52 [o] Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς·

53 Πεινῶντας [q] ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας [r] ἐξαπέστειλε κενούς.

54 [ſ] Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, [t] μνησθῆναι ἐλέους

55 (Καθὼς [u] ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ, καὶ τῷ σπέρματι αὐτοῦ) εἰς τὸν αἰῶνα.

56 [x] Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς, καὶ [y] ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

57 ¶ Τῇ δὲ Ἐλισάβετ [q] ἐπλήσθη ὁ χρόνος τοῦ [*] τεκεῖν αὐτήν· καὶ [d] ἐγέννησεν υἱόν.

58 Καὶ [z] ἤκουσαν οἱ περίοικοι καὶ οἱ συγγενεῖς αὐτῆς ὅτι [a] ἐμεγάλυνε Κύριος τὸ ἔλεος αὐτοῦ μετ᾽ αὐτῆς· καὶ συνέχαιρον αὐτῇ.

59 Καὶ [b] ἐγένετο, ἐν τῇ ὀγδόῃ ἡμέρᾳ [c] ἦλθον [d] περιτεμεῖν τὸ παιδίον, καὶ [e] ἐκάλουν αὐτὸ ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ, Ζαχαρίαν.

60 Καὶ [f] ἀποκριθεῖσα ἡ μήτηρ αὐτοῦ εἶπεν, Οὐχί· ἀλλὰ κληθήσεται Ἰωάννης.

61 Καὶ εἶπον πρὸς αὐτήν, Ὅτι οὐδείς [g] ἐστιν ἐν τῇ συγγενείᾳ σου ὃς καλεῖται τῷ ὀνόματι τούτῳ.

62 [h] Ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ, τὸ τί ἂν θέλοι καλεῖσθαι αὐτόν.

63 Καὶ αἰτήσας πινακίδιον, [i] ἔγραψε, λέγων, Ἰωάννης [g] ἐστὶ τὸ ὄνομα αὐτοῦ. Καὶ ἐθαύμασαν πάντες.

[k] βλέπω.
[l] ποιέω. //
[m] φέβομαι.
[n] σκορπίζω.
[o] αἱρέω.
[q] πλέος. //
[r] στέλλω.
[ſ] λαμβάνω. //
[t] μιμνήσκομαι.
[u] λαλέω.
[x] μένω.
[y] στρέφω.
[*] τίκτω.
[z] ἀκούω. //
[a] μέγας.
[b] γίνομαι.
[c] ἔρχομαι.
[d] τέμνω.
[e] καλέω.
[f] κρίνω.
[g] εἰμί.
[h] νεύω. //
[i] γράφω. //

[k] οἴγω. 64 [k] Ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παραχρῆ-
[l] λαλέω. μα, καὶ ἡ γλῶσσα αὐτοῦ· καὶ [l] ἐλάλει εὐλογῶν τὸν
Θεόν.

65 Καὶ [b] ἐγένετο ἐπὶ πάντας φόβος τοὺς //
περιοικοῦντας αὐτούς· καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς
Ἰουδαίας [l] διελαλεῖτο πάντα τὰ ῥήματα
ταῦτα.

[m] τίθημι. 66 Καὶ [m] ἔθεντο πάντες οἱ ἀκούσαντες, ἐν τῇ
καρδίᾳ αὐτῶν, λέγοντες, Τί ἄρα τὸ παιδίον
τοῦτο [g] ἔσται; Καὶ χεὶρ Κυρίου [g] ἦν μετ' αὐτοῦ.

[n] πλέος. 67 Καὶ Ζαχαρίας ὁ πατὴρ αὐτοῦ [n] ἐπλήσθη
[o] φάω. πνεύματος ἁγίου· καὶ [o] προεφήτευσε, λέγων,

68 Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ,
[p] σκέπτομαι ὅτι [p] ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ
αὐτοῦ.

[q] ἐγείρω. 69 Καὶ [q] ἤγειρε κέρας σωτηρίας ἡμῖν ἐν τῷ
οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ·

70 Καθὼς [l] ἐλάλησε διὰ στόματος τῶν ἁ-
γίων τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ,

71 Σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν, καὶ ἐκ χειρὸς
πάντων τῶν μισούντων ἡμᾶς.

72 Ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν, καὶ
[r] μιμνήσκο- [r] μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ·
μαι. 73 Ὅρκον ὃν [s] ὤμοσε πρὸς Ἀβραὰμ τὸν πα-
[s] ὀμνύω. τέρα ἡμῶν, τοῦ [t] δοῦναι ἡμῖν,
[t] δίδωμι. 74 Ἀφόβως, ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν * ῥυ-
* ῥύω. σθέντας, λατρεύειν αὐτῷ,

75 Ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ,
πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

76 Καὶ σὺ παιδίον, προφήτης ὑψίστου [e] κλη-
[u] πείρω. θήσῃ· [u] προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου,
ἑτοιμάσαι ὁδοὺς αὐτοῦ,

77 Τοῦ [t] δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ
αὐτοῦ, ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν·

78 Διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν, ἐν οἷς
[x] σκέπτομαι [x] ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους·
[y] φαίνω. /// 79 [y] Ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θα-
[z] εὐθύς. νάτου καθημένοις, τοῦ [z] κατευθῦναι τοὺς πόδας
ἡμῶν εἰς ὁδὸν εἰρήνης.

80 Τὸ δὲ παιδίον [a] ηὔξανε καὶ [b] ἐκραταιοῦτο πνεύματι· καὶ [c] ἦν ἐν ταῖς ἐρήμοις ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ.

[a] αὐξάνω.
[b] κρᾶτος.
[c] εἰμί.

Κεφ. β. Cap. II.

[a] ἘΓένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις, [b] ἐξῆλθε δόγμα παρὰ Καίσαρος Αὐγούστου, [c] ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην.

[a] γίνομαι.
[b] ἔρχομαι.
[c] γράφω.

2 (Αὕτη ἡ ἀπογραφὴ πρώτη [a] ἐγένετο, [d] ἡγεμονεύοντος τῆς Συρίας Κυρηνίου)

[d] ἡγέομαι.

3 Καὶ [e] ἐπορεύοντο πάντες [c] ἀπογράφεσθαι, ἕκαστος εἰς τὴν ἰδίαν πόλιν.

[e] πείρω.

4 [f] Ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας ἐκ πόλεως Ναζαρὲθ, εἰς τὴν Ἰουδαίαν, εἰς πόλιν Δαβὶδ, ἥτις καλεῖται Βηθλεὲμ, (διὰ τὸ [g] εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ.)

[f] βαίνω.
[g] εἰμί.

5 [c] Ἀπογράψασθαι σὺν Μαριὰμ τῇ [h] μεμνηστευμένῃ αὐτῷ γυναικὶ, οὔσῃ ἐγκύῳ.

[h] μιμνήσκωμαι.

6 [a] Ἐγένετο δὲ ἐν τῷ [g] εἶναι αὐτοὺς ἐκεῖ, [i] ἐπλήσθησαν αἱ ἡμέραι τοῦ [k] τεκεῖν αὐτήν.

[i] πλέος.
[k] τίκτω.

7 Καὶ [k] ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν [k] πρωτότοκον, καὶ [l] ἐσπαργάνωσεν αὐτὸν, καὶ [m] ἀνέκλινεν αὐτὸν ἐν τῇ φάτνῃ· διότι οὐκ [g] ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι.

[l] σπάργανον.
[m] κλίνω.

8 ¶ Καὶ ποιμένες [g] ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες, καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν.

9 Καὶ ἰδοὺ, ἄγγελος Κυρίου [n] ἐπέστη αὐτοῖς, καὶ δόξα Κυρίου περιέλαμψεν αὐτούς· καὶ [o] ἐφοβήθησαν φόβον μέγαν.

[n] ἵστημι.
[o] φέβομαι.

10 Καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος, Μὴ φοβεῖσθε· ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην, ἥτις [g] ἔσται παντὶ τῷ λαῷ.

11 Ὅτι [k] ἐτέχθη ὑμῖν σήμερον σωτὴρ, (ὅς [g] ἐστι Χριστὸς Κύριος) ἐν πόλει Δαβίδ.

12 Καὶ τοῦτο ὑμῖν τὸ σημεῖον, [p] Εὑρήσετε βρέφος [l] ἐσπαργανωμένον, κείμενον ἐν τῇ φάτνῃ.

[p] εὑρίσκω.

13 Καὶ ἐξαίφνης [h] ἐγένετο σὺν τῷ ἀγγέλῳ πλῆθος στρατιᾶς οὐρανίου, αἰνούντων τὸν Θεὸν, καὶ λεγόντων,

14 Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη· ἐν ἀνθρώποις εὐδοκία.

q εἴδω.
r γνωρίζω.

15 Καὶ [a] ἐγένετο, ὡς [b] ἀπῆλθον ἀπ' αὐτῶν εἰς τὸν οὐρανὸν οἱ ἄγγελοι, καὶ οἱ ἄνθρωποι οἱ ποιμένες εἶπον πρὸς ἀλλήλους, [b] Διέλθωμεν δὴ ἕως Βηθλεέμ, καὶ [q] ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ γεγονὸς, ὃ ὁ Κύριος [r] ἐγνώρισεν ἡμῖν.

s σπεύδω.

16 Καὶ [b] ἦλθον [s] σπεύσαντες, καὶ [p] ἀνεῦρον τήν τε Μαριὰμ καὶ τὸν Ἰωσὴφ, καὶ τὸ βρέφος κείμενον ἐν τῇ φάτνῃ.

17 [q] Ἰδόντες δὲ [r] διεγνώρισαν περὶ τοῦ ῥήματος τοῦ [t] λαληθέντος αὐτοῖς περὶ τοῦ παιδίου τούτου.

t θαῦμα.
u λαλέω.

18 Καὶ πάντες οἱ ἀκούσαντες [t] ἐθαύμασαν περὶ τῶν [u] λαληθέντων ὑπὸ τῶν ποιμένων πρὸς αὐτούς.

19 Ἡ δὲ Μαριὰμ πάντα συνετήρει τὰ ῥήματα ταῦτα, συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς.

x στρέφω.
y ἀκούω.

20 Καὶ [x] ἐπέστρεψαν οἱ ποιμένες, δοξάζοντες καὶ αἰνοῦντες τὸν Θεὸν ἐπὶ πᾶσιν οἷς [y] ἤκουσαν καὶ εἶδον, καθὼς ἐλαλήθη πρὸς αὐτούς.

z τέμνω.
a καλέω.
b λαμβάνω.

21 ¶ Καὶ ὅτε [c] [i] ἐπλήσθησαν ἡμέραι ὀκτὼ τοῦ [z] περιτεμεῖν τὸ παιδίον, καὶ [a] ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς, τὸ [a] κληθὲν ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ [b] συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ.

c πλέος.
d ἄγω.
e ἵστημι.

22 Καὶ ὅτε [c] ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῆς κατὰ τὸν νόμον Μωσέως, [d] ἀνήγαγον αὐτὸν εἰς Ἱεροσόλυμα, [e] παραστῆσαι τῷ Κυρίῳ,

f γράφω.
g οἴγω.

23 (Καθὼς [f] γέγραπται ἐν νόμῳ Κυρίου, Ὅτι πᾶν ἄρσεν [g] διανοῖγον μήτραν, ἅγιον τῷ Κυρίῳ [a] κληθήσεται.)

h δίδωμι.

24 Καὶ τοῦ [h] δοῦναι θυσίαν, κατὰ τὸ εἰρημένον ἐν νόμῳ Κυρίου, ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς περιστερῶν.

i εἰμί.

25 ¶ Καὶ ἰδοὺ, [i] ἦν ἄνθρωπος ἐν Ἱερουσαλὴμ ᾧ ὄνομα Συμεών· καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος καὶ εὐλαβὴς, προσδεχόμενος παράκλησιν

στιν τοῦ Ἰσραήλ· καὶ πνεῦμα ἅγιον [i] ἦν ἐπ' αὐτόν.

26 Καὶ [i] ἦν αὐτῷ [k] κεχρηματισμένον ὑπὸ [k] χρῆμα.
τοῦ πνεύματος τοῦ ἁγίου, μὴ [l] ἰδεῖν θάνατον [l] εἴδω.
πρὶν ἢ [l] ἴδῃ τὸν Χριστὸν Κυρίου.

27 Καὶ [m] ἦλθεν ἐν τῷ πνεύματι εἰς τὸ ἱερόν· [m] ἔρχομαι.
καὶ ἐν τῷ [d] εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον
Ἰησοῦν, τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ [n] εἰθισμένον τοῦ [n] ἔθω.
νόμου περὶ αὐτοῦ,

28 Καὶ αὐτὸς [o] ἐδέξατο αὐτὸ εἰς τὰς ἀγκάλας [o] δέχομαι.
αὐτοῦ, καὶ [p] εὐλόγησε τὸν Θεὸν, καὶ εἶπε, [p] λέγω.

29 Νῦν ἀπολύεις τὸν δοῦλον, σου δέσποτα, κατὰ
τὸ ῥῆμά σου, ἐν εἰρήνῃ·

30 Ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν
σου,

31 Ὃ [q] ἡτοίμασας κατὰ πρόσωπον πάντων [q] ἕτοιμος.
τῶν λαῶν·

32 Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν
λαοῦ σου Ἰσραήλ.

33 Καὶ [i] ἦν Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ θαυμάζοντες
ἐπὶ τοῖς [r] λαλουμένοις περὶ αὐτοῦ. [r] λαλέω.

34 Καὶ [p] εὐλόγησεν αὐτοὺς Συμεὼν, καὶ εἶπε
πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ, Ἰδοὺ, οὗτος κεῖται
εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν, ἐν τῷ Ἰσραὴλ,
καὶ εἰς σημεῖον [p] ἀντιλεγόμενον·

35 (Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν [m] διελεύσεται)
ῥομφαία) ὅπως ἂν [s] ἀποκαλυφθῶσιν ἐκ πολλῶν [s] καλύπτω.
καρδιῶν διαλογισμοί.

36 ¶ Καὶ [i] ἦν Ἄννα προφῆτις θυγάτηρ
Φανουὴλ, ἐκ φυλῆς Ἀσήρ· αὕτη [t] προβεβηκυῖα [t] βαίνω.
ἐν ἡμέραις πολλαῖς, [u] ζήσασα ἔτη μετὰ ἀνδρὸς [u] ζάω.
ἑπτὰ ἀπὸ τῆς παρθενίας αὐτῆς.

37 Καὶ αὕτη χήρα ὡς ἐτῶν ὀγδοήκοντα τεσσάρων,
ἣ οὐκ [x] ἀφίστατο ἀπὸ τοῦ ἱεροῦ, νηστείαις καὶ [x] ἵστημι.
[y] δεήσεσι λατρεύουσα νύκτα καὶ ἡμέραν. [y] δέομαι.

38 Καὶ αὕτη αὐτῇ τῇ ὥρᾳ [x] ἐπιστᾶσα [p] ἀνθωμολογεῖτο
τῷ Κυρίῳ, καὶ ἐλάλει περὶ αὐτοῦ
πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἱερουσαλήμ.

39 Καὶ ὡς [z] ἐτέλεσαν ἅπαντα τὰ κατὰ τὸν νόμον [z] τέλος.

μον Κυρίου, [a] ὑπέστρεψαν εἰς τὴν Γαλιλαίαν εἰς τὴν πόλιν αὐτῶν Ναζαρέθ.

40 Τὸ δὲ παιδίον [b] ηὔξανε καὶ [c] ἐκραταιοῦτο πνεύματι, [d] πληρούμενον σοφίας καὶ χάρις Θεοῦ [e] ἦν ἐπ' αὐτό.

41 Καὶ [f] ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ' ἔτος εἰς Ἱερουσαλὴμ τῇ ἑορτῇ τοῦ πάσχα.

42 Καὶ ὅτε [g] ἐγένετο ἐτῶν δώδεκα, [h] ἀναβάντων αὐτῶν εἰς Ἱεροσόλυμα κατὰ τὸ ἔθος τῆς ἑορτῆς,

43 Καὶ [i] τελειωσάντων τὰς ἡμέρας, ἐν τῷ [a] ὑποστρέφειν αὐτούς, [k] ὑπέμεινεν Ἰησοῦς ὁ παῖς ἐν Ἱερουσαλὴμ, καὶ οὐκ [l] ἔγνω Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ.

44 Νομίσαντες δὲ αὐτὸν ἐν τῇ συνοδίᾳ [e] εἶναι, [m] ἦλθον ἡμέρας ὁδόν· καὶ [n] ἀνεζήτουν αὐτὸν ἐν τοῖς συγγενέσι καὶ ἐν τοῖς γνωστοῖς.

45 Καὶ μὴ [o] εὑρόντες αὐτὸν, [a] ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ, ζητοῦντες αὐτόν.

46 Καὶ [g] ἐγένετο, μεθ' ἡμέρας τρεῖς [o] εὗρον αὐτὸν ἐν τῷ ἱερῷ [p] καθεζόμενον, ἐν μέσῳ τῶν διδασκάλων, καὶ ἀκούοντα αὐτῶν καὶ [q] ἐπερωτῶντα αὐτούς.

47 [r] Ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ, ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ.

48 Καὶ [s] ἰδόντες αὐτὸν [t] ἐξεπλάγησαν· καὶ πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ εἶπε, Τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; ἰδοὺ, ὁ πατήρ σου [u] κἀγὼ [x] ὀδυνώμενοι ἐζητοῦμέν σε.

49 Καὶ εἶπε πρὸς αὐτούς, Τί ὅτι [n] ἐζητεῖτέ με; οὐκ [s] ᾔδειτε ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ [e] εἶναί με.

50 Καὶ αὐτοὶ οὐ [y] συνῆκαν τὸ ῥῆμα ὃ ἐλάλησεν αὐτοῖς.

51 Καὶ [z] κατέβη μετ' αὐτῶν, καὶ [a] ἦλθεν εἰς Ναζαρέθ· καὶ [b] ἦν ὑποτασσόμενος αὐτοῖς. Καὶ ἡ μήτηρ αὐτοῦ διετήρει πάντα τὰ ῥήματα ταῦτα ἐν τῇ καρδίᾳ αὐτῆς.

52 Καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις.

Κεφ.

[a] στρέφω.
[b] αὐξάνω.
[c] κράτος.
[d] πλέος.
[e] εἰμί.
[f] πείρω.
[g] γίνομαι.
[h] βαίνω.
[i] [τέλος.]
[k] μένω.
[l] γινώσκω.
[m] ἔρχομαι.
[n] ζητέω.
[o] εὑρίσκω.
[p] ἕζω.
[q] ἐρωτάω.
[r] ἵστημι.
[s] εἴδω.
[t] πλήσσω.
[u] καὶ ἐγώ.
[x] ὀδύνη.
[y] ἵω.
[z] βαίνω.
[a] ἔρχομαι.
[b] εἰμί.

Κεφ. γʹ. Cap. III.

Ἐν ἔτει δὲ πεντεκαιδεκάτῳ, τῆς ἡγεμονίας Τιβερίου καίσαρος, [a] ἡγεμονεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας, καὶ τετραρχοῦντος τῆς Γαλιλαίας Ἡρώδου, Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετραρχοῦντος τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσανίου τῆς Ἀβιληνῆς τετραρχοῦντος,

2 Ἐπ' ἀρχιερέων Ἄννα καὶ Καϊάφα, [b] ἐγένετο ῥῆμα Θεοῦ ἐπὶ Ἰωάννην τὸν τοῦ Ζαχαρίου υἱὸν, ἐν τῇ ἐρήμῳ,

3 Καὶ [c] ἦλθεν εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν.

4 Ὡς [d] γέγραπται ἐν βίβλῳ λόγων Ἠσαΐου τοῦ προφήτου, λέγοντος, Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, [e] Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.

5 Πᾶσα φάραγξ [f] πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται· καὶ [g] ἔσται τὰ σκολιὰ εἰς εὐθείαν, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας.

6 Καὶ [h] ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ.

7 [i] Ἔλεγεν οὖν τοῖς [k] ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ' αὐτοῦ, Γεννήματα ἐχιδνῶν, τίς [l] ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;

8 Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας καὶ μὴ [m] ἄρξησθε λέγειν ἐν ἑαυτοῖς, Πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων [n] ἐγεῖραι τέκνα τῷ Ἀβραάμ.

9 Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται.

10 Καὶ [o] ἐπηρώτων αὐτὸν οἱ ὄχλοι, λέγοντες, Τί οὖν ποιήσομεν;

[a] ἡγέομαι.
[b] γίνομαι.
[c] ἔρχομαι.
[d] γράφω.
[e] ἕτοιμος.
[f] πλέος.
[g] εἰμί.
[h] ὄπτομαι.
[i] λέγω.
[k] πείρω.
[l] δείκνυμι.
[m] ἄρχω.
[n] ἐγείρω.
[o] ἐρωτάω.

[p] κρίνω. 11 [p] Ἀποκριθεὶς δὲ λέγει αὐτοῖς, Ὁ ἔχων
[q] δίδωμι. δύο χιτῶνας, [q] μεταδότω τῷ μὴ ἔχοντι· καὶ ὁ
ἔχων βρώματα, ὁμοίως ποιείτω.

12 [c] Ἦλθον δὲ καὶ τελῶναι βαπτισθῆναι· καὶ
εἶπον πρὸς αὐτὸν, Διδάσκαλε, τί ποιήσομεν;

13 Ὁ δὲ εἶπε πρὸς αὐτοὺς, Μηδὲν πλέον
[r] τάσσω. παρὰ τὸ [r] διατεταγμένον ὑμῖν πράσσετε.

14 [o] Ἐπηρώτων δὲ αὐτὸν καὶ στρατευόμενοι,
λέγοντες, Καὶ ἡμεῖς τί ποιήσομεν; Καὶ εἶπε
[s] σείω. πρὸς αὐτοὺς, Μηδένα [s] διασείσητε, μηδὲ [t] συ-
[t] φαίνω. κοφαντήσητε· καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν.

15 ¶ Προσδοκῶντος δὲ τοῦ λαοῦ, καὶ δια-
λογιζομένων πάντων ἐν ταῖς καρδίαις αὐτῶν περὶ
τοῦ Ἰωάννου, μήποτε αὐτὸς [g] εἴη ὁ Χριστός,

16 [p] Ἀπεκρίνατο ὁ Ἰωάννης ἅπασι, λέγων,
[u] ὕδωρ. Ἐγὼ μὲν [u] ὕδατι βαπτίζω ὑμᾶς, ἔρχεται δὲ ὁ
[x] λύω. ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς [x] λῦσαι τὸν ἱ-
μάντα τῶν ὑποδημάτων αὐτοῦ· αὐτὸς ὑμᾶς βα-
πτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί.

17 Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακα-
[y] ἄγω. θαριεῖ τὴν ἅλωνα αὐτοῦ· καὶ [y] συνάξει τὸν σῖτον εἰς
[z] καίω. τὴν ἀποθήκην αὐτοῦ· τὸ δὲ ἄχυρον [z] κατακαύσει
πυρὶ ἀσβέστῳ.

[*] ἀγγέλλω. 18 Πολλὰ μὲν οὖν καὶ ἕτερα παρακαλῶν * εὐ-
ηγγελίζετο τὸν λαόν.

19 ¶ Ὁ δὲ Ἡρώδης ὁ τετράρχης, ἐλεγχό-
μενος ὑπ' αὐτοῦ περὶ Ἡρωδιάδος τῆς γυναικὸς
Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ περὶ πάντων ὧν
ἐποίησε πονηρῶν ὁ Ἡρώδης.

[a] τίθημι. 20 [a] Προσέθηκε καὶ τοῦτο ἐπὶ πᾶσι, καὶ κατέ-
κλεισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ.

[b] γίνομαι. 21 ¶ [b] Ἐγένετο δὲ ἐν τῷ βαπτισθῆναι ἅ-
παντα τὸν λαὸν, καὶ Ἰησοῦ βαπτισθέντος καὶ προσ-
[c] οἴγω. ευχομένου, [c] ἀνεῳχθῆναι τὸν οὐρανόν·

[d] βαίνω. 22 Καὶ [d] καταβῆναι τὸ πνεῦμα τὸ ἅγιον
σωματικῷ εἴδει, ὡσεὶ περιστερὰν, ἐπ' αὐτόν· καὶ
[e] γίνομαι. φωνὴν ἐξ οὐρανοῦ [e] γενέσθαι, λέγουσαν, Σὺ [f] εἶ ὁ
[f] εἰμί. υἱός μου ὁ ἀγαπητός· ἐν σοὶ [g] ηὐδόκησα.

[g] δοκέω. 23 ¶ Καὶ αὐτὸς [f] ἦν ὁ Ἰησοῦς ὡσεὶ ἐτῶν
τριάκοντα

τριάκοντα ἀρχόμενος, [f] ὢν (ὡς [h] ἐνομίζετο) [h] νέμω.
υἱὸς Ἰωσὴφ, τοῦ Ἠλὶ,

24 Τοῦ Ματθὰτ, τοῦ Λευῒ, τοῦ Μελχὶ, τοῦ Ἰαννὰ, τοῦ Ἰωσὴφ,

25 Τοῦ Ματταθίου, τοῦ Ἀμὼς, τοῦ Ναοὺμ, τοῦ Ἐσλὶ, τοῦ Ναγγαὶ,

26 Τοῦ Μαὰθ, τοῦ Ματταθίου, τοῦ Σεμεῒ, τοῦ Ἰωσὴφ, τοῦ Ἰούδα,

27 Τοῦ Ἰωαννᾶ, τοῦ Ῥησὰ, τοῦ Ζοροβάβελ, τοῦ Σαλαθιὴλ, τοῦ Νηρὶ,

28 Τοῦ Μελχὶ, τοῦ Ἀδδὶ, τοῦ Κωσὰμ, τοῦ Ἐλμωδὰμ, τοῦ Ἢρ,

29 Τοῦ Ἰωσῆ, τοῦ Ἐλιέζερ, τοῦ Ἰωρεὶμ, τοῦ Ματθὰτ, τοῦ Λευῒ,

30 Τοῦ Συμεὼν, τοῦ Ἰούδα, τοῦ Ἰωσὴφ, τοῦ Ἰωνὰν, τοῦ Ἐλιακεὶμ,

31 Τοῦ Μελεᾶ, τοῦ Μαϊνὰν, τοῦ Ματταθὰ, τοῦ Ναθὰν, τοῦ Δαβὶδ,

32 Τοῦ Ἰεσσαὶ, τοῦ Ὠβὴδ, τοῦ Βοὸζ, τοῦ Σαλμὼν, τοῦ Ναασσὼν,

33 Τοῦ Ἀμιναδὰβ, τοῦ Ἀρὰμ, τοῦ Ἐσρὼμ, τοῦ Φαρὲς, τοῦ Ἰούδα,

34 Τοῦ Ἰακὼβ, τοῦ Ἰσαὰκ, τοῦ Ἀβραὰμ, τοῦ Θαρὰ, τοῦ Ναχὼρ,

35 Τοῦ Σαροὺχ, τοῦ Ῥαγαῦ, τοῦ Φαλὲκ, τοῦ Ἐβὲρ, τοῦ Σαλὰ,

36 Τοῦ Καϊνὰν, τοῦ Ἀρφαξὰδ, τοῦ Σὴμ, τοῦ Νῶε, τοῦ Λάμεχ,

37 Τοῦ Μαθουσάλα, τοῦ Ἐνὼχ, τοῦ Ἰαρὲδ, τοῦ Μαλελεὴλ, τοῦ Καϊνὰν,

38 Τοῦ Ἐνὼς, τοῦ Σὴθ, τοῦ Ἀδὰμ, τοῦ Θεοῦ.

Κεφ. δ΄. Cap. IV.

Ἰησοῦς δὲ πνεύματος ἁγίου πλήρης, [a] ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορδάνου, καὶ [b] ἤγετο ἐν τῷ πνεύματι εἰς τὴν ἔρημον· [a] στρέφω. [b] ἄγω.

2 Ἡμέρας τεσσαράκοντα πειραζόμενος ὑπὸ τοῦ διαβόλου· καὶ οὐκ [c] ἔφαγεν οὐδὲν ἐν ταῖς ἡμέραις ἐκείναις· καὶ [d] συντελεσθεισῶν αὐτῶν, ὕστερον [e] ἐπείνασε. [c] φάγω. [d] τέλος. [e] πείνω.

f εἰμί.
g γίνομαι.

3 Καὶ εἶπεν αὐτῷ ὁ διάβολος, Εἰ υἱὸς f εἶ τοῦ Θεοῦ, εἰπὲ τῷ λίθῳ τούτῳ, ἵνα g γένηται ἄρτος.

h κρίνω.
i γράφω.
k ζάω.

4 Καὶ h ἀπεκρίθη Ἰησοῦς πρὸς αὐτὸν, λέγων, i Γέγραπται ὅτι οὐκ ἐπ' ἄρτῳ μόνῳ k ζήσεται ὁ ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι Θεοῦ.

l δεικνύω.

5 Καὶ ἀναγαγὼν αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν, l ἔδειξεν αὐτῷ πάσας τὰς βασιλείας τῆς οἰκουμένης ἐν στιγμῇ χρόνου.

m δίδωμι.

6 Καὶ εἶπεν αὐτῷ ὁ διάβολος, Σοὶ m δώσω τὴν ἐξουσίαν ταύτην ἅπασαν, καὶ τὴν δόξαν αὐτῶν· ὅτι ἐμοὶ m παραδέδοται, καὶ ᾧ ἐὰν θέλω, δίδωμι αὐτήν.

n κύω.
* Ab. πᾶσα, viz. ἐξουσία.

7 Σὺ οὖν ἐὰν n προσκυνήσῃς ἐνώπιόν μου, f ἔσται σοῦ * πάντα.

8 Καὶ h ἀποκριθεὶς εἶπεν αὐτῷ ὁ Ἰησοῦς, Ὕπαγε ὀπίσω μου σατανᾶ· γέγραπται γὰρ, n Προσκυνήσεις Κύριον τὸν Θεόν σου, καὶ αὐτῷ μόνῳ λατρεύσεις.

o ἵστημι.

9 Καὶ b ἤγαγεν αὐτὸν εἰς Ἱερουσαλὴμ, καὶ o ἔστησεν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ· καὶ εἶπεν αὐτῷ, Εἰ ὁ υἱὸς f εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν ἐντεῦθεν κάτω.

p στέλλω.
q φυλάττω.

10 i Γέγραπται γὰρ, Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ p ἐντελεῖται περὶ σοῦ, τοῦ q διαφυλάξαι σε.

r αἴρω.
s κόπτω.

11 Καὶ ὅτι ἐπὶ χειρῶν r ἀροῦσί σε, μήποτε s προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.

t εἴρω.

12 Καὶ h ἀποκριθεὶς εἶπεν αὐτῷ ὁ Ἰησοῦς, Ὅτι t εἴρηται, Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου.

13 Καὶ d συντελέσας πάντα πειρασμὸν ὁ διάβολος, o ἀπέστη ἀπ' αὐτοῦ ἄχρι καιροῦ.

u στρέφω.
x ἔρχομαι.

14 ¶ Καὶ u ὑπέστρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ πνεύματος εἰς τὴν Γαλιλαίαν· καὶ φήμη x ἐξῆλθε καθ' ὅλης τῆς περιχώρου περὶ αὐτοῦ.

15 Καὶ αὐτὸς ἐδίδασκεν ἐν ταῖς συναγωγαῖς αὐτῶν, δοξαζόμενος ὑπὸ πάντων.

y τρέφω.
z ἔθω.

16 Καὶ x ἦλθεν εἰς τὴν Ναζαρὲθ, οὗ f ἦν y τεθραμμένος· καὶ x εἰσῆλθε κατὰ τὸ z εἰωθὸς

αὐτῷ, ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων, εἰς τὴν συναγωγήν· καὶ [a] ἀνέστη [b] ἀναγνῶναι.

17 Καὶ [c] ἐπεδόθη αὐτῷ βιβλίον Ἡσαΐου τοῦ προφήτου· καὶ [d] ἀναπτύξας τὸ βιβλίον, [e] εὗρε τὸν τόπον οὗ [f] ἦν [g] γεγραμμένον,

18 Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ ἕνεκεν [h] ἔχρισέ με εὐαγγελίζεσθαι πτωχοῖς [i] ἀπέσταλκέ με, [k] ἰάσασθαι τοὺς [l] συντετριμμένους τὴν καρδίαν· κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν· [i] ἀποστεῖλαι [m] τεθραυσμένους ἐν ἀφέσει·

19 Κηρύξαι ἐνιαυτὸν Κυρίου δεκτόν.

20 Καὶ [d] πτύξας τὸ βιβλίον, [c] ἀποδοὺς τῷ ὑπηρέτῃ, [n] ἐκάθισε· καὶ πάντων ἐν τῇ συναγωγῇ οἱ ὀφθαλμοὶ [f] ἦσαν ἀτενίζοντες αὐτῷ.

21 [o] Ἤρξατο δὲ λέγειν πρὸς αὐτούς, Ὅτι σήμερον [p] πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς [q] ὠσὶν ὑμῶν.

22 Καὶ πάντες [r] ἐμαρτύρουν αὐτῷ, καὶ ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς χάριτος τοῖς [s] ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ, καὶ ἔλεγον, Οὐχ οὗτός [f] ἐστιν ὁ υἱὸς Ἰωσήφ;

23 Καὶ εἶπε πρὸς αὐτούς, Πάντως [t] ἐρεῖτέ μοι τὴν παραβολὴν ταύτην, Ἰατρέ, θεράπευσον σεαυτόν· ὅσα [u] ἠκούσαμεν γενόμενα ἐν τῇ Καπερναούμ, ποίησον καὶ ὧδε ἐν τῇ πατρίδι σου.

24 Εἶπε δέ, Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐδεὶς προφήτης δεκτός [f] ἐστιν ἐν τῇ πατρίδι αὐτοῦ.

25 Ἐπ' ἀληθείας δὲ λέγω ὑμῖν, πολλαὶ χῆραι [f] ἦσαν ἐν ταῖς ἡμέραις Ἡλίου ἐν τῷ Ἰσραήλ, ὅτε [x] ἐκλείσθη ὁ οὐρανὸς ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ, ὡς [y] ἐγένετο λιμὸς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.

26 Καὶ πρὸς οὐδεμίαν αὐτῶν [z] ἐπέμφθη Ἠλίας εἰ μὴ εἰς Σάρεπτα τῆς Σιδῶνος, πρὸς [a] γυναῖκα χήραν.

27 Καὶ πολλοὶ λεπροὶ [b] ἦσαν ἐπὶ Ἐλισσαίου τοῦ προφήτου ἐν τῷ Ἰσραήλ· καὶ οὐδεὶς αὐτῶν [c] ἐκαθαρίσθη εἰ μὴ Νεεμὰν ὁ Σύρος.

28 Καὶ [d] ἐπλήσθησαν πάντες θυμοῦ ἐν τῇ συναγωγῇ, ἀκούοντες ταῦτα.

29 Καὶ

[a] ἵστημι.
[b] γινώσκω.
[c] δίδωμι.
[d] πτύσσω.
[e] εὑρίσκω.
[f] εἰμί.
[g] γράφω.
[h] χρίω.
[i] στέλλω.
[k] ἰάομαι.
[l] τρίβω.
[m] θραύω.
[n] ἕζω.
[o] ἄρχω.
[p] πλέος.
[q] οὖς.
[r] μαρτυρ.
[s] πείρω.
[t] εἴρω.
[u] ἀκούω.
[x] κλείω.
[y] γίνομαι.
[z] πέμπω.
[a] γυνή.
[b] εἰμί.
[c] καθαίρω.
[d] πλέος.

29 Καὶ [e] ἀναστάντες [f] ἐξέβαλον αὐτὸν ἔξω τῆς πόλεως· καὶ [g] ἤγαγον αὐτὸν ἕως τῆς ὀφρύος τοῦ ὄρους ἐφ' οὗ ἡ πόλις αὐτῶν [h] ᾠκοδόμητο, εἰς τὸ [i] κατακρημνίσαι αὐτόν.

30 Αὐτὸς δὲ [k] διελθὼν διὰ μέσου αὐτῶν, [l] ἐπορεύετο.

31 ¶ Καὶ [k] κατῆλθεν εἰς Καπερναοὺμ, πόλιν τῆς Γαλιλαίας· καὶ [b] ἦν διδάσκων αὐτοὺς ἐν τοῖς σάββασι.

32 Καὶ [m] ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ὅτι ἐν ἐξουσίᾳ [b] ἦν ὁ λόγος αὐτοῦ.

33 Καὶ ἐν τῇ συναγωγῇ [b] ἦν ἄνθρωπος ἔχων πνεῦμα δαιμονίου ἀκαθάρτου, καὶ [n] ἀνέκραξε φωνῇ μεγάλῃ,

34 Λέγων, [o] Ἔα, τί ἡμῖν καὶ σοι Ἰησοῦ Ναζαρηνέ; [k] ἦλθες, [p] ἀπολέσαι ἡμᾶς; [q] οἶδά σε τίς [b] εἶ· ὁ ἅγιος τοῦ Θεοῦ.

35 Καὶ [r] ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, λέγων, [s] Φιμώθητι, καὶ [k] ἔξελθε ἐξ αὐτοῦ. Καὶ [t] ῥίψαν αὐτὸν τὸ δαιμόνιον εἰς τὸ μέσον, [k] ἐξῆλθεν ἀπ' αὐτοῦ, μηδὲν [u] βλάψαν αὐτόν.

36 Καὶ [x] ἐγένετο θάμβος ἐπὶ πάντας· καὶ [y] συνελάλουν πρὸς ἀλλήλους, λέγοντες, Τίς ὁ λόγος οὗτος, ὅτι ἐν ἐξουσίᾳ καὶ δυνάμει ἐπιτάσσει τοῖς ἀκαθάρτοις πνεύμασι, καὶ ἐξέρχονται;

37 Καὶ [z] ἐξεπορεύετο ἦχος περὶ αὐτοῦ εἰς πάντα τόπον τῆς περιχώρου.

38 ¶ [a] Ἀναστὰς δὲ ἐκ τῆς συναγωγῆς, [b] εἰσῆλθεν εἰς τὴν οἰκίαν Σίμωνος· ἡ πενθερὰ δὲ τοῦ Σίμωνος [c] ἦν συνεχομένη πυρετῷ μεγάλῳ· καὶ [d] ἠρώτησαν αὐτὸν περὶ αὐτῆς.

39 Καὶ [a] ἐπιστὰς ἐπάνω αὐτῆς, [e] ἐπετίμησε τῷ πυρετῷ· καὶ [f] ἀφῆκεν αὐτήν· παραχρῆμα δὲ [a] ἀναστᾶσα διηκόνει αὐτοῖς.

40 [g] Δύνοντος δὲ τοῦ ἡλίου, πάντες ὅσοι εἶχον ἀσθενοῦντας νόσοις ποικίλαις, [h] ἤγαγον αὐτοὺς πρὸς αὐτόν· ὁ δὲ ἑνὶ ἑκάστῳ αὐτῶν τὰς χεῖρας [i] ἐπιθεὶς, ἐθεράπευσεν αὐτούς.

41 [d] Ἐξήρχετο δὲ καὶ δαιμόνια ἀπὸ πολλῶν κράζοντα

e	ἵστημι.
f	βάλλω.
g	ἄγω.
h	δέμω.
i	κρημνός.
k	ἔρχομαι.
l	πείρω.
m	πλήσσω.
n	κράζω.
o	ἐάω.
p	ὄλλυμι.
q	εἴδω.
r	τίω.
s	φιμός.
t	ῥίπτω.
u	βλάπτω.
x	γίνομαι.
y	λαλέω.
z	πείρω.
a	ἵστημι.
b	ἔρχομαι.
c	εἰμί.
d	ἐρωτάω.
e	τίω.
f	ἕω.
g	δύω.
h	ἄγω.
i	τίθημι.

κράζοντα καὶ λέγοντα, Ὅτι σὺ [c] εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ. Καὶ ἐπιτιμῶν οὐκ [k] εἴα αὐτὰ λαλεῖν ὅτι [l] ᾔδεισαν τὸν Χριστὸν αὐτὸν [e] εἶναι.

[k] ἐάω.
[l] εἴδω.

42 [m] Γενομένης δὲ ἡμέρας [b] ἐξελθὼν [n] ἐπορεύθη εἰς ἔρημον τόπον, καὶ οἱ ὄχλοι [o] ἐζήτουν αὐτὸν, καὶ [b] ἦλθον ἕως αὐτοῦ· καὶ [p] κατεῖχον αὐτὸν τοῦ μὴ [n] πορεύεσθαι ἀπ' αὐτῶν.

[m] γίνομαι.
[n] πείρω.
[o] ζητέω.
[p] ἔχω.

43 Ὁ δὲ εἶπεν πρὸς αὐτοὺς, Ὅτι καὶ ταῖς ἑτέραις [q] πόλεσιν [r] εὐαγγελίσασθαί με δεῖ τὴν βασιλείαν τοῦ Θεοῦ· ὅτι εἰς τοῦτο [s] ἀπέσταλμαι.

[q] πόλις.
[r] ἀγγέλλω.
[s] στέλλω.

44 Καὶ [c] ἦν κηρύσσων ἐν ταῖς συναγωγαῖς τῆς Γαλιλαίας.

Κεφ. ε΄. Cap. V.

d 7

[a] ἘΓένετο δὲ ἐν τῷ τὸν ὄχλον ἐπικεῖσθαι αὐτῷ τοῦ ἀκούειν τὸν λόγον τοῦ Θεοῦ, καὶ αὐτὸς [b] ἦν [c] ἑστὼς παρὰ τὴν λίμνην Γεννησαρέτ·

[a] γίνομαι.
[b] εἰμί.
[c] ἵστημι.

2 Καὶ εἶδε δύο πλοῖα [c] ἑστῶτα παρὰ τὴν λίμνην· οἱ δὲ ἁλιεῖς [d] ἀποβάντες ἀπ' αὐτῶν [e] ἀπέπλυναν τὰ δίκτυα.

//
[d] βαίνω.
[e] πλύνω.

3 [d] Ἐμβὰς δὲ εἰς ἓν τῶν πλοίων, ὃ [b] ἦν τοῦ Σίμωνος, [f] ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς [g] ἐπαναγαγεῖν ὀλίγον· καὶ [h] καθίσας ἐδίδασκεν ἐκ τοῦ πλοίου τοὺς ὄχλους.

[f] ἐρωτάω.
[g] ἄγω.
[h] ἕζω.

4 Ὡς δὲ [i] ἐπαύσατο λαλῶν, εἶπε πρὸς τὸν Σίμωνα, [g] Ἐπανάγαγε εἰς τὸ βάθος, καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν.

[i] παύω. //

5 Καὶ [k] ἀποκριθεὶς ὁ Σίμων εἶπεν αὐτῷ, [e] Ἐπιστάτα, δι' ὅλης τῆς νυκτὸς [l] κοπιάσαντες, οὐδὲν [m] ἐλάβομεν· ἐπὶ δὲ τῷ ῥήματί σου χαλάσω τὸ δίκτυον.

[k] κρίνω.
[l] κοπιάω.
[m] λαμβάνω.

6 Καὶ τοῦτο ποιήσαντες, [n] συνέκλεισαν ἰχθύων πλῆθος πολύ· [o] διερρήγνυτο δὲ τὸ δίκτυον αὐτῶν.

[n] κλείω. //
[o] ῥήσσω.
[p] νεύω.

7 Καὶ [p] κατένευσαν τοῖς μετόχοις τοῖς ἐν τῷ ἑτέρῳ πλοίῳ, τοῦ [q] ἐλθόντας [m] συλλαβέσθαι αὐτοῖς· καὶ [q] ἦλθον, καὶ [r] ἔπλησαν ἀμφότερα τὰ πλοῖα, ὥστε παρά τι [s] βυθίζεσθαι αὐτά.

[q] ἔρχομαι. //
[r] πλέος.
[s] βύθος.
[t] εἴδω.

8 [t] Ἰδὼν δὲ Σίμων Πέτρος [u] προσέπεσε τοῖς

[u] πίπτω.

γόνασι τοῦ Ἰησοῦ, λέγων, [q] Ἔξελθε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι Κύριε.

[x] ἔχω. //

9 Θάμβος γὰρ [x] περιέσχεν αὐτὸν καὶ πάντας τοὺς σὺν αὐτῷ, ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων ᾗ [m] συνέλαβον.

10 Ὁμοίως δὲ καὶ Ἰάκωβον καὶ Ἰωάννην, υἱοὺς Ζεβεδαίου, οἳ [b] ἦσαν κοινωνοὶ τῷ Σίμωνι. Καὶ εἶπε πρὸς τὸν Σίμωνα ὁ Ἰησοῦς, Μὴ [y] φοβοῦ· ἀπὸ τοῦ νῦν ἀνθρώπους [b] ἔσῃ ζωγρῶν.

[y] φέβομαι.

11 Καὶ [z] καταγαγόντες τὰ πλοῖα ἐπὶ τὴν γῆν, [a] ἀφέντες ἅπαντα, [b] ἠκολούθησαν αὐτῷ.

[z] ἄγω.
[a] ἔω.
[b] ἀκόλουθος.

12 ¶ Καὶ [c] ἐγένετο ἐν τῷ [d] εἶναι αὐτὸν ἐν μιᾷ τῶν πόλεων, καὶ ἰδοὺ ἀνὴρ πλήρης λέπρας· καὶ [e] ἰδὼν τὸν Ἰησοῦν, [f] πεσὼν ἐπὶ πρόσωπον, [g] ἐδεήθη αὐτοῦ, λέγων, Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι.

[c] γίνομαι.
[d] εἰμί.
[e] εἴδω.
[f] πίπτω.
[g] δέομαι.

13 Καὶ ἐκτείνας τὴν χεῖρα, [h] ἥψατο αὐτοῦ, εἰπών, Θέλω, [i] καθαρίσθητι· Καὶ εὐθέως ἡ λέπρα [k] ἀπῆλθεν ἀπ' αὐτοῦ.

[h] ἅπτω.
[i] καθαρίζω.
[k] ἔρχομαι.

14 Καὶ αὐτὸς [l] παρήγγειλεν αὐτῷ μηδενὶ εἰπεῖν· ἀλλὰ [k] ἀπελθὼν [m] δεῖξον σεαυτὸν τῷ ἱερεῖ, καὶ [n] προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου, καθὼς [o] προσέταξε Μωσῆς, εἰς μαρτύριον αὐτοῖς.

[l] ἀγγέλλω.
[m] δεικνύω.
[n] φέρω.
[o] τάσσω.

15 [k] Διήρχετο δὲ μᾶλλον ὁ λόγος περὶ αὐτοῦ· καὶ [k] συνήρχοντο ὄχλοι πολλοὶ ἀκούειν, καὶ θεραπεύεσθαι ὑπ' αὐτοῦ ἀπὸ τῶν ἀσθενειῶν αὐτῶν.

16 Αὐτὸς δὲ ἦν ὑποχωρῶν ἐν ταῖς ἐρήμοις, καὶ προσευχόμενος.

// 17 ¶ Καὶ [c] ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν, καὶ αὐτὸς [d] ἦν διδάσκων· καὶ [d] ἦσαν καθήμενοι Φαρισαῖοι καὶ νομοδιδάσκαλοι, οἳ [d] ἦσαν [k] ἐληλυθότες ἐκ πάσης κώμης τῆς Γαλιλαίας καὶ Ἰουδαίας καὶ Ἱερουσαλήμ· καὶ δύναμις Κυρίου [d] ἦν εἰς τὸ [p] ἰᾶσθαι αὐτούς.

[p] ἰάομαι.
[q] λύω.
[r] ζητέω.
[s] φέρω.
[t] τίθημι.
[u] εὑρίσκω.
[x] φέρω.

18 Καὶ ἰδοὺ ἄνδρες φέροντες ἐπὶ κλίνης ἄνθρωπον ὃς [d] ἦν [q] παραλελυμένος· καὶ [r] ἐζήτουν αὐτὸν [s] εἰσενεγκεῖν, καὶ [t] θεῖναι ἐνώπιον αὐτοῦ.

// 19 Καὶ μὴ [u] εὑρόντες διὰ ποίας [x] εἰσενέγκωσιν

κωσιν αὐτὸν διὰ τὸν ὄχλον, [y] ἀναβάντες ἐπὶ τὸ δῶμα, διὰ τῶν κεράμων [z] καθῆκαν αὐτὸν σὺν τῷ κλινιδίῳ εἰς τὸ μέσον, ἔμπροσθεν τοῦ Ἰησοῦ.

20 Καὶ [a] ἰδὼν τὴν πίστιν αὐτῶν, εἶπεν αὐτῷ· Ἄνθρωπε, [b] ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου.

21 Καὶ [c] ἤρξαντο διαλογίζεσθαι οἱ γραμματεῖς ϗ οἱ Φαρισαῖοι, λέγοντες, Τίς [d] ἐστιν οὗτος ὃς λαλεῖ βλασφημίας; τίς δύναται [b] ἀφιέναι ἁμαρτίας εἰ μὴ μόνος ὁ Θεός;

22 [e] Ἐπιγνοὺς δὲ ὁ Ἰησοῦς τοὺς διαλογισμοὺς αὐτῶν, [f] ἀποκριθεὶς εἶπε πρὸς αὐτούς, Τί διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν;

23 Τί [d] ἐστιν εὐκοπώτερον; εἰπεῖν, [b] Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, ἢ εἰπεῖν, [g] Ἔγειραι ϗ περιπάτει;

24 Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς [b] ἀφιέναι ἁμαρτίας, (εἶπε τῷ [h] παραλελυμένῳ) Σοὶ λέγω, [i] ἔγειραι, ϗ [k] ἄρας τὸ κλινίδιόν σου, [l] πορεύου εἰς τὸν οἶκόν σου.

25 Καὶ παραχρῆμα [m] ἀναστὰς ἐνώπιον αὐτῶν, [k] ἄρας ἐφ᾽ ᾧ [n] κατέκειτο, [o] ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, δοξάζων τὸν Θεόν.

26 Καὶ ἔκστασις [p] ἔλαβεν ἅπαντας, ϗ ἐδόξαζον τὸν Θεόν· ϗ [q] ἐπλήσθησαν φόβου, λέγοντες, Ὅτι εἴδομεν παράδοξα σήμερον.

27 ¶ Καὶ μετὰ ταῦτα [o] ἐξῆλθε, ϗ [r] ἐθεάσατο τελώνην ὀνόματι Λευῒν [s] καθήμενον ἐπὶ τὸ τελώνιον, ϗ εἶπεν αὐτῷ, Ἀκολούθει μοι.

28 Καὶ [t] καταλιπὼν ἅπαντα, [u] ἀναστὰς [x] ἠκολούθησεν αὐτῷ.

29 Καὶ ἐποίησε δοχὴν μεγάλην ὁ Λευῒς αὐτῷ ἐν τῇ οἰκίᾳ αὐτοῦ· ϗ [d] ἦν ὄχλος τελωνῶν πολύς, ϗ ἄλλων οἳ [d] ἦσαν μετ᾽ αὐτῶν κατακείμενοι.

30 Καὶ [y] ἐγόγγυζον οἱ γραμματεῖς αὐτῶν ϗ οἱ Φαρισαῖοι πρὸς τοὺς μαθητὰς αὐτοῦ, λέγοντες, Διὰ τί μετὰ τελωνῶν ϗ ἁμαρτωλῶν ἐσθίετε ϗ πίνετε;

[y] βαίνω.
[z] ἕω.
[a] εἴδω.
[b] ἕω.
[c] ἄρχω.
[d] εἰμί.
[e] γινώσκω.
[f] κρίνω.
[g] ἐγείρω.
[h] λύω.
[i] ἐγείρω.
[k] αἴρω.
[l] πείρω.
[m] ἵστημι.
[n] κεῖμαι.
[o] ἔρχομαι.
[p] λαμβάνω.
[q] πλέος.
[r] θεάομαι.
[s] ἧμαι.
[t] λείπω.
[u] ἵστημι.
[x] ἀκόλουθος.
[y] γογγύζω.

31 Καὶ [f] ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς αὐτοὺς, Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες.

32 Οὐκ [o] ἐλήλυθα καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

33 ¶ Οἱ δὲ εἶπον πρὸς αὐτὸν, Διὰ τί οἱ μαθηταὶ Ἰωάννου νηστεύουσι πυκνὰ, καὶ δεήσεις ποιοῦνται, ὁμοίως καὶ οἱ τῶν φαρισαίων· οἱ δὲ σοὶ ἐσθίουσι καὶ πίνουσιν;

34 Ὁ δὲ εἶπε πρὸς αὐτοὺς, Μὴ δύνασθε τοὺς υἱοὺς τοῦ νυμφῶνος, ἐν ᾧ ὁ νυμφίος μετ' αὐτῶν [d] ἐστι, ποιῆσαι νηστεύειν;

35 [o] Ἐλεύσονται δὲ ἡμέραι καὶ ὅταν [k] ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις.

36 Ἔλεγε δὲ καὶ παραβολὴν πρὸς αὐτοὺς, Ὅτι οὐδεὶς ἐπίβλημα ἱματίου καινοῦ ἐπιβάλλει ἐπὶ ἱμάτιον παλαιόν· εἰ δὲ μήγε, καὶ τὸ καινὸν σχίζει, καὶ τῷ παλαιῷ οὐ συμφωνεῖ ἐπίβλημα τὸ ἀπὸ τοῦ καινοῦ.

37 Καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· εἰ δὲ μήγε, [z] ῥήξει ὁ νέος οἶνος τοὺς ἀσκούς· καὶ αὐτὸς [a] ἐκχυθήσεται, καὶ οἱ ἀσκοὶ [b] ἀπολοῦνται.

38 Ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς * βλητέον· καὶ ἀμφότεροι [c] συντηροῦνται.

39 Καὶ οὐδεὶς [d] πιὼν παλαιὸν, εὐθέως θέλει νέον· λέγει γὰρ, Ὁ παλαιὸς χρηστότερός [e] ἐστιν.

[z] ῥήσσω.
[a] χέω.
[b] ὀλλύω.
* βάλλω.
[c] τηρέω.
[d] πίνω.
[e] εἰμί.

Κεφ. ϛ'. Cap. VI.

[a] ΕΓένετο δὲ ἐν σαββάτῳ δευτεροπρώτῳ [b] διαπορεύεσθαι αὐτὸν διὰ τῶν σπορίμων· καὶ ἔτιλλον οἱ μαθηταὶ αὐτοῦ τοὺς στάχυας, καὶ ἤσθιον ψώχοντες ταῖς χερσί.

2 Τινὲς δὲ τῶν φαρισαίων εἶπον αὐτοῖς, Τί ποιεῖτε ὃ οὐκ [c] ἔξεστι ποιεῖν ἐν τοῖς σάββασι;

3 Καὶ [d] ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπεν ὁ Ἰησοῦς, Οὐδὲ τοῦτο [e] ἀνέγνωτε ὃ [f] ἐποίησε Δαβὶδ ὁπότε [g] ἐπείνασεν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ ὄντες;

4 Ὡς [h] εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ, καὶ

[a] γίνομαι.
[b] σπείρω.
[c] εἰμί.
[d] κρίνω.
[e] γινώσκω.
[f] ποιέω.
[g] πεῖνα.
[h] ἔρχομαι.

τοὺς ἄρτους τῆς προθέσεως [i] ἔλαβε, καὶ ἔφαγε, καὶ [k] ἔδωκε καὶ τοῖς μετ' αὐτοῦ, οὓς οὐκ [c] ἔξεστι φαγεῖν εἰ μὴ μόνους τοὺς ἱερεῖς;

5 Καὶ [l] ἔλεγεν αὐτοῖς, Ὅτι κύριός [c] ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου.

6 ¶ [a] Ἐγένετο δὲ καὶ ἐν ἑτέρῳ σαββάτῳ [h] εἰσελθεῖν αὐτὸν εἰς τὴν συναγωγὴν, καὶ διδάσκειν· καὶ [c] ἦν ἐκεῖ ἄνθρωπος, καὶ ἡ χεὶρ αὐτοῦ ἡ δεξιὰ [c] ἦν ξηρά.

7 [m] Παρετήρουν δὲ αὐτὸν οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι εἰ ἐν τῷ σαββάτῳ θεραπεύσει, ἵνα [n] εὕρωσι κατηγορίαν αὐτοῦ.

8 Αὐτὸς δὲ [o] ᾔδει τοὺς διαλογισμοὺς αὐτῶν· καὶ εἶπε τῷ ἀνθρώπῳ τῷ ξηρὰν ἔχοντι τὴν χεῖρα, [p] Ἔγειραι, καὶ [q] στῆθι εἰς τὸ μέσον. Ὁ δὲ [q] ἀναστὰς ἔστη.

9 Εἶπεν οὖν ὁ Ἰησοῦς πρὸς αὐτοὺς, [r] Ἐπερωτήσω ὑμᾶς, τί [c] ἔξεστι τοῖς σάββασιν; [ſ] ἀγαθοποιῆσαι, ἢ [ſ] κακοποιῆσαι; ψυχὴν [t] σῶσαι, ἢ [u] ἀπολέσαι;

10 Καὶ [x] περιβλεψάμενος πάντας αὐτοὺς εἶπε τῷ ἀνθρώπῳ, Ἔκτεινον τὴν χεῖρά σου. Ὁ δὲ ἐποίησεν οὕτω· καὶ [q] ἀποκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιὴς ὡς ἡ ἄλλη.

11 Αὐτοὶ δὲ [y] ἐπλήσθησαν ἀνοίας· καὶ [z] διελάλουν πρὸς ἀλλήλους τί ἂν ποιήσειαν τῷ Ἰησοῦ.

12 ¶ [a] Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταύταις, [b] ἐξῆλθεν εἰς τὸ ὄρος [c] προσεύξασθαι· καὶ [d] ἦν [e] διανυκτερεύων ἐν τῇ προσευχῇ τοῦ Θεοῦ.

13 ¶ Καὶ ὅτε [a] ἐγένετο ἡμέρα, προσεφώνησε τοὺς μαθητὰς αὐτοῦ· καὶ [f] ἐκλεξάμενος ἀπ' αὐτῶν δώδεκα, οὓς καὶ ἀποστόλους [g] ὠνόμασε,

14 (Σίμωνα, ὃν καὶ [g] ὠνόμασε Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, Ἰάκωβον καὶ Ἰωάννην, Φίλιππον καὶ Βαρθολομαῖον,

15 Ματθαῖον καὶ Θωμᾶν, Ἰάκωβον τὸν τοῦ Ἀλφαίου, καὶ Σίμωνα τὸν καλούμενον Ζηλωτὴν,

16 Ἰούδαν Ἰακώβου, καὶ Ἰούδαν Ἰσκαριώτην, ὃς καὶ [a] ἐγένετο προδότης.)

17 Καὶ

[i] λαμβάνω.
[k] δίδωμι.
[l] λέγω.
[m] τηρέω.
[n] εὑρίσκω.
[o] εἴδω.
[p] ἐγείρω.
[q] ἵστημι.
[r] ἐρωτάω.
[ſ] ποιέω.
[t] σόος.
[u] ὀλλύω.
[x] βλέπω.
[y] πλέος.
[z] λαλέω.
[a] γίνομαι. //
[b] ἔρχομαι.
[c] εὐχή.
[d] εἰμί.
[e] νύξ.
[f] λέγω.
[g] ὄνομα.

[h] βαίνω. 17 Καὶ [h] καταβὰς μετ᾽ αὐτῶν, [i] ἔστη ἐπὶ
[i] ἵστημι. τόπου πεδινοῦ· καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ
πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας
καὶ Ἱερουσαλὴμ, καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶ-
[k] ἔρχομαι. νος, οἳ [k] ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ [l] ἰαθῆναι ἀπὸ
[l] ἰάομαι. τῶν νόσων αὐτῶν.

18 Καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκα-
[m] θεράπων. θάρτων· καὶ [m] ἐθεραπεύοντο.

19 Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ·
ὅτι δύναμις παρ᾽ αὐτοῦ [k] ἐξήρχετο, καὶ [l] ἰᾶτο
πάντας.

[n] αἴρω. 20 ¶ Καὶ αὐτὸς [n] ἐπάρας τοὺς ὀφθαλμοὺς αὐ-
τοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ, ἔλεγε, Μακάριοι οἱ
πτωχοί· ὅτι ὑμετέρα [d] ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ.

21 Μακάριοι οἱ πεινῶντες νῦν· ὅτι χορτα-
σθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γε-
λάσετε.

22 Μακάριοί [d] ἐστε ὅταν μισήσωσιν ὑμᾶς
[o] ὅρος. οἱ ἄνθρωποι, καὶ ὅταν [o] ἀφορίσωσιν ὑμᾶς, καὶ
ὀνειδίσωσι, καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς
πονηρὸν, ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

[p] σκαίρω. 23 Καίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ [p] σκιρ-
τήσατε· ἰδοὺ γὰρ, ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ
[q] ποιέω. οὐρανῷ· κατὰ ταῦτα γὰρ [q] ἐποίουν τοῖς προφήταις
οἱ πατέρες αὐτῶν.

24 Πλὴν οὐαὶ ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέ-
χετε τὴν παράκλησιν ὑμῶν.

[r] πλέος. 25 Οὐαὶ ὑμῖν οἱ [r] ἐμπεπλησμένοι· ὅτι πει-
νάσετε. Οὐαὶ ὑμῖν οἱ γελῶντες νῦν· ὅτι πεν-
θήσετε καὶ κλαύσετε.

26 Οὐαὶ ὑμῖν ὅταν καλῶς ὑμᾶς εἴπωσι
πάντες οἱ ἄνθρωποι· κατὰ ταῦτα γὰρ [q] ἐποίουν τοῖς
ψευδοπροφήταις οἱ πατέρες αὐτῶν.

27 Ἀλλ᾽ ὑμῖν λέγω τοῖς ἀκούουσιν, Ἀγαπᾶ-
τε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε τοῖς μι-
σοῦσιν ὑμᾶς.

28 Εὐλογεῖτε τοὺς καταρωμένους ὑμῖν, καὶ
[s] ἐπηρεάζω. προσεύχεσθε ὑπὲρ τῶν [s] ἐπηρεαζόντων ὑμᾶς.

29 Τῷ τύπτοντί σε ἐπὶ τὴν σιαγόνα, πάρεχε

καὶ τὴν ἄλλην· καὶ ἀπὸ τοῦ αἴροντός σου τὸ ἱμάτιον, καὶ τὸν χιτῶνα μὴ κωλύσης.

30 Παντὶ δὲ τῷ αἰτοῦντί σε, [t] δίδου· καὶ ἀπὸ τοῦ αἴροντος τὰ σὰ, μὴ ἀπαίτει.

[t] δίδωμι.

31 Καὶ καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως.

32 Καὶ εἰ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις [d] ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τοὺς ἀγαπῶντας αὐτοὺς ἀγαπῶσι.

33 Καὶ ἐὰν ἀγαθοποιῆτε τοὺς ἀγαθοποιοῦντας ὑμᾶς, ποία ὑμῖν χάρις [d] ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τὸ αὐτὸ ποιοῦσι.

34 Καὶ ἐὰν δανείζητε παρ' ὧν ἐλπίζετε [u] ἀπολαβεῖν, ποία ὑμῖν χάρις [d] ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ ἁμαρτωλοῖς δανείζουσιν, ἵνα [u] ἀπολάβωσι τὰ ἴσα.

[u] λαμβάνω.

35 Πλὴν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καὶ ἀγαθοποιεῖτε, καὶ δανείζετε, μηδὲν ἀπελπίζοντες· καὶ [d] ἔσται ὁ μισθὸς ὑμῶν πολὺς, καὶ [d] ἔσεσθε υἱοὶ τοῦ ὑψίστου· ὅτι αὐτὸς χρηστός [d] ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς. //

36 [a] Γίνεσθε οὖν οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν οἰκτίρμων [d] ἐστί.

37 Καὶ μὴ [x] κρίνετε, καὶ οὐ μὴ [x] κριθῆτε· μὴ [y] καταδικάζετε, καὶ οὐ μὴ [y] καταδικασθῆτε· [z] ἀπολύετε, καὶ [z] ἀπολυθήσεσθε.

[x] κρίνω.
[y] δίκη.
[z] λύω.

38 [a] Δίδοτε, καὶ [a] δοθήσεται ὑμῖν· μέτρον καλὸν [b] πεπεσμένον καὶ [c] σεσαλευμένον καὶ [d] ὑπερεκχυνόμενον [e] δώσουσι εἰς τὸν κόλπον ὑμῶν· τῷ γὰρ αὐτῷ μέτρῳ ᾧ μετρεῖτε, [f] ἀντιμετρηθήσεται ὑμῖν.

[a] δίδωμι. //
[b] πιέζω.
[c] σάλος.
[d] χύω.
[e] δίδωμι.
[f] μέτρον.

39 ¶ Εἶπε δὲ παραβολὴν αὐτοῖς, Μήτι δύναται τυφλὸς τυφλὸν [g] ὁδηγεῖν; οὐχὶ ἀμφότεροι εἰς βόθυνον [h] πεσοῦνται;

[g] ἄγω.
[h] πίπτω.

40 Οὐκ [i] ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον αὐτοῦ· [k] κατηρτισμένος δὲ πᾶς [i] ἔσται ὡς ὁ διδάσκαλος αὐτοῦ.

[i] εἰμί.
[k] ἄρτιος.

41 Τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ ἰδίῳ ὀφθαλμῷ οὐ κατανοεῖς;

42 Ἡ

42 Ἢ πῶς δύνασαι λέγειν τῷ ἀδελφῷ σου, Ἀδελφὲ, [l] ἄφες ἐκβάλω τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ σου· αὐτὸς τὴν ἐν τῷ ὀφθαλμῷ σου δοκὸν οὐ βλέπων; Ὑποκριτὰ, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου.

43 Οὐ γάρ [i] ἐστι δένδρον καλὸν, ποιοῦν καρπὸν σαπρόν· οὐδὲ δένδρον σαπρὸν, ποιοῦν καρπὸν καλόν.

44 Ἕκαστον γὰρ δένδρον ἐκ τοῦ ἰδίου καρποῦ γινώσκεται· οὐ γὰρ ἐξ ἀκανθῶν συλλέγουσι σῦκα, οὐδὲ ἐκ βάτου τρυγῶσι σταφυλήν.

45 Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὸ ἀγαθόν· καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὸ πονηρόν· ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας λαλεῖ τὸ στόμα αὐτοῦ.

46 Τί δέ με καλεῖτε, Κύριε, Κύριε, καὶ οὐ ποιεῖτε ἃ λέγω;

57 Πᾶς ὁ ἐρχόμενος πρός με, καὶ ἀκούων μου τῶν λόγων, καὶ ποιῶν αὐτοὺς, [m] ὑποδείξω ὑμῖν τίνι [i] ἐστὶν ὅμοιος.

[m] δεικνύω.

48 Ὅμοιός [i] ἐστιν ἀνθρώπῳ [n] οἰκοδομοῦντι οἰκίαν, ὃς [o] ἔσκαψε καὶ [p] ἐβάθυνε, καὶ [q] ἔθηκε θεμέλιον ἐπὶ τὴν πέτραν· [r] πλημμύρας δὲ γενομένης [s] προσέρρηξεν ὁ ποταμὸς τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἴσχυσε [t] σαλεῦσαι αὐτήν· [u] τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν.

[n] δέμω.
[o] σκάπτω.
[p] βαθύς.
[q] τίθημι.
[r] πλέος.
[s] ῥήσσω.
[t] σάλος.
[u] θεμέλιον.

49 Ὁ δὲ ἀκούσας καὶ μὴ ποιήσας, ὅμοιός [i] ἐστιν ἀνθρώπῳ [n] οἰκοδομήσαντι οἰκίαν ἐπὶ τὴν γῆν χωρὶς θεμελίου· ᾗ [s] προσέρρηξεν ὁ ποταμός· καὶ εὐθέως [h] ἔπεσε, καὶ [x] ἐγένετο τὸ ῥῆγμα τῆς οἰκίας ἐκείνης μέγα.

[x] γίνομαι.

Κεφ. ζ. Cap. VII.

Ἐπεὶ δὲ [a] ἐπλήρωσε πάντα τὰ ῥήματα αὐτοῦ εἰς τὰς ἀκοὰς τοῦ λαοῦ, [b] εἰσῆλθεν εἰς Καπερναούμ.

[a] πλέος.
[b] ἔρχομαι.

2 Ἑκατοντάρχου δέ τινος δοῦλος κακῶς
ἔχων, ἤμελλε τελευτᾷν, ὃς [c] ἦν αὐτῷ ἔντι- [c] εἰμί.
μος.

3 Ἀκούσας δὲ περὶ τοῦ Ἰησοῦ, [d] ἀπέστειλε πρὸς [d] στέλλω.
αὐτὸν πρεσβυτέρους τῶν Ἰουδαίων, ἐρωτῶν αὐτὸν
ὅπως [b] ἐλθὼν [e] διασώσῃ τὸν δοῦλον αὐτοῦ. [e] σόος.

4 Οἱ δὲ [f] παραγενόμενοι πρὸς τὸν Ἰησοῦν, [f] γίνομαι.
παρεκάλουν αὐτὸν σπουδαίως, λέγοντες, ὅτι ἄ-
ξιός [c] ἐστιν ᾧ [g] παρέξει τοῦτο. [g] ἔχω.

5 Ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡμῶν, καὶ τὴν συνα-
γωγὴν αὐτὸς [h] ᾠκοδόμησεν ἡμῖν. [h] δέμω.

6 Ὁ δὲ Ἰησοῦς [i] ἐπορεύετο σὺν αὐτοῖς· ἤδη [i] πείρω.
δὲ αὐτοῦ οὐ μακρὰν ἀπέχοντος ἀπὸ τῆς οἰκίας,
[k] ἔπεμψε πρὸς αὐτὸν ὁ ἑκατόνταρχος φίλους, [k] πέμπω.
λέγων αὐτῷ, Κύριε, μὴ σκύλλου· (οὐ γάρ εἰμι
ἱκανὸς ἵνα ὑπὸ τὴν στέγην μου [b] εἰσέλθῃς·

7 Διὸ οὐδὲ ἐμαυτὸν [l] ἠξίωσα πρός σε [b] ἐλ- [l] ἄξιος.
θεῖν) ἀλλὰ εἰπὲ λόγῳ, καὶ [m] ἰαθήσεται ὁ παῖς μου. [m] ἰάομαι.

8 Καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν
τασσόμενος, ἔχων ὑπ᾽ ἐμαυτὸν στρατιώτας, καὶ
λέγω τούτῳ, [n] Πορεύθητι, καὶ πορεύεται· καὶ [n] πείρω.
ἄλλῳ· Ἔρχου, καὶ ἔρχεται· καὶ τῷ δούλῳ μου, Ποί-
ησον τοῦτο, καὶ ποιεῖ.

9 Ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς, ἐθαύμασεν
αὐτόν· καὶ [o] στραφεὶς, τῷ ἀκολουθοῦντι αὐτῷ ὄ- [o] στρέφω.
χλῳ εἶπε, Λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ το-
σαύτην πίστιν [p] εὗρον. [p] εὑρίσκω.

10 Καὶ [o] ὑποστρέψαντες οἱ [k] πεμφθέντες
εἰς τὸν οἶκον, [p] εὗρον τὸν ἀσθενοῦντα δοῦλον ὑγι-
αίνοντα.

11 ¶ Καὶ [f] ἐγένετο ἐν τῇ [q] ἑξῆς, [n] ἐπορεύετο [q] ἑξῆς.
εἰς πόλιν καλουμένην Ναΐν· καὶ [n] συνεπορεύοντο
αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ἱκανοὶ, καὶ ὄχλος πολύς.

12 Ὡς δὲ [r] ἤγγισε τῇ πύλῃ τῆς πόλεως, καὶ [r] ἐγγύς.
ἰδοὺ [s] ἐξεκομίζετο [t] τεθνηκὼς, υἱὸς μονογενὴς [s] κομίω.
τῇ μητρὶ αὐτοῦ, καὶ αὐτὴ χήρα· καὶ ὄχλος τῆς πό- [t] θνήσκω.
λεως ἱκανὸς ἦν σὺν αὐτῇ.

13 Καὶ [u] ἰδὼν αὐτὴν ὁ Κύριος, [x] ἐσπλαγχ- [u] εἴδω.
νίσθη ἐπ᾽ αὐτῇ, καὶ εἶπεν αὐτῇ, Μὴ κλαῖε. [x] σπλάγχνον

y ἅπτω. z ἵστημι. a ἐγείρω.

14 Καὶ [b] προσελθὼν [y] ἥψατο τῆς σοροῦ· (οἱ δὲ βαστάζοντες [z] ἔστησαν) καὶ εἶπε, Νεανίσκε, σοὶ λέγω, [a] ἐγέρθητι.

b ἵζω. c ἄρχω. d δίδωμι.

15 Καὶ [b] ἀνεκάθισεν ὁ νεκρὸς, καὶ [c] ἤρξατο λαλεῖν· καὶ [d] ἔδωκεν αὐτὸν τῇ μητρὶ αὐτοῦ.

e λαμβάνω. f ἐγείρω. g σκέπτομαι.

16 [e] Ἔλαβε δὲ φόβος ἅπαντας· καὶ ἐδόξαζον τὸν Θεὸν, λέγοντες, Ὅτι προφήτης μέγας [f] ἐγήγερται ἐν ἡμῖν· καὶ, ὅτι [g] ἐπεσκέψατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ.

h ἔρχομαι.

17 Καὶ [h] ἐξῆλθεν ὁ λόγος οὗτος ἐν ὅλῃ τῇ Ἰουδαίᾳ περὶ αὐτοῦ, καὶ ἐν πάσῃ τῇ περιχώρῳ.

i ἀγγέλλω.

18 Καὶ [i] ἀπήγγειλαν Ἰωάννῃ οἱ μαθηταὶ αὐτοῦ περὶ πάντων τούτων. Καὶ προσκαλεσάμενος δύο τινὰς τῶν μαθητῶν αὐτοῦ ὁ Ἰωάννης,

k πέμπω. l εἰμί.

19 [k] Ἔπεμψε πρὸς τὸν Ἰησοῦν, λέγων, Σὺ [l] εἶ ὁ ἐρχόμενος, ἢ ἄλλον προσδοκῶμεν;

m γίνομαι. n στέλλω.

20 [m] Παραγενόμενοι δὲ πρὸς αὐτὸν οἱ ἄνδρες, εἶπον, Ἰωάννης ὁ Βαπτιστὴς [n] ἀπέσταλκεν ἡμᾶς πρός σε, λέγων, Σὺ [l] εἶ ὁ ἐρχόμενος, ἢ ἄλλον προσδοκῶμεν;

21 Ἐν αὐτῇ δὲ τῇ ὥρᾳ ἐθεράπευσε πολλοὺς ἀπὸ νόσων καὶ μαστίγων καὶ πνευμάτων πονηρῶν· καὶ τυφλοῖς πολλοῖς [o] ἐχαρίσατο τὸ βλέπειν.

o χάρις. p κρίνω. q πείρω.

22 Καὶ [p] ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, [q] Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ εἴδετε καὶ ἠκούσατε· ὅτι τυφλοὶ ἀναβλέπουσι, χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται, κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται, πτωχοὶ εὐαγγελίζονται·

* σκάζω.

23 Καὶ μακάριός [l] ἐστιν ὃς ἐὰν μὴ * σκανδαλισθῇ ἐν ἐμοί.

24 [h] Ἀπελθόντων δὲ τῶν ἀγγέλων Ἰωάννου, [c] ἤρξατο λέγειν πρὸς τοὺς ὄχλους περὶ Ἰωάννου, Τί [h] ἐξεληλύθατε εἰς τὴν ἔρημον θεάσασθαι; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον;

r ἕω.

25 Ἀλλὰ τί [h] ἐξεληλύθατε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις [r] ἠμφιεσμένον; ἰδοὺ, οἱ ἐν ἱματισμῷ ἐνδόξῳ καὶ τρυφῇ ὑπάρχοντες, ἐν τοῖς βασιλείοις [l] εἰσίν.

26 Ἀλλὰ τί [h] ἐξεληλύθατε ἰδεῖν; προφήτην; ναὶ λέγω ὑμῖν, καὶ περισσότερον προφήτου.

27 Οὗτός [l] ἐστι περὶ οὗ [s] γέγραπται· Ἰδοὺ, ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου.

[s] γράφω.

28 Λέγω γὰρ ὑμῖν, μείζων ἐν γεννητοῖς γυναικῶν προφήτης Ἰωάννου τοῦ Βαπτιστοῦ οὐδείς [l] ἐστιν· ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ, μείζων αὐτοῦ [l] ἐστι. //

29 Καὶ πᾶς ὁ λαὸς ἀκούσας καὶ οἱ τελῶναι [t] ἐδικαίωσαν τὸν Θεὸν, βαπτισθέντες τὸ βάπτισμα Ἰωάννου·

[t] δίκη.

30 Οἱ δὲ φαρισαῖοι καὶ οἱ νομικοὶ τὴν βουλὴν τοῦ Θεοῦ [u] ἠθέτησαν εἰς ἑαυτοὺς, μὴ βαπτισθέντες ὑπ' αὐτοῦ.

[u] τίθημι.

31 Εἶπε δὲ ὁ Κύριος, Τίνι οὖν ὁμοιώσω τοὺς ἀνθρώπους τῆς γενεᾶς ταύτης; καὶ τίνι [l] εἰσὶν ὅμοιοι;

32 Ὅμοιοί [l] εἰσι παιδίοις τοῖς ἐν ἀγορᾷ [x] καθημένοις, καὶ προσφωνοῦσιν ἀλλήλοις, καὶ λέγουσιν, [y] Ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ [z] ὠρχήσασθε· [a] ἐθρηνήσαμεν ὑμῖν, καὶ οὐκ [b] ἐκλαύσατε.

[x] ἧμαι.
[y] αὐλῶ.
[z] ὀρχέομαι.
[a] θρῆνος.
[b] κλαίω.
[c] ἔρχομαι.

33 [c] Ἐλήλυθε γὰρ Ἰωάννης ὁ Βαπτιστὴς μήτε ἄρτον ἐσθίων, μήτε οἶνον πίνων· καὶ λέγετε, Δαιμόνιον ἔχει.

34 [c] Ἐλήλυθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων· καὶ λέγετε, Ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν. //

35 Καὶ [d] ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς πάντων.

[d] δίκη.

36 ¶ [e] Ἠρώτα δέ τις αὐτὸν τῶν φαρισαίων ἵνα φάγῃ μετ' αὐτοῦ· καὶ [c] εἰσελθὼν εἰς τὴν οἰκίαν τοῦ φαρισαίου, [f] ἀνεκλίθη.

[e] ἐρωτάω.
[f] κλίνω.

37 Καὶ ἰδοὺ, γυνὴ ἐν τῇ πόλει ἥτις [g] ἦν ἁμαρτωλὸς, [h] ἐπιγνοῦσα ὅτι [i] ἀνάκειται ἐν τῇ οἰκίᾳ τοῦ φαρισαίου, [k] κομίσασα ἀλάβαστρον μύρου,

[g] εἰμί.
[h] γινώσκω.
[i] κεῖμαι.
[k] κομίζω.

38 Καὶ [l] στᾶσα παρὰ τοὺς πόδας αὐτοῦ, ὀπίσω,

[l] ἵστημι.

κλαίουσα [m] ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσι, καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς [n] ἐξέμασσε καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ, καὶ [o] ἤλειφε τῷ μύρῳ.

39 [p] Ἰδὼν δὲ ὁ φαρισαῖος ὁ καλέσας αὐτὸν, εἶπεν ἐν ἑαυτῷ, λέγων, Οὗτος, εἰ [q] ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ ἥτις ἅπτεται αὐτοῦ· ὅτι ἁμαρτωλός [q] ἐστι.

40 Καὶ [r] ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς αὐτὸν, Σίμων, ἔχω σοι τὶ εἰπεῖν. Ὁ δέ φησι, Διδάσκαλε, εἶπε.

41 Δύο χρεωφειλέται [q] ἦσαν δανειστῇ τινι· ὁ εἷς ὤφειλε δηνάρια πεντακόσια, ὁ δὲ ἕτερος, πεντήκοντα.

42 Μὴ ἐχόντων δὲ αὐτῶν [s] ἀποδοῦναι, ἀμφοτέροις [t] ἐχαρίσατο· Τίς οὖν αὐτῶν, εἰπὲ, πλεῖον αὐτὸν ἀγαπήσει;

43 [r] Ἀποκριθεὶς δὲ ὁ Σίμων εἶπεν, Ὑπολαμβάνω ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο· Ὁ δὲ εἶπεν αὐτῷ, Ὀρθῶς ἔκρινας.

44 Καὶ [u] στραφεὶς πρὸς τὴν γυναῖκα, τῷ Σίμωνι [x] ἔφη, Βλέπεις ταύτην τὴν γυναῖκα; [c] εἰσῆλθόν σου εἰς τὴν οἰκίαν, ὕδωρ ἐπὶ τοὺς πόδας μου οὐκ [s] ἔδωκας· αὕτη δὲ τοῖς δάκρυσιν [y] ἔβρεξέ μου τοὺς πόδας, καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς [z] ἐξέμαξε.

45 Φίλημά μοι οὐκ [a] ἔδωκας· αὕτη δὲ ἀφ' ἧς [b] εἰσῆλθον οὐ [c] διέλιπε καταφιλοῦσά μου τοὺς πόδας.

46 Ἐλαίῳ τὴν κεφαλήν μου οὐκ [d] ἤλειψας· αὕτη δὲ μύρῳ [d] ἤλειψέ μου τοὺς πόδας.

47 [e] Οὗ χάριν, λέγω σοι, ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί· ὅτι ἠγάπησε πολύ· ᾧ δὲ ὀλίγον [f] ἀφίεται, ὀλίγον ἀγαπᾷ.

48 Εἶπε δὲ αὐτῇ, [f] Ἀφέωνταί σου αἱ ἁμαρτίαι.

49 Καὶ [g] ἤρξαντο οἱ συνανακείμενοι λέγειν ἐν ἑαυτοῖς, Τίς οὗτός [h] ἐστιν ὃς καὶ ἁμαρτίας [f] ἀφίησιν.

[m] ἄρχω.
[n] μάσσω.
[o] ἀλείφω.
[p] εἴδω.
[q] εἰμί.
[r] κρίνω.
[s] δίδωμι.
[t] χάρις.
[u] στρέφω.
[x] φάω.
[y] βρέχω.
[z] μάσσω.
[a] δίδωμι.
[b] ἔρχομαι.
[c] λείπω.
[d] ἀλείφω.
[f] ἵω.
[g] ἄρχω.
[h] εἰμί.

50 Εἶπε δὲ πρὸς τὴν γυναῖκα, Ἡ πίστις σου [i] σέσωκέ σε· [k] πορεύου εἰς εἰρήνην.

[i] σώζω. [k] πείρω.

Κεφ. η'. Cap. VIII.

ΚΑὶ [a] ἐγένετο ἐν τῷ [b] καθεξῆς, καὶ αὐτὸς [c] διώδευε κατὰ πόλιν καὶ κώμην, κηρύσσων καὶ εὐαγγελιζόμενος τὴν βασιλείαν τοῦ Θεοῦ· καὶ οἱ δώδεκα σὺν αὐτῷ.

[a] γίνομαι. [b] ἑξῆς. [c] ὁδός.

2 Καὶ γυναῖκές τινες αἳ [d] ἦσαν [e] τεθεραπευμέναι ἀπὸ πνευμάτων πονηρῶν καὶ ἀσθενειῶν· Μαρία ἡ καλουμένη Μαγδαληνὴ, ἀφ' ἧς δαιμόνια ἑπτὰ [f] ἐξεληλύθει,

[d] εἰμί. [e] θεράπων. [f] ἔρχομαι.

3 Καὶ Ἰωάννα, γυνὴ Χουζᾶ ἐπιτρόπου Ἡρώδου· καὶ Σουσάννα, καὶ ἕτεραι πολλαὶ, [g] αἵτινες [h] διηκόνουν αὐτῷ ἀπὸ τῶν ὑπαρχόντων αὐταῖς.

[g] ὅστις. [h] κονέω.

4 [i] Συνιόντος δὲ ὄχλου πολλοῦ, καὶ τῶν κατὰ πόλιν [k] ἐπιπορευομένων πρὸς αὐτὸν, εἶπε διὰ παραβολῆς,

[i] ἔω. [k] πείρω.

5 Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ· καὶ ἐν τῷ σπείρειν αὐτὸν, ὃ μὲν [l] ἔπεσε παρὰ τὴν ὁδὸν, καὶ [m] κατεπατήθη, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατέφαγεν αὐτό.

[l] πίπτω. [m] πατέω.

6 Καὶ ἕτερον [l] ἔπεσεν ἐπὶ τὴν πέτραν, καὶ φυὲν [n] ἐξηράνθη, διὰ τὸ μὴ ἔχειν ἰκμάδα.

[n] ξηρός.

7 Καὶ ἕτερον [l] ἔπεσεν ἐν μέσῳ τῶν ἀκανθῶν, καὶ [o] συμφυεῖσαι αἱ ἄκανθαι [p] ἀπέπνιξαν αὐτό.

[o] φύω. [p] πνίγω.

8 Καὶ ἕτερον [l] ἔπεσεν ἐπὶ τὴν γῆν τὴν ἀγαθὴν, καὶ φυὲν ἐποίησε καρπὸν ἑκατονταπλασίονα. Ταῦτα λέγων ἐφώνει, Ὁ ἔχων [q] ὦτα ἀκούειν, ἀκουέτω.

[q] οὖς.

9 [r] Ἐπηρώτων δὲ αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες, Τίς [d] εἴη ἡ παραβολὴ αὕτη;

[r] ἐρωτάω.

10 Ὁ δὲ εἶπεν, Ὑμῖν [s] δέδοται [t] γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ Θεοῦ· τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς, ἵνα βλέποντες μὴ βλέπωσι, καὶ ἀκούοντες μὴ [i] συνιῶσιν.

[s] δίδωμι. [t] γινώσκω.

11 [d] Ἔστι δὲ αὕτη ἡ παραβολή· Ὁ σπόρος [d] ἐστὶν ὁ λόγος τοῦ Θεοῦ.

12 Οἱ δὲ παρὰ τὴν ὁδὸν, [d] εἰσὶν οἱ ἀκούοντες· εἶτα ἔρχεται ὁ διάβολος, καὶ αἴρει τὸν

[u] σόω.

λόγον ἀπὸ τῆς καρδίας αὐτῶν, ἵνα μὴ πιστεύσαντες [u] σωθῶσιν.

[x] ἵστημι.

13 Οἱ δὲ ἐπὶ τῆς πέτρας, οἳ ὅταν ἀκούσωσι, μετὰ χαρᾶς δέχονται τὸν λόγον· καὶ οὗτοι ῥίζαν οὐκ ἔχουσιν, οἳ πρὸς καιρὸν πιστεύουσι, καὶ ἐν καιρῷ πειρασμοῦ [x] ἀφίστανται.

[y] φέρω.

14 Τὸ δὲ εἰς τὰς ἀκάνθας [l] πεσὸν, οὗτοί [d] εἰσιν οἱ ἀκούσαντες· καὶ ὑπὸ μεριμνῶν καὶ πλούτου καὶ ἡδονῶν τοῦ βίου [k] πορευόμενοι [p] συμπνίγονται, καὶ οὐ [y] τελεσφοροῦσι.

15 Τὸ δὲ ἐν τῇ καλῇ γῇ, οὗτοί [d] εἰσιν [g] οἵτινες ἐν καρδίᾳ καλῇ καὶ ἀγαθῇ, ἀκούσαντες τὸν λόγον, κατέχουσι, καὶ [y] καρποφοροῦσιν ἐν ὑπομονῇ.

[z] ἅπτω.
[a] πείρω.

16 Οὐδεὶς δὲ λύχνον [z] ἅψας, καλύπτει αὐτὸν σκεύει, ἢ ὑποκάτω κλίνης τίθησιν· ἀλλ᾽ ἐπὶ λυχνίας ἐπιτίθησιν, ἵνα οἱ [a] εἰσπορευόμενοι βλέπωσι τὸ φῶς.

[b] εἰμί.
[c] γίνομαι.
[d] γινώσκω.
[e] ἔρχομαι.

17 Οὐ γάρ [b] ἐστι κρυπτὸν ὃ οὐ φανερὸν [c] γενήσεται· οὐδὲ ἀπόκρυφον ὃ οὐ [d] γνωσθήσεται, καὶ εἰς φανερὸν [e] ἔλθῃ.

[f] δίδωμι.
[g] αἴρω.

18 ¶ Βλέπετε οὖν πῶς ἀκούετε· ὃς γὰρ ἂν ἔχῃ, [f] δοθήσεται αὐτῷ· καὶ ὃς ἂν μὴ ἔχῃ, καὶ ὃ δοκεῖ ἔχειν [g] ἀρθήσεται ἀπ᾽ αὐτοῦ.

[h] δύναμαι.

19 ¶ [c] Παρεγένοντο δὲ πρὸς αὐτὸν ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ οὐκ [h] ἠδύναντο συντυχεῖν αὐτῷ διὰ τὸν ὄχλον.

[i] ἀγγέλλω.
[k] ἵστημι.
[l] εἴδω.

20 Καὶ [i] ἀπηγγέλη αὐτῷ, λεγόντων, Ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου [k] ἑστήκασιν ἔξω, [l] ἰδεῖν σε θέλοντες.

[m] κρίνω.

21 Ὁ δὲ [m] ἀποκριθεὶς εἶπε πρὸς αὐτοὺς, Μήτηρ μου καὶ ἀδελφοί μου, οὗτοί [b] εἰσιν οἱ τὸν λόγον τοῦ Θεοῦ ἀκούοντες καὶ ποιοῦντες αὐτόν.

[n] βαίνω.
[o] ἄγω.

22 ¶ Καὶ [c] ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν, καὶ αὐτὸς [n] ἐνέβη εἰς πλοῖον, καὶ οἱ μαθηταὶ αὐτοῦ· καὶ εἶπε πρὸς αὐτοὺς, [e] Διέλθωμεν εἰς τὸ πέραν τῆς λίμνης. Καὶ [o] ἀνήχθησαν.

[p] ὕπνος.
[q] πλέος.
[r] κίνδυνος.

23 Πλεόντων δὲ αὐτῶν [p] ἀφύπνωσε· καὶ [n] κατέβη λαῖλαψ ἀνέμου εἰς τὴν λίμνην· καὶ [q] συνεπληροῦντο, καὶ [r] ἐκινδύνευον.

24 [e] Προσ-

24 [e] Προσελθόντες δὲ [f] διήγειραν αὐτὸν, λέγοντες, Ἐπιστάτα, ἐπιστάτα, [t] ἀπολλύμεθα. Ὁ δὲ [f] ἐγερθεὶς [u] ἐπετίμησε τῷ ἀνέμῳ καὶ τῷ κλύδωνι τοῦ ὕδατος· καὶ [x] ἐπαύσαντο, καὶ [c] ἐγένετο γαλήνη.

[f] ἐγείρω.
[t] ὀλλύω.
[u] τίω.
[x] παύω.

25 Εἶπε δὲ αὐτοῖς, Ποῦ [b] ἐστιν ἡ πίστις ὑμῶν; [y] Φοβηθέντες δὲ ἐθαύμασαν, λέγοντες πρὸς ἀλλήλους, Τίς ἄρα οὗτός [b] ἐστιν, ὅτι καὶ τοῖς ἀνέμοις [z] ἐπιτάσσει καὶ τῷ ὕδατι, καὶ ὑπακούουσιν αὐτῷ;

[y] φέβομαι.
[z] τάττω.

26 ¶ Καὶ [a] κατέπλευσαν εἰς τὴν χώραν τῶν Γαδαρηνῶν, ἥτις [b] ἐστὶν ἀντιπέραν τῆς Γαλιλαίας.

[a] πλέω.
[b] εἰμί.

27 [c] Ἐξελθόντι δὲ αὐτῷ ἐπὶ τὴν γῆν, [d] ὑπήντησεν αὐτῷ ἀνήρ τις ἐκ τῆς πόλεως, ὃς [e] εἶχε δαιμόνια ἐκ χρόνων ἱκανῶν· καὶ ἱμάτιον οὐκ [f] ἐνεδιδύσκετο, καὶ ἐν οἰκίᾳ οὐκ [g] ἔμενεν, ἀλλ' ἐν τοῖς μνήμασιν.

[c] ἔρχομαι.
[d] ἀντάω.
[e] ἔχω.
[f] δύω.
[g] μένω.

28 [h] Ἰδὼν δὲ τὸν Ἰησοῦν, καὶ [i] ἀνακράξας, [k] προσέπεσεν αὐτῷ, καὶ φωνῇ μεγάλῃ εἶπε, Τί ἐμοὶ καὶ σοὶ Ἰησοῦ, υἱὲ τοῦ Θεοῦ τοῦ ὑψίστου; δέομαί σου μή με βασανίσῃς.

[h] εἴδω.
[i] κράζω.
[k] πίπτω.

29 [l] Παρήγγειλε γὰρ τῷ πνεύματι τῷ ἀκαθάρτῳ [m] ἐξελθεῖν ἀπὸ τοῦ ἀνθρώπου· πολλοῖς γὰρ χρόνοις [n] συνηρπάκει αὐτόν. καὶ [o] ἐδεσμεῖτο ἁλύσεσι καὶ πέδαις, φυλασσόμενος· καὶ διαρρήσσων τὰ δεσμὰ, [p] ἠλαύνετο ὑπὸ τοῦ δαίμονος εἰς τὰς ἐρήμους.

[l] ἀγγέλλω.
[m] ἔρχομαι.
[n] ἁρπάζω.
[o] δέω.
[p] ἐλαύνω.

30 [q] Ἐπηρώτησε δὲ αὐτὸν ὁ Ἰησοῦς, λέγων, Τί σοι [r] ἐστὶν ὄνομα; Ὁ δὲ εἶπε, Λεγεών· ὅτι δαιμόνια πολλὰ [m] εἰσῆλθεν εἰς αὐτόν.

[q] ἐρωτάω.
[r] εἰμί.

31 Καὶ παρεκάλει αὐτὸν ἵνα μὴ [s] ἐπιτάξῃ αὐτοῖς εἰς τὴν ἄβυσσον [m] ἀπελθεῖν.

[s] τάττω.

32 [r] Ἦν δὲ ἐκεῖ ἀγέλη χοίρων ἱκανῶν βοσκομένων ἐν τῷ ὄρει· καὶ παρεκάλουν αὐτὸν ἵνα [u] ἐπιτρέψῃ αὐτοῖς εἰς ἐκείνους [m] εἰσελθεῖν. Καὶ [t] ἐπέτρεψεν αὐτοῖς.

[t] τρέπω.

33 [m] Ἐξελθόντα δὲ τὰ δαιμόνια ἀπὸ τοῦ ἀνθρώπου, [m] εἰσῆλθεν εἰς τοὺς χοίρους. καὶ [u] ὥρμησεν

[u] ὁρμάω.

μνησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν λίμνην, καὶ [x] ἀπεπνίγη.

34 [y] Ἰδόντες δὲ οἱ βόσκοντες τὸ [z] γεγενημένον, [a] ἔφυγον· καὶ [b] ἀπελθόντες [c] ἀπήγγειλαν εἰς τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς.

// 35 [b] Ἐξῆλθον δὲ [d] ἰδεῖν τὸ [e] γεγονός· καὶ [b] ἦλθον πρὸς τὸν Ἰησοῦν, καὶ [f] εὗρον [g] καθήμενον τὸν ἄνθρωπον ἀφ᾽ οὗ τὰ δαιμόνια [h] ἐξεληλύθει, ἱματισμένον καὶ σωφρονοῦντα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ· καὶ [h] ἐφοβήθησαν.

36 [c] Ἀπήγγειλαν δὲ αὐτοῖς καὶ οἱ [d] ἰδόντες, πῶς [i] ἐσώθη ὁ [k] δαιμονισθείς.

37 Καὶ [l] ἠρώτησαν αὐτὸν ἅπαν τὸ πλῆθος τῆς περιχώρου τῶν Γαδαρηνῶν, [b] ἀπελθεῖν ἀπ᾽ αὐτῶν, ὅτι φόβῳ μεγάλῳ [m] συνείχοντο· αὐτὸς δὲ [n] ἐμβὰς εἰς τὸ πλοῖον, [o] ὑπέστρεψεν.

38 [p] Ἐδέετο δὲ αὐτοῦ ὁ ἀνὴρ ἀφ᾽ οὗ [b] ἐξεληλύθει τὰ δαιμόνια, [q] εἶναι σὺν αὐτῷ· [r] ἀπέλυσε δὲ αὐτὸν ὁ Ἰησοῦς, λέγων,

39 Ὑπόστρεφε εἰς τὸν οἶκόν σου, καὶ [s] διηγοῦ ὅσα ἐποίησέ σοι ὁ Θεός. Καὶ [b] ἀπῆλθε, καθ᾽ ὅλην τὴν πόλιν κηρύσσων ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς.

40 ¶ [e] Ἐγένετο δὲ ἐν τῷ [o] ὑποστρέψαι τὸν Ἰησοῦν, [t] ἀπεδέξατο αὐτὸν ὁ ὄχλος· [q] ἦσαν γὰρ πάντες προσδοκῶντες αὐτόν.

41 Καὶ ἰδοὺ, [b] ἦλθεν ἀνὴρ ᾧ ὄνομα Ἰάειρος, καὶ αὐτὸς ἄρχων τῆς συναγωγῆς [u] ὑπῆρχε· καὶ [x] πεσὼν παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, παρεκάλει αὐτὸν [b] εἰσελθεῖν εἰς τὸν οἶκον αὐτοῦ.

42 Ὅτι θυγάτηρ μονογενὴς [q] ἦν αὐτῷ ὡς ἐτῶν δώδεκα, καὶ αὕτη [y] ἀπέθνησκεν. Ἐν δὲ τῷ ὑπάγειν αὐτὸν, οἱ ὄχλοι [z] συνέπνιγον αὐτόν.

// 43 Καὶ γυνὴ [a] οὖσα ἐν ῥύσει αἵματος ἀπὸ ἐτῶν δώδεκα, ἥτις εἰς ἰατροὺς [b] προσαναλώσασα ὅλον τὸν βίον, οὐκ ἴσχυσεν ὑπ᾽ οὐδενὸς [c] θεραπευθῆναι.

44 [d] Προσελθοῦσα ὄπισθεν, [e] ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ· καὶ παραχρῆμα [f] ἔστη ἡ ῥύσις τοῦ αἵματος αὐτῆς.

45 Καὶ

[x] πνίγω.
[y] εἴδω.
[z] γίνομαι.
[a] φεύγω.
[b] ἔρχομαι.
[c] ἀγγέλλω.
[d] εἴδω.
[e] γίνομαι.
[f] εὑρίσκω.
[g] ἧμαι.
[h] φέβομαι.
[i] σόος.
[k] δαίμων.
[l] ἐρωτάω.
[m] ἔχω.
[n] βαίνω.
[o] στρέφω.
[p] δέομαι.
[q] εἰμί.
[r] λύω.
[s] ἡγέομαι.
[t] δέχομαι.
[u] ἄρχω.
[x] πίπτω.
[y] θνήσκω.
[z] πνίγω.
[a] εἰμί.
[b] ἁλίσκω.
[c] θεράπων.
[d] ἔρχομαι.
[e] ἅπτω.
[f] ἵστημι.

//

45 Καὶ εἶπεν ὁ Ἰησοῦς, Τίς ὁ [c] ἁψάμενός μου; Ἀρνουμένων δὲ πάντων, εἶπεν ὁ Πέτρος καὶ οἱ μετ' αὐτοῦ, Ἐπιστάτα, οἱ ὄχλοι συνέχουσί σε καὶ ἀποθλίβουσι, καὶ λέγεις, Τίς ὁ [c] ἁψάμενός μου;

46 Ὁ δὲ Ἰησοῦς εἶπεν, Ἥψατό μού τις· ἐγὼ γὰρ [g] ἔγνων δύναμιν [d] ἐξελθοῦσαν ἀπ' ἐμοῦ.

[g] γινώσκω.

47 [h] Ἰδοῦσα δὲ ἡ γυνὴ ὅτι οὐκ [i] ἔλαθε, τρέμουσα [d] ἦλθε, καὶ [k] προσπεσοῦσα αὐτῷ, δι' ἣν αἰτίαν ἥψατο αὐτοῦ [l] ἀπήγγειλεν αὐτῷ ἐνώπιον παντὸς τοῦ λαοῦ, καὶ ὡς [m] ἰάθη παραχρῆμα.

[h] εἴδω.
[i] λανθάνω.
[k] πίπτω.
[l] ἀγγέλλω.

48 Ὁ δὲ εἶπεν αὐτῇ, [n] Θάρσει θύγατερ· ἡ πίστις σου [o] σέσωκέ σε· [p] πορεύου εἰς εἰρήνην.

[m] ἰάομαι.
[n] θάρσος.

49 Ἔτι αὐτοῦ λαλοῦντος, ἔρχεταί τις παρὰ τοῦ ἀρχισυναγώγου, λέγων αὐτῷ, Ὅτι [q] τέθνηκεν ἡ θυγάτηρ σου· μὴ σκύλλε τὸν διδάσκαλον.

[o] σόος.
[p] πείρω.
[q] θνήσκω.

50 Ὁ δὲ Ἰησοῦς ἀκούσας [r] ἀπεκρίθη αὐτῷ, λέγων, Μὴ [s] φοβοῦ· μόνον πίστευε, καὶ [o] σωθήσεται.

[r] κρίνω.
[s] φέβομαι.

51 [d] Εἰσελθὼν δὲ εἰς τὴν οἰκίαν, οὐκ [t] ἀφῆκεν [d] εἰσελθεῖν οὐδένα, εἰ μὴ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, καὶ τὸν πατέρα τῆς παιδὸς καὶ τὴν μητέρα.

[t] ἕω.

52 [u] Ἔκλαιον δὲ πάντες καὶ [x] ἐκόπτοντο αὐτήν. Ὁ δὲ εἶπε, Μὴ κλαίετε· οὐκ [q] ἀπέθανεν, ἀλλὰ καθεύδει.

[u] κλαίω.
[x] κόπτω.

53 Καὶ κατεγέλων αὐτοῦ, εἰδότες ὅτι [q] ἀπέθανεν.

54 Αὐτὸς δὲ [y] ἐκβαλὼν ἔξω πάντας, καὶ [z] κρατήσας τῆς χειρὸς αὐτῆς, [a] ἐφώνησε, λέγων, Ἡ παῖς, ἐγείρου.

[y] βάλλω.
[z] κράτος.
[a] φωνή.

55 Καὶ [b] ἐπέστρεψε τὸ πνεῦμα αὐτῆς, καὶ [c] ἀνέστη παραχρῆμα· καὶ [d] διέταξεν αὐτῇ [e] δοθῆναι φαγεῖν.

[b] στρέφω.
[c] ἵστημι.
[d] τάσσω.

55 Καὶ [c] ἐξέστησαν οἱ γονεῖς αὐτῆς· ὁ δὲ παρήγγειλεν αὐτοῖς μηδενὶ εἰπεῖν τὸ [f] γεγονός.

[e] δίδωμι.
[f] γίνομαι.

Κεφ. θʹ. Cap. IX.

[a] Συγκαλεσάμενος δὲ τοὺς δώδεκα μαθητὰς αὐτοῦ, [b] ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια, καὶ νόσους θεραπεύειν.

2 Καὶ [c] ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ [d] ἰᾶσθαι τοὺς ἀσθενοῦντας.

3 Καὶ εἶπε πρὸς αὐτούς, Μηδὲν αἴρετε εἰς τὴν ὁδόν, μήτε ῥάβδους, μήτε πήραν, μήτε ἄρτον, μήτε ἀργύριον· μήτε ἀνὰ δύο χιτῶνας ἔχειν.

4 Καὶ εἰς ἣν ἂν οἰκίαν [e] εἰσέλθητε, ἐκεῖ [f] μένετε, καὶ ἐκεῖθεν [e] ἐξέρχεσθε.

5 Καὶ ὅσοι ἂν μὴ [g] δέξωνται ὑμᾶς, ἐξερχόμενοι ἀπὸ τῆς πόλεως ἐκείνης, καὶ τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν ὑμῶν [h] ἀποτινάξατε, εἰς μαρτύριον ἐπ' αὐτούς.

6 [e] Ἐξερχόμενοι δὲ [c] διήρχοντο κατὰ τὰς κώμας εὐαγγελιζόμενοι καὶ θεραπεύοντες πανταχοῦ.

7 ¶ [i] Ἤκουσε δὲ Ἡρώδης ὁ τετράρχης τὰ γινόμενα ὑπ' αὐτοῦ πάντα· καὶ [k] διηπόρει, διὰ τὸ λέγεσθαι ὑπό τινων ὅτι Ἰωάννης [l] ἐγήγερται ἐκ νεκρῶν·

8 Ὑπό τινων δέ, ὅτι Ἠλίας [m] ἐφάνη· ἄλλων δέ, ὅτι προφήτης εἷς τῶν ἀρχαίων [n] ἀνέστη.

9 Καὶ εἶπεν ὁ Ἡρώδης, Ἰωάννην ἐγὼ [o] ἀπεκεφάλισα· τίς δέ [p] ἐστιν οὗτος περὶ οὗ ἐγὼ ἀκούω τοιαῦτα; Καὶ ἐζήτει [q] ἰδεῖν αὐτόν.

10 ¶ Καὶ [r] ὑποστρέψαντες οἱ ἀπόστολοι [s] διηγήσαντο αὐτῷ ὅσα [t] ἐποίησαν. καὶ [u] παραλαβὼν αὐτοὺς [x] ὑπεχώρησε κατ' ἰδίαν εἰς τόπον ἔρημον πόλεως καλουμένης Βηθσαϊδά.

11 Οἱ δὲ ὄχλοι [y] γνόντες [z] ἠκολούθησαν αὐτῷ· καὶ [a] δεξάμενος αὐτούς, ἐλάλει αὐτοῖς περὶ τῆς βασιλείας τοῦ Θεοῦ, καὶ τοὺς χρείαν ἔχοντας θεραπείας [b] ἰᾶτο.

12 Ἡ δὲ ἡμέρα [c] ἤρξατο κλίνειν· [d] προσελθόντες δὲ οἱ δώδεκα εἶπον αὐτῷ, [e] Ἀπόλυσον

[a] καλέω.
[b] δίδωμι.
[c] στέλλω.
[d] ἰάομαι.
[e] ἔρχομαι.
[f] μένω.
[g] δέχομαι.
[h] τινάσσω.
[i] ἀκούω.
[k] πείρω.
[l] ἐγείρω.
[m] φαίνω.
[n] ἵστημι.
[o] κεφαλή.
[o] κεφαλή.
[p] εἰμί.
[q] εἴδω.
[r] στρέφω.
[s] ἡγέομαι.
[t] ποιέω.
[u] λαμβάνω.
[x] χῶρος.
[y] γινώσκω.
[z] ἀκόλουθος.
[a] δέχομαι.
[b] ἰάομαι.
[c] ἄρχω.
[d] ἔρχομαι.
[e] λύω.

τὸν ὄχλον ἵνα [d] ἀπελθόντες εἰς τὰς κύκλῳ κώμας καὶ τοὺς ἀγροὺς, [e] καταλύσωσι, καὶ [f] εὕρωσιν ἐπισιτισμόν· ὅτι ὧδε ἐν ἐρήμῳ τόπῳ [g] ἐσμέν.

13 Εἶπε δὲ πρὸς αὐτοὺς, [h] Δότε αὐτοῖς ὑμεῖς φαγεῖν. Οἱ δὲ εἶπον, Οὐκ [g] εἰσὶν ἡμῖν πλεῖον ἢ πέντε ἄρτοι καὶ δύο ἰχθύες· εἰ μήτι [i] πορευθέντες ἡμεῖς ἀγοράσωμεν εἰς πάντα τὸν λαὸν τοῦτον βρώματα.

14 [k] Ἦσαν γὰρ ὡσεὶ ἄνδρες πεντακισχίλιοι· εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ, [l] Κατακλίνατε αὐτοὺς κλισίας ἀνὰ πεντήκοντα.

15 Καὶ [m] ἐποίησαν οὕτω, καὶ [l] ἀνέκλιναν ἅπαντας.

16 [n] Λαβὼν δὲ τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, [o] ἀναβλέψας εἰς τὸν οὐρανὸν, [p] εὐλόγησεν αὐτοὺς· καὶ [q] κατέκλασε, καὶ [h] ἐδίδου τοῖς μαθηταῖς, [r] παραθεῖναι τῷ ὄχλῳ.

17 Καὶ [s] ἔφαγον, καὶ [t] ἐχορτάσθησαν πάντες· καὶ [u] ἤρθη τὸ περισσεῦσαν αὐτοῖς κλασμάτων, κόφινοι δώδεκα.

18 ¶ Καὶ [x] ἐγένετο ἐν τῷ [k] εἶναι αὐτὸν προσευχόμενον καταμόνας, [y] συνῆσαν αὐτῷ οἱ μαθηταί· καὶ [z] ἐπηρώτησεν αὐτοὺς, λέγων, Τίνα με λέγουσιν οἱ ὄχλοι [a] εἶναι;

19 Οἱ δὲ [b] ἀποκριθέντες εἶπον, Ἰωάννην τὸν Βαπτιστήν· ἄλλοι δὲ, Ἠλίαν· ἄλλοι δὲ, ὅτι προφήτης τις τῶν ἀρχαίων [c] ἀνέστη.

20 Εἶπε δὲ αὐτοῖς, Ὑμεῖς δὲ τίνα με λέγετε; [b] Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπε, Τὸν Χριστὸν τοῦ Θεοῦ.

21 Ὁ δὲ [d] ἐπιτιμήσας αὐτοῖς, [e] παρέγγειλε μηδενὶ εἰπεῖν τοῦτο.

22 Εἰπὼν, Ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ [f] παθεῖν, καὶ [g] ἀποδοκιμασθῆναι ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων, καὶ [h] ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ [i] ἐγερθῆναι.

23 [k] Ἔλεγε δὲ πρὸς πάντας, Εἴ τις θέλει ὀπίσω μου [l] ἐλθεῖν, [m] ἀπαρνησάσθω ἑαυτὸν, καὶ

[f] εὑρίσκω.
[g] εἰμί.
[h] δίδωμι.
[i] πείρω.
[k] εἰμί.
[l] κλίνω.
[m] ποιέω.
[n] λαμβάνω.
[o] βλέπω.
[p] λέγω.
[q] κλάω.
[r] τίθημι.
[s] φάγω.
[t] χόρτος.
[u] αἴρω.
[x] γίνομαι.
[y] εἰμί.
[z] ἐρωτάω.
[a] εἰμί.
[b] κρίνω.
[c] ἵστημι.
[d] τίω.
[e] ἀγγέλλω.
[f] πάσχω.
[g] δοκιμή.
[h] κτείνω.
[i] ἐγείρω.
[k] λέγω.
[l] ἔρχομαι.
[m] ἀρνέομαι.

[n] ἀράτω τὸν σταυρὸν αὐτοῦ καθ' ἡμέραν, καὶ [o] ἀκολουθείτω μοι.

24 Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ [p] σῶσαι, [q] ἀπολέσει αὐτήν· ὃς δ' ἂν [q] ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, οὗτος σώσει αὐτήν.

25 Τί γὰρ [r] ὠφελεῖται ἄνθρωπος κερδήσας τὸν κόσμον ὅλον, ἑαυτὸν δὲ [q] ἀπολέσας, ἢ ζημιωθείς;

26 Ὃς γὰρ ἂν [s] ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους, τοῦτον ὁ υἱὸς τοῦ ἀνθρώπου [s] ἐπαισχυνθήσεται, ὅταν [l] ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ καὶ τοῦ πατρὸς, καὶ τῶν ἁγίων ἀγγέλων.

27 Λέγω δὲ ὑμῖν ἀληθῶς, εἰσί τινες τῶν ὧδε [c] ἑστηκότων οἳ οὐ μὴ γεύσονται θανάτου ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ.

28 [t] Ἐγένετο δὲ μετὰ τοὺς λόγους τούτους ὡσεὶ ἡμέραι ὀκτὼ, καὶ [u] παραλαβὼν τὸν Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον, [x] ἀνέβη εἰς τὸ ὄρος [y] προσεύξασθαι.

29 Καὶ [t] ἐγένετο ἐν τῷ προσεύχεσθαι αὐτὸν, τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον, καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων.

30 Καὶ ἰδοὺ, ἄνδρες δύο [z] συνελάλουν αὐτῷ, οἵτινες [a] ἦσαν Μωσῆς καὶ Ἠλίας.

31 Οἳ [b] ὀφθέντες ἐν δόξῃ, ἔλεγον τὴν ἔξοδον αὐτοῦ, [a] ἣν [c] ἔμελλε [d] πληροῦν ἐν Ἱερουσαλήμ.

32 Ὁ δὲ Πέτρος καὶ οἱ σὺν αὐτῷ, [a] ἦσαν [e] βεβαρημένοι ὕπνῳ· [f] διαγρηγορήσαντες δὲ εἶδον τὴν δόξαν αὐτοῦ, καὶ τοὺς δύο ἄνδρας τοὺς [g] συνεστῶτας αὐτῷ.

33 Καὶ [h] ἐγένετο ἐν τῷ [i] διαχωρίζεσθαι αὐτοὺς ἀπ' αὐτοῦ, εἶπεν ὁ Πέτρος πρὸς τὸν Ἰησοῦν, Ἐπιστάτα, καλόν [a] ἐστιν ἡμᾶς ὧδε [a] εἶναι· καὶ ποιήσωμεν σκηνὰς τρεῖς, μίαν σοὶ, καὶ Μωσεῖ μίαν, καὶ μίαν Ἠλίᾳ· μὴ * εἰδὼς ὃ λέγει.

34 Ταῦτα δὲ αὐτοῦ λέγοντος, [h] ἐγένετο νεφέλη, καὶ [k] ἐπεσκίασεν αὐτούς· [l] ἐφοβήθησαν δὲ ἐν τῷ ἐκείνους [m] εἰσελθεῖν εἰς τὴν νεφέλην.

35 Καὶ

[n] αἴρω.
[o] ἀκόλουθος.
[p] σῷος.
[q] ὄλλυμι.
[r] ὠφελέω.
[s] αἶσχος.
[t] γίνομαι.
[u] λαμβάνω.
[x] βαίνω.
[y] εὐχή.
[z] λαλέω.
[a] εἰμί.
[b] ὄπτομαι.
[c] μέλλω.
[d] πλέος.
[e] βαρύς.
[f] ἐγρήγορθ.
[g] ἵστημι.
[h] γίνομαι.
[i] χῶρος.
* εἴδω.
[k] σκιά.
[l] φέβομαι.
[m] ἔρχομαι.

35 Καὶ φωνὴ [h] ἐγένετο ἐκ τῆς νεφέλης, λέγουσα, Οὗτός [a] ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, αὐτοῦ ἀκούετε.

36 Καὶ ἐν τῷ [h] γενέσθαι τὴν φωνὴν, [n] εὑρέθη ὁ Ἰησοῦς μόνος· καὶ αὐτοὶ [o] ἐσίγησαν, καὶ οὐδενὶ [p] ἀπήγγειλαν ἐν ἐκείναις ταῖς ἡμέραις οὐδὲν ὧν [q] ἑωράκασιν.

37 ¶ [h] Ἐγένετο δὲ ἐν τῇ [r] ἑξῆς ἡμέρᾳ, [m] κατελθόντων αὐτῶν ἀπὸ τοῦ ὄρους [s] συνήντησεν αὐτῷ ὄχλος πολύς.

38 Καὶ ἰδοὺ, ἀνὴρ ἀπὸ τοῦ ὄχλου [t] ἀνεβόησε, λέγων, Διδάσκαλε, δέομαί σου, [u] ἐπίβλεψον ἐπὶ τὸν υἱόν μου, ὅτι μονογενής [a] ἐστί μοι.

39 Καὶ ἰδοὺ, πνεῦμα λαμβάνει αὐτὸν, καὶ ἐξαίφνης κράζει, καὶ σπαράσσει αὐτὸν μετὰ ἀφροῦ, καὶ μόγις ἀποχωρεῖ ἀπ᾽ αὐτοῦ, [x] συντρῖβον αὐτόν.

40 Καὶ [y] ἐδεήθην τῶν μαθητῶν σου ἵνα ἐκβάλλωσιν αὐτὸ, καὶ οὐκ [z] ἠδυνήθησαν.

41 [a] Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν, Ὦ γενεὰ ἄπιστος καὶ [b] διεστραμμένη, ἕως πότε [c] ἔσομαι πρὸς ὑμᾶς, καὶ [d] ἀνέξομαι ὑμῶν; [e] Προσάγαγε ὧδε τὸν υἱόν σου.

42 Ἔτι δὲ προσερχομένου αὐτοῦ [f] ἔρρηξεν αὐτὸν τὸ δαιμόνιον, καὶ [g] συνεσπάραξεν· [h] ἐπετίμησε δὲ ὁ Ἰησοῦς τῷ πνεύματι τῷ ἀκαθάρτῳ, καὶ [i] ἰάσατο τὸν παῖδα· καὶ [k] ἀπέδωκεν αὐτὸν τῷ πατρὶ αὐτοῦ.

43 [l] Ἐξεπλήσσοντο δὲ πάντες ἐπὶ τῇ [m] μεγαλειότητι τοῦ Θεοῦ· πάντων δὲ θαυμαζόντων ἐπὶ πᾶσιν οἷς [n] ἐποίησεν ὁ Ἰησοῦς, εἶπε πρὸς τοὺς μαθητὰς αὐτοῦ,

44 [o] Θέσθε ὑμεῖς εἰς τὰ [p] ὦτα ὑμῶν τοὺς λόγους τούτους· ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου μέλλει [q] παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων.

45 Οἱ δὲ [r] ἠγνόουν τὸ ῥῆμα τοῦτο, καὶ [c] ἦν [s] παρακεκαλυμμένον ἀπ᾽ αὐτῶν, ἵνα μὴ [t] αἴσθωνται αὐτό· καὶ [u] ἐφοβοῦντο [x] ἐρωτῆσαι αὐτὸν περὶ τοῦ ῥήματος τούτου.

[n] εὑρίσκω.
[o] σιγάω.
[p] ἀγγέλλω.
[q] ὁράω.
[r] ἑξῆς.
[s] ἄντα.
[t] βοή. //
[u] βλέπω.
//
[x] τρίβω.
[y] δέομαι.
[z] δύναμαι.
[a] κρίνω.
[b] στρέφω.
[c] εἰμί.
[d] ἔχω.
[e] ἄγω.
[f] ῥήσσω. //
[g] σπαράσσω.
[h] τίω.
[i] ἰάομαι.
[k] δίδωμι.
[l] πλήσσω.
[m] μέγας.
[n] ποιέω.
[o] τίθημι.
[p] οὖς.
[q] δίδωμι.
[r] γινώσκω.
[s] καλύπτω. //
[t] αἰσθάνομαι.
[u] φέβομαι.
[x] ἐρωτάω.

46 ¶ [y] Εἰσῆλθε δὲ διαλογισμὸς ἐν αὐτοῖς, τὸ, τίς ἂν [c] εἴη [z] μείζων αὐτῶν.

47 Ὁ δὲ Ἰησοῦς [a] ἰδὼν τὸν διαλογισμὸν τῆς καρδίας αὐτῶν, [b] ἐπιλαβόμενος παιδίου, [c] ἔστησεν αὐτὸ παρ' ἑαυτῷ.

48 Καὶ εἶπεν αὐτοῖς, Ὃς ἐὰν [d] δέξηται τοῦτο τὸ παιδίον ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ [d] δέχεται· καὶ ὃς ἐὰν ἐμὲ [d] δέξηται, [d] δέχεται τὸν [e] ἀποστείλαντά με· ὁ γὰρ μικρότερος ἐν πᾶσιν ὑμῖν ὑπάρχων, οὗτος [f] ἔσται μέγας.

49 [g] Ἀποκριθεὶς δὲ ὁ Ἰωάννης εἶπεν, Ἐπιστάτα, εἴδομέν τινα ἐπὶ τῷ ὀνόματί σου ἐκβάλλοντα τὰ δαιμόνια· καὶ [h] ἐκωλύσαμεν αὐτὸν, ὅτι οὐκ ἀκολουθεῖ μεθ' ἡμῶν.

50 Καὶ εἶπε πρὸς αὐτὸν ὁ Ἰησοῦς, Μὴ [h] κωλύετε· ὃς γὰρ οὐκ [f] ἔστι καθ' ἡμῶν, ὑπὲρ ἡμῶν [f] ἐστιν.

51 ¶ [i] Ἐγένετο δὲ ἐν τῷ [k] συμπληροῦσθαι τὰς ἡμέρας τῆς ἀναλήψεως αὐτοῦ, καὶ αὐτὸς τὸ πρόσωπον αὐτοῦ [l] ἐστήριξε τοῦ [m] πορεύεσθαι εἰς Ἰερουσαλήμ.

52 Καὶ [n] ἀπέστειλεν ἀγγέλους πρὸ προσώπου αὐτοῦ· καὶ [o] πορευθέντες [p] εἰσῆλθον εἰς κώμην Σαμαρειτῶν, ὥστε [q] ἑτοιμάσαι αὐτῷ.

53 Καὶ οὐκ [r] ἐδέξαντο αὐτὸν, ὅτι τὸ πρόσωπον αὐτοῦ [f] ἦν [o] πορευόμενον εἰς Ἱερουσαλήμ.

54 [s] Ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωάννης, εἶπον, Κύριε, θέλεις εἴπωμεν πῦρ [t] καταβῆναι ἀπὸ τοῦ οὐρανοῦ, καὶ [u] ἀναλῶσαι αὐτοὺς, ὡς καὶ Ἠλίας [x] ἐποίησε;

55 [y] Στραφεὶς δὲ [z] ἐπετίμησεν αὐτοῖς, καὶ εἶπεν, Οὐκ [a] οἴδατε οἵου πνεύματός [b] ἐστε ὑμεῖς,

56 Ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου οὐκ [c] ἦλθε ψυχὰς ἀνθρώπων [d] ἀπολέσαι, ἀλλὰ [e] σῶσαι. Καὶ [f] ἐπορεύθησαν εἰς ἑτέραν κώμην.

57 ¶ [g] Ἐγένετο δὲ [f] πορευομένων αὐτῶν, ἐν τῇ ὁδῷ εἶπέ τις πρὸς αὐτὸν, [h] Ἀκολουθήσω σοι ὅπου ἂν ἀπέρχῃ, Κύριε.

58 Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, Αἱ [i] ἀλώπε-

κες

[y] ἔρχομαι.
[z] μέγας.
[a] εἴδω.
[b] λαμβάνω.
[c] ἵστημι.
[d] δέχομαι.
[e] στέλλω.
[f] εἰμί.
[g] κρίνω.
[h] κωλύω.
[i] γίνομαι.
[k] πλέος.
[l] στηρίζω.
[m] πείρω.
[n] στέλλω.
[o] πείρω.
[p] ἔρχομαι.
[q] ἕτοιμος.
[r] δέχομαι.
[s] εἴδω.
[t] βαίνω.
[u] ἁλίσκω.
[x] ποιέω.
[y] στρέφω.
[z] τίω.
[a] εἴδω.
[b] εἰμί.
[c] ἔρχομαι.
[d] ὀλλύω.
[e] ζόος.
[f] πείρω.
[g] γίνομαι.
[h] ἀκόλουθος.
[i] ἀλώπηξ.

κες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ.

59 Εἶπε δὲ πρὸς ἕτερον, [k] Ἀκολούθει μοι. Ὁ δὲ εἶπε, Κύριε, [l] ἐπίτρεψόν μοι [c] ἀπελθόντι πρῶτον [m] θάψαι τὸν πατέρα μου.

60 Εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς, [n] Ἄφες τοὺς νεκροὺς [m] θάψαι τοὺς ἑαυτῶν νεκρούς· σὺ δὲ [c] ἀπελθὼν διάγγελλε τὴν βασιλείαν τοῦ Θεοῦ.

61 Εἶπε δὲ καὶ ἕτερος, Ἀκολουθήσω σοι Κύριε· πρῶτον δὲ [o] ἐπίτρεψόν μοι [p] ἀποτάξασθαι τοῖς εἰς τὸν οἶκόν μου.

62 Εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἰησοῦς, Οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ βλέπων εἰς τὰ ὀπίσω, εὔθετός [b] ἐστιν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

[k] ἀκόλουθος.
[l] τρέπω.
[m] θάπτω.
[n] ἐάω.
[o] τρέπω.
[p] τάσσω.

Κεφ. ι. Cap. X.

Μετὰ δὲ ταῦτα [a] ἀνέδειξεν ὁ Κύριος καὶ ἑτέρους ἑβδομήκοντα, καὶ [b] ἀπέστειλεν αὐτοὺς ἀνὰ δύο πρὸ προσώπου αὐτοῦ, εἰς πᾶσαν πόλιν καὶ τόπον οὗ ἔμελλεν αὐτὸς ἔρχεσθαι.

2 Ἔλεγεν οὖν πρὸς αὐτούς, Ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι· [c] δεήθητε οὖν τοῦ Κυρίου τοῦ θερισμοῦ ὅπως ἐκβάλλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ.

3 Ὑπάγετε· ἰδού, ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς ἄρνας ἐν μέσῳ λύκων.

4 Μὴ βαστάζετε βαλάντιον, μὴ πήραν, μηδὲ ὑποδήματα· καὶ μηδένα κατὰ τὴν ὁδὸν [d] ἀσπάσησθε.

5 Εἰς ἣν δ' ἂν οἰκίαν εἰσέρχησθε, πρῶτον λέγετε, Εἰρήνη τῷ οἴκῳ τούτῳ.

6 Καὶ ἐὰν μὲν [e] ᾖ ἐκεῖ υἱὸς εἰρήνης, [f] ἐπαναπαύσεται ἐπ' αὐτὸν ἡ εἰρήνη ὑμῶν· εἰ δὲ μή γε, ἐφ' ὑμᾶς ἀνακάμψει.

7 Ἐν αὐτῇ δὲ τῇ οἰκίᾳ μένετε, ἐσθίοντες καὶ πίνοντες τὰ παρ' αὐτῶν· ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ [g] ἐστι. Μὴ μεταβαίνετε ἐξ οἰκίας εἰς οἰκίαν.

[a] δείκνυμι.
[b] στέλλω.
[c] δέομαι.
[d] ἀσπάζομαι.
[e] εἰμί.
[f] παύω.
[g] εἰμί.

[h] τίθημι.

8 Καὶ εἰς ἣν δ᾽ ἂν πόλιν εἰσέρχησθε, καὶ δέχωνται ὑμᾶς, ἐσθίετε τὰ [h] παρατιθέμενα ὑμῖν.

[i] ἐγγίζω.

9 Καὶ θεραπεύετε τοὺς ἐν αὐτῇ ἀσθενεῖς, καὶ λέγετε αὐτοῖς, [i] Ἤγγικεν ἐφ᾽ ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ.

[k] ἔρχομαι.

10 Εἰς ἣν δ᾽ ἂν πόλιν εἰσέρχησθε, καὶ μὴ δέχωνται ὑμᾶς, [k] ἐξελθόντες εἰς τὰς πλατείας αὐτῆς, εἴπατε,

[l] κόλλη.
[m] μάσσω.

11 Καὶ τὸν κονιορτὸν τὸν [l] κολληθέντα ἡμῖν ἐκ τῆς πόλεως ὑμῶν, [m] ἀπομασσόμεθα ὑμῖν· πλὴν τοῦτο γινώσκετε, ὅτι [i] ἤγγικεν ἐφ᾽ ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ.

12 Λέγω δὲ ὑμῖν ὅτι Σοδόμοις ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνεκτότερον [c] ἔσται ἢ τῇ πόλει ἐκείνῃ.

[n] γίνομαι.
[o] ἧμαι.
[p] νόος.

13 Οὐαί σοι Χοραζὶν, οὐαί σοι Βεθσαϊδά· ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι [n] ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ [o] καθήμεναι [p] μετενόησαν.

14 Πλὴν Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον [c] ἔσται ἐν τῇ κρίσει ἢ ὑμῖν.

[q] ὕψος.
[r] βαίνω.

15 Καὶ σὺ Καπερναοὺμ ἡ ἕως τοῦ οὐρανοῦ [q] ὑψωθεῖσα, ἕως ᾅδου [r] καταβιβασθήσῃ.

16 Ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει· καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν [b] ἀποστείλαντά με.

[s] στρέφω.

17 ¶ [s] Ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντα μετὰ χαρᾶς, λέγοντες, Κύριε, καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου.

[t] θεωρός.
[u] πίπτω.

18 Εἶπε δὲ αὐτοῖς, [t] Ἐθεώρουν τὸν Σατανᾶν, ὡς ἀστραπὴν, ἐκ τοῦ οὐρανοῦ [u] πεσόντα.

19 Ἰδοὺ, δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει.

20 Πλὴν ἐν τούτῳ μὴ χαίρετε ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται· Χαίρετε δὲ

μᾶλλον ὅτι τὰ ὀνόματα ὑμῶν [x] ἐγράφη ἐν τοῖς οὐρανοῖς.

21 ¶ Ἐν αὐτῇ τῇ ὥρᾳ [y] ἠγαλλιάσατο τῷ πνεύματι ὁ Ἰησοῦς, καὶ εἶπεν, [z] Ἐξομολογοῦμαί σοι πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι [a] ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ [b] ἀπεκάλυψας αὐτὰ νηπίοις· ναὶ ὁ πατὴρ, ὅτι οὕτως [c] ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

22 Πάντα [d] παρεδόθη μοι ὑπὸ τοῦ πατρός μου· καὶ οὐδεὶς γινώσκει τίς [e] ἐστιν ὁ υἱὸς, εἰ μὴ ὁ πατήρ· καὶ τίς [e] ἐστιν ὁ πατὴρ, εἰ μὴ ὁ υἱὸς, καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι.

23 Καὶ [f] στραφεὶς πρὸς τοὺς μαθητὰς, κατ' ἰδίαν εἶπε, Μακάριοι οἱ ὀφθαλμοὶ οἱ βλέποντες ἃ βλέπετε.

24 Λέγω γὰρ ὑμῖν ὅτι πολλοὶ προφῆται καὶ βασιλεῖς [g] ἐθέλησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ εἶδον· καὶ [h] ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ [h] ἤκουσαν.

25 ¶ Καὶ ἰδοὺ, νομικός τις [i] ἀνέστη, ἐκπειράζων αὐτὸν, καὶ λέγων, Διδάσκαλε, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω;

26 Ὁ δὲ εἶπε πρὸς αὐτὸν, Ἐν τῷ νόμῳ τί [k] γέγραπται; πῶς ἀναγινώσκεις;

27 Ὁ δὲ [l] ἀποκριθεὶς εἶπεν, Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου· καὶ τὸν πλησίον σου ὡς σεαυτόν.

28 Εἶπε δὲ αὐτῷ, Ὀρθῶς [l] ἀπεκρίθης· τοῦτο ποίει, καὶ [m] ζήσῃ.

29 Ὁ δὲ, θέλων δικαιοῦν ἑαυτὸν, εἶπε πρὸς τὸν Ἰησοῦν, Καὶ τίς [e] ἐστί μου πλησίον;

30 [n] Ὑπολαβὼν δὲ ὁ Ἰησοῦς εἶπεν, Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ, καὶ λῃσταῖς [o] περιέπεσεν, οἳ καὶ [p] ἐκδύσαντες αὐτὸν, καὶ πληγὰς [q] ἐπιθέντες, [r] ἀπῆλθον, [s] ἀφέντες [t] ἡμιθανῆ τυγχάνοντα.

31 Κατὰ [u] συγκυρίαν δὲ ἱερεύς τις κατέ-

βαινεν

[x] γράφω.
[y] ἀγάλλω.
[z] λέγω.
[a] κρύπτω.
[b] καλύπτω.
[c] γίνομαι.
[d] δίδωμι.
[e] εἰμί.
[f] στρέφω.
[g] θέλω.
[h] ἀκούω.
[i] ἵστημι.
[k] γράφω.
[l] κρίνω.
//
[m] ζάω.
[n] λαμβάνω.
[o] πίπτω.
[p] δύω. //
[q] τίθημι.
[r] ἔρχομαι.
[s] ἕω.
[t] θνήσκω.
[u] κύρω. //

[x] ἔρχομαι. βαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ· καὶ ἰδὼν αὐτὸν, [x] ἀντιπαρῆλθεν.

32 Ὁμοίως δὲ καὶ Λευΐτης, γενόμενος κατὰ
[y] εἴδω. τὸν τόπον, [x] ἐλθὼν καὶ [y] ἰδὼν αὐτὸν, ἀντιπαρῆλθε.

33 Σαμαρείτης δέ τις ὁδεύων, [x] ἦλθε κατ'
[z] σπλάγχνον αὐτὸν, καὶ [y] ἰδὼν αὐτὸν, [z] ἐσπλαγχνίσθη·

[a] δέω. 34 Καὶ [x] προσελθὼν [a] κατέδησε τὰ τραύ-
[b] βαίνω. ματα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον· [b] ἐπιβι-
[c] ἄγω. βάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, [c] ἤγαγεν
[d] μέλει. αὐτὸν εἰς πανδοχεῖον, καὶ [d] ἐπεμελήθη αὐτοῦ.

[e] ἔρχομαι. 35 Καὶ ἐπὶ τὴν αὔριον [e] ἐξελθὼν, ἐκβαλὼν
[f] δίδωμι. δύο δηνάρια [f] ἔδωκε τῷ πανδοχεῖ, καὶ εἶπεν
[g] δαπανάω. αὐτῷ, [d] Ἐπιμελήθητι αὐτοῦ· καὶ ὅ,τι ἂν [g] προσ-
δαπανήσῃς, ἐγὼ ἐν τῷ [e] ἐπανέρχεσθαί με, [f] ἀποδώσω σοι.

36 Τίς οὖν τούτων τῶν τριῶν δοκεῖ σοι πλη-
[h] γίνομαι. σίον [h] γεγονέναι τοῦ [i] ἐμπεσόντος εἰς τοὺς λῃστάς;

[i] πίπτω. 37 Ὁ δὲ εἶπεν, Ὁ ποιήσας τὸ ἔλεος μετ'
[k] πείρω. αὐτοῦ. Εἶπεν οὖν αὐτῷ ὁ Ἰησοῦς, [k] Πορεύου, καὶ
σὺ ποίει ὁμοίως.

38 ¶ [h] Ἐγένετο δὲ ἐν τῷ [k] πορεύεσθαι
αὐτοὺς, καὶ αὐτὸς εἰσῆλθεν εἰς κώμην τινά·
[l] δέχομαι. γυνὴ δέ τις ὀνόματι Μάρθα [l] ὑπεδέξατο αὐ-
τὸν εἰς τὸν οἶκον αὐτῆς.

[m] εἰμί. 39 Καὶ τῇδε [m] ἦν ἀδελφὴ καλουμένη
[n] ἵζω. Μαρία, ἣ καὶ [n] παρακαθίσασα παρὰ τοὺς πό-
δας τοῦ Ἰησοῦ, ἤκουε τὸν λόγον αὐτοῦ.

[o] σπάω. 40 Ἡ δὲ Μάρθα [o] περιεσπᾶτο περὶ πολ-
[p] ἵστημι. λὴν διακονίαν· [p] ἐπιστᾶσα δὲ εἶπε, Κύριε, οὐ
[q] λείπω. μέλει σοι ὅτι ἡ ἀδελφή μου μόνην με [q] κατέ-
[r] λαμβάνω. λιπε διακονεῖν; εἰπὲ οὖν αὐτῇ ἵνα μοι [r] συναν-
τιλάβηται.

[s] κρίνω. 41 [s] Ἀποκριθεὶς δὲ εἶπεν αὐτῇ ὁ Ἰησοῦς,
[t] μέριμνα. Μάρθα, Μάρθα, μεριμνᾷς, καὶ [u] τυρβάζῃ
[u] σύρβη. περὶ πολλά.

[x] εἷς. 42 [x] Ἑνὸς δέ [m] ἐστι χρεία. Μαρία δὲ τὴν
[y] λέγω. ἀγαθὴν μερίδα [y] ἐξελέξατο, ἥτις οὐκ [z] ἀφαι-
[z] αἱρέω. ρεθήσεται ἀπ' αὐτῆς.

Κεφ.

Κεφ. ια΄. Cap. XI.

ΚΑὶ [a] ἐγένετο ἐν τῷ [b] εἶναι αὐτὸν ἐν τόπῳ τινὶ προσευχόμενον, ὡς [c] ἐπαύσατο, εἶπέ τις τῶν μαθητῶν αὐτοῦ πρὸς αὐτόν, Κύριε, [d] δίδαξον ἡμᾶς [e] προσεύχεσθαι, καθὼς καὶ Ἰωάννης [d] ἐδίδαξε, τοὺς μαθητὰς αὐτοῦ.

2 Εἶπε δὲ αὐτοῖς, Ὅταν [e] προσεύχησθε, λέγετε, ΠΑΤΕΡ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, [f] ἁγιασθήτω τὸ ὄνομά σου· [g] ἐλθέτω ἡ βασιλεία σου· [a] γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς.

3 Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον [h] δίδου ἡμῖν τὸ καθ' ἡμέραν.

4 Καὶ [i] ἄφες ἡμῖν τὰς ἁμαρτίας ἡμῶν· καὶ γὰρ αὐτοὶ [i] ἀφίεμεν παντὶ ὀφείλοντι ἡμῖν, καὶ μὴ [k] εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ [l] ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

5 Καὶ εἶπε πρὸς αὐτούς, Τίς ἐξ ὑμῶν [m] ἕξει φίλον, καὶ [n] πορεύσεται πρὸς αὐτὸν μεσονυκτίου, καὶ ἐρεῖ αὐτῷ, Φίλε, χρῆσόν μοι τρεῖς ἄρτους.

6 Ἐπειδὴ φίλος μου [a] παρεγένετο ἐξ ὁδοῦ πρός με, καὶ οὐκ ἔχω ὃ [o] παραθήσω αὐτῷ.

7 Κἀκεῖνος ἔσωθεν [p] ἀποκριθεὶς εἴπῃ, Μή μοι κόπους πάρεχε· ἤδη ἡ θύρα [q] κέκλεισται, καὶ τὰ παιδία μου μετ' ἐμοῦ εἰς τὴν κοίτην [b] εἰσίν· οὐ δύναμαι [r] ἀναστὰς [h] δοῦναί σοι.

8 Λέγω ὑμῖν, εἰ καὶ οὐ [h] δώσει αὐτῷ [r] ἀναστάς, διὰ τὸ [b] εἶναι αὐτοῦ φίλον· διά γε τὴν ἀναίδειαν αὐτοῦ [s] ἐγερθεὶς [h] δώσει αὐτῷ ὅσων χρῄζει.

9 Κἀγὼ ὑμῖν λέγω, Αἰτεῖτε, καὶ [t] δοθήσεται ὑμῖν· ζητεῖτε καὶ [u] εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν.

10 Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι [x] ἀνοιγήσεται.

11 Τίνα δὲ ὑμῶν τὸν πατέρα αἰτήσει ὁ υἱὸς ἄρτον, μὴ λίθον [h] ἐπιδώσει αὐτῷ; ἢ καὶ ἰχθῦν, μὴ ἀντὶ ἰχθύος ὄφιν [h] ἐπιδώσει αὐτῷ;

12 Ἢ καὶ ἐὰν αἰτήσῃ ᾠόν, μὴ [h] ἐπιδώσει αὐτῷ σκορπίον;

13 Εἰ

[a] γίνομαι.
[b] εἰμί.
[c] παύω.
[d] διδάσκω.
[e] εὐχή.
[f] ἅγιος.
[g] ἔρχομαι.
[h] δίδωμι.
[i] ἕω.
[k] φέρω.
[l] ῥύω.
[m] ἔχω.
[n] πορεύω.
[o] τίθημι.
[p] κρίνω.
[q] κλείω.
[r] ἵστημι.
[s] ἐγείρω.
[t] δίδωμι.
[u] εὑρίσκω.
[x] οἴγω.

[y] εἴδω. 13 Εἰ οὖν ὑμεῖς πονηροὶ ὑπάρχοντες, [y] οἴδατε
ἀγαθὰ δόματα [t] διδόναι τοῖς τέκνοις ὑμῶν,
πόσῳ μᾶλλον ὁ πατὴρ ὁ ἐξ οὐρανοῦ [t] δώσει
πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτόν;

14 ¶ Καὶ [b] ἦν ἐκβάλλων δαιμόνιον, καὶ
αὐτὸ [b] ἦν κωφόν· [a] ἐγένετο δὲ τοῦ δαιμονίου
[z] λαλέω. [g] ἐξελθόντος, [z] ἐλάλησεν ὁ κωφός· καὶ ἐθαύμασαν[c]
οἱ ὄχλοι.

15 Τινὲς δὲ ἐξ αὐτῶν εἶπον, Ἐν Βεελζεβοὺλ
ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια.

16 Ἕτεροι δὲ πειράζοντες, σημεῖον παρ᾽
[*] ζητέω. αὐτοῦ * ἐζήτουν ἐξ οὐρανοῦ.

[a] εἴδω. 17 Αὐτὸς δὲ [a] εἰδὼς αὐτῶν τὰ διανοήματα,
εἶπεν αὐτοῖς, Πᾶσα βασιλεία ἐφ᾽ ἑαυτὴν
[b] μερίζω. [b] διαμερισθεῖσα, [c] ἐρημοῦται· καὶ οἶκος ἐπὶ
[c] ἔρημος. οἶκον, πίπτει.

18 Εἰ δὲ καὶ ὁ σατανᾶς ἐφ᾽ ἑαυτὸν [b] διεμερίσθη,
[d] ἵστημι. πῶς [d] σταθήσεται ἡ βασιλεία αὐτοῦ; ὅτι
λέγετε, ἐν Βεελζεβοὺλ ἐκβάλλειν με τὰ δαιμόνια.

19 Εἰ δὲ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ
δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; διὰ
[e] εἰμί. τοῦτο κριταὶ ὑμῶν αὐτοὶ [e] ἔσονται.

20 Εἰ δὲ ἐν δακτύλῳ Θεοῦ ἐκβάλλω τὰ
[f] φθάνω. δαιμόνια, ἄρα [f] ἔφθασεν ἐφ᾽ ὑμᾶς ἡ βασιλεία
τοῦ Θεοῦ.

[g] ὅπλον. 21 Ὅταν ὁ ἰσχυρὸς [g] καθωπλισμένος φυλάσσῃ
τὴν ἑαυτοῦ αὐλήν, ἐν εἰρήνῃ [e] ἐστὶ τὰ ὑπάρχοντα
αὐτοῦ.

[h] ἔρχομαι. 22 Ἐπὰν δὲ ὁ ἰσχυρότερος αὐτοῦ [h] ἐπελθὼν
νικήσῃ αὐτόν, τὴν πανοπλίαν αὐτοῦ αἴρει ἐφ᾽ ᾗ
[i] πείθω. [i] ἐπεποίθει, καὶ τὰ σκῦλα αὐτοῦ [k] διαδίδωσιν.

[k] δίδωμι. 23 Ὁ μὴ [e] ὢν μετ᾽ ἐμοῦ, κατ᾽ ἐμοῦ [e] ἐστί· καὶ
ὁ μὴ συνάγων μετ᾽ ἐμοῦ, σκορπίζει.

24 Ὅταν τὸ ἀκάθαρτον πνεῦμα [h] ἐξέλθῃ
ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι᾽ ἀνύδρων τόπων,
[l] στρέφω. ζητοῦν ἀνάπαυσιν· καὶ μὴ εὑρίσκον, λέγει, [l] Ὑποστρέψω
εἰς τὸν οἶκόν μου ὅθεν [h] ἐξῆλθον.

25 Καὶ [h] ἐλθὸν εὑρίσκει [m] σεσαρωμένον καὶ [n] κεκοσμημένον·

[m] σαίρω.
[n] κόσμος.

26 Τότε [o] πορεύεται καὶ παραλαμβάνει ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ, καὶ [h] εἰσελθόντα κατοικεῖ ἐκεῖ· καὶ [p] γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων.

[o] πορεύω.
[p] γίνομαι.

27 ¶ [p] Ἐγένετο δὲ ἐν τῷ λέγειν αὐτὸν ταῦτα, [q] ἐπάρασά τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου, εἶπεν αὐτῷ, Μακαρία ἡ κοιλία ἡ [r] βαστάσασά σε, καὶ μαστοὶ οὓς [s] ἐθήλασας.

[q] αἴρω.
[r] βαστάζω.
[s] θηλάζω.

28 Αὐτὸς δὲ εἶπε, Μενοῦνγε μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ, καὶ φυλάσσοντες αὐτόν.

29 ¶ Τῶν δὲ ὄχλων [t] ἐπαθροιζομένων [u] ἤρξατο λέγειν, Ἡ γενεὰ αὕτη πονηρά [c] ἐστι· σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ [k] δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου.

[t] ἄθροος.
[u] ἄρχω.

30 Καθὼς γὰρ [p] ἐγένετο Ἰωνᾶς σημεῖον τοῖς Νινευΐταις, οὕτως [c] ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου τῇ γενεᾷ ταύτῃ.

31 Βασίλισσα νότου [x] ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῶν ἀνδρῶν τῆς γενεᾶς ταύτης, καὶ κατακρινεῖ αὐτούς· ὅτι [h] ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶντος, καὶ ἰδοὺ, πλεῖον Σολομῶντος ὧδε.

[x] ἐγείρω.

32 Ἄνδρες Νινευῒ [d] ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν αὐτήν· ὅτι [y] μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ· καὶ ἰδοὺ, πλεῖον Ἰωνᾶ ὧδε.

[y] νόος.

33 Οὐδεὶς δὲ λύχνον [z] ἅψας, εἰς κρυπτὸν [a] τίθησιν, οὐδὲ ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, ἵνα οἱ [b] εἰσπορευόμενοι τὸ φέγγος βλέπωσιν.

[z] ἅπτω.
[a] τίθημι.
[b] πορεύω.

34 Ὁ λύχνος τοῦ σώματός [c] ἐστιν ὁ ὀφθαλμός· ὅταν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς [c] ᾖ, καὶ ὅλον τὸ σῶμά σου φωτεινόν [c] ἐστιν· ἐπὰν δὲ πονηρὸς [c] ᾖ, καὶ τὸ σῶμά σου σκοτεινόν.

[c] εἰμί.

35 Σκόπει οὖν μὴ τὸ φῶς τὸ ἐν σοὶ, σκότος ἐστίν.

36 Εἰ οὖν τὸ σῶμά σου ὅλον φωτεινὸν, μὴ ἔχον τι μέρος σκοτεινὸν, [c] ἔσται φωτεινὸν ὅλον, ὡς ὅταν ὁ λύχνος τῇ ἀστραπῇ φωτίζῃ σε.

[d] λαλέω.
[e] ἐρωτάω.
[f] ἄριστον.
[g] ἔρχομαι.
[h] πίπτω.
[i] εἴδω.
[k] θαῦμα.

37 ¶ Ἐν δὲ τῷ [d] λαλῆσαι, ἠρώτα [e] αὐτὸν φαρισαῖός τις ὅπως [f] ἀριστήσῃ παρ᾽ αὐτῷ· [g] εἰσελθὼν δὲ [h] ἀνέπεσεν.

38 Ὁ δὲ φαρισαῖος [i] ἰδὼν [k] ἐθαύμασεν ὅτι οὐ πρῶτον ἐβαπτίσθη πρὸ τοῦ ἀρίστου.

39 Εἶπε δὲ ὁ Κύριος πρὸς αὐτὸν, Νῦν ὑμεῖς οἱ φαρισαῖοι τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ πίνακος, καθαρίζετε· τὸ δὲ ἔσωθεν ὑμῶν γέμει ἁρπαγῆς καὶ πονηρίας.

40 Ἄφρονες, οὐχ ὁ ποιήσας τὸ ἔξωθεν, καὶ τὸ ἔσωθεν ἐποίησε;

[l] δίδωμι.

41 Πλὴν τὰ [c] ἐνόντα [l] δότε ἐλεημοσύνην· καὶ ἰδοὺ, πάντα καθαρὰ ὑμῖν [c] ἐστιν.

[m] δέκα.
[n] καὶ ἐκεῖνος.
[o] ἕω.

42 Ἀλλ᾽ οὐαὶ ὑμῖν τοῖς φαρισαίοις, ὅτι [m] ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ πήγανον καὶ πᾶν λάχανον, καὶ παρέρχεσθε τὴν κρίσιν καὶ τὴν ἀγάπην τοῦ Θεοῦ· ταῦτα ἔδει ποιῆσαι, [n] κἀκεῖνα μὴ [o] ἀφιέναι.

43 Οὐαὶ ὑμῖν τοῖς φαρισαίοις, ὅτι ἀγαπᾶτε τὴν πρωτοκαθεδρίαν ἐν ταῖς συναγωγαῖς, καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς.

44 Οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ, ὅτι [c] ἐστὲ ὡς τὰ μνημεῖα τὰ ἄδηλα, καὶ οἱ ἄνθρωποι οἱ περιπατοῦντες ἐπάνω οὐκ [i] οἴδασιν.

[p] κρίνω.

45 [p] Ἀποκριθεὶς δέ τις τῶν νομικῶν λέγει αὐτῷ, Διδάσκαλε, ταῦτα λέγων καὶ ἡμᾶς ὑβρίζεις.

[q] βαστάζω.
[r] ψαύω.

46 Ὁ δὲ εἶπε, Καὶ ὑμῖν τοῖς νομικοῖς οὐαὶ, ὅτι φορτίζετε τοὺς ἀνθρώπους φορτία [q] δυσβάστακτα, καὶ αὐτοὶ ἑνὶ τῶν δακτύλων ὑμῶν οὐ [r] προσψαύετε τοῖς φορτίοις.

[s] κτείνω.

47 Οὐαὶ ὑμῖν, ὅτι οἰκοδομεῖτε τὰ μνημεῖα τῶν προφητῶν, οἱ δὲ πατέρες ὑμῶν [s] ἀπέκτειναν αὐτούς.

48 Ἄρα μαρτυρεῖτε καὶ συνευδοκεῖτε τοῖς

ἔργοις τῶν πατέρων ὑμῶν· ὅτι αὐτοὶ μὲν [s] ἀπέκτειναν αὐτοὺς, ὑμεῖς δὲ οἰκοδομεῖτε αὐτῶν τὰ μνημεῖα.

49 Διὰ τοῦτο καὶ ἡ σοφία τοῦ Θεοῦ εἶπεν, Ἀποστελῶ εἰς αὐτοὺς προφήτας καὶ ἀποστόλους, καὶ ἐξ αὐτῶν [s] ἀποκτενοῦσι καὶ [t] ἐκδιώξουσιν·

50 Ἵνα [u] ἐκζητηθῇ τὸ αἷμα πάντων τῶν προφητῶν, τὸ [x] ἐκχυνόμενον ἀπὸ καταβολῆς κόσμου ἀπὸ τῆς γενεᾶς ταύτης,

51 Ἀπὸ τοῦ αἵματος Ἄβελ ἕως τοῦ αἵματος Ζαχαρίου, τοῦ ἀπολομένου μεταξὺ τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου· ναὶ λέγω ὑμῖν, [u] ἐκζητηθήσεται ἀπὸ τῆς γενεᾶς ταύτης.

52 Οὐαὶ ὑμῖν τοῖς νομικοῖς, ὅτι [z] ἤρατε τὴν κλεῖδα τῆς γνώσεως· αὐτοὶ οὐκ [a] εἰσήλθετε, καὶ τοὺς εἰσερχομένους ἐκωλύσατε.

53 Λέγοντος δὲ αὐτοῦ ταῦτα πρὸς αὐτοὺς, [b] ἤρξαντο οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι δεινῶς ἐνέχειν, καὶ ἀποστοματίζειν αὐτὸν περὶ πλειόνων.

54 [c] Ἐνεδρεύοντες αὐτὸν, καὶ ζητοῦντες θηρεῦσαί τι ἐκ τοῦ στόματος αὐτοῦ, ἵνα [d] κατηγορήσωσιν αὐτοῦ.

Κεφ. ιβ΄. Cap. XII.

Ἐν οἷς [a] ἐπισυναχθεισῶν τῶν μυριάδων τοῦ ὄχλου, ὥστε καταπατεῖν ἀλλήλους, [b] ἤρξατο λέγειν πρὸς τοὺς μαθητὰς αὐτοῦ, Πρῶτον προσέχετε ἑαυτοῖς ἀπὸ τῆς ζύμης τῶν φαρισαίων, ἥτις [c] ἐστὶν ὑπόκρισις.

2 Οὐδὲν δὲ [d] συγκεκαλυμμένον [c] ἐστὶν ὃ οὐκ [d] ἀποκαλυφθήσεται· καὶ κρυπτὸν, ὃ οὐ [e] γνωσθήσεται.

3 Ἀνθ᾽ ὧν ὅσα ἐν τῇ σκοτίᾳ εἴπατε, ἐν τῷ φωτὶ ἀκουσθήσεται· καὶ ὃ πρὸς τὸ οὖς [f] ἐλαλήσατε ἐν τοῖς ταμείοις, [g] κηρυχθήσεται ἐπὶ τῶν δωμάτων.

4 Λέγω δὲ ὑμῖν τοῖς φίλοις μου, Μὴ [h] φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, καὶ μετὰ ταῦτα μὴ ἐχόντων περισσότερόν τι ποιῆσαι.

5 [i] Ὑπο-

[t] διώκω.
[u] ζητέω.
[x] χύνω.
[z] αἴρω.
[a] ἔρχομαι.
[b] ἄρχω.
[c] ἴζω.
[d] ἀγορά.

[a] ἄγω.
[b] ἄρχω.
[c] εἰμί.
[d] καλύπτω.
[e] γινώσκω.
[f] λαλέω.
[g] κήρυξ.
[h] φοβέομαι.

[i] δεικνύω. 5 [i] Ὑποδείξω δὲ ὑμῖν τίνα [h] φοβηθῆτε·
[h] φοβήθητε τὸν μετὰ τὸ ἀποκτεῖναι, ἐξουσίαν ἔχοντα ἐμβαλεῖν εἰς τὴν γέενναν· ναὶ λέγω ὑμῖν, τοῦτον [a] φοβήθητε.

6 Οὐχὶ πέντε στρουθία πωλεῖται ἀσσαρίων
[k] λανθάνω. δύο; καὶ ἓν ἐξ αὐτῶν οὐκ [c] ἔστιν [k] ἐπιλελησμένον
ἐνώπιον τοῦ Θεοῦ;

[l] θρίξ. 7 Ἀλλὰ καὶ αἱ [l] τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶ-
[m] ἀριθμός. σαι [m] ἠρίθμηνται· μὴ οὖν [h] φοβεῖσθε· πολλῶν
στρουθίων διαφέρετε.

[n] λέγω. 8 Λέγω δὲ ὑμῖν, Πᾶς ὃς ἂν [n] ὁμολογήσῃ
ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου [n] ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ Θεοῦ.

[o] ἀρνέομαι. 9 Ὁ δὲ [o] ἀρνησάμενός με ἐνώπιον τῶν ἀν-
θρώπων, [o] ἀπαρνηθήσεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ.

10 Καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν υἱὸν τοῦ ἀν-
[p] ἵω. θρώπου, [p] ἀφεθήσεται αὐτῷ· τῷ δὲ εἰς τὸ ἅγιον
Πνεῦμα βλασφημήσαντι οὐκ [p] ἀφεθήσεται.

11 Ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε πῶς ἢ τί [n] ἀπολογήσησθε ἢ τί εἴπητε.

12 Τὸ γὰρ ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ, ἃ δεῖ εἰπεῖν.

13 ¶ Εἶπε δέ τις αὐτῷ ἐκ τοῦ ὄχλου, Δι-
[q] μερίζω. δάσκαλε, εἰπὲ τῷ ἀδελφῷ μου [q] μερίσασθαι μετ'
ἐμοῦ τὴν κληρονομίαν.

14 Ὁ δὲ εἶπεν αὐτῷ, Ἄνθρωπε, τίς με
[r] ἵστημι. [r] κατέστησε δικαστὴν ἢ μεριστὴν ἐφ' ὑμᾶς;
[s] ὁράω. 15 Εἶπε δὲ πρὸς αὐτούς, [s] Ὁρᾶτε καὶ φυ-
λάσσεσθε ἀπὸ τῆς πλεονεξίας· ὅτι οὐκ ἐν τῷ περισσεύειν τινὶ ἡ ζωὴ αὐτοῦ [c] ἐστιν ἐκ τῶν ὑπαρχόντων αὐτοῦ.

16 Εἶπε δὲ παραβολὴν πρὸς αὐτούς, λέ-
[t] φέρω. γων, Ἀνθρώπου τινὸς πλουσίου [t] εὐφόρησεν ἡ
χώρα·

17 Καὶ [u] διελογίζετο ἐν ἑαυτῷ, λέγων, Τί

ποιήσω, ὅτι οὐκ ἔχω ποῦ [u] συνάξω τοὺς καρπούς μου;

18 Καὶ εἶπε, Τοῦτο ποιήσω· [x] καθελῶ μου τὰς ἀποθήκας, καὶ [y] μείζονας οἰκοδομήσω· καὶ [u] συνάξω ἐκεῖ πάντα τὰ γεννήματά μου, καὶ τὰ ἀγαθά μου.

19 Καὶ [a] ἐρῶ τῇ ψυχῇ μου, Ψυχή, ἔχεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη πολλά· ἀναπαύου, φάγε, [b] πίε, [c] εὐφραίνου.

20 Εἶπε δὲ αὐτῷ ὁ Θεός, Ἄφρων, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου [d] ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι [e] ἔσται;

21 Οὕτως ὁ θησαυρίζων ἑαυτῷ, καὶ μὴ εἰς Θεὸν πλουτῶν.

22 Εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ, Διὰ τοῦτο ὑμῖν λέγω, μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, τί φάγητε· μηδὲ τῷ σώματι, τί [f] ἐνδύσησθε.

23 Ἡ ψυχὴ πλεῖόν [e] ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα, τοῦ ἐνδύματος.

24 Κατανοήσατε τοὺς κόρακας, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν· οἷς οὐκ [e] ἔστι ταμεῖον, οὐδὲ ἀποθήκη, καὶ ὁ Θεὸς τρέφει αὐτούς. πόσῳ μᾶλλον ὑμεῖς διαφέρετε τῶν πετεινῶν;

25 Τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται [g] προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα;

26 Εἰ οὖν οὔτε ἐλάχιστον δύνασθε, τί περὶ τῶν λοιπῶν μεριμνᾶτε;

27 [h] Κατανοήσατε τὰ κρίνα, πῶς αὐξάνει. οὐ κοπιᾷ, οὐδὲ νήθει· λέγω δὲ ὑμῖν οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ [i] περιεβάλετο ὡς ἓν τούτων.

28 Εἰ δὲ τὸν χόρτον ἐν τῷ ἀγρῷ σήμερον [e] ὄντα, καὶ αὔριον εἰς κλίβανον βαλλόμενον ὁ Θεὸς οὕτως [k] ἀμφιέννυσι, πόσῳ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι;

29 Καὶ ὑμεῖς μὴ ζητεῖτε τί φάγητε, ἢ τί πίητε· καὶ μὴ [l] μετεωρίζεσθε.

30 Ταῦτα γὰρ πάντα, τὰ ἔθνη τοῦ κόσμου

ἐπιζητεῖ

[u] ἄγω.

[x] αἱρέω.

[y] μέγας.

[a] εἴρω.

[b] πίνω.

[c] φρέω.

[d] αἰτέω.

[e] εἰμί.

[f] δύω.

[g] τίθημι.

[h] νόος.

[i] βάλλω.

[k] ἕω.

[l] μετέωρος.

[i] δεικνύω. 5 [i] Ὑποδείξω δὲ ὑμῖν τίνα [h] φοβηθῆτε·
[h] φοβήθητε τὸν μετὰ τὸ ἀποκτεῖναι, ἐξουσίαν ἔχοντα ἐμβαλεῖν εἰς τὴν γέενναν· ναὶ λέγω ὑμῖν, τοῦτον [a] φοβήθητε.

6 Οὐχὶ πέντε στρουθία πωλεῖται ἀσσαρίων
[k] λανθάνω. δύο; καὶ ἓν ἐξ αὐτῶν οὐκ [c] ἔστιν [k] ἐπιλελησμένον
ἐνώπιον τοῦ Θεοῦ;

[l] θρίξ. 7 Ἀλλὰ καὶ αἱ [l] τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶ-
[m] ἀριθμός. σαι [m] ἠρίθμηνται· μὴ οὖν [h] φοβεῖσθε· πολλῶν
στρουθίων διαφέρετε.

[n] λέγω. 8 Λέγω δὲ ὑμῖν, Πᾶς ὃς ἂν [n] ὁμολογήσῃ
ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ υἱὸς τοῦ
ἀνθρώπου [n] ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν
ἀγγέλων τοῦ Θεοῦ.

[o] ἀρνέομαι. 9 Ὁ δὲ [o] ἀρνησάμενός με ἐνώπιον τῶν ἀν-
θρώπων, [o] ἀπαρνηθήσεται ἐνώπιον τῶν ἀγγέ-
λων τοῦ Θεοῦ.

10 Καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν υἱὸν τοῦ ἀν-
[p] ἵω. θρώπου, [p] ἀφεθήσεται αὐτῷ· τῷ δὲ εἰς τὸ ἅγιον
Πνεῦμα βλασφημήσαντι οὐκ [p] ἀφεθήσεται.

11 Ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς
συναγωγὰς καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, μὴ
μεριμνᾶτε πῶς ἢ τί [n] ἀπολογήσησθε ἢ τί εἴ-
πητε.

12 Τὸ γὰρ ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν
αὐτῇ τῇ ὥρᾳ, ἃ δεῖ εἰπεῖν.

13 ¶ Εἶπε δέ τις αὐτῷ ἐκ τοῦ ὄχλου, Δι-
[q] μερίζω. δάσκαλε, εἰπὲ τῷ ἀδελφῷ μου [q] μερίσασθαι μετ'
ἐμοῦ τὴν κληρονομίαν.

14 Ὁ δὲ εἶπεν αὐτῷ, Ἄνθρωπε, τίς με
[r] ἵστημι. [r] κατέστησε δικαστὴν ἢ μεριστὴν ἐφ' ὑμᾶς;
[s] ὁράω. 15 Εἶπε δὲ πρὸς αὐτούς, [s] Ὁρᾶτε καὶ φυ-
λάσσεσθε ἀπὸ τῆς πλεονεξίας· ὅτι οὐκ ἐν τῷ περισ-
σεύειν τινὶ ἡ ζωὴ αὐτοῦ [c] ἐστιν ἐκ τῶν ὑπαρχόν-
των αὐτοῦ.

16 Εἶπε δὲ παραβολὴν πρὸς αὐτούς, λέ-
[t] φέρω. γων, Ἀνθρώπου τινὸς πλουσίου [t] εὐφόρησεν ἡ
χώρα·

17 Καὶ [u] διελογίζετο ἐν ἑαυτῷ, λέγων, Τί
ποιήσω

ποιήσω, ὅτι οὐκ ἔχω ποῦ [u] συνάξω τοὺς καρπούς μου; [u] ἄγω.

18 Καὶ εἶπε, Τοῦτο ποιήσω· [x] καθελῶ μου τὰς ἀποθήκας, καὶ [y] μείζονας οἰκοδομήσω· καὶ [u] συνάξω ἐκεῖ πάντα τὰ γεννήματά μου, καὶ τὰ ἀγαθά μου. [x] αἱρέω. [y] μέγας.

19 Καὶ [a] ἐρῶ τῇ ψυχῇ μου, Ψυχὴ, ἔχεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη πολλά· ἀναπαύου, φάγε, [b] πίε, [c] εὐφραίνου. [a] εἴρω. [b] πίνω.

20 Εἶπε δὲ αὐτῷ ὁ Θεὸς, Ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου [d] ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι [e] ἔσται; [c] ἐρίω. [d] αἰτέω. [e] εἰμί.

21 Οὕτως ὁ θησαυρίζων ἑαυτῷ, καὶ μὴ εἰς Θεὸν πλουτῶν.

22 Εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ, Διὰ τοῦτο ὑμῖν λέγω, μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, τί φάγητε· μηδὲ τῷ σώματι, τί [f] ἐνδύσησθε. [f] δύω.

23 Ἡ ψυχὴ πλεῖόν [e] ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα, τοῦ ἐνδύματος.

24 Κατανοήσατε τοὺς κόρακας, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν· οἷς οὐκ [e] ἔστι ταμεῖον, οὐδὲ ἀποθήκη, καὶ ὁ Θεὸς τρέφει αὐτούς. πόσῳ μᾶλλον ὑμεῖς διαφέρετε τῶν πετεινῶν;

25 Τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται [g] προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα; [g] τίθημι.

26 Εἰ οὖν οὔτε ἐλάχιστον δύνασθε, τί περὶ τῶν λοιπῶν μεριμνᾶτε;

27 [h] Κατανοήσατε τὰ κρίνα, πῶς αὐξάνει. οὐ κοπιᾷ, οὐδὲ νήθει· λέγω δὲ ὑμῖν οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ [i] περιεβάλετο ὡς ἓν τούτων. [h] νόος. [i] βάλλω.

28 Εἰ δὲ τὸν χόρτον ἐν τῷ ἀγρῷ σήμερον [e] ὄντα, καὶ αὔριον εἰς κλίβανον βαλλόμενον ὁ Θεὸς οὕτως [k] ἀμφιέννυσι, πόσῳ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι; [k] ἕω.

29 Καὶ ὑμεῖς μὴ ζητεῖτε τί φάγητε, ἢ τί πίητε· καὶ μὴ [l] μετεωρίζεσθε. [l] μετέωρος.

30 Ταῦτα γὰρ πάντα, τὰ ἔθνη τοῦ κόσμου

ἐπιζητεῖ

[m] εἴδω.
[n] χρή.

ἐπιζητεῖ· ὑμῶν δὲ ὁ πατὴρ [m] οἶδεν ὅτι [n] χρῄζετε τούτων.

31 Πλὴν ζητεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα [g] προστεθήσεται ὑμῖν.

[o] φέβομαι.
[p] δίδωμι.

32 Μὴ [o] φοβοῦ, τὸ μικρὸν ποίμνιον· ὅτι εὐδόκησεν ὁ πατὴρ ὑμῶν [p] δοῦναι ὑμῖν τὴν βασιλείαν.

[q] λείπω.

33 Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ [p] δότε ἐλεημοσύνην. Ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα, θησαυρὸν [q] ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς, ὅπου κλέπτης οὐκ ἐγγίζει, οὐδὲ σὴς διαφθείρει.

34 Ὅπου γάρ [e] ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν [e] ἔσται.

[r] ζώννυμι.

35 [e] Ἔστωσαν ὑμῶν αἱ ὀσφύες [r] περιεζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι·

[s] λύω.
[t] ἔρχομαι.
[u] οἴγω.

36 Καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον ἑαυτῶν, πότε [s] ἀναλύσει ἐκ τῶν γάμων· ἵνα [t] ἐλθόντος καὶ κρούσαντος, εὐθέως [u] ἀνοίξωσιν αὐτῷ.

[x] εὑρίσκω.
[y] ἐγρήγορος.

37 Μακάριοι οἱ δοῦλοι ἐκεῖνοι οὓς [t] ἐλθὼν ὁ Κύριος [x] εὑρήσει [y] γρηγοροῦντας. ἀμὴν λέγω ὑμῖν ὅτι [r] περιζώσεται, καὶ ἀνακλινεῖ αὐτοὺς, καὶ [t] παρελθὼν διακονήσει αὐτοῖς.

38 Καὶ ἐὰν ἔλθῃ ἐν τῇ δευτέρᾳ φυλακῇ, καὶ ἐν τῇ τρίτῃ φυλακῇ [t] ἔλθῃ, καὶ εὕρῃ οὕτω, μακάριοί [e] εἰσιν οἱ δοῦλοι ἐκεῖνοι.

[a] εἴδω.
[b] ἐγρήγορος.
[c] ἔω.
[d] ὀρύττω.

39 Τοῦτο δὲ γινώσκετε, ὅτι εἰ [a] ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται, [b] ἐγρηγόρησεν ἂν, καὶ οὐκ ἂν [c] ἀφῆκε [d] διορυγῆναι τὸν οἶκον αὐτοῦ.

[e] γίνομαι.

40 Καὶ ὑμεῖς οὖν [e] γίνεσθε ἕτοιμοι· ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

41 Εἶπε δὲ αὐτῷ ὁ Πέτρος, Κύριε, πρὸς ἡμᾶς τὴν παραβολὴν ταύτην λέγεις, ἢ καὶ πρὸς πάντας;

[f] εἰμί.
[g] ἵστημι.
[h] δίδωμι.

42 Εἶπε δὲ ὁ Κύριος, Τίς ἄρα [f] ἐστὶν ὁ πιστὸς οἰκονόμος καὶ φρόνιμος, ὃν [g] καταστήσει ὁ κύριος ἐπὶ τῆς θεραπείας αὐτοῦ, τοῦ [h] διδόναι ἐν καιρῷ τὸ σιτομέτριον;

43 Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν [i] ἐλθὼν ὁ κύριος αὐτοῦ [k] εὑρήσει ποιοῦντα οὕτως.

44 Ἀληθῶς λέγω ὑμῖν ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ [g] καταστήσει αὐτόν.

45 Ἐὰν δὲ εἴπῃ ὁ δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ, Χρονίζει ὁ κύριός μου ἔρχεσθαι· καὶ [l] ἄρξηται τύπτειν τοὺς παῖδας καὶ τὰς παιδίσκας, ἐσθίειν τε καὶ πίνειν καὶ [m] μεθύσκεσθαι·

46 [n] Ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει· καὶ [o] διχοτομήσει αὐτὸν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων [p] θήσει.

47 Ἐκεῖνος δὲ ὁ δοῦλος ὁ [q] γνοὺς τὸ θέλημα τοῦ Κυρίου ἑαυτοῦ, καὶ μὴ [r] ἑτοιμάσας, μηδὲ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, [ſ] δαρήσεται πολλάς.

48 Ὁ δὲ μὴ [q] γνοὺς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας· παντὶ δὲ ᾧ [h] ἐδόθη πολὺ, πολὺ [t] ζητηθήσεται παρ' αὐτοῦ· καὶ ᾧ [p] παρέθεντο πολὺ, περισσότερον [u] αἰτήσουσιν αὐτόν.

49 Πῦρ [i] ἦλθον βαλεῖν εἰς τὴν γῆν, καὶ τί θέλω εἰ ἤδη * ἀνήφθη;

50 Βάπτισμα δὲ ἔχω βαπτισθῆναι, καὶ πῶς συνέχομαι ἕως οὗ τελεσθῇ.

51 Δοκεῖτε ὅτι εἰρήνην [x] παρεγενόμην [h] δοῦναι ἐν τῇ γῇ; οὐχὶ, λέγω ὑμῖν, ἀλλ' ἢ [y] διαμερισμόν.

52 [f] Ἔσονται γὰρ ἀπὸ τοῦ νῦν πέντε ἐν οἴκῳ ἑνὶ [y] διαμεμερισμένοι, τρεῖς ἐπὶ δυσὶ, καὶ δύο ἐπὶ τρισί.

53 [y] Διαμερισθήσεται πατὴρ ἐφ' υἱῷ, καὶ υἱὸς ἐπὶ πατρί· μήτηρ ἐπὶ θυγατρὶ, καὶ θυγάτηρ ἐπὶ μητρί· πενθερὰ ἐπὶ τὴν νύμφην αὐτῆς, καὶ νύμφη ἐπὶ τὴν πενθερὰν αὐτῆς.

54 ¶ Ἔλεγε δὲ καὶ τοῖς ὄχλοις, Ὅταν [a] ἴδητε τὴν νεφέλην ἀνατέλλουσαν ἀπὸ δυσμῶν, εὐθέως λέγετε, Ὄμβρος ἔρχεται· καὶ γίνεται οὕτω.

[i] ἔρχομαι.
[k] εὑρίσκω.
[l] ἄρχω.
[m] μέθυ.
[n] ἥκω.
[o] τέμνω.
[p] τίθημι.
[q] γινώσκω.
[r] ἕτοιμος.
[ſ] δέρω.
[t] ζητέω.
[u] αἰτέω.
* ἅπτω.
[x] γίνομαι.
[y] μερίζω.

55 Καὶ ὅταν νότον πνέοντα, λέγετε, Ὅτι
καύσων [f] ἔσται· καὶ γίνεται.

56 Ὑποκριταὶ, τὸ πρόσωπον τῆς γῆς καὶ τοῦ
οὐρανοῦ [a] οἴδατε δοκιμάζειν· τὸν δὲ καιρὸν τοῦτον
πῶς οὐ δοκιμάζετε;

57 Τί δὲ καὶ ἀφ' ἑαυτῶν οὐ κρίνετε τὸ δίκαιον;

58 [a] Ὡς γὰρ ὑπάγεις μετὰ τοῦ ἀντιδίκου σου ἐπ'
z ἀπαλλάσσω. ἄρχοντα, ἐν τῇ ὁδῷ [h] δὸς ἐργασίαν [z] ἀπηλλάχθαι
a σύρω. ἀπ' αὐτοῦ· μήποτε [a] κατασύρῃ σε πρὸς τὸν
b δίδωμι. κριτὴν, καὶ ὁ κριτής σε [b] παραδῷ τῷ πράκτορι,
καὶ ὁ πράκτωρ σε βάλλῃ εἰς φυλακήν.

c ἔρχομαι. 59 Λέγω σοι, οὐ μὴ [c] ἐξέλθῃς ἐκεῖθεν ἕως
οὗ καὶ τὸ ἔσχατον λεπτὸν [b] ἀποδῷς.

Κεφ. ιγ'. Cap. XIII.

a εἰμί. [a] ΠΑρῆσαν δέ τινες ἐν αὐτῷ τῷ καιρῷ ἀπαγγέλλοντες αὐτῷ περὶ τῶν Γαλιλαίων, ὧν
b μιγνύω. τὸ αἷμα Πιλάτος [b] ἔμιξε μετὰ τῶν θυσιῶν αὐτῶν.

c κρίνω. 2 Καὶ [c] ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς,
Δοκεῖτε ὅτι οἱ Γαλιλαῖοι οὗτοι ἁμαρτωλοὶ παρὰ
d γίνομαι. πάντας τοὺς Γαλιλαίους [d] ἐγένοντο, ὅτι τοιαῦτα
e πάσχω. [e] πεπόνθασιν;

3 Οὐχὶ, λέγω ὑμῖν· ἀλλ' ἐὰν μὴ μετανοῆτε,
f ὀλλύω. πάντες ὡσαύτως [f] ἀπολεῖσθε.

g πίπτω. 4 Ἢ ἐκεῖνοι οἱ δέκα καὶ ὀκτὼ, ἐφ' οὓς [g] ἔπεσεν
h κτείνω. ὁ πύργος ἐν τῷ Σιλωὰμ, καὶ [h] ἀπέκτεινεν
αὐτοὺς, δοκεῖτε ὅτι οὗτοι ὀφειλέται [d] ἐγένοντο παρὰ
πάντας ἀνθρώπους τοὺς κατοικοῦντας ἐν Ἱερουσαλήμ;

i νόος. 5 Οὐχὶ, λέγω ὑμῖν· ἀλλ' ἐὰν μὴ [i] μετανοῆτε,
πάντες ὁμοίως [f] ἀπολεῖσθε.

k λέγω. 6 [k] Ἔλεγε δὲ ταύτην τὴν παραβολὴν, Συκῆν
l φύω. εἶχέ τις ἐν τῷ ἀμπελῶνι αὐτοῦ [l] πεφυτευμένην·
m ἔρχομαι. καὶ [m] ἦλθε καρπὸν ζητῶν ἐν αὐτῇ, καὶ
n εὑρίσκω. οὐχ [n] εὗρεν.

7 Εἶπε δὲ πρὸς τὸν ἀμπελουργὸν, Ἰδοὺ, τρία
ἔτη ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ,
o κόπτω. καὶ οὐχ εὑρίσκω· [o] ἔκκοψον αὐτήν· ἱνατί καὶ τὴν
γῆν καταργεῖ;

8 Ὁ δὲ [p] ἀποκριθεὶς λέγει αὐτῷ, Κύριε, [q] ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἕως ὅτου [r] σκάψω περὶ αὐτὴν, καὶ βάλω κοπρίαν·

9 Κἂν μὲν ποιήσῃ καρπόν· εἰ δὲ μή γε, εἰς τὸ μέλλον ἐκκόψεις αὐτήν.

10 ¶ Ἦν δὲ διδάσκων ἐν μιᾷ τῶν συναγωγῶν ἐν τοῖς σάββασι·

11 Καὶ ἰδοὺ, γυνὴ [e] ἦν πνεῦμα ἔχουσα ἀσθενείας ἔτη δέκα καὶ ὀκτώ· καὶ [e] ἦν [f] συγκύπτουσα, καὶ μὴ δυναμένη ἀνακύψαι εἰς τὸ παντελές.

12 [t] Ἰδὼν δὲ αὐτὴν ὁ Ἰησοῦς [u] προσεφώνησε, καὶ εἶπεν αὐτῇ, Γύναι, [x] ἀπολέλυσαι τῆς ἀσθενείας σου.

13 Καὶ [y] ἐπέθηκεν αὐτῇ τὰς χεῖρας· καὶ παραχρῆμα [z] ἀνωρθώθη, καὶ [a] ἐδόξαζε τὸν Θεόν.

14 [b] Ἀποκριθεὶς δὲ ὁ ἀρχισυνάγωγος, ἀγανακτῶν ὅτι τῷ σαββάτῳ [c] ἐθεράπευσεν ὁ Ἰησοῦς, [d] ἔλεγε τῷ ὄχλῳ, Ἓξ ἡμέραι [e] εἰσὶν ἐν αἷς δεῖ ἐργάζεσθαι· ἐν ταύταις οὖν ἐρχόμενοι [c] θεραπεύεσθε, καὶ μὴ τῇ ἡμέρᾳ τοῦ σαββάτου.

15 [f] Ἀπεκρίθη οὖν αὐτῷ ὁ Κύριος, καὶ εἶπεν, Ὑποκριτὰ, ἕκαστος ὑμῶν τῷ σαββάτῳ οὐ λύει τὸν βοῦν αὐτοῦ ἢ τὸν ὄνον ἀπὸ τῆς φάτνης, καὶ [g] ἀπαγαγὼν ποτίζει;

16 Ταύτην δὲ θυγατέρα Ἀβραὰμ [e] οὖσαν, ἣν [h] ἔδησεν ὁ Σατανᾶς ἰδοὺ δέκα καὶ ὀκτὼ ἔτη, οὐκ ἔδει [i] λυθῆναι ἀπὸ τοῦ δεσμοῦ τούτου τῇ ἡμέρᾳ τοῦ σαββάτου;

17 Καὶ ταῦτα λέγοντος αὐτοῦ, [k] κατῃσχύνοντο πάντες οἱ [l] ἀντικείμενοι αὐτῷ· καὶ πᾶς ὁ ὄχλος ἔχαιρεν ἐπὶ πᾶσι τοῖς ἐνδόξοις τοῖς γινομένοις ὑπ' αὐτοῦ.

18 ¶ [m] Ἔλεγε δὲ, Τίνι ὁμοία [e] ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ; καὶ τίνι ὁμοιώσω αὐτήν;

19 Ὁμοία [e] ἐστὶ κόκκῳ σινάπεως, ὃν [f] λαβὼν ἄνθρωπος [g] ἔβαλεν εἰς κῆπον ἑαυτοῦ. καὶ [h] ηὔξησε. καὶ [i] ἐγένετο εἰς δένδρον μέγα, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ [k] κατεσκήνωσεν ἐν τοῖς κλάδοις αὐτοῦ.

[p] κρίνω.
[q] ἔω.
[r] σκάπτω.
[f] κύπτω.
[t] εἴδω.
[u] φωνή.
[x] λύω.
[y] τίθημι.
[z] ὀρθός.
[a] δοκέω.
[b] κρίνω.
[c] θεράπων.
[d] λέγω.
[e] εἰμί.
[f] κρίνω.
[g] ἄγω.
[h] δέω.
[i] λύω.
[k] αἶσχος.
[l] κεῖμαι.
[m] λέγω.
[f] λαμβάνω.
[g] βάλλω.
[h] αὐξάνω.
[i] γίνομαι.
[k] σκηνή.

20 Καὶ πάλιν εἶπε, Τίνι ὁμοιώσω τὴν βασιλείαν τοῦ Θεοῦ.

21 Ὁμοία ἐστὶ ζύμῃ, ἣν [f] λαβοῦσα γυνὴ [l] ἐνέκρυψεν εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ [m] ἐζυμώθη ὅλον.

22 ¶ Καὶ [n] διεπορεύετο κατὰ πόλεις καὶ κώμας διδάσκων, καὶ πορείαν ποιούμενος εἰς Ἱερουσαλήμ.

23 Εἶπε δέ τις αὐτῷ, Κύριε, εἰ ὀλίγοι οἱ σωζόμενοι; Ὁ δὲ εἶπε πρὸς αὐτούς,

24 Ἀγωνίζεσθε [o] εἰσελθεῖν διὰ τῆς στενῆς πύλης· ὅτι πολλοὶ (λέγω ὑμῖν) ζητήσουσιν [o] εἰσελθεῖν, καὶ οὐκ ἰσχύσουσιν.

25 Ἀφ᾽ οὗ ἂν [p] ἐγερθῇ ὁ οἰκοδεσπότης, καὶ ἀποκλείσῃ τὴν θύραν, καὶ [q] ἄρξησθε ἔξω [r] ἑστάναι, καὶ κρούειν τὴν θύραν, λέγοντες, Κύριε, κύριε [s] ἄνοιξον ἡμῖν· καὶ [t] ἀποκριθεὶς ἐρεῖ ὑμῖν, Οὐκ [u] οἶδα ὑμᾶς πόθεν [c] ἐστέ.

26 Τότε [q] ἄρξεσθε λέγειν, * Ἐφάγομεν ἐνώπιόν σου, καὶ [x] ἐπίομεν, καὶ ἐν ταῖς πλατείαις ἡμῶν [y] ἐδίδαξας.

27 Καὶ [z] ἐρεῖ, Λέγω ὑμῖν, οὐκ [a] οἶδα ὑμᾶς πόθεν [b] ἐστέ· [c] ἀπόστητε ἀπ᾽ ἐμοῦ πάντες οἱ ἐργάται τῆς ἀδικίας.

28 Ἐκεῖ [b] ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, ὅταν [d] ὄψεσθε Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, καὶ πάντας τοὺς προφήτας ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ, ὑμᾶς δὲ [e] ἐκβαλλομένους ἔξω.

29 Καὶ [f] ἥξουσιν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, καὶ ἀπὸ βοῤῥᾶ καὶ νότου· καὶ [g] ἀνακλιθήσονται ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.

30 Καὶ ἰδοὺ, [b] εἰσὶν ἔσχατοι οἳ [b] ἔσονται πρῶτοι, καὶ [b] εἰσὶ πρῶτοι οἳ [b] ἔσονται ἔσχατοι.

31 ¶ Ἐν αὐτῇ τῇ ἡμέρᾳ [h] προσῆλθόν τινες Φαρισαῖοι, λέγοντες αὐτῷ, [h] Ἔξελθε, καὶ [i] πορεύου ἐντεῦθεν· ὅτι Ἡρώδης θέλει σε [k] ἀποκτεῖναι.

32 Καὶ εἶπεν αὐτοῖς, [i] Πορευθέντες εἴπατε τῇ ἀλώπεκι ταύτῃ, Ἰδοὺ, ἐκβάλλω δαιμόνια,

καὶ

[l] κρύπτω.
[m] ζύμη.
[n] πορεύω.
[o] ἔρχομαι.
[p] ἐγείρω.
[q] ἄρχω.
[r] ἵστημι.
[s] οἴγω.
[t] κρίνω.
[u] εἴδω.
* φάγω.
[x] πίνω.
[y] διδάσκω.
[z] εἴρω.
[a] εἴδω.
[b] εἰμί.
[c] ἵστημι.
[d] ὄπτομαι.
[e] βάλλω.
[f] ἥκω.
[g] κλίνω.
[h] ἔρχομαι.
[i] πορεύω.
[k] κτείνω.

καὶ ἰάσεις [l] ἐπιτελῶ σήμερον καὶ αὔριον, καὶ τῇ τρίτῃ [l] τελειοῦμαι.

[l] τελέω.

33 Πλὴν δεῖ με σήμερον καὶ αὔριον καὶ τῇ ἐρχομένῃ [i] πορεύεσθαι· ὅτι οὐκ ἐνδέχεται προφήτην [m] ἀπολέσθαι ἔξω Ἱερουσαλήμ.

[m] ὀλλύω.

34 Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ [k] ἀποκτείνουσα τοὺς προφήτας, καὶ [e] λιθοβολοῦσα τοὺς [n] ἀπεσταλμένους πρὸς αὐτὴν, ποσάκις [o] ἠθέλησα [p] ἐπισυνάξαι τὰ τέκνα σου, ὃν τρόπον ὄρνις τὴν ἑαυτῆς νοσσιὰν ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ [o] ἠθελήσατε;

[n] στέλλω.
[o] θέλω.
[p] ἄγω.

35 Ἰδοὺ, [q] ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος· ἀμὴν δὲ λέγω ὑμῖν ὅτι οὐ μή με [r] ἴδητε ἕως ἂν [f] ἥξῃ ὅτε εἴπητε, Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

[q] ἵω.
[r] εἴδω.

Κεφ. ιδ'. Cap. XIV.

ΚΑὶ [a] ἐγένετο ἐν τῷ [b] ἐλθεῖν αὐτὸν εἰς οἶκόν τινος τῶν ἀρχόντων τῶν φαρισαίων σαββάτῳ φαγεῖν ἄρτον, καὶ αὐτοὶ [c] ἦσαν [d] παρατηρούμενοι αὐτόν.

[a] γίνομαι.
[b] ἔρχομαι.
[c] εἰμί.
[d] τηρέω.

2 Καὶ ἰδοὺ, ἄνθρωπός τις [c] ἦν ὑδρωπικὸς ἔμπροσθεν αὐτοῦ.

3 Καὶ [e] ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς τοὺς νομικοὺς καὶ φαρισαίους, λέγων, Εἰ [c] ἔξεστι τῷ σαββάτῳ θεραπεύειν;

[e] κρίνω.

4 Οἱ δὲ [f] ἡσύχασαν. Καὶ [g] ἐπιλαβόμενος [h] ἰάσατο αὐτὸν, καὶ [i] ἀπέλυσε.

[f] ἡσύχιος.
[g] λαμβάνω.
[h] ἰάομαι.

5 Καὶ [e] ἀποκριθεὶς πρὸς αὐτοὺς, εἶπε, Τίνος ὑμῶν ὄνος ἢ βοῦς εἰς φρέαρ [k] ἐμπεσεῖται, καὶ οὐκ εὐθέως [l] ἀνασπάσει αὐτὸν ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου;

[i] λύω.
[k] πίπτω.
[l] σπάω.

6 Καὶ οὐκ [m] ἴσχυσαν [c] ἀνταποκριθῆναι αὐτῷ πρὸς ταῦτα.

[m] ἰσχύς.

7 ¶ [n] Ἔλεγε δὲ πρὸς τοὺς [o] κεκλημένους παραβολὴν, ἐπέχων πῶς τὰς πρωτοκλισίας [n] ἐξελέγοντο· λέγων πρὸς αὐτούς,

[n] λέγω.
[o] καλέω.

8 Ὅταν [o] κληθῇς ὑπό τινος εἰς γάμους, μὴ [p] κατακλιθῇς εἰς τὴν πρωτοκλισίαν· μήποτε [q] ἐντιμότερός σου [c] ᾖ [o] κεκλημένος ὑπ' αὐτοῦ.

[p] κλίνω.
[q] τίω.

[r] εἴρω. 9 Καὶ [b] ἐλθὼν ὁ σὲ καὶ αὐτὸν καλέσας, [r] ἐρεῖ
[s] δίδωμι. σοι, [s] Δὸς τούτῳ τόπον· καὶ τότε [t] ἄρξῃ μετ᾽ αἰ-
[t] ἄρχω. σχύνης τὸν ἔσχατον τόπον κατέχειν.

[u] πείρω. 10 Ἀλλ᾽ ὅταν [o] κληθῇς, [u] πορευθεὶς [k] ἀν-
άπεσον εἰς τὸν ἔσχατον τόπον· ἵνα ὅταν [b] ἔλθῃ ὁ
[x] βαίνω. [o] κεκληκώς σε, εἴπῃ σοι, Φίλε, [x] προσανάβηθι
ἀνώτερον· τότε [c] ἔσται σοι δόξα ἐνώπιον τῶν
[y] κεῖμαι. [y] συνανακειμένων σοι.

[z] ὕψος. 11 Ὅτι πᾶς ὁ [z] ὑψῶν ἑαυτὸν, [a] ταπεινωθή-
[a] ταπεινός. σεται· καὶ ὁ [a] ταπεινῶν ἑαυτὸν, [z] ὑψωθήσεται.

[b] λέγω. 12 [b] Ἔλεγε δὲ καὶ τῷ [c] κεκληκότι αὐτὸν, Ὅ-
[c] καλέω. ταν ποιῇς ἄριστον ἢ δεῖπνον, μὴ φώνει τοὺς φίλους
σου, μηδὲ τοὺς ἀδελφούς σου, μηδὲ τοὺς συγγε-
νεῖς σου, μηδὲ γείτονας πλουσίους· μήποτε καὶ αὐ-
[d] γίνομαι. τοί σε [a] ἀντικαλέσωσι· καὶ [d] γένηταί σοι [e] ἀντα-
[e] δίδωμι. πόδομα.

13 Ἀλλ᾽ ὅταν ποιῇς δοχὴν, κάλει πτωχοὺς,
ἀναπήρους, χωλοὺς, τυφλούς·

[f] εἰμί. 14 Καὶ μακάριος [f] ἔσῃ· ὅτι οὐκ ἔχουσιν [c] ἀν-
ταποδοῦναί σοι· [e] ἀνταποδοθήσεται γάρ σοι ἐν
τῇ ἀναστάσει τῶν δικαίων.

[g] κεῖμαι. 15 ¶ Ἀκούσας δέ τις τῶν [g] συνανακειμένων
ταῦτα, εἶπεν αὐτῷ, Μακάριος ὃς φάγεται ἄρ-
τον ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.

[h] ποιέω. 16 Ὁ δὲ εἶπεν αὐτῷ, Ἄνθρωπός τις [h] ἐποί-
ησε δεῖπνον μέγα, καὶ ἐκάλεσε πολλούς.

[i] στέλλω. 17 Καὶ [i] ἀπέστειλε τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ
δείπνου εἰπεῖν τοῖς [c] κεκλημένοις, Ἔρχεσθε, ὅτι
ἤδη ἕτοιμά [f] ἐστι πάντα.

[k] ἄρχω. 18 Καὶ [k] ἤρξαντο ἀπὸ μιᾶς [l] παραιτεῖσθαι
[l] αἰτέω. πάντες. Ὁ πρῶτος εἶπεν αὐτῷ, Ἀγρὸν [m] ἠ-
[m] ἀγορά. γόρασα, καὶ ἔχω ἀνάγκην [n] ἐξελθεῖν καὶ [o] ἰδεῖν
[n] ἔρχομαι. αὐτόν· ἐρωτῶ σε, ἔχε με [p] παρῃτημένον.

[o] εἴδω. 19 Καὶ ἕτερος εἶπε, Ζεύγη βοῶν [m] ἠγόρασα
[p] αἰτέω. πέντε, καὶ [q] πορεύομαι δοκιμάσαι αὐτά· ἐρωτῶ
[q] πείρω. σε, ἔχε με παρῃτημένον.

[r] γυνή. 20 Καὶ ἕτερος εἶπε, [r] Γυναῖκα [s] ἔγημα,
[s] γάμος. καὶ διὰ τοῦτο οὐ δύναμαι [n] ἐλθεῖν.

21 Καὶ [d] παραγενόμενος ὁ δοῦλος ἐκεῖνος

[t] ἀπήγγειλε τῷ κυρίῳ αὐτοῦ ταῦτα. Τότε ὀργισθεὶς ὁ οἰκοδεσπότης εἶπε τῷ δούλῳ αὐτοῦ, [n] Ἔξελθε ταχέως εἰς τὰς πλατείας καὶ ῥύμας τῆς πόλεως, καὶ τοὺς πτωχοὺς καὶ ἀναπήρους καὶ χωλοὺς καὶ τυφλοὺς [u] εἰσάγαγε ὧδε.

[t] ἀγγέλλω.
[u] ἄγω.

22 Καὶ εἶπεν ὁ δοῦλος, Κύριε, [d] γέγονεν ὡς [x] ἐπέταξας, καὶ ἔτι τόπος [f] ἐστί.

[x] τάσσω.

23 Καὶ εἶπεν ὁ κύριος πρὸς τὸν δοῦλον, [n] Ἔξελθε εἰς τὰς ὁδοὺς καὶ φραγμοὺς, καὶ [y] ἀνάγκασον [n] εἰσελθεῖν, ἵνα [z] γεμισθῇ ὁ οἶκός μου.

[y] ἀνάγκη.
[z] γέμω.

24 Λέγω γὰρ ὑμῖν ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν [a] κεκλημένων [b] γεύσεταί μου τοῦ δείπνου.

[a] καλέω.
[b] γεύω.

25 ¶ [c] Συνεπορεύοντο δὲ αὐτῷ ὄχλοι πολλοί· καὶ [d] στραφεὶς εἶπε πρὸς αὐτοὺς,

[c] πείρω.
[d] στρέφω.

26 Εἴ τις ἔρχεται πρός με, καὶ οὐ μισεῖ τὸν πατέρα ἑαυτοῦ καὶ τὴν μητέρα, καὶ τὴν [e] γυναῖκα, καὶ τὰ τέκνα, καὶ τοὺς ἀδελφοὺς, καὶ τὰς ἀδελφὰς, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχὴν, οὐ δύναταί μου μαθητὴς [f] εἶναι.

[e] γυνή.
[f] εἰμί.

27 Καὶ ὅστις οὐ βαστάζει τὸν σταυρὸν αὐτοῦ, καὶ ἔρχεται ὀπίσω μου, οὐ δύναταί μου [f] εἶναι μαθητής.

28 Τίς γὰρ ἐξ ὑμῶν θέλων πύργον οἰκοδομῆσαι, οὐχὶ πρῶτον [g] καθίσας ψηφίζει τὴν δαπάνην, εἰ ἔχει τὰ πρὸς ἀπαρτισμὸν;

//
[g] ἕζω.

29 Ἵνα μήποτε, [h] θέντος αὐτοῦ θεμέλιον, καὶ μὴ [i] ἰσχύοντος [k] ἐκτελέσαι, πάντες οἱ θεωροῦντες [l] ἄρξονται ἐμπαίζειν αὐτῷ,

[h] τίθημι.
[i] ἰσχύς.
[k] τέλος.

30 Λέγοντες, Ὅτι οὗτος ὁ ἄνθρωπος [l] ἤρξατο οἰκοδομεῖν, καὶ οὐκ [i] ἴσχυσεν [k] ἐκτελέσαι.

[l] ἄρχω. //

31 Ἢ τίς βασιλεὺς [c] πορευόμενος συμβαλεῖν ἑτέρῳ βασιλεῖ εἰς πόλεμον, οὐχὶ [g] καθίσας πρῶτον βουλεύεται εἰ δυνατός ἐστιν ἐν δέκα χιλιάσιν [m] ἀπαντῆσαι τῷ μετὰ εἴκοσι χιλιάδων ἐρχομένῳ ἐπ' αὐτόν;

[m] ἄντα.

32 Εἰ δὲ μή γε, ἔτι αὐτοῦ πόῤῥω [f] ὄντος, πρεσβείαν [n] ἀποστείλας, ἐρωτᾷ τὰ πρὸς εἰρήνην.

[n] στέλλω.

33 Οὕτως οὖν, πᾶς ἐξ ὑμῶν ὃς οὐκ [o] ἀπο-

[o] τάσσω.

τάσσεται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναταί μου [f] εἶναι μαθητής.

[p] μωρός.
[q] ἀρτύω.

34 Καλὸν τὸ ἅλας· ἐὰν δὲ τὸ ἅλας [p] μωρανθῇ, ἐν τίνι [q] ἀρτυθήσεται;

35 Οὔτε εἰς γῆν, οὔτε εἰς κοπρίαν εὔθετόν [f] ἐστιν· ἔξω βάλλουσιν αὐτό. Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

a 8 Κεφ. ιε΄. Cap. XV.

[a] εἰμί.
[b] ἐγγύς.
[c] γογγύζω.

1 [a] Ἦσαν δὲ [b] ἐγγίζοντες αὐτῷ πάντες οἱ τελῶναι καὶ οἱ ἁμαρτωλοί, ἀκούειν αὐτοῦ.

2 Καὶ [c] διεγόγγυζον οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς, λέγοντες, Ὅτι οὗτος ἁμαρτωλοὺς προσδέχεται, καὶ συνεσθίει αὐτοῖς.

3 Εἶπε δὲ πρὸς αὐτοὺς τὴν παραβολὴν ταύτην, λέγων,

[d] ὀλλύω.
[e] πορεύω.
[f] εὑρίσκω.
[g] τίθημι.
[h] ἔρχομαι.

4 Τίς ἄνθρωπος ἐξ ὑμῶν ἔχων ἑκατὸν πρόβατα, καὶ [d] ἀπολέσας ἓν ἐξ αὐτῶν, οὐ καταλείπει τὰ ἐννενηκονταεννέα ἐν τῇ ἐρήμῳ, καὶ [e] πορεύεται ἐπὶ τὸ [d] ἀπολωλὸς, ἕως [f] εὕρῃ αὐτό;

5 Καὶ [f] εὑρὼν [g] ἐπιτίθησιν ἐπὶ τοὺς ὤμους ἑαυτοῦ χαίρων.

6 Καὶ [h] ἐλθὼν εἰς τὸν οἶκον, συγκαλεῖ τοὺς φίλους καὶ τοὺς γείτονας· λέγων αὐτοῖς, Συγχάρητέ μοι, ὅτι [f] εὗρον τὸ πρόβατόν μου τὸ [d] ἀπολωλός.

[i] νόος.

7 Λέγω ὑμῖν ὅτι οὕτω χαρὰ [a] ἔσται ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ [i] μετανοοῦντι, ἢ ἐπὶ ἐννενηκονταεννέα δικαίοις, οἵτινες οὐ χρείαν ἔχουσι μετανοίας.

[k] εἷς.

8 Ἢ τίς γυνὴ, δραχμὰς ἔχουσα δέκα, ἐὰν [d] ἀπολέσῃ δραχμὴν [k] μίαν, οὐχὶ ἅπτει λύχνον, καὶ σαροῖ τὴν οἰκίαν, καὶ ζητεῖ ἐπιμελῶς, ἕως ὅτου [f] εὕρῃ;

[l] χαίρω.

9 Καὶ [f] εὑροῦσα συγκαλεῖται τὰς φίλας καὶ τὰς γείτονας· λέγουσα, [l] Συγχάρητέ μοι, ὅτι [f] εὗρον τὴν δραχμὴν ἣν [d] ἀπώλεσα.

10 Οὕτω, λέγω ὑμῖν, χαρὰ γίνεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ ἐπὶ [k] ἑνὶ ἁμαρτωλῷ [i] μετανοοῦντι.

11 Εἶπε δὲ, Ἄνθρωπός τις εἶχε δύο υἱούς.

12 Καὶ εἶπεν ὁ νεώτερος αὐτῶν τῷ πατρὶ, Πάτερ, [m] δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. Καὶ [n] διεῖλεν αὐτοῖς τὸν βίον.

13 Καὶ μετ᾽ οὐ πολλὰς ἡμέρας [o] Συναγαγὼν ἅπαντα ὁ νεώτερος υἱὸς [p] ἀπεδήμησεν εἰς χώραν μακράν· καὶ ἐκεῖ [q] διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ, [r] ζῶν ἀσώτως.

14 [s] Δαπανήσαντος δὲ αὐτοῦ πάντα, [t] ἐγένετο λιμὸς [u] ἰσχυρὸς κατὰ τὴν χώραν ἐκείνην· καὶ αὐτὸς [x] ἤρξατο [y] ὑστερεῖσθαι.

15 Καὶ [z] πορευθεὶς [a] ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης· καὶ [b] ἔπεμψεν αὐτὸν εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους.

16 Καὶ [c] ἐπεθύμει [d] γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῶν [e] κερατίων ὧν ἤσθιον οἱ χοῖροι· καὶ οὐδεὶς [f] ἐδίδου αὐτῷ.

17 Εἰς ἑαυτὸν δὲ [g] ἐλθὼν, εἶπε, Πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ λιμῷ [h] ἀπόλλυμαι;

18 [i] Ἀναστὰς [k] πορεύσομαι πρὸς τὸν πατέρα μου· καὶ [l] ἐρῶ αὐτῷ, Πάτερ, [m] ἥμαρτον εἰς τὸν οὐρανὸν, καὶ ἐνώπιόν σου·

19 Καὶ οὐκέτι εἰμὶ ἄξιος [n] κληθῆναι υἱός σου· [o] ποίησόν με ὡς [p] ἕνα τῶν μισθίων σου.

20 Καὶ [q] ἀναστὰς [g] ἦλθε πρὸς τὸν πατέρα ἑαυτοῦ· ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος, εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ, καὶ [r] ἐσπλαγχνίσθη, καὶ [s] δραμὼν [t] ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ [u] κατεφίλησεν αὐτόν.

21 Εἶπε δὲ αὐτῷ ὁ υἱὸς, Πάτερ, [m] ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκέτι εἰμὶ ἄξιος [n] κληθῆναι υἱός σου.

22 Εἶπε δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ, [x] Ἐξενέγκατε τὴν στολὴν τὴν πρώτην, καὶ [y] ἐνδύσατε αὐτὸν, καὶ [f] δότε δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ, καὶ ὑποδήματα εἰς τοὺς πόδας.

23 Καὶ [x] ἐνέγκαντες τὸν μόσχον τὸν σιτευτὸν [z] θύσατε· καὶ φαγόντες [a] εὐφρανθῶμεν.

---

[m] δίδωμι.
[n] αἱρέω.
[o] ἄγω.
[p] δῆμος.
[q] Σκορπίος.
[r] ζάω.
[s] δαπανάω.
[t] γίνομαι.
[u] ἰσχύς.
[x] ἄρχω.
[y] ὕστερος.
[z] πείρω.
[a] κόλλα.
[b] πέμπω.
[c] θυμός.
[d] γέμω.
[e] κέρας.
[f] δίδωμι.
[g] ἔρχομαι.
[h] ὀλλύω.
[i] ἵστημι.
[k] πείρω.
[l] εἴρω.
[m] ἁμαρτάνω
[n] καλέω.
[o] ποιέω.
[p] εἷς.
[q] ἵστημι.
[r] σπλάγχνον
[s] τρέχω.
[t] πίπτω.
[u] φίλος.
[x] φέρω.
[y] δύω.
[z] θύω.
[a] φρὴν.

[b] εἰμί.
[c] ζάω.
[d] ὀλλύω.
[e] εὑρίσκω. //
[f] ἄρχω.
[g] ἐγγύς.
[h] ἀκούω.
[*] καλέω.
[i] εἷς.
[k] πυνθάνομαι.
[l] θύω.
[m] λαμβάνω.
[n] ὀργή.
[*] θέλω.
[o] ἔρχομαι.
[p] κρίνω.
[q] δίδωμι.
[r] χαίρω.

24 Ὅτι οὗτος ὁ υἱός μου νεκρὸς [b] ἦν, καὶ [c] ἀνέζησε· καὶ [d] ἀπολωλὼς [b] ἦν, καὶ [e] εὑρέθη. Καὶ [f] ἤρξαντο εὐφραίνεσθαι.

25 [b] Ἦν δὲ ὁ υἱὸς αὐτοῦ ὁ πρεσβύτερος ἐν ἀγρῷ· καὶ ὡς ἐρχόμενος [g] ἤγγισε τῇ οἰκίᾳ, [h] ἤκουσε συμφωνίας καὶ χορῶν·

26 Καὶ [*] προσκαλεσάμενος [i] ἕνα τῶν παίδων, [k] ἐπυνθάνετο τί εἴη ταῦτα.

27 Ὁ δὲ εἶπεν αὐτῷ, Ὅτι ὁ ἀδελφός σου ἥκει· καὶ [l] ἔθυσεν ὁ πατήρ σου τὸν μόσχον τὸν σιτευτὸν, ὅτι ὑγιαίνοντα αὐτὸν [m] ἀπέλαβεν.

28 [n] Ὠργίσθη δὲ, καὶ οὐκ [*] ἤθελεν [o] εἰσελθεῖν· ὁ οὖν πατὴρ αὐτοῦ [o] ἐξελθὼν παρεκάλει αὐτόν.

29 Ὁ δὲ [p] ἀποκριθεὶς εἶπε τῷ πατρὶ, Ἰδοὺ, τοσαῦτα ἔτη δουλεύω σοι, καὶ οὐδέποτε ἐντολήν σου [o] παρῆλθον, καὶ ἐμοὶ οὐδέποτε [q] ἔδωκας ἔριφον ἵνα μετὰ τῶν φίλων μου [a] εὐφρανθῶ.

30 Ὅτε δὲ ὁ υἱός σου οὗτος ὁ καταφαγών σου τὸν βίον μετὰ πορνῶν, [o] ἦλθεν, [l] ἔθυσας αὐτῷ τὸν μόσχον τὸν σιτευτόν.

31 Ὁ δὲ εἶπεν αὐτῷ, Τέκνον, σὺ πάντοτε μετ᾽ ἐμοῦ εἶ, καὶ πάντα τὰ ἐμὰ σά [b] ἐστιν·

32 [a] Εὐφρανθῆναι δὲ καὶ [r] χαρῆναι ἔδει, ὅτι ὁ ἀδελφός σου οὗτος νεκρὸς [b] ἦν, καὶ [c] ἀνέζησε· καὶ [d] ἀπολωλὼς [b] ἦν, καὶ εὑρέθη.

Κεφ. ιϛ΄. Cap. XVI.

[a] λέγω.
[b] εἰμί.
[c] βάλλω.
[d] φωνή.
[e] δίδωμι.
[f] δύναμαι.
[g] αἱρέω.
[h] γινώσκω.
[i] ἵστημι.
[k] δέχομαι.

[a] Ἔλεγε δὲ καὶ πρὸς τοὺς μαθητὰς αὐτοῦ, Ἄνθρωπός τις [b] ἦν πλούσιος, ὃς εἶχεν οἰκονόμον· καὶ οὗτος [c] διεβλήθη αὐτῷ ὡς διασκορπίζων τὰ ὑπάρχοντα αὐτοῦ.

2 Καὶ [d] φωνήσας αὐτὸν, εἶπεν αὐτῷ, Τί τοῦτο ἀκούω περὶ σοῦ; [e] ἀπόδος τὸν λόγον τῆς οἰκονομίας σου· οὐ γὰρ [f] δυνήσῃ ἔτι οἰκονομεῖν.

3 Εἶπε δὲ ἐν ἑαυτῷ ὁ οἰκονόμος, Τί ποιήσω, ὅτι ὁ κύριός μου [g] ἀφαιρεῖται τὴν οἰκονομίαν ἀπ᾽ ἐμοῦ; σκάπτειν οὐκ ἰσχύω, ἐπαιτεῖν αἰσχύνομαι·

4 [h] Ἔγνων τί ποιήσω, ἵνα ὅταν [i] μετασταθῶ τῆς οἰκονομίας, [k] δέξωνταί με εἰς τοὺς οἴκους αὐτῶν.

5 Καὶ [l] προσκαλεσάμενος [m] ἕνα ἕκαστον τῶν [n] χρεωφειλετῶν τοῦ κυρίου ἑαυτοῦ, [o] ἔλεγε τῷ πρώτῳ, Πόσον ὀφείλεις τῷ κυρίῳ μου;

[l] καλέω.
[m] εἷς.
[n] ὀφείλω.

6 Ὁ δὲ εἶπεν, Ἑκατὸν βάτους ἐλαίου. Καὶ εἶπεν αὐτῷ, [k] Δέξαι σου τὸ γράμμα, καὶ [*] καθίσας ταχέως [p] γράψον πεντήκοντα.

[o] λέγω.
[*] ἕζω.
[p] γράφω.

7 Ἔπειτα ἑτέρῳ εἶπε, Σὺ δὲ πόσον ὀφείλεις; Ὁ δὲ εἶπεν, Ἑκατὸν κόρους σίτου. Καὶ λέγει αὐτῷ, [k] Δέξαι σου τὸ γράμμα, καὶ γράψον ὀγδοήκοντα.

8 Καὶ [q] ἐπήνεσεν ὁ κύριος τὸν οἰκονόμον τῆς ἀδικίας, ὅτι φρονίμως [r] ἐποίησεν· ὅτι οἱ υἱοὶ τοῦ αἰῶνος τούτου φρονιμώτεροι ὑπὲρ τοὺς υἱοὺς τοῦ φωτὸς εἰς τὴν γενεὰν τὴν ἑαυτῶν [b] εἰσι.

[q] αἰνέω.
[r] ποιέω.

9 Κἀγὼ ὑμῖν λέγω, [r] Ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας· ἵνα ὅταν [ſ] ἐκλίπητε, [k] δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς.

[ſ] λείπω.

10 Ὁ πιστὸς ἐν [t] ἐλαχίστῳ, καὶ ἐν πολλῷ πιστός [b] ἐστι· καὶ ὁ ἐν [t] ἐλαχίστῳ ἄδικος, καὶ ἐν πολλῷ ἄδικός [b] ἐστιν.

[t] ἐλαχύς.

11 Εἰ οὖν ἐν τῷ ἀδίκῳ μαμωνᾷ πιστοὶ οὐκ [u] ἐγένεσθε, τὸ ἀληθινὸν τίς ὑμῖν πιστεύσει;

[u] γίνομαι.

12 Καὶ εἰ ἐν τῷ ἀλλοτρίῳ πιστοὶ οὐκ [u] ἐγένεσθε, τὸ ὑμέτερον τίς ὑμῖν [c] δώσει;

13 Οὐδεὶς οἰκέτης δύναται [x] δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ [m] ἑνὸς [y] ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει· οὐ [f] δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ.

[x] δύο.
[y] ἔχω.

14 [z] Ἤκουον δὲ ταῦτα πάντα καὶ οἱ Φαρισαῖοι, φιλάργυροι ὑπάρχοντες· καὶ [a] ἐξεμυκτήριζον αὐτόν.

[z] ἀκούω.
[a] μυκτήρ.

15 Καὶ εἶπεν αὐτοῖς, Ὑμεῖς [b] ἐστε οἱ δικαιοῦντες ἑαυτοὺς ἐνώπιον τῶν ἀνθρώπων· ὁ δὲ Θεὸς γινώσκει τὰς καρδίας ὑμῶν· ὅτι τὸ ἐν ἀνθρώποις ὑψηλὸν, βδέλυγμα ἐνώπιον τοῦ Θεοῦ [b] ἐστιν.

[b] εἰμί.

16 Ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου

ἀπὸ τότε ἡ βασιλεία τοῦ Θεοῦ ἐυαγγελίζεται, καὶ πᾶς εἰς αὐτὴν βιάζεται.

17 [c] Εὐκοπώτερον δέ [b] ἐστι τὸν οὐρανὸν καὶ τὴν γῆν [d] παρελθεῖν, ἢ τοῦ νόμου μίαν κεραίαν [c] πεσεῖν.

[c] κόπτω.
[d] ἔρχομαι.
[e] πίπτω.

18 Πᾶς ὁ [f] ἀπολύων τὴν γυναῖκα αὐτοῦ, καὶ γαμῶν ἑτέραν, μοιχεύει· καὶ πᾶς ὁ [f] ἀπολελυμένην ἀπὸ ἀνδρὸς γαμῶν μοιχεύει.

[f] λύω.

19 ¶ Ἄνθρωπος δέ τις [b] ἦν πλούσιος, καὶ [g] ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον, εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς.

[g] δύω.

20 Πτωχὸς δέ τις [b] ἦν ὀνόματι Λάζαρος ὃς [*] ἐβέβλητο πρὸς τὸν πυλῶνα αὐτοῦ [h] ἡλκωμένος.

[*] βάλλω.
[h] ἕλκω.

21 Καὶ [i] ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου· ἀλλὰ καὶ οἱ [k] κύνες ἐρχόμενοι [l] ἀπέλειχον τὰ [h] ἕλκη αὐτοῦ.

[i] θυμός.
[k] κύων.
[l] λείχω.

22 [m] Ἐγένετο δὲ [n] ἀποθανεῖν τὸν πτωχὸν, καὶ [o] ἀπενεχθῆναι αὐτὸν ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον τοῦ Ἀβραάμ· [n] ἀπέθανε δὲ καὶ ὁ πλούσιος, καὶ [p] ἐτάφη.

[m] γίνομαι.
[n] θνήσκω.
[o] φέρω.
[p] θάπτω.

23 Καὶ ἐν τῷ ᾅδῃ [q] ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ, ὑπάρχων ἐν βασάνοις, [r] ὁρᾷ τὸν Ἀβραὰμ ἀπὸ μακρόθεν καὶ Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ.

[q] αἴρω.
[r] ὁράω.

24 Καὶ αὐτὸς φωνήσας εἶπε, Πάτερ Ἀβραὰμ, [s] ἐλέησόν με, καὶ [t] πέμψον Λάζαρον, ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος, καὶ [u] καταψύξῃ τὴν γλῶσσάν μου· ὅτι [x] ὀδυνῶμαι ἐν τῇ [y] φλογὶ ταύτῃ.

[s] ἔλεος.
[t] πέμπω.
[u] ψύχω.
[x] ὀδύνη.
[y] φλέγω.

25 Εἶπε δὲ Ἀβραὰμ, Τέκνον, [z] μνήσθητι ὅτι [a] ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ ὅδε παρακαλεῖται, σὺ δὲ [b] ὀδυνᾶσαι.

[z] μιμνήσκομαι.
[a] λαμβάνω.
[b] ὀδύνη.

26 Καὶ ἐπὶ πᾶσι τούτοις, μεταξὺ ἡμῶν καὶ ὑμῶν χάσμα μέγα [c] ἐστήρικται· ὅπως οἱ θέλοντες [d] διαβῆναι ἐντεῦθεν πρὸς ὑμᾶς, μὴ [e] δύνωνται, μηδὲ οἱ ἐκεῖθεν πρὸς ἡμᾶς [f] διαπερῶσιν.

[c] στηρίζω.
[d] βαίνω.
[e] δύναμαι.
[f] περάω.

27 Εἶπε δὲ, Ἐρωτῶ οὖν σε πάτερ ἵνα [g] πέμψῃς αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρός μου·

[g] πέμπω.

28 Ἔχω γὰρ πέντε ἀδελφούς· ὅπως διαμαρτύρηται αὐτοῖς, ἵνα μὴ καὶ αὐτοὶ [h] ἔλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου.

[h] ἔρχομαι.

29 Λέγει αὐτῷ Ἀβραάμ, Ἔχουσι Μωσέα καὶ τοὺς προφήτας· [i] ἀκουσάτωσαν αὐτῶν.

[i] ἀκούω.

30 Ὁ δὲ εἶπεν, Οὐχὶ πάτερ Ἀβραάμ· ἀλλ' ἐάν τις ἀπὸ νεκρῶν [k] πορευθῇ πρὸς αὐτούς, [l] μετανοήσουσιν.

[k] πείρω.
[l] νόος.

31 Εἶπε δὲ αὐτῷ, Εἰ Μωσέως καὶ τῶν προφητῶν οὐκ ἀκούουσιν, οὐδὲ ἐάν τις ἐκ νεκρῶν [m] ἀναστῇ, [n] πεισθήσονται.

[n] πείθω.

Κεφ. ιζ'. Cap. XVII.

[a] Εἶπε δὲ πρὸς τοὺς μαθητάς, [a] Ἀνένδεκτόν [b] ἐστι μὴ [c] ἐλθεῖν τὰ σκάνδαλα· οὐαὶ δὲ δι' οὗ ἔρχεται.

[a] δέχομαι.
[b] εἰμί.
[c] ἔρχομαι.

2 [d] Λισιτελεῖ αὐτῷ εἰ μύλος ὀνικὸς [e] περίκειται περὶ τὸν τράχηλον αὐτοῦ, καὶ [f] ἔῤῥιπται εἰς θάλασσαν, ἢ ἵνα σκανδαλίσῃ [g] ἕνα τῶν μικρῶν τούτων.

[d] τέλος.
[e] κεῖμαι.
[f] ῥίπτω.
[g] εἷς.

3 Προσέχετε ἑαυτοῖς. Ἐὰν δὲ ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, [h] ἐπιτίμησον αὐτῷ· καὶ ἐὰν [i] μετανοήσῃ, [k] ἄφες αὐτῷ.

[h] τίω.
[i] νόος.
[k] ἵω.

4 Καὶ ἐὰν ἑπτάκις τῆς ἡμέρας ἁμάρτῃ εἰς σέ, καὶ ἑπτάκις τῆς ἡμέρας [l] ἐπιστρέψῃ ἐπὶ σέ, λέγων, Μετανοῶ, ἀφήσεις αὐτῷ.

[l] στρέφω.

5 ¶ Καὶ εἶπον οἱ ἀπόστολοι τῷ Κυρίῳ, [m] Πρόσθες ἡμῖν πίστιν.

[m] τίθημι.

6 Εἶπε δὲ ὁ Κύριος, Εἰ εἴχετε πίστιν ὡς κόκκον σινάπεως, [n] ἐλέγετε ἂν τῇ συκαμίνῳ ταύτῃ, [o] Ἐκριζώθητι, καὶ [p] φυτεύθητι ἐν τῇ θαλάσσῃ· καὶ [q] ὑπήκουσεν ἂν ὑμῖν.

[n] λέγω.
[o] ῥίζα.
[p] φύω.
[q] ἀκούω.

7 Τίς δὲ ἐξ ὑμῶν δοῦλον ἔχων ἀροτριῶντα, ἢ ποιμαίνοντα, ὃς εἰσελθόντι ἐκ τοῦ ἀγροῦ [r] ἐρεῖ εὐθέως; [s] Παρελθὼν [s] ἀνάπεσαι.

[r] εἴρω.
[s] πίπτω.

8 Ἀλλ' οὐχὶ [r] ἐρεῖ αὐτῷ; [u] Ἑτοίμασον τί δειπνήσω, καὶ περιζωσάμενος διακόνει μοι, ἕως φάγω καὶ [x] πίω· καὶ μετὰ ταῦτα φάγεσαι καὶ [x] πίεσαι σύ.

[u] ἕτοιμος.
[x] πίνω.

9 Μὴ χάριν ἔχει τῷ δούλῳ ἐκείνῳ ὅτι ἐποίησε τὰ [y] διαταχθέντα αὐτῷ; οὐ δοκῶ.

10 Οὕτω καὶ ὑμεῖς, ὅταν ποιήσητε πάντα τὰ [y] διαταχθέντα ὑμῖν, λέγετε, Ὅτι δοῦλοι ἀχρεῖοί [b] ἐσμεν, ὅτι ὃ ὠφείλομεν [z] ποιῆσαι, [z] πεποιήκαμεν.

11 ¶ Καὶ [a] ἐγένετο ἐν τῷ [b] πορεύεσθαι αὐτὸν εἰς Ἱερουσαλήμ, καὶ αὐτὸς [c] διήρχετο διὰ μέσου Σαμαρείας καὶ Γαλιλαίας.

12 Καὶ [c] εἰσερχομένου αὐτοῦ εἴς τινα κώμην, [d] ἀπήντησαν αὐτῷ δέκα λεπροὶ ἄνδρες, οἳ [e] ἔστησαν [f] πόῤῥωθεν.

13 Καὶ αὐτοὶ [g] ἦραν φωνήν, λέγοντες, Ἰησοῦ [h] ἐπιστάτα, [i] ἐλέησον ἡμᾶς.

14 Καὶ [k] ἰδὼν εἶπεν αὐτοῖς, [b] Πορευθέντες [l] ἐπιδείξατε ἑαυτοὺς τοῖς ἱερεῦσι. Καὶ [a] ἐγένετο ἐν τῷ ὑπάγειν αὐτοὺς, [m] ἐκαθαρίσθησαν.

15 Εἷς δὲ ἐξ αὐτῶν, [n] ἰδὼν ὅτι [o] ἰάθη, [p] ὑπέστρεψε μετὰ φωνῆς μεγάλης δοξάζων τὸν Θεόν.

16 Καὶ [q] ἔπεσεν ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας αὐτοῦ, εὐχαριστῶν αὐτῷ· καὶ αὐτὸς [r] ἦν Σαμαρείτης.

17 [s] Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν, Οὐχὶ οἱ δέκα [m] ἐκαθαρίσθησαν; οἱ δὲ ἐννέα ποῦ;

18 Οὐχ [t] εὑρέθησαν [p] ὑποστρέψαντες [u] δοῦναι δόξαν τῷ Θεῷ, εἰ μὴ ὁ ἀλλογενὴς οὗτος.

19 Καὶ εἶπεν αὐτῷ, [h] Ἀναστὰς [b] πορεύου· ἡ πίστις σου [x] σέσωκέ σε.

20 ¶ [y] Ἐπερωτηθεὶς δὲ ὑπὸ τῶν Φαρισαίων πότε ἔρχεται ἡ βασιλεία τοῦ Θεοῦ, [s] ἀπεκρίθη αὐτοῖς, καὶ εἶπεν, Οὐκ ἔρχεται ἡ βασιλεία τοῦ Θεοῦ μετὰ παρατηρήσεως·

21 Οὐδὲ [z] ἐροῦσιν, Ἰδοὺ ὧδε, ἤ, ἰδοὺ ἐκεῖ· ἰδοὺ γὰρ ἡ βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν [a] ἐστίν.

22 Εἶπε δὲ πρὸς τοὺς μαθητάς, [b] Ἐλεύσονται ἡμέραι ὅτε [c] ἐπιθυμήσετε μίαν τῶν ἡμερῶν τοῦ υἱοῦ τοῦ ἀνθρώπου [d] ἰδεῖν, καὶ οὐκ [e] ὄψεσθε.

23 Καὶ [z] ἐροῦσιν ὑμῖν, Ἰδοὺ ὧδε, ἤ, ἰδοὺ ἐκεῖ· μὴ [b] ἀπέλθητε, μηδὲ [f] διώξητε.

24 Ὥσπερ

y τάσσω.
z ποιέω.
a γίνομαι.
b πορεύω.
c ἔρχομαι.
d ἀντάω.
e ἵστημι.
f πόῤῥω.
g αἴρω.
h ἵστημι.
i ἔλεος.
k εἴδω.
l δείκνυμι.
m καθαίρω.
n εἴδω.
o ἰάομαι.
p στρέφω.
q πίπτω.
r εἰμί.
s κρίνω.
t εὑρίσκω.
u δίδωμι.
x σόος.
y ἐρωτάω.
z εἴρω.
a εἰμί.
b ἔρχομαι.
c θυμός.
d εἴδω.
e ὄπτομαι.
f διώκω.

24 Ὥσπερ γὰρ ἡ ἀστραπὴ ἡ ἀστράπτουσα ἐκ τῆς ὑπ' οὐρανὸν, εἰς τὴν ὑπ' οὐρανὸν λάμπει· οὕτως [a] ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ ἡμέρᾳ αὐτοῦ.

25 Πρῶτον δὲ δεῖ αὐτὸν πολλὰ [h] παθεῖν, καὶ [i] ἀποδοκιμασθῆναι ἀπὸ τῆς γενεᾶς ταύτης.

[h] πάσχω.
[i] δοκιμή.

26 Καὶ καθὼς [k] ἐγένετο ἐν ταῖς ἡμέραις τοῦ Νῶε, οὕτως [a] ἔσται καὶ ἐν ταῖς ἡμέραις τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

[k] γίνομαι.

27 [l] Ἤσθιον, [m] ἔπινον, [n] ἐγάμουν, [n] ἐξεγαμίζοντο, ἄχρι ἧς ἡμέρας [b] εἰσῆλθε Νῶε εἰς τὴν κιβωτὸν· καὶ [b] ἦλθεν ὁ κατακλυσμὸς, καὶ [o] ἀπώλεσεν ἅπαντας.

[l] ἐσθίω.
[m] πίνω.
[n] γάμος.
[o] ὀλλύω.

28 Ὁμοίως καὶ ὡς [k] ἐγένετο ἐν ταῖς ἡμέραις Λώτ· [l] ἤσθιον, [m] ἔπινον, [p] ἠγόραζον, [q] ἐπώλουν, [r] ἐφύτευον, [s] ᾠκοδόμουν·

[p] ἀγορά.
[q] πωλέω.
[r] φύω.
[s] δῆμος.

29 Ἧ δὲ ἡμέρᾳ [b] ἐξῆλθε Λὼτ ἀπὸ Σοδόμων, [t] ἔβρεξε πῦρ καὶ θεῖον ἀπ' οὐρανοῦ, καὶ [q] ἀπώλεσεν ἅπαντας.

[t] βρέχω.

30 Κατὰ ταῦτα [a] ἔσται ᾗ ἡμέρᾳ ὁ υἱὸς τοῦ ἀνθρώπου ἀποκαλύπτεται.

31 Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὃς [a] ἔσται ἐπὶ τοῦ δώματος, καὶ τὰ σκεύη αὐτοῦ ἐν τῇ οἰκίᾳ, μὴ [u] καταβάτω [x] ἆραι αὐτά· καὶ ὁ ἐν τῷ ἀγρῷ, ὁμοίως μὴ [y] ἐπιστρεψάτω εἰς τὰ ὀπίσω.

[u] βαίνω.
[x] αἴρω.
[y] στρέφω.

32 [z] Μνημονεύετε τῆς γυναικὸς Λώτ.

[z] μιμνήσκομαι.

33 Ὃς ἐὰν ζητήσῃ τὴν ψυχὴν αὐτοῦ [a] σῶσαι, [b] ἀπολέσει αὐτήν, καὶ ὃς ἐὰν [b] ἀπολέσῃ αὐτὴν, [c] ζωογονήσει αὐτήν.

[a] σῶος.
[b] ὀλλύω.
[c] γίνομαι.

34 Λέγω ὑμῖν, ταύτῃ τῇ νυκτὶ [d] ἔσονται δύο ἐπὶ κλίνης μιᾶς· ὁ εἷς [e] παραληφθήσεται, καὶ ὁ ἕτερος [f] ἀφεθήσεται.

[d] εἰμί.
[e] λαμβάνω.
[f] ἕω.

35 Δύο [d] ἔσονται [g] ἀλήθουσαι ἐπὶ τὸ αὐτό· ἡ μία [e] παραληφθήσεται, καὶ ἡ ἑτέρα [f] ἀφεθήσεται.

[g] ἀλεύω.

36 Δύο [d] ἔσονται ἐν τῷ ἀγρῷ· ὁ εἷς [e] παραληφθήσεται, καὶ ὁ ἕτερος [f] ἀφεθήσεται.

37 Καὶ [h] ἀποκριθέντες λέγουσιν αὐτῷ, Ποῦ Κύριε; Ὁ δὲ εἶπεν αὐτοῖς, Ὅπου τὸ σῶμα, ἐκεῖ [i] συναχθήσονται οἱ ἀετοί.

[h] κρίνω.
[i] ἄγω.

Κεφ.

Κεφ. ιή. Cap. XVIII.

a λέγω.

[1] [a] Ἔλεγε δὲ καὶ παραβολὴν αὐτοῖς, πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι, καὶ μὴ ἐκκακεῖν·

b εἰμί.
c τρέπω.

2 Λέγων, Κριτής τις [b] ἦν ἔν τινι πόλει τὸν Θεὸν μὴ φοβούμενος, καὶ ἄνθρωπον μὴ [c] ἐντρεπόμενος.

d ἔρχομαι.
e δίκη.

3 Χήρα δέ τις [b] ἦν ἐν τῇ πόλει ἐκείνῃ· καὶ [d] ἤρχετο πρὸς αὐτὸν, λέγουσα, [e] Ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου.

f θέλω.

4 Καὶ οὐκ [f] ἠθέλησεν ἐπὶ χρόνον· μετὰ δὲ ταῦτα εἶπεν ἐν ἑαυτῷ, Εἰ καὶ τὸν Θεὸν μὴ φοβοῦμαι, καὶ ἄνθρωπον οὐκ ἐντρέπομαι·

g ὤψ.

5 Διά γε τὸ παρέχειν μοι κόπον τὴν χήραν ταύτην, [e] ἐκδικήσω αὐτήν· ἵνα μὴ εἰς τέλος ἐρχομένη [g] ὑπωπιάζῃ με.

6 Εἶπε δὲ ὁ Κύριος, Ἀκούσατε τί ὁ κριτὴς τῆς ἀδικίας λέγει·

7 Ὁ δὲ Θεὸς οὐ μὴ ποιήσει τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν αὐτοῦ, τῶν βοώντων πρὸς αὐτὸν ἡμέρας καὶ νυκτὸς, καὶ μακροθυμῶν ἐπ' αὐτοῖς;

h εὑρίσκω.

8 Λέγω ὑμῖν ὅτι ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν τάχει· πλὴν ὁ υἱὸς τοῦ ἀνθρώπου [d] ἐλθὼν ἆρα [h] εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς;

i πείθω.
b εἰμί.

9 ¶ Εἶπε δὲ καὶ πρός τινας τοὺς [i] πεποιθότας ἐφ' ἑαυτοῖς ὅτι [b] εἰσὶ δίκαιοι, [k] καὶ ἐξουθενοῦντας τοὺς λοιποὺς, τὴν παραβολὴν ταύτην,

l βαίνω.
m εὐχή.

10 Ἄνθρωποι δύο [l] ἀνέβησαν εἰς τὸ ἱερὸν [m] προσεύξασθαι· ὁ εἷς, φαρισαῖος, καὶ ὁ ἕτερος, τελώνης.

n ἵστημι.

11 Ὁ φαρισαῖος [n] σταθεὶς πρὸς ἑαυτὸν ταῦτα [m] προσηύχετο, Ὁ Θεὸς εὐχαριστῶ σοι ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί· ἢ καὶ ὡς οὗτος ὁ τελώνης.

12 Νηστεύω δὶς τοῦ σαββάτου, ἀποδεκατῶ πάντα ὅσα κτῶμαι.

13 Καὶ ὁ τελώνης μακρόθεν [n] ἑστὼς οὐκ [f] ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν

[o]ἐπᾶραι, ἀλλ' ἔτυπτε τὸ στῆθος αὐτοῦ, λέγων, Ὁ Θεὸς [p]ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

14 Λέγω ὑμῖν, [l]κατέβη οὗτος [d]δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ, ἢ ἐκεῖνος· ὅτι πᾶς ὁ [q]ὑψῶν ἑαυτὸν, [r]ταπεινωθήσεται· ὁ δὲ [r]ταπεινῶν ἑαυτὸν, [q]ὑψωθήσεται.

15 ¶ [s]Προσέφερον δὲ αὐτῷ καὶ τὰ βρέφη, ἵνα αὐτῶν [t]ἅπτηται· [u]ἰδόντες δὲ οἱ μαθηταὶ [x]ἐπετίμησαν αὐτοῖς.

16 Ὁ δὲ Ἰησοῦς [y]προσκαλεσάμενος αὐτὰ, εἶπεν, [z]Ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτά· τῶν γὰρ τοιούτων [a]ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ.

17 Ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν μὴ [b]δέξηται τὴν βασιλείαν τοῦ Θεοῦ ὡς παιδίον, οὐ μὴ [c]εἰσέλθῃ εἰς αὐτήν.

18 ¶ Καὶ [d]ἐπηρώτησέ τις αὐτὸν ἄρχων, λέγων, Διδάσκαλε ἀγαθὲ, τί ποιήσας ζωὴν αἰώνιον [e]κληρονομήσω;

19 Εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς, Τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς, ὁ Θεός.

20 Τὰς ἐντολὰς [f]οἶδας, Μὴ μοιχεύσῃς, Μὴ φονεύσῃς, Μὴ κλέψῃς, Μὴ ψευδομαρτυρήσῃς· Τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα σου.

21 Ὁ δὲ εἶπε, Ταῦτα πάντα [g]ἐφυλαξάμην ἐκ νεότητός μου.

22 Ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς εἶπεν αὐτῷ, Ἔτι ἕν σοι λείπει· πάντα ὅσα ἔχεις πώλησον, καὶ [h]διάδος πτωχοῖς, καὶ [i]ἕξεις θησαυρὸν ἐν οὐρανῷ· καὶ δεῦρο, ἀκολούθει μοι.

23 Ὁ δὲ, ἀκούσας ταῦτα, περίλυπος [k]ἐγένετο· [a]ἦν γὰρ πλούσιος σφόδρα.

24 [i]Ἰδὼν δὲ αὐτὸν ὁ Ἰησοῦς περίλυπον [k]γενόμενον, εἶπε, Πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες [c]εἰσελεύσονται εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

25 [l]Εὐκοπώτερον γάρ [a]ἐστι κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος [c]εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ [c]εἰσελθεῖν.

26 Εἶπον

[o] αἴρω.
[p] ἱλάω.
[q] ὕψος.
[r] ταπεινός.
[s] φέρω.
[t] ἅπτω.
[u] εἴδω.
[x] τίω.
[y] καλέω.
[z] ἔω.
[a] εἰμί.
[b] δέχομαι.
[c] ἔρχομαι.
[d] ἐρωτάω.
[e] νέμω.
[f] εἴδω.
[g] φύλαξ.
[h] δίδωμι.
[i] ἔχω.
[k] γίνομαι.
[l] κόπτω.

26 Εἶπον δὲ οἱ ἀκούσαντες, Καὶ τίς δύναται [m] σωθῆναι;

27 Ὁ δὲ εἶπε, Τὰ ἀδύνατα παρὰ ἀνθρώποις, δυνατά [c] ἐστι παρὰ τῷ Θεῷ.

28 Εἶπε δὲ ὁ Πέτρος, Ἰδοὺ, ἡμεῖς [n] ἀφήκαμεν πάντα, καὶ [o] ἠκολουθήσαμέν σοι.

29 Ὁ δὲ εἶπεν αὐτοῖς, Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐδείς [a] ἐστιν ὃς [n] ἀφῆκεν οἰκίαν, ἢ γονεῖς, ἢ ἀδελφοὺς, ἢ γυναῖκα, ἢ τέκνα, ἕνεκεν τῆς βασιλείας τοῦ Θεοῦ,

30 Ὃς οὐ μὴ [p] ἀπολάβῃ πολλαπλασίονα ἐν τῷ καιρῷ τούτῳ, καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον.

31 ¶ [p] Παραλαβὼν δὲ τοὺς δώδεκα, εἶπε πρὸς αὐτοὺς, Ἰδοὺ, ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ [q] τελεσθήσεται πάντα τὰ [r] γεγραμμένα διὰ τῶν προφητῶν, περὶ τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

32 [a] Παραδοθήσεται γὰρ τοῖς ἔθνεσι, καὶ [s] ἐμπαιχθήσεται, καὶ [t] ὑβρισθήσεται, καὶ [u] ἐμπτυσθήσεται.

33 Καὶ [x] μαστιγώσαντες [y] ἀποκτενοῦσιν αὐτόν· καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ [z] ἀναστήσεται.

34 Καὶ αὐτοὶ οὐδὲν τούτων [a] συνῆκαν· καὶ [b] ἦν τὸ ῥῆμα τοῦτο [c] κεκρυμμένον ἀπ' αὐτῶν, καὶ οὐκ [d] ἐγίνωσκον τὰ λεγόμενα.

35 ¶ [e] Ἐγένετο δὲ ἐν τῷ ἐγγίζειν αὐτὸν εἰς Ἱεριχὼ, τυφλός τις [f] ἐκάθητο παρὰ τὴν ὁδὸν προσαιτῶν.

36 Ἀκούσας δὲ ὄχλου [g] διαπορευομένου, [h] ἐπυνθάνετο τί [b] εἴη τοῦτο.

37 [i] Ἀπήγγειλαν δὲ αὐτῷ ὅτι Ἰησοῦς ὁ Ναζωραῖος παρέρχεται.

38 Καὶ [k] ἐβόησε, λέγων, Ἰησοῦ υἱὲ Δαβὶδ [l] ἐλέησόν με.

39 Καὶ οἱ προάγοντες ἐπετίμων αὐτῷ ἵνα [m] σιωπήσῃ· αὐτὸς δὲ πολλῷ μᾶλλον [n] ἔκραζεν, Υἱὲ Δαβὶδ [l] ἐλέησόν με.

40 [o] Σταθεὶς δὲ ὁ Ἰησοῦς [p] ἐκέλευσεν αὐτὸν [q] ἀχθῆναι πρὸς αὐτόν· [r] ἐγγίσαντος δὲ αὐτοῦ [s] ἐπηρώτησεν αὐτὸν,

41 Λέγων,

[m] σώζω.
[n] ἕω.
[o] ἀκόλουθος.
[p] λαμβάνω.
[q] τέλος.
[r] γράφω.
[s] παῖς.
[t] ὕβρις.
[u] πτύω.
[x] μάστιξ.
[y] κτείνω.
[z] ἵστημι.
[a] ἵω.
[b] εἰμί.
[c] κρύπτω.
[d] γινώσκω.
[e] γίνομαι.
[f] ἧμαι.
[g] πείρω.
[h] πυνθάνομαι.
[i] ἀγγέλλω.
[k] βοάω.
[l] ἔλεος.
[m] σιωπή.
[n] κράζω.
[o] ἵστημι.
[p] κελεύω.
[q] ἄγω.
[r] ἐγγύς.
[s] ἐρωτάω.

41 Λέγων, Τί σοι θέλεις ποιήσω; Ὁ δὲ εἶπε, Κύριε, ἵνα [t] ἀναβλέψω.

[t] βλέπω.

42 Καὶ ὁ Ἰησοῦς εἶπεν αὐτῷ, Ἀνάβλεψον· ἡ πίστις σου [u] σέσωκέ σε.

[u] σώζω.

43 Καὶ παραχρῆμα [t] ἀνέβλεψε, καὶ [x] ἠκολούθει αὐτῷ δοξάζων τὸν Θεόν· καὶ πᾶς ὁ λαὸς [y] ἰδὼν, [z] ἔδωκεν αἶνον τῷ Θεῷ.

[x] ἀκολουθέω. [y] εἴδω. [z] δίδωμι.

Κεφ. ιθʹ. Cap. XIX.

Καὶ [a] εἰσελθὼν [a] διήρχετο τὴν Ἱεριχώ.

[a] ἔρχομαι.

2 Καὶ ἰδοὺ ἀνὴρ ὀνόματι καλούμενος Ζακχαῖος· καὶ αὐτὸς [b] ἦν ἀρχιτελώνης, καὶ οὗτος [b] ἦν πλούσιος.

[b] εἰμί.

3 Καὶ ἐζήτει [c] ἰδεῖν τὸν Ἰησοῦν τίς [b] ἐστι· καὶ οὐκ [d] ἐδύνατο ἀπὸ τοῦ ὄχλου, ὅτι τῇ ἡλικίᾳ μικρὸς [b] ἦν.

[c] εἴδω. [d] δύναμαι.

4 Καὶ προδραμὼν ἔμπροσθεν, [e] ἀνέβη ἐπὶ συκομωραίαν, ἵνα [c] ἴδῃ αὐτόν· ὅτι δι᾽ ἐκείνης [f] ἔμελλε [a] διέρχεσθαι.

[e] βαίνω. [f] μέλλω.

5 Καὶ ὡς [a] ἦλθεν ἐπὶ τὸν τόπον, [g] ἀναβλέψας ὁ Ἰησοῦς εἶδεν αὐτὸν, καὶ εἶπε πρὸς αὐτὸν, Ζακχαῖε, [h] σπεύσας [e] κατάβηθι· σήμερον γὰρ ἐν τῷ οἴκῳ σου δεῖ με [i] μεῖναι.

[g] βλέπω. [h] σπεύδω. [i] μένω.

6 Καὶ [h] σπεύσας [e] κατέβη, καὶ [k] ὑπεδέξατο αὐτὸν χαίρων.

[k] δέχομαι.

7 Καὶ [c] ἰδόντες ἅπαντες διεγόγγυζον, λέγοντες, Ὅτι παρὰ ἁμαρτωλῷ ἀνδρὶ [a] εἰσῆλθε [l] καταλῦσαι.

[l] λύω.

8 [m] Σταθεὶς δὲ Ζακχαῖος εἶπε πρὸς τὸν Κύριον, Ἰδοὺ, τὰ ἡμίση τῶν ὑπαρχόντων μου, Κύριε, δίδωμι τοῖς πτωχοῖς· καὶ εἴ τινός τι [n] ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλοῦν.

[m] ἵστημι. [n] φαίνω.

9 Εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἰησοῦς, Ὅτι σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ [o] ἐγένετο, καθότι καὶ αὐτὸς υἱὸς Ἀβραάμ [b] ἐστιν.

[o] γίνομαι.

10 [a] Ἦλθε γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ζητῆσαι καὶ [p] σῶσαι τὸ [q] ἀπολωλός.

[p] σώζω. [q] ὀλλύω.

11 Ἀκουόντων δὲ αὐτῶν ταῦτα, [r] προσθεὶς εἶπε παραβολὴν, διὰ τὸ ἐγγὺς αὐτὸν [b] εἶναι Ἱερουσαλὴμ, καὶ δοκεῖν αὐτοὺς ὅτι παραχρῆμα

[r] τίθημι.

μα μέλλει ἡ βασιλεία τοῦ Θεοῦ ἀναφαίνεσθαι.
[s] πορεύω. 12 Εἶπεν οὖν, Ἄνθρωπός τις εὐγενὴς [s] ἐπο-
[t] λαμβάνω. ρεύθη εἰς χώραν μακρὰν, [t] λαβεῖν ἑαυτῷ βα-
[u] στρέφω. σιλείαν, καὶ [u] ὑποστρέψαι.
[x] δίδωμι. 13 Καλέσας δὲ δέκα δούλους ἑαυτοῦ, [x] ἔδωκεν
* πράττω. αὐτοῖς δέκα μνᾶς, καὶ εἶπε πρὸς αὐτοὺς, * Πρα-
γματεύσασθε ἕως ἔρχομαι.
[y] μῖσος. 14 Οἱ δὲ πολῖται αὐτοῦ [y] ἐμίσουν αὐτὸν, καὶ
[z] στέλλω. [z] ἀπέστειλαν πρεσβείαν ὀπίσω αὐτοῦ, λέγοντες,
Οὐ θέλομεν τοῦτον βασιλεῦσαι ἐφ᾽ ἡμᾶς.
[a] γίνομαι. 15 Καὶ [a] ἐγένετο ἐν τῷ [b] ἐπανελθεῖν αὐτὸν
[b] ἔρχομαι. [c] λαβόντα τὴν βασιλείαν, καὶ εἶπε [d] φωνηθῆναι
[c] λαμβάνω. αὐτῷ τοὺς δούλους τούτους οἷς [e] ἔδωκε τὸ ἀργύ-
[d] φαίνω. ριον· ἵνα [f] γνῷ τίς τί [g] διεπραγματεύσατο.
[e] δίδωμι. 16 [a] Παρεγένετο δὲ ὁ πρῶτος, λέγων, Κύ-
[f] γινώσκω. ριε, ἡ μνᾶ σου [h] προσειργάσατο δέκα μνᾶς.
[g] πράττω. 17 Καὶ εἶπεν αὐτῷ, Εὖ ἀγαθὲ δοῦλε· ὅτι
[h] ἔργον. ἐν ἐλαχίστῳ πιστὸς [a] ἐγένου, * ἴσθι ἐξουσίαν ἔχων
* εἰμί. ἐπάνω δέκα πόλεων.
18 Καὶ [b] ἦλθεν ὁ δεύτερος, λέγων, Κύριε,
ἡ μνᾶ σου ἐποίησε πέντε μνᾶς.
19 Εἶπε δὲ καὶ τούτῳ, Καὶ σὺ [a] γίνου ἐπάνω
πέντε πόλεων.
20 Καὶ ἕτερος [b] ἦλθε, λέγων, Κύριε, ἰδοὺ
[i] ἔχω. ἡ μνᾶ σου ἣν [i] εἶχον [k] ἀποκειμένην ἐν σουδαρίῳ.
[k] κεῖμαι. 21 [l] Ἐφοβούμην γάρ σε, ὅτι ἄνθρωπος αὐ-
[l] φοβέομαι. στηρὸς εἶ· αἴρεις ὃ οὐκ [m] ἔθηκας, καὶ θερίζεις ὃ οὐκ
[m] τίθημι. [n] ἔσπειρας.
[n] σπείρω. 22 Λέγει δὲ αὐτῷ, Ἐκ τοῦ στόματός σου κρινῶ
[o] εἴδω. σε, πονηρὲ δοῦλε· [o] ᾔδεις ὅτι ἐγὼ ἄνθρωπος
[p] τίθημι. αὐστηρός εἰμι, αἴρων ὃ οὐκ [p] ἔθηκα, καὶ θερίζων
ὃ οὐκ [n] ἔσπειρα·
23 Καὶ διατί οὐκ [e] ἔδωκας τὸ ἀργύριόν μου
ἐπὶ τὴν τράπεζαν, καὶ ἐγὼ [b] ἐλθὼν σὺν τόκῳ ἂν
[g] ἔπραξα αὐτό.
[r] ἵστημι. 24 Καὶ τοῖς [r] παρεστῶσιν εἶπεν, [s] Ἄρατε
[s] αἴρω. ἀπ᾽ αὐτοῦ τὴν μνᾶν, καὶ [e] δότε τῷ τὰς δέκα
μνᾶς ἔχοντι.
25 Καὶ εἶπον αὐτῷ, Κύριε, ἔχει δέκα μνᾶς.

26 Λέγω γὰρ ὑμῖν ὅτι παντὶ τῷ ἔχοντι [c] δοθήσεται· ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ ἔχει, [f] ἀρθήσεται ἀπ' αὐτοῦ.

27 Πλὴν τοὺς ἐχθρούς μου ἐκείνους, τοὺς μὴ θελήσαντάς με βασιλεῦσαι ἐπ' αὐτοὺς, [t] ἀγάγετε ὧδε, καὶ [u] κατασφάξατε ἔμπροσθέν μου.

[t] ἄγω.
[u] σφάζω.

28 Καὶ εἰπὼν ταῦτα, [x] ἐπορεύετο ἔμπροσθεν ἀναβαίνων εἰς Ἱεροσόλυμα.

[x] πείρω.

29 Καὶ [a] ἐγένετο ὡς [y] ἤγγισεν εἰς Βηθφαγὴ καὶ Βηθανίαν, πρὸς τὸ ὄρος τὸ [z] καλούμενον ἐλαιῶν, [a] ἀπέστειλε δύο τῶν μαθητῶν αὐτοῦ,

[y] ἐγγύς.
[z] καλέω.
[a] στέλλω.

30 Εἰπὼν, Ὑπάγετε εἰς τὴν κατέναντι κώμην· ἐν ᾗ [b] εἰσπορευόμενοι [c] εὑρήσετε πῶλον [d] δεδεμένον, ἐφ' ὃν οὐδεὶς πώποτε ἀνθρώπων [e] ἐκάθισε· [f] λύσαντες αὐτὸν [g] ἀγάγετε.

[b] πείρω.
[c] εὑρίσκω.
[d] δέω.
[e] ἕζω.

31 Καὶ ἐάν τις ὑμᾶς [h] ἐρωτᾷ, Διὰ τί [f] λύετε; οὕτως ἐρεῖτε αὐτῷ, Ὅτι ὁ Κύριος αὐτοῦ χρείαν ἔχει.

[f] λύω.
[g] ἄγω.

32 [i] Ἀπελθόντες δὲ οἱ [a] ἀπεσταλμένοι, [c] εὗρον καθὼς εἶπεν αὐτοῖς.

[h] ἐρωτάω.
[i] ἔρχομαι.

33 Λυόντων δὲ αὐτῶν τὸν πῶλον, εἶπον οἱ κύριοι αὐτοῦ πρὸς αὐτοὺς, Τί λύετε τὸν πῶλον;

34 Οἱ δὲ εἶπον, Ὁ Κύριος αὐτοῦ χρείαν ἔχει.

35 Καὶ [g] ἤγαγον αὐτὸν πρὸς τὸν Ἰησοῦν· καὶ [k] ἐπιρρίψαντες ἑαυτῶν τὰ ἱμάτια ἐπὶ τὸν πῶλον, [l] ἐπεβίβασαν τὸν Ἰησοῦν.

[k] ῥίπτω.
[l] βαίνω.

36 [b] Πορευομένου δὲ αὐτοῦ, [m] ὑπεστρώννυον τὰ ἱμάτια αὐτῶν ἐν τῇ ὁδῷ.

[m] στορέω.

37 [n] Ἐγγίζοντος δὲ αὐτοῦ ἤδη πρὸς τῇ [l] καταβάσει τοῦ ὄρους τῶν ἐλαιῶν, [o] ἤρξαντο ἅπαν τὸ πλῆθος τῶν μαθητῶν χαίροντες αἰνεῖν τὸν Θεὸν φωνῇ μεγάλῃ περὶ πασῶν ὧν εἶδον δυνάμεων,

[n] ἐγγύς.
[o] ἄρχω.

38 Λέγοντες, Εὐλογημένος ὁ ἐρχόμενος βασιλεὺς ἐν ὀνόματι Κυρίου· εἰρήνη ἐν οὐρανῷ, καὶ δόξα ἐν ὑψίστοις.

39 Καί τινες τῶν Φαρισαίων ἀπὸ τοῦ ὄχλου εἶπον πρὸς αὐτὸν, Διδάσκαλε, [p] ἐπιτίμησον τοῖς μαθηταῖς σου.

[p] τίω.

40 Καὶ

[q] κρίνω.
[r] σιωπῶ.
[s] κράζω.

40 Καὶ [q] ἀποκριθεὶς εἶπεν αὐτοῖς, Λέγω ὑμῖν, ὅτι ἐὰν οὗτοι [r] σιωπήσωσιν, οἱ λίθοι [s] κεκράξονται.

[t] εἴδω.
[u] κλαίω.

41 Καὶ ὡς [u] ἤγγισεν, [t] ἰδὼν τὴν πόλιν, [u] ἔκλαυσεν ἐπ' αὐτῇ,

[x] γινώσκω.
[y] κρύπτω.

42 Λέγων, Ὅτι εἰ [x] ἔγνως καὶ σὺ, καί γε ἐν τῇ ἡμέρᾳ σου ταύτῃ, τὰ πρὸς εἰρήνην σου· νῦν δὲ [y] ἐκρύβη ἀπὸ ὀφθαλμῶν σου.

[z] ἥκω.
[a] χάραξ.
[b] κύκλος.
[c] ἔχω.

43 Ὅτι [z] ἥξουσιν ἡμέραι ἐπὶ σὲ, καὶ περιβαλοῦσιν οἱ ἐχθροί σου [a] χάρακά σοι, καὶ [b] περικυκλώσουσί σε, καὶ [c] συνέξουσί σε πάντοθεν.

[d] ἔδαφος.
[e] ἕω.
[f] γινώσκω.

44 Καὶ [d] ἐδαφιοῦσί σε, καὶ τὰ τέκνα σου ἐν σοί· καὶ οὐκ [e] ἀφήσουσιν ἐν σοὶ λίθον ἐπὶ λίθῳ· ἀνθ' ὧν οὐκ [f] ἔγνως τὸν καιρὸν τῆς ἐπισκοπῆς σου.

[g] ἔρχομαι.
[h] ἄρχω.

45 ¶ Καὶ [g] εἰσελθὼν εἰς τὸ ἱερὸν, [h] ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας ἐν αὐτῷ καὶ ἀγοράζοντας·

[i] γράφω.
[k] εἰμί.

46 Λέγων αὐτοῖς, [i] Γέγραπται, Ὁ οἶκός μου, οἶκος προσευχῆς [k] ἐστιν· ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν.

[l] ὀλλύω.

47 Καὶ [k] ἦν διδάσκων τὸ καθ' ἡμέραν ἐν τῷ ἱερῷ· οἱ δὲ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς ἐζήτουν αὐτὸν [l] ἀπολέσαι, καὶ οἱ πρῶτοι τοῦ λαοῦ.

[m] κρεμάω.

48 Καὶ οὐχ εὕρισκον τὸ τί ποιήσωσιν· ὁ λαὸς γὰρ ἅπας [m] ἐξεκρέματο αὐτοῦ ἀκούων.

Κεφ. κ'. Cap. XX.

[a] γίνομαι.
[b] ἵστημι.

ΚΑὶ [a] ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν ἐκείνων, διδάσκοντος αὐτοῦ τὸν λαὸν ἐν τῷ ἱερῷ, καὶ εὐαγγελιζομένου, [b] ἐπέστησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς σὺν τοῖς πρεσβυτέροις,

[c] εἰμί.
[d] δίδωμι.

2 Καὶ εἶπον πρὸς αὐτὸν, λέγοντες, Εἰπὲ ἡμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς, ἢ τίς [c] ἐστιν ὁ [d] δούς σοι τὴν ἐξουσίαν ταύτην.

[e] κρίνω.
[f] ἐρωτάω.

3 [e] Ἀποκριθεὶς δὲ εἶπε πρὸς αὐτοὺς, [f] Ἐρωτήσω ὑμᾶς κἀγὼ ἕνα λόγον· καὶ εἴπετέ μοι.

4 Τὸ βάπτισμα Ἰωάννου ἐξ οὐρανοῦ [c] ἦν, ἢ ἐξ ἀνθρώπων;

[g] λέγω.
[h] πίστις.

5 Οἱ δὲ [g] συνελογίσαντο πρὸς ἑαυτοὺς, λέγοντες, Ὅτι ἐὰν εἴπωμεν, Ἐξ οὐρανοῦ· ἐρεῖ, Διὰ τί οὖν οὐκ [h] ἐπιστεύσατε αὐτῷ;

6 Ἐὰν δὲ εἴπωμεν, Ἐξ ἀνθρώπων, πᾶς ὁ λαὸς [i] καταλιθάσει ἡμᾶς· [k] πεπεισμένος γάρ [c] ἐστιν Ἰωάννην προφήτην [c] εἶναι.

[i] λίθος.
[k] πείθω.

7 Καὶ [e] ἀπεκρίθησαν μὴ εἰδέναι πόθεν.

8 Καὶ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.

9 ¶ [l] Ἤρξατο δὲ πρὸς τὸν λαὸν λέγειν τὴν παραβολὴν ταύτην, Ἄνθρωπός τις [m] ἐφύτευσεν ἀμπελῶνα, καὶ [d] ἐξέδοτο αὐτὸν γεωργοῖς· καὶ [n] ἀπεδήμησε χρόνους ἱκανούς.

[l] ἄρχω.
[m] φύω.
[n] δῆμος.

10 Καὶ ἐν καιρῷ [o] ἀπέστειλε πρὸς τοὺς γεωργοὺς δοῦλον, ἵνα ἀπὸ τοῦ καρποῦ τοῦ ἀμπελῶνος [d] δῶσιν αὐτῷ· οἱ δὲ γεωργοὶ δείραντες αὐτὸν [o] ἐξαπέστειλαν κενόν.

[o] στέλλω.

11 Καὶ [p] προσέθετο [q] πέμψαι ἕτερον δοῦλον· οἱ δὲ [r] κἀκεῖνον δείραντες καὶ [s] ἀτιμάσαντες [o] ἐξαπέστειλαν κενόν.

[p] τίθημι.
[q] πέμπω.
[r] καὶ ἐκεῖνος.

12 Καὶ [p] προσέθετο [q] πέμψαι τρίτον· οἱ δὲ καὶ τοῦτον [u] τραυματίσαντες [x] ἐξέβαλον.

[s] τίω.
[u] τιτρώσκω.
[x] βάλλω.

13 Εἶπε δὲ ὁ κύριος τοῦ ἀμπελῶνος, Τί ποιήσω; [q] πέμψω τὸν υἱόν μου τὸν ἀγαπητόν· ἴσως τοῦτον [y] ἰδόντες, [z] ἐντραπήσονται.

[y] εἴδω.
[z] τρέπω.

14 [y] Ἰδόντες δὲ αὐτὸν οἱ γεωργοὶ, [a] διελογίζοντο πρὸς ἑαυτοὺς, λέγοντες, Οὗτός [b] ἐστιν ὁ κληρονόμος· δεῦτε ἀποκτείνωμεν αὐτόν, ἵνα ἡμῶν [c] γένηται ἡ κληρονομία.

[a] λέγω.
[b] εἰμί.
[c] γίνομαι.

15 Καὶ ἐκβαλόντες αὐτὸν ἔξω τοῦ ἀμπελῶνος, ἀπέκτειναν. Τί οὖν ποιήσει αὐτοῖς ὁ κύριος τοῦ ἀμπελῶνος;

16 [d] Ἐλεύσεται καὶ [e] ἀπολέσει τοὺς γεωργοὺς τούτους, καὶ [f] δώσει τὸν ἀμπελῶνα ἄλλοις. Ἀκούσαντες δὲ εἶπον, Μὴ [c] γένοιτο.

[d] ἔρχομαι.
[e] ὀλλύω.
[f] δίδωμι.

17 Ὁ δὲ [g] ἐμβλέψας αὐτοῖς εἶπε, Τί οὖν [b] ἐστι τὸ [h] γεγραμμένον τοῦτο, Λίθον ὃν [i] ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος [c] ἐγενήθη εἰς κεφαλὴν γωνίας;

[g] βλέπω.
[h] γράφω.
[i] δοκιμῶ.

18 Πᾶς ὁ [k] πεσὼν ἐπ' ἐκεῖνον τὸν λίθον, [l] συνθλασθήσεται· ἐφ' ὃν δ' ἂν [k] πέσῃ, λικμήσει αὐτόν.

[k] πίπτω.
[l] θλάω.

19 Καὶ

[m] ζητέω. 19 Καὶ [m] ἐζήτησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμμα-
τεῖς ἐπιβαλεῖν ἐπ' αὐτὸν τὰς χεῖρας ἐν αὐτῇ
[n] φέβομαι. τῇ ὥρᾳ· καὶ [n] ἐφοβήθησαν τὸν λαόν. [o] ἔγνωσαν
[o] γινώσκω. γὰρ ὅτι πρὸς αὐτοὺς τὴν παραβολὴν ταύτην
[*] στέλλω. εἶπε.
[p] τηρέω. 20 Καὶ [p] παρατηρήσαντες [*] ἀπέστειλαν [q] ἐγ-
[q] ἕω. καθέτους, [r] ὑποκρινομένους ἑαυτοὺς δικαίους [b] εἶναι·
[r] κρίνω. ἵνα [ſ] ἐπιλάβωνται αὐτοῦ λόγου, εἰς τὸ [f] παρα-
[ſ] λαμβάνω. δοῦναι αὐτὸν τῇ ἀρχῇ καὶ τῇ ἐξουσίᾳ τοῦ ἡγεμό-
νος.
[t] ἐρωτάω. 21 Καὶ [t] ἐπηρώτησαν αὐτόν, λέγοντες, Δι-
[u] εἴδω. δάσκαλε, [u] οἴδαμεν ὅτι ὀρθῶς λέγεις καὶ διδά-
σκεις, καὶ οὐ λαμβάνεις πρόσωπον, ἀλλ' ἐπ' ἀλη-
θείας τὴν ὁδὸν τοῦ Θεοῦ διδάσκεις·
22 [b] Ἔξεστιν ἡμῖν Καίσαρι φόρον [f] δοῦναι,
ἢ οὔ;
[x] νόος. 23 [x] Κατανοήσας δὲ αὐτῶν τὴν πανουργίαν,
εἶπε πρὸς αὐτούς, Τί με πειράζετε;
[y] δείκνυμι. 24 [y] Ἐπιδείξατέ μοι δηνάριον· τίνος ἔχει
[z] κρίνω. εἰκόνα καὶ ἐπιγραφήν; [z] Ἀποκριθέντες δὲ εἶ-
πον, Καίσαρος.
[a] δίδωμι. 25 Ὁ δὲ εἶπεν αὐτοῖς, [a] Ἀπόδοτε τοίνυν
τὰ Καίσαρος, Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ, τῷ Θεῷ.
[b] λαμβάνω. 26 Καὶ οὐκ ἴσχυσαν [b] ἐπιλαβέσθαι αὐτοῦ ῥήμα-
τος ἐναντίον τοῦ λαοῦ· καὶ θαυμάσαντες ἐπὶ τῇ
[c] σιγάω. ἀποκρίσει αὐτοῦ, [c] ἐσίγησαν.
[d] ἔρχομαι. 27 [d] Προσελθόντες δέ τινες τῶν Σαδδου-
[e] εἰμί. καίων, οἱ ἀντιλέγοντες ἀνάστασιν μὴ [e] εἶναι,
[f] ἐρωτάω. [f] ἐπηρώτησαν αὐτόν,
[g] γράφω. // 28 Λέγοντες, Διδάσκαλε, Μωσῆς [g] ἔγρα-
[h] θνήσκω. ψεν ἡμῖν, Ἐάν τινος ἀδελφὸς [h] ἀποθάνῃ ἔχων
γυναῖκα, καὶ οὗτος ἄτεκνος [h] ἀποθάνῃ, ἵνα
[i] λαμβάνω. [i] λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν [*] γυναῖκα, καὶ [k] ἐξ-
[*] γυνή. αναστήσῃ σπέρμα τῷ ἀδελφῷ αὐτοῦ.
[k] ἵστημι. 29 Ἑπτὰ οὖν ἀδελφοὶ [e] ἦσαν· καὶ ὁ πρῶτος,
[i] λαβὼν γυναῖκα, [h] ἀπέθανεν ἄτεκνος.
30 Καὶ [i] ἔλαβεν ὁ δεύτερος τὴν γυναῖκα,
καὶ οὗτος [h] ἀπέθανεν ἄτεκνος.
31 Καὶ ὁ τρίτος [i] ἔλαβεν αὐτήν· ὡσαύ-

τως δὲ καὶ οἱ ἑπτά· καὶ οὐ [l] κατέλιπον τέκνα, καὶ [h] ἀπέθανον. [l] λείπω.

32 Ὕστερον δὲ πάντων [h] ἀπέθανε καὶ ἡ γυνή.

33 Ἐν τῇ οὖν ἀναστάσει, τίνος αὐτῶν [m] γίνεται γυνή; οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυναῖκα. [m] γίνομαι.

34 Καὶ [n] ἀποκριθεὶς εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, Οἱ υἱοὶ τοῦ αἰῶνος τούτου γαμοῦσι καὶ ἐκγαμίσκονται. [n] κρίνω.

35 Οἱ δὲ [o] καταξιωθέντες τοῦ αἰῶνος ἐκείνου τυχεῖν καὶ τῆς ἀναστάσεως τῆς ἐκ νεκρῶν, οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίσκονται. [o] ἄξιος.

36 Οὔτε γὰρ [h] ἀποθανεῖν ἔτι δύνανται· ἰσάγγελοι γάρ [c] εἰσι· καὶ υἱοί [c] εἰσι τοῦ Θεοῦ, τῆς ἀναστάσεως υἱοὶ ὄντες.

37 Ὅτι δὲ ἐγείρονται οἱ νεκροὶ, καὶ Μωσῆς [p] ἐμήνυσεν ἐπὶ τῆς βάτου, ὡς λέγει Κύριον τὸν Θεὸν Ἀβραὰμ, καὶ τὸν Θεὸν Ἰσαὰκ, καὶ τὸν Θεὸν Ἰακώβ. [p] μηνύω.

38 Θεὸς δὲ οὐκ [c] ἔστι νεκρῶν, ἀλλὰ ζώντων· πάντες γὰρ αὐτῷ ζῶσιν.

39 [n] Ἀποκριθέντες δέ τινες τῶν γραμματέων εἶπον, Διδάσκαλε, καλῶς εἶπας.

40 Οὐκ ἔτι δὲ [q] ἐτόλμων [f] ἐπερωτᾷν αὐτὸν οὐδέν. [q] τολμάω.

41 Εἶπε δὲ πρὸς αὐτοὺς, Πῶς λέγουσι τὸν Χριστὸν υἱὸν Δαβὶδ εἶναι;

42 Καὶ αὐτὸς Δαβὶδ λέγει ἐν βίβλῳ ψαλμῶν, Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, Κάθου ἐκ δεξιῶν μου,

43 Ἕως ἂν [r] θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. [r] τίθημι.

44 Δαβὶδ οὖν Κύριον αὐτὸν καλεῖ, καὶ πῶς υἱὸς αὐτοῦ [c] ἐστιν;

45 Ἀκούοντος δὲ παντὸς τοῦ λαοῦ, εἶπε τοῖς μαθηταῖς αὐτοῦ,

46 Προσέχετε ἀπὸ τῶν γραμματέων τῶν θελόντων περιπατεῖν ἐν στολαῖς, καὶ φιλούντων ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, καὶ πρωτοκλισίας ἐν τοῖς δείπνοις.

47 Οἱ κατεσθίουσι τὰς οἰκίας τῶν χηρῶν, καὶ

προφάσει μακρὰ προσεύχονται· οὗτοι [b] λήψονται περισσότερον κρίμα.

Κεφ. κα'. Cap. XXI.

a βλέπω. 1 [a] ἈΝαβλέψας δὲ εἶδε βάλλοντας τὰ δῶρα αὐτῶν εἰς τὸ γαζοφυλάκιον πλουσίους.

2 Εἶδε δὲ καί τινα χήραν πενιχρὰν βάλλουσαν ἐκεῖ δύο λεπτά.

3 Καὶ εἶπεν, Ἀληθῶς λέγω ὑμῖν ὅτι ἡ χήρα ἡ πτωχὴ αὕτη πλεῖον πάντων [b] ἔβαλεν.

b βάλλω. 4 Ἅπαντες γὰρ οὗτοι ἐκ τοῦ περισσεύοντος αὐτοῖς [b] ἔβαλον εἰς τὰ δῶρα τοῦ Θεοῦ· αὕτη δὲ ἐκ τοῦ ὑστερήματος αὐτῆς ἅπαντα τὸν βίον ὃν εἶχεν [b] ἔβαλε.

c κόσμος. 5 ¶ Καί τινων λεγόντων περὶ τοῦ ἱεροῦ, ὅτι λίθοις καλοῖς καὶ ἀναθήμασι [c] κεκόσμηται, εἶπε,

d ἔρχομαι. e ἐάω. f λύω. 6 Ταῦτα ἃ θεωρεῖτε, [d] ἐλεύσονται ἡμέραι ἐν αἷς οὐκ [e] ἀφεθήσεται λίθος ἐπὶ λίθῳ ὃς οὐ [f] καταλυθήσεται.

g ἐρωτάω. h εἰμί. i γίνομαι. 7 [g] Ἐπηρώτησαν δὲ αὐτὸν λέγοντες, Διδάσκαλε, πότε οὖν ταῦτα [h] ἔσται, καὶ τί τὸ σημεῖον ὅταν μέλλῃ ταῦτα [i] γίνεσθαι.

k πλάνη. l ἐγγύς. m πορεύω. 8 Ὁ δὲ εἶπε, Βλέπετε μὴ [k] πλανηθῆτε· πολλοὶ γὰρ [d] ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες, Ὅτι ἐγώ εἰμι· καὶ ὁ καιρὸς [l] ἤγγικε· μὴ οὖν [m] πορευθῆτε ὀπίσω αὐτῶν.

n πτοία. 9 Ὅταν δὲ ἀκούσητε πολέμους καὶ ἀκαταστασίας, μὴ [n] πτοηθῆτε· δεῖ γὰρ ταῦτα [i] γενέσθαι πρῶτον· ἀλλ' οὐκ εὐθέως τὸ τέλος.

o ἐγείρω. 10 Τότε ἔλεγεν αὐτοῖς, [o] Ἐγερθήσεται ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν.

11 Σεισμοί τε μεγάλοι κατὰ τόπους, καὶ λιμοὶ καὶ λοιμοὶ [h] ἔσονται, φόβητρά τε καὶ σημεῖα ἀπ' οὐρανοῦ μεγάλα [h] ἔσται.

p βάλλω. q διώκω. r δίδωμι. 12 Πρὸ δὲ τούτων ἁπάντων [p] ἐπιβαλοῦσιν ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ [q] διώξουσι, [r] παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας, ἕνεκεν τοῦ ὀνόματός μου.

13 Ἀπο-

13 [s] Ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον.

14 [t] Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν, μὴ [u] προμελετᾷν [x] ἀπολογηθῆναι.

15 Ἐγὼ γὰρ [y] δώσω ὑμῖν στόμα, καὶ σοφίαν ᾗ οὐ [z] δυνήσονται ἀντειπεῖν οὐδὲ [a] ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν.

16 [b] Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ ἀδελφῶν καὶ συγγενῶν καὶ φίλων· καὶ θανατώσουσιν ἐξ ὑμῶν.

17 Καὶ [c] ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου.

18 Καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ [d] ἀπόληται.

19 Ἐν τῇ ὑπομονῇ ὑμῶν [e] κτήσασθε τὰς ψυχὰς ὑμῶν.

20 Ὅταν δὲ [f] ἴδητε [g] κυκλουμένην ὑπὸ στρατοπέδων τὴν Ἱερουσαλήμ, τότε [h] γνῶτε ὅτι [i] ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς.

21 Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ, φευγέτωσαν εἰς τὰ ὄρη· καὶ οἱ ἐν μέσῳ αὐτῆς, [k] ἐκχωρείτωσαν· καὶ οἱ ἐν ταῖς χώραις, μὴ [l] εἰσερχέσθωσαν εἰς αὐτήν·

22 Ὅτι ἡμέραι ἐκδικήσεως αὗταί [c] εἰσι, τοῦ [m] πληρωθῆναι πάντα τὰ [n] γεγραμμένα.

23 Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις, καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις· [c] ἔσται γὰρ ἀνάγκη μεγάλη ἐπὶ τῆς γῆς, καὶ ὀργὴ ἐν τῷ λαῷ τούτῳ.

24 Καὶ [o] πεσοῦνται στόματι μαχαίρας, καὶ [p] αἰχμαλωτισθήσονται εἰς πάντα τὰ ἔθνη· καὶ Ἱερουσαλὴμ [c] ἔσται πατουμένη ὑπὸ ἐθνῶν, ἄχρι [q] πληρωθῶσι καιροὶ ἐθνῶν.

25 Καὶ [c] ἔσται σημεῖα ἐν ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις· καὶ ἐπὶ τῆς γῆς συνοχὴ ἐθνῶν ἐν ἀπορίᾳ, ἠχούσης θαλάσσης καὶ σάλου·

26 [r] Ἀποψυχόντων ἀνθρώπων ἀπὸ φόβου καὶ προσδοκίας τῶν ἐπερχομένων τῇ οἰκουμένῃ· αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν [s] σαλευθήσονται.

[s] βαίνω.
[t] τίθημι.
[u] μέλει.
[x] λέγω.
[y] δίδωμι.
[z] δύναμαι.
[a] ἵστημι.
[b] δίδωμι.
[c] εἰμί.
[d] ὄλλυω.
[e] κτάομαι.
[f] εἴδω.
[g] κύκλος.
[h] γινώσκω.
[i] ἐγγύς.
[k] χῶρος.
[l] ἔρχομαι.
[m] πλέος.
[n] γράφω.
[o] πίπτω.
[p] ἁλίσκω.
[q] πλέος.
[r] ψύχω.
[s] σα[illegible]θ.

t ὄπτομαι. 27 Καὶ τότε [t] ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου
ἐρχόμενον ἐν νεφέλῃ μετὰ δυνάμεως καὶ δόξης
πολλῆς.

u γίνομαι. 28 Ἀρχομένων δὲ τούτων [u] γίνεσθαι, [x] ἀνακύψατε
x κύπτω. καὶ [y] ἐπάρατε τὰς κεφαλὰς ὑμῶν· διότι
y αἴρω. [i] ἐγγίζει ἡ ἀπολύτρωσις ὑμῶν.

z εἴδω. 29 ¶ Καὶ εἶπε παραβολὴν αὐτοῖς, [z] Ἴδετε
τὴν συκῆν καὶ πάντα τὰ δένδρα·

a βάλλω. 30 Ὅταν [a] προβάλωσιν ἤδη, βλέποντες,
b γινώσκω. ἀφ' ἑαυτῶν [b] γινώσκετε ὅτι ἤδη ἐγγὺς τὸ θέρος
c εἰμί. [c] ἐστίν.

d εἴδω. 31 Οὕτω καὶ ὑμεῖς, ὅταν [d] ἴδητε ταῦτα
e γίνομαι. [e] γινόμενα, γινώσκετε ὅτι ἐγγύς [c] ἐστιν ἡ βασιλεία
τοῦ Θεοῦ.

f ἔρχομαι. 32 Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐ μὴ [f] παρέλθῃ
ἡ γενεὰ αὕτη ἕως ἂν πάντα [e] γένηται.

33 Ὁ οὐρανὸς καὶ ἡ γῆ [f] παρελεύσονται, οἱ δὲ
λόγοι μου οὐ μὴ [f] παρέλθωσι.

g βαρύς. 34 Προσέχετε δὲ ἑαυτοῖς μήποτε [g] βαρυνθῶσιν
ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ καὶ μέθῃ καὶ
μερίμναις βιωτικαῖς, καὶ αἰφνίδιος ἐφ' ὑμᾶς
h ἵστημι. [h] ἐπιστῇ ἡ ἡμέρα ἐκείνη.

35 Ὡς παγὶς γὰρ [f] ἐπελεύσεται ἐπὶ πάντας
τοὺς καθημένους ἐπὶ πρόσωπον πάσης τῆς γῆς.

36 Ἀγρυπνεῖτε οὖν ἐν παντὶ καιρῷ, δεόμενοι
i ἄξιος. ἵνα [i] καταξιωθῆτε ἐκφυγεῖν ταῦτα πάντα τὰ
μέλλοντα [e] γίνεσθαι, καὶ [h] σταθῆναι ἔμπροσθεν
τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

37 [c] Ἦν δὲ τὰς ἡμέρας ἐν τῷ ἱερῷ διδάσκων,
k αὐλή. τὰς δὲ νύκτας ἐξερχόμενος [k] ηὐλίζετο εἰς τὸ
ὄρος τὸ καλούμενον ἐλαιῶν.

l ὄρθρος. 38 Καὶ πᾶς ὁ λαὸς [l] ὤρθριζε πρὸς αὐτὸν
ἐν τῷ ἱερῷ ἀκούειν αὐτοῦ.

Κεφ. κβ. Cap. XXII.

a ἐγγύς. [a] Ἤγγιζε δὲ ἡ ἑορτὴ τῶν ἀζύμων, ἡ λεγομένη
πάσχα.

b ζητέω. 2 Καὶ [b] ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς
c αἱρέω. τὸ πῶς [c] ἀνέλωσιν αὐτόν· [d] ἐφοβοῦντο γὰρ
d φοβέομαι. τὸν λαόν.

3 Εἰσ-

3 [e]Εἰσῆλθε δὲ ὁ σατανᾶς εἰς Ἰούδαν τὸν ἐπικαλούμενον Ἰσκαριώτην, *ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα.

[e] ἔρχομαι.
* εἰμί.

4 Καὶ [e]ἀπελθὼν [f]συνελάλησε τοῖς ἀρχιερεῦσι καὶ τοῖς στρατηγοῖς τὸ πῶς αὐτὸν [g]παραδῷ αὐτοῖς.

[f] λαλέω.
[g] δίδωμι.

5 Καὶ [h]ἐχάρησαν· καὶ [i]συνέθεντο αὐτῷ ἀργύριον [g]δοῦναι.

[h] χαίρω.
[i] τίθημι.

6 Καὶ [k]ἐξωμολόγησε· καὶ ἐζήτει εὐκαιρίαν τοῦ [g]παραδοῦναι αὐτὸν αὐτοῖς ἄτερ ὄχλου.

[k] λέγω.

7 [e]Ἦλθε δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα.

8 Καὶ [l]ἀπέστειλε Πέτρον καὶ Ἰωάννην, εἰπὼν, [m]Πορευθέντες [n]ἑτοιμάσατε ἡμῖν τὸ πάσχα, ἵνα φάγωμεν.

[l] στέλλω.
[m] πορεύω.
[n] ἕτοιμος.

9 Οἱ δὲ εἶπον αὐτῷ, Ποῦ θέλεις [n]ἑτοιμάσωμεν;

10 Ὁ δὲ εἶπεν αὐτοῖς, Ἰδοὺ, [e]εἰσελθόντων ὑμῶν εἰς τὴν πόλιν, [o]συναντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων· ἀκολουθήσατε αὐτῷ εἰς τὴν οἰκίαν οὗ [m]εἰσπορεύεται.

[o] ἄντα.

11 Καὶ [u]ἐρεῖτε τῷ οἰκοδεσπότῃ τῆς οἰκίας, Λέγει σοι ὁ διδάσκαλος, Ποῦ [p]ἐστι τὸ κατάλυμα ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω;

[p] εἰμί.

12 Κἀκεῖνος ὑμῖν [q]δείξει ἀνώγεον μέγα [r]ἐστρωμένον· ἐκεῖ [s]ἑτοιμάσατε.

[q] δεικνύω.
[r] στρέω.
[s] ἕτοιμος.

13 [e]Ἀπελθόντες δὲ [t]εὗρον καθὼς [u]εἴρηκεν αὐτοῖς· καὶ [s]ἑτοίμασαν τὸ πάσχα.

[t] εὑρίσκω.
[u] εἴρω.

14 Καὶ ὅτε ἐγένετο ἡ ὥρα, [x]ἀνέπεσε, καὶ οἱ δώδεκα ἀπόστολοι σὺν αὐτῷ.

[x] πίπτω.

15 Καὶ εἶπε πρὸς αὐτοὺς, Ἐπιθυμίᾳ [y]ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ᾽ ὑμῶν πρὸ τοῦ με [z]παθεῖν.

[y] θυμός.
[z] πάσχω.

16 Λέγω γὰρ ὑμῖν ὅτι οὐκέτι οὐ μὴ φάγω ἐξ αὐτοῦ, ἕως ὅτου [a]πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.

[a] πλέος.

[b] δέχομαι. 17 Καὶ [b] δεξάμενος ποτήριον, εὐχαριστήσας
[c] λαμβάνω. εἶπε, [c] Λάβετε τοῦτο, καὶ [d] διαμερίσατε
[d] μείρω. ἑαυτοῖς.

18 Λέγω γὰρ ὑμῖν ὅτι οὐ μὴ πίω ἀπὸ τοῦ γεννήματος
τῆς ἀμπέλου, ἕως ὅτου ἡ βασιλεία τοῦ Θεοῦ
[e] ἔρχομαι. [e] ἔλθῃ.

[*] κλαίω. 19 Καὶ [c] λαβὼν ἄρτον, εὐχαριστήσας * ἔκλασε·
[f] δίδωμι. καὶ [f] ἔδωκεν αὐτοῖς, λέγων, Τοῦτό ἐστι
τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν διδόμενον· τοῦτο
ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.

20 Ὡσαύτως καὶ τὸ ποτήριον, μετὰ τὸ δειπνῆσαι,
λέγων, Τοῦτο τὸ ποτήριον, ἡ καινὴ διαθήκη
[g] χύω. ἐν τῷ αἵματί μου, τὸ ὑπὲρ ὑμῶν [g] ἐκχυνόμενον.

21 Πλὴν ἰδοὺ, ἡ χεὶρ τοῦ [f] παραδιδόντος με,
μετ' ἐμοῦ ἐπὶ τῆς τραπέζης.

[h] πείρω. 22 Καὶ ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου [h] πορεύεται
κατὰ τὸ ὡρισμένον· πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ
δι' οὗ [f] παραδίδοται.

[i] ἄρχω. 23 Καὶ αὐτοὶ [i] ἤρξαντο συζητεῖν πρὸς ἑαυτοὺς
[k] εἰμί. τὸ, τίς ἄρα [k] εἴη ἐξ αὐτῶν ὁ τοῦτο μέλλων
πράσσειν.

[l] γίνομαι. 24 ¶ [l] Ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς,
τὸ τίς αὐτῶν δοκεῖ [k] εἶναι μείζων.

25 Ὁ δὲ εἶπεν αὐτοῖς, Οἱ βασιλεῖς τῶν ἐθνῶν
κυριεύουσιν αὐτῶν, καὶ οἱ ἐξουσιάζοντες αὐτῶν
εὐεργέται καλοῦνται·

26 Ὑμεῖς δὲ οὐκ οὕτως· ἀλλ' ὁ μείζων ἐν ὑμῖν,
[l] γενέσθω ὡς ὁ νεώτερος· καὶ ὁ ἡγούμενος,
ὡς ὁ διακονῶν.

27 Τίς γὰρ μείζων; ὁ ἀνακείμενος, ἢ ὁ διακονῶν;
οὐχὶ ὁ ἀνακείμενος; ἐγὼ δέ εἰμι ἐν
μέσῳ ὑμῶν ὡς ὁ διακονῶν.

[m] μένω. 28 Ὑμεῖς δέ [k] ἐστε οἱ [m] διαμεμενηκότες
μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου.

[n] καὶ ἐγώ. 29 [n] Κἀγὼ [o] διατίθεμαι ὑμῖν, καθὼς [o] διέθετό
[o] τίθημι. μοι ὁ πατήρ μου, βασιλείαν·

30 Ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης
[p] ἵζω. μου, ἐν τῇ βασιλείᾳ μου, καὶ [p] καθίσησθε

ἐπὶ θρόνων, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.

31 Εἶπε δὲ ὁ Κύριος, Σίμων, Σίμων, ἰδοὺ, ὁ Σατανᾶς [q] ἐξῃτήσατο ὑμᾶς τοῦ [r] σινιάσαι ὡς τὸν σῖτον.

[q] αἰτέω.
[r] σινιάζω.

32 Ἐγὼ δὲ [s] ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου· καὶ σύ ποτε [t] ἐπιστρέψας, [u] στήριξον τοὺς ἀδελφούς σου.

[s] δέομαι.
[t] στρέφω.
[u] στηρίζω.

33 Ὁ δὲ εἶπεν αὐτῷ, Κύριε μετὰ σοῦ ἕτοιμός εἰμι καὶ εἰς φυλακὴν καὶ εἰς θάνατον [h] πορεύεσθαι.

34 Ὁ δὲ εἶπε, Λέγω σοι Πέτρε, οὐ μὴ φωνήσει σήμερον ἀλέκτωρ πρὶν ἢ τρεὶς [x] ἀπαρνήσῃ μὴ εἰδέναι με.

[x] ἀρνέομαι.

35 Καὶ εἶπεν αὐτοῖς, Ὅτε [y] ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου, καὶ πήρας καὶ ὑποδημάτων, μή τινος ὑστερήσατε; Οἱ δὲ εἶπον, [z] Οὐδενός.

[y] στέλλω.
[z] εἷς.

36 Εἶπεν οὖν αὐτοῖς, Ἀλλὰ νῦν, ὁ ἔχων βαλάντιον, [a] ἀράτω, ὁμοίως καὶ πήραν· καὶ ὁ μὴ ἔχων, πωλησάτω τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγορασάτω μάχαιραν.

[a] αἴρω.

37 Λέγω γὰρ ὑμῖν ὅτι ἔτι τοῦτο τὸ [b] γεγραμμένον δεῖ [c] τελεσθῆναι ἐν ἐμοὶ, τὸ, Καὶ μετὰ ἀνόμων [d] ἐλογίσθη. Καὶ γὰρ τὰ περὶ ἐμοῦ τέλος ἔχει.

[b] γράφω.
[c] τέλος.
[d] λέγω.

38 Οἱ δὲ εἶπον, Κύριε, ἰδοὺ, μάχαιραι ὧδε δύο· Ὁ δὲ εἶπεν αὐτοῖς, Ἱκανόν [e] ἐστι.

[e] εἰμί.

39 ¶ Καὶ [f] ἐξελθὼν [g] ἐπορεύθη, κατὰ τὸ ἔθος, εἰς τὸ ὄρος τῶν ἐλαιῶν· [h] ἠκολούθησαν δὲ αὐτῷ καὶ οἱ μαθηταὶ αὐτοῦ.

[f] ἔρχομαι.
[g] πορεύω.
[h] ἀκόλουθος.

40 [i] Γενόμενος δὲ ἐπὶ τοῦ τόπου, εἶπεν αὐτοῖς, [k] Προσεύχεσθε μὴ [f] εἰσελθεῖν εἰς πειρασμόν.

[i] γίνομαι.
[k] εὐχή.

41 Καὶ αὐτὸς [l] ἀπεσπάσθη ἀπ' αὐτῶν ὡσεὶ λίθου βολὴν· καὶ [m] θεὶς τὰ γόνατα [n] προσηύχετο,

[l] σπάω.
[m] τίθημι.
[n] εὐχή.

42 Λέγων, Πάτερ, εἰ βούλει [o] παρενεγκεῖν τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· πλὴν μὴ τὸ θέλημά μου, ἀλλὰ τὸ σὸν [p] γινέσθω.

[o] φέρω.
[p] γίνομαι.

43 [q] Ὤφθη δὲ αὐτῷ ἄγγελος ἀπ' οὐρανοῦ ἐνισχύων αὐτόν.

[q] ὄπτομαι.

[r] τείνω.

44 Καὶ [p] γενόμενος ἐν ἀγωνίᾳ, [r] ἐκτενέστερον [n] προσηύχετο· [p] ἐγένετο δὲ ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος καταβαίνοντες ἐπὶ τὴν γῆν.

[ſ] ἵστημι.
[t] εὑρίσκω.

45 Καὶ [ſ] ἀναστὰς ἀπὸ τῆς προσευχῆς, [f] ἐλθὼν πρὸς τοὺς μαθητὰς αὐτοῦ, [t] εὗρεν αὐτοὺς κοιμωμένους ἀπὸ τῆς λύπης·

46 Καὶ εἶπεν αὐτοῖς, Τί καθεύδετε; ἀναστάντες προσεύχεσθε ἵνα μὴ [f] εἰσέλθητε εἰς πειρασμόν.

[u] ἐγγύς.
[x] φίλος.

47 ¶ Ἔτι δὲ αὐτοῦ λαλοῦντος, ἰδοὺ ὄχλος, καὶ ὁ λεγόμενος Ἰούδας, εἷς τῶν δώδεκα, [f] προήρχετο αὐτῶν, καὶ [u] ἤγγισε τῷ Ἰησοῦ, [x] φιλῆσαι αὐτόν.

[y] δίδωμι.

48 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, Ἰούδα, φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώπου [y] παραδίδως;

[z] εἴδω.
[a] εἰμί.
[b] πατάσσω.

49 [z] Ἰδόντες δὲ οἱ περὶ αὐτὸν τὸ [a] ἐσόμενον, εἶπον αὐτῷ, Κύριε, εἰ [b] πατάξομεν ἐν μαχαίρᾳ;

[c] αἱρέω.

50 Καὶ [b] ἐπάταξεν εἷς τις ἐξ αὐτῶν τὸν δοῦλον τοῦ ἀρχιερέως, καὶ [c] ἀφεῖλεν αὐτοῦ τὸ οὖς τὸ δεξιόν.

[d] κρίνω.
[e] ἐάω.
* ἅπτω.
[f] ἰάομαι.

51 [d] Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν, [e] Ἐᾶτε ἕως τούτου. Καὶ * ἁψάμενος τοῦ ὠτίου αὐτοῦ, [f] ἰάσατο αὐτόν.

[g] γίνομαι.
[h] ἔρχομαι.

52 Εἶπε δὲ ὁ Ἰησοῦς πρὸς τοὺς [g] παραγενομένους ἐπ᾽ αὐτὸν ἀρχιερεῖς καὶ στρατηγοὺς τοῦ ἱεροῦ, καὶ πρεσβυτέρους, Ὡς ἐπὶ λῃστὴν [h] ἐξεληλύθατε μετὰ μαχαιρῶν καὶ ξύλων;

[i] τείνω.

53 Καθ᾽ ἡμέραν [a] ὄντος μου μεθ᾽ ὑμῶν ἐν τῷ ἱερῷ, οὐκ [i] ἐξετείνατε τὰς χεῖρας ἐπ᾽ ἐμέ· ἀλλ᾽ αὕτη ὑμῶν [a] ἐστιν ἡ ὥρα, καὶ ἡ ἐξουσία τοῦ σκότους.

[k] λαμβάνω.
[l] ἄγω.
[m] ἀκόλουθος.

54 ¶ [k] Συλλαβόντες δὲ αὐτὸν [l] ἤγαγον, καὶ [l] εἰσήγαγον αὐτὸν εἰς τὸν οἶκον τοῦ ἀρχιερέως. Ὁ δὲ Πέτρος [m] ἠκολούθει μακρόθεν·

[n] ἕζω.
[o] ἧμαι.

55 * Ἁψάντων δὲ πῦρ ἐν μέσῳ τῆς αὐλῆς, καὶ [n] συγκαθισάντων αὐτῶν, [o] ἐκάθητο ὁ Πέτρος ἐν μέσῳ αὐτῶν.

[p] εἴδω.

56 [p] Ἰδοῦσα δὲ αὐτὸν παιδίσκη τις καθήμενον

μένον πρὸς τὸ φῶς, καὶ [q] ἀτενίσασα αὐτῷ, εἶπε· Καὶ οὗτος σὺν αὐτῷ [a] ἦν.

[q] τείνω.

57 Ὁ δὲ [r] ἠρνήσατο αὐτὸν, λέγων, Γύναι, οὐκ [p] οἶδα αὐτόν.

[r] ἀρνέομαι.

58 Καὶ μετὰ βραχὺ ἕτερος [p] ἰδὼν αὐτὸν, [ſ] ἔφη, Καὶ σὺ ἐξ αὐτῶν [a] εἶ. Ὁ δὲ Πέτρος εἶπεν, Ἄνθρωπε οὐκ εἰμί.

[ſ] φάω.

59 Καὶ [t] διαστάσης ὡσεὶ ὥρας μιᾶς, ἄλλος τις [u] διϊσχυρίζετο, λέγων, Ἐπ' ἀληθείας καὶ οὗτος μετ' αὐτοῦ [a] ἦν· καὶ γὰρ Γαλιλαῖός [a] ἐστιν.

[t] ἵστημι.
[u] ἰσχύς.

60 Εἶπε δὲ ὁ Πέτρος, Ἄνθρωπε, οὐκ [p] οἶδα ὃ λέγεις. Καὶ παραχρῆμα ἔτι λαλοῦντος αὐτοῦ, ἐφώνησεν ὁ ἀλέκτωρ.

61 Καὶ [x] στραφεὶς ὁ Κύριος [a] ἐνέβλεψε τῷ Πέτρῳ· καὶ [b] ὑπεμνήσθη ὁ Πέτρος τοῦ λόγου τοῦ Κυρίου, ὡς εἶπεν αὐτῷ, Ὅτι πρὶν ἀλέκτορα φωνῆσαι, [c] ἀπαρνήσῃ με τρίς.

[x] στρέφω.
[a] βλέπω.
[b] μιμνήσκομαι.

62 Καὶ [d] ἐξελθὼν ἔξω ὁ Πέτρος [e] ἔκλαυσε πικρῶς.

[c] ἀρνέομαι.
[d] ἔρχομαι.

63 ¶ Καὶ οἱ ἄνδρες οἱ συνέχοντες τὸν Ἰησοῦν, [f] ἐνέπαιζον αὐτῷ, δέροντες·

[e] κλαίω.
[f] παῖς.

64 Καὶ [g] περικαλύψαντες αὐτὸν, [h] ἔτυπτον αὐτοῦ τὸ πρόσωπον· Καὶ [i] ἐπηρώτων αὐτὸν, λέγοντες, [k] Προφήτευσον τίς [*] ἐστιν ὁ [l] παίσας σε.

[g] καλύπτω.
[h] τύπτω.
[i] ἐρωτάω.

65 Καὶ ἕτερα πολλὰ [k] βλασφημοῦντες [m] ἔλεγον εἰς αὐτόν.

[k] φάω.
[*] εἰμί.

66 Καὶ ὡς [n] ἐγένετο ἡμέρα, [o] συνήχθη τὸ πρεσβυτέριον τοῦ λαοῦ, ἀρχιερεῖς τε καὶ γραμματεῖς, καὶ [o] ἀνήγαγον αὐτὸν εἰς τὸ συνέδριον ἑαυτῶν,

[l] παίω.
[m] λέγω.
[n] γίνομαι.
[o] ἄγω.

67 Λέγοντες, Εἰ σὺ [*] εἶ ὁ Χριστός; εἰπὲ ἡμῖν. Εἶπε δὲ αὐτοῖς, Ἐὰν ὑμῖν εἴπω, οὐ μὴ [p] πιστεύσητε·

[p] πίστις.

68 Ἐὰν δὲ καὶ [i] ἐρωτήσω, οὐ μὴ [q] ἀποκριθῆτέ μοι, ἢ [r] ἀπολύσητε.

[q] κρίνω.
[r] λύω.

69 Ἀπὸ τοῦ νῦν [*] ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου [ſ] καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ Θεοῦ.

[ſ] ἧμαι.

70 Εἶπον δὲ πάντες, Σὺ οὖν [*] εἶ ὁ υἱὸς τοῦ

Θεοῦ; Ὁ δὲ πρὸς αὐτοὺς [l] ἔφη, Ὑμεῖς λέγετε ὅτι ἐγώ εἰμι.

[t] ἀκούω.

71 Οἱ δὲ εἶπον, Τί ἔτι χρείαν ἔχομεν μαρτυρίας; αὐτοὶ γὰρ [t] ἠκούσαμεν ἀπὸ τοῦ στόματος αὐτοῦ.

Κεφ. κγʹ. Cap. XXIII.

[a] ἵστημι.
[b] ἄγω.
[c] ἄρχω.
[d] εὑρίσκω.
[e] δίδωμι.
[f] εἰμί.
[g] ἐρωτάω.

ΚΑὶ [a] ἀναστὰν ἅπαν τὸ πλῆθος αὐτῶν [b] ἤγαγεν αὐτὸν ἐπὶ τὸν Πιλάτον.

2 [c] Ἤρξαντο δὲ κατηγορεῖν αὐτοῦ, λέγοντες, Τοῦτον [d] εὕρομεν διαστρέφοντα τὸ ἔθνος, καὶ κωλύοντα Καίσαρι φόρους [e] διδόναι, λέγοντα ἑαυτὸν Χριστὸν βασιλέα [f] εἶναι.

[h] φάω.

3 Ὁ δὲ Πιλάτος [g] ἐπηρώτησεν αὐτὸν, λέγων, Σὺ [f] εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ ἀποκριθεὶς αὐτῷ [h] ἔφη, Σὺ λέγεις.

4 Ὁ δὲ Πιλάτος εἶπε πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς ὄχλους, Οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ τούτῳ.

[i] ἰσχύς.

5 Οἱ δὲ [i] ἐπίσχυον, λέγοντες, Ὅτι ἀνασείει τὸν λαὸν, διδάσκων καθ᾽ ὅλης τῆς Ἰουδαίας, [c] ἀρξάμενος ἀπὸ τῆς Γαλιλαίας ἕως ὧδε.

6 Πιλάτος δὲ ἀκούσας Γαλιλαίαν, [g] ἐπηρώτησεν εἰ ὁ ἄνθρωπος Γαλιλαῖός ἐστι.

[k] γινώσκω.
[l] πέμπω.

7 Καὶ [k] ἐπιγνοὺς ὅτι ἐκ τῆς ἐξουσίας Ἡρώδου [f] ἐστὶν, [l] ἀνέπεμψεν αὐτὸν πρὸς Ἡρώδην, ὄντα καὶ αὐτὸν ἐν Ἱεροσολύμοις ἐν ταύταις ταῖς ἡμέραις.

[m] εἴδω.
[n] χαίρω.
[o] ἐλπίς.

8 Ὁ δὲ Ἡρώδης, [m] ἰδὼν τὸν Ἰησοῦν, [n] ἐχάρη λίαν· [f] ἦν γὰρ θέλων ἐξ ἱκανοῦ [m] ἰδεῖν αὐτὸν, διὰ τὸ ἀκούειν πολλὰ περὶ αὐτοῦ· καὶ [o] ἤλπιζέ τι σημεῖον ἰδεῖν ὑπ᾽ αὐτοῦ γινόμενον.

[p] κρίνω.
[q] ἵστημι.
[r] ἀγορά.
[s] εἷς.
[t] παίζω.
[u] πέμπω.

9 [g] Ἐπηρώτα δὲ αὐτὸν ἐν λόγοις ἱκανοῖς· αὐτὸς δὲ οὐδὲν [p] ἀπεκρίνατο αὐτῷ.

10 [q] Εἱστήκεισαν δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς εὐτόνως [r] κατηγοροῦντες αὐτοῦ.

11 [s] Ἐξουθενήσας δὲ αὐτὸν ὁ Ἡρώδης σὺν τοῖς στρατεύμασιν αὐτοῦ, καὶ [t] ἐμπαίξας, περιβαλὼν αὐτὸν ἐσθῆτα λαμπρὰν, [u] ἀνέπεμψεν αὐτὸν τῷ Πιλάτῳ.

12 [x] Ἐγένοντο δὲ φίλοι ὅ, τε Πιλάτος καὶ [x] γίνομαι.
ὁ Ἡρώδης ἐν αὐτῇ τῇ ἡμέρᾳ μετ' ἀλλήλων·
[*] προϋπῆρχον γὰρ ἐν ἔχθρᾳ ὄντες πρὸς ἑαυ- [*] ἄρχω.
τούς.

13 Πιλάτος δὲ συγκαλεσάμενος τοὺς ἀρ-
χιερεῖς καὶ τοὺς ἄρχοντας καὶ τὸν λαόν,

14 Εἶπε πρὸς αὐτούς, [y] Προσηνέγκατέ μοι [y] φέρω.
τὸν ἄνθρωπον τοῦτον ὡς [z] ἀποστρέφοντα τὸν λαόν· [z] στρέφω.
καὶ ἰδού, ἐγὼ ἐνώπιον ὑμῶν ἀνακρίνας, οὐδὲν
[a] εὗρον ἐν τῷ ἀνθρώπῳ τούτῳ αἴτιον ὧν κα- [a] εὑρίσκω.
τηγορεῖτε κατ' αὐτοῦ.

15 Ἀλλ' οὐδὲ Ἡρώδης· [b] ἀνέπεμψα γὰρ ὑ- [b] πέμπω.
μᾶς πρὸς αὐτόν, καὶ ἰδού, οὐδὲν ἄξιον θανάτου
ἐστὶ [c] πεπραγμένον αὐτῷ. [c] πράττω.

16 [d] Παιδεύσας οὖν αὐτὸν [e] ἀπολύσω. [d] παῖς.

17 Ἀνάγκην δὲ εἶχεν [e] ἀπολύειν αὐτοῖς κατὰ [e] λύω.
ἑορτὴν [f] ἕνα. [f] εἷς.

18 [g] Ἀνέκραξαν δὲ [h] παμπληθεί, λέγοντες, [g] κράζω.
Αἶρε τοῦτον· [e] ἀπόλυσον δὲ ἡμῖν τὸν Βαραββᾶν. [h] πλῆθος.

19 (Ὅστις [i] ἦν διὰ στάσιν τινὰ [k] γενομένην [i] εἰμί.
ἐν τῇ πόλει καὶ φόνον, [l] βεβλημένος εἰς φυλα- [k] γίνομαι.
κήν.) [l] βάλλω.

20 Πάλιν οὖν ὁ Πιλάτος [m] προσεφώνησε, [m] φωνή.
θέλων ἀπολῦσαι τὸν Ἰησοῦν.

21 Οἱ δὲ [m] ἐπεφώνουν, λέγοντες, [n] Σταύ- [n] σταυρόω.
ρωσον, σταύρωσον αὐτόν.

22 Ὁ δὲ τρίτον εἶπε πρὸς αὐτούς, Τί γὰρ κα-
κὸν ἐποίησεν οὗτος; οὐδὲν αἴτιον θανάτου [o] εὗρον [o] εὑρίσκω.
ἐν αὐτῷ· [d] παιδεύσας οὖν αὐτὸν [e] ἀπολύσω.

23 Οἱ δὲ [p] ἐπέκειντο φωναῖς μεγάλαις αἰτού- [p] κεῖμαι.
μενοι αὐτὸν [n] σταυρωθῆναι. Καὶ [q] κατίσχυον [q] ἰσχύω.
αἱ φωναὶ αὐτῶν καὶ τῶν ἀρχιερέων.

24 Ὁ δὲ Πιλάτος ἐπέκρινε [k] γενέσθαι τὸ
αἴτημα αὐτῶν.

25 [e] Ἀπέλυσε δὲ αὐτοῖς τὸν διὰ στάσιν καὶ
φόνον [l] βεβλημένον εἰς τὴν φυλακήν, ὃν [r] ᾐ- [r] αἰτέω.
τοῦντο· τὸν δὲ Ἰησοῦν [s] παρέδωκε τῷ θελήματι [s] δίδωμι.
αὐτῶν. [t] ἄγω.

26 ¶ Καὶ ὡς [t] ἀπήγαγον αὐτόν, [u] ἐπιλα- [u] λαμβάνω.

βόμενοι Σίμωνός τινος Κυρηναίου τοῦ ἐρχομένου
[x] τίθημι. ἀπ' ἀγροῦ, [x] ἐπέθηκαν αὐτῷ τὸν σταυρὸν, φέρειν
ὄπισθεν τοῦ Ἰησοῦ.

[y] ἀκόλουθος. 27 [y] Ἠκολούθει δὲ αὐτῷ πολὺ πλῆθος τοῦ
[z] κόπτω. λαοῦ καὶ γυναικῶν· αἳ καὶ [z] ἐκόπτοντο καὶ [a] ἐθρήνουν
[a] θρῆνος. αὐτόν.

[b] στρέφω. 28 [b] Στραφεὶς δὲ πρὸς αὐτὰς ὁ Ἰησοῦς εἶπε,
Θυγατέρες Ἱερουσαλὴμ, μὴ κλαίετε ἐπ'
ἐμὲ, πλὴν ἐφ' ἑαυτὰς κλαίετε καὶ ἐπὶ τὰ τέκνα
ὑμῶν·

[c] εἴρω. 29 Ὅτι ἰδοὺ ἔρχονται ἡμέραι ἐν αἷς [c] ἐροῦσι,
[d] γεννάω. Μακάριαι αἱ στεῖραι, καὶ κοιλίαι αἳ οὐκ [d] ἐγέννησαν,
[e] θηλή. καὶ μαστοὶ οἳ οὐκ [e] ἐθήλασαν.

[f] ἄρχω. 30 Τότε [f] ἄρξονται λέγειν τοῖς ὄρεσι, [g] Πέσετε
[g] πίπτω. ἐφ' ἡμᾶς· καὶ τοῖς βουνοῖς, [h] Καλύψατε
[h] καλύπτω. ἡμᾶς.

31 Ὅτι εἰ ἐν τῷ ὑγρῷ ξύλῳ ταῦτα ποιοῦσιν,
[i] γίνομαι. ἐν τῷ ξηρῷ τί [i] γένηται;

[k] ἄγω. 32 ¶ [k] Ἤγοντο δὲ καὶ ἕτεροι δύο κακοῦργοι
[l] αἱρέω. σὺν αὐτῷ [l] ἀναιρεθῆναι.

[m] ἔρχομαι. 33 Καὶ ὅτε [m] ἀπῆλθον ἐπὶ τὸν τόπον τὸν καλούμενον
[n] σταυρός. Κρανίον, ἐκεῖ [n] ἐσταύρωσαν αὐτὸν, καὶ τοὺς
κακούργους· ὃν μὲν, ἐκ δεξιῶν, ὃν δὲ, ἐξ ἀριστερῶν.

[o] ἕω. 34 Ὁ δὲ Ἰησοῦς ἔλεγε, Πάτερ, [o] ἄφες αὐτοῖς·
[p] εἴδω. οὐ γὰρ [p] οἴδασι τί ποιοῦσι. [q] Διαμεριζόμενοι
[q] μείρω. δὲ τὰ ἱμάτια αὐτοῦ, ἔβαλον κλῆρον.

[r] ἵστημι. 35 Καὶ [r] εἱστήκει ὁ λαὸς θεωρῶν· [s] Ἐξεμυκτήριζον
[s] μυκτήρ. δὲ καὶ οἱ ἄρχοντες σὺν αὐτοῖς, λέγοντες,
[t] σόος. Ἄλλους [t] ἔσωσε, [t] σωσάτω ἑαυτὸν, εἰ οὗτός [u] ἐστιν
[u] εἰμί. ὁ Χριστὸς ὁ τοῦ Θεοῦ ἐκλεκτός.

[x] παῖς. 36 [x] Ἐνέπαιζον δὲ αὐτῷ καὶ οἱ στρατιῶται,
προσερχόμενοι καὶ ὄξος προσφέροντες αὐτῷ

37 Καὶ λέγοντες, Εἰ σὺ εἶ ὁ βασιλεὺς τῶν
Ἰουδαίων, [t] σῶσον σεαυτόν.

[y] γράφω. 38 [u] Ἦν δὲ καὶ ἐπιγραφὴ [y] γεγραμμένη ἐπ'
αὐτῷ γράμμασιν Ἑλληνικοῖς καὶ Ῥωμαϊκοῖς καὶ
[a] εἰμί. Ἑβραϊκοῖς, ΟΥ̓ΤΟ'Σ [a] 'ΕΣΤΙΝ 'Ο ΒΑΣΙΛΕΥ'Σ
ΤΩ͂Ν 'ΙΟΥΔΑΙ'ΩΝ.

39 ¶ Εἷς δὲ τῶν [b] κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτόν, λέγων, Εἰ σὺ [a] εἶ ὁ Χριστός, [c] σῶσον σεαυτὸν καὶ ἡμᾶς.

40 [d] Ἀποκριθεὶς δὲ ὁ ἕτερος [e] ἐπετίμα αὐτῷ, λέγων, Οὐδὲ [f] φοβῇ σὺ τὸν Θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματι [a] εἶ;

41 Καὶ ἡμεῖς μὲν δικαίως· (ἄξια γὰρ ὧν [g] ἐπράξαμεν [h] ἀπολαμβάνομεν) οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε.

42 Καὶ ἔλεγε τῷ Ἰησοῦ, [i] Μνήσθητί μου Κύριε, ὅταν [k] ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

43 Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, Ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.

44 Ἦν δὲ ὡσεὶ ὥρα ἕκτη, καὶ σκότος [l] ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐννάτης.

45 Καὶ [m] ἐσκοτίσθη ὁ ἥλιος, καὶ [n] ἐσχίσθη τὸ καταπέτασμα τοῦ ναοῦ μέσον.

46 Καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ Ἰησοῦς εἶπε, Πάτερ, εἰς χεῖράς σου [o] παραθήσομαι τὸ πνεῦμά μου· Καὶ ταῦτα εἰπὼν * ἐξέπνευσεν.

47 ¶ [p] Ἰδὼν δὲ ὁ ἑκατόνταρχος τὸ γενόμενον, [q] ἐδόξασε τὸν Θεόν, λέγων, Ὄντως ὁ ἄνθρωπος οὗτος δίκαιος [a] ἦν.

48 Καὶ πάντες οἱ [i] συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν θεωρίαν ταύτην, θεωροῦντες τὰ γενόμενα, τύπτοντες ἑαυτῶν τὰ στήθη [r] ὑπέστρεφον. //

49 [s] Εἱστήκεισαν δὲ πάντες οἱ γνωστοὶ αὐτοῦ μακρόθεν, καὶ γυναῖκες αἱ [t] συνακολουθήσασαι αὐτῷ ἀπὸ τῆς Γαλιλαίας, [u] ὁρῶσαι ταῦτα. //

50 Καὶ ἰδοὺ ἀνὴρ ὀνόματι Ἰωσὴφ, βουλευτὴς ὑπάρχων, ἀνὴρ ἀγαθὸς καὶ δίκαιος·

51 (Οὗτος οὐκ [a] ἦν [o] συγκατατεθειμένος τῇ βουλῇ καὶ τῇ πράξει αὐτῶν, ἀπὸ Ἀριμαθαίας πόλεως τῶν Ἰουδαίων· ὃς καὶ [x] προσεδέχετο καὶ αὐτὸς τὴν βασιλείαν τοῦ Θεοῦ) //

52 Οὗτος [y] προσελθὼν τῷ Πιλάτῳ, [z] ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ·

53 Καὶ

[b] κρεμάω.
[c] σόος.
[d] κρίνω.
[e] τίω.
[f] φέβομαι.
[g] πράττω
[h] λαμβάνω.
[i] μιμνήσκομαι.
[k] ἔρχομαι.
[l] γίνομαι.
[m] σκότος.
[n] σχίζω.
[o] τίθημι.
* πνέω.
[p] εἴδω.
[q] δοκέω.
[r] στρέφω.
[s] ἵστημι.
[t] ἀκόλουθος.
[u] ὁράω.
[x] δέχομαι.
[y] ἔρχομαι.
[z] αἰτία.

// 53 Καὶ [a] καθελὼν αὐτὸ [b] ἐνετύλιξεν αὐτὸ σινδόνι, καὶ [c] ἔθηκεν αὐτὸ ἐν μνήματι [d] λαξευτῷ, οὗ οὐκ [g] ἦν οὐδέπω οὐδεὶς κείμενος.

// 54 Καὶ ἡμέρα [g] ἦν παρασκευὴ, καὶ σάββατον [e] ἐπέφωσκε.

55 [f] Κατακολουθήσασαι δὲ καὶ γυναῖκες, αἵτινες [g] ἦσαν [h] συνεληλυθυῖαι αὐτῷ ἐκ τῆς Γαλιλαίας, [i] ἐθεάσαντο τὸ μνημεῖον, καὶ ὡς [c] ἐτέθη τὸ σῶμα αὐτοῦ.

56 [l] Ὑποστρέψασαι δὲ [m] ἡτοίμασαν ἀρώματα καὶ μύρα· καὶ τὸ μὲν σάββατον [n] ἡσύχασαν, κατὰ τὴν ἐντολήν.

- a αἱρέω.
- b τύλος.
- c τίθημι.
- d ξέω.
- e φῶς.
- f ἀκόλουθος.
- g εἰμί.
- h ἔρχομαι.
- i θεάομαι.
- l στρέφω.
- m ἕτοιμος.
- n ἥσυχος.

Κεφ. κδ΄. Cap. XXIV.

ΤΗ δὲ μιᾷ τῶν σαββάτων, ὄρθρου βαθέος [a] ἦλθον ἐπὶ τὸ μνῆμα, [b] φέρουσαι ἃ [c] ἡτοίμασαν ἀρώματα· καί τινες σὺν αὐταῖς.

// 2 [d] Εὗρον δὲ τὸν λίθον [e] ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείου.

3 Καὶ [b] εἰσελθοῦσαι οὐχ [d] εὗρον τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ.

// 4 Καὶ [f] ἐγένετο ἐν τῷ [g] διαπορεῖσθαι αὐτὰς περὶ τούτου, καὶ ἰδοὺ, δύο ἄνδρες [h] ἐπέστησαν αὐταῖς ἐν [i] ἐσθήσεσιν ἀστραπτούσαις·

5 Ἐμφόβων δὲ γενομένων αὐτῶν, καὶ κλινουσῶν τὸ πρόσωπον εἰς τὴν γῆν, εἶπον πρὸς αὐτὰς, Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν;

6 Οὐκ [k] ἔστιν ὧδε, ἀλλ᾽ [l] ἠγέρθη· [m] μνήσθητε ὡς [n] ἐλάλησεν ὑμῖν, ἔτι ὢν ἐν τῇ Γαλιλαίᾳ,

7 Λέγων, Ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου [o] παραδοθῆναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν, καὶ [p] σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ [h] ἀναστῆναι.

8 Καὶ [m] ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ.

9 Καὶ [q] ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου [r] ἀπήγγειλαν ταῦτα πάντα τοῖς ἕνδεκα, καὶ πᾶσι τοῖς λοιποῖς.

10 [g] Ἦσαν δὲ ἡ Μαγδαληνὴ Μαρία καὶ Ἰωάννα καὶ Μαρία Ἰακώβου, καὶ αἱ λοιπαὶ σὺν αὐταῖς, αἳ [s] ἔλεγον πρὸς τοὺς ἀποστόλους ταῦτα.

- a ἔρχομαι.
- b φέρω.
- c ἕτοιμος.
- d εὑρίσκω.
- e κυλίω.
- f γίνομαι.
- g πείρω.
- h ἵστημι.
- i ἕω.
- k εἰμί.
- l ἐγείρω.
- m μιμνήσκομαι.
- n λαλέω.
- o δίδωμι.
- p σταυρός.
- q στρέφω.
- r ἀγγέλλω.
- s λέγω.

11 Καὶ [t] ἐφάνησαν ἐνώπιον αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν, καὶ [u] ἠπίστουν αὐταῖς.

12 Ὁ δὲ Πέτρος ἀναστὰς [x] ἔδραμεν ἐπὶ τὸ μνημεῖον· καὶ παρακύψας βλέπει τὰ ὀθόνια κείμενα μόνα· καὶ [a] ἀπῆλθε, πρὸς ἑαυτὸν θαυμάζων τὸ [f] γεγονός.

13 ¶ Καὶ ἰδοὺ, δύο ἐξ αὐτῶν [k] ἦσαν [g] πορευόμενοι ἐν αὐτῇ τῇ ἡμέρᾳ εἰς κώμην ἀπέχουσαν σταδίους ἑξήκοντα ἀπὸ Ἱερουσαλὴμ, ᾗ ὄνομα Ἐμμαοῦς.

14 Καὶ αὐτοὶ [y] ὡμίλουν πρὸς ἀλλήλους περὶ πάντων τῶν [z] συμβεβηκότων τούτων.

15 Καὶ [a] ἐγένετο ἐν τῷ ὁμιλεῖν αὐτοὺς καὶ συζητεῖν, καὶ αὐτὸς ὁ Ἰησοῦς [b] ἐγγίσας [c] συνεπορεύετο αὐτοῖς.

16 Οἱ δὲ ὀφθαλμοὶ αὐτῶν [d] ἐκρατοῦντο, τοῦ μὴ [e] ἐπιγνῶναι αὐτόν.

17 Εἶπε δὲ πρὸς αὐτούς, Τίνες οἱ λόγοι οὗτοι οὓς ἀντιβάλλετε πρὸς ἀλλήλους περιπατοῦντες, καὶ [f] ἐστὲ σκυθρωποί;

18 [g] Ἀποκριθεὶς δὲ ὁ εἷς ᾧ ὄνομα Κλεόπας, εἶπε πρὸς αὐτόν, Σὺ μόνος παροικεῖς ἐν Ἱερουσαλὴμ, καὶ οὐκ [e] ἔγνως τὰ [a] γενόμενα ἐν αὐτῇ ἐν ταῖς ἡμέραις ταύταις;

19 Καὶ εἶπεν αὐτοῖς, Ποῖα; Οἱ δὲ εἶπον αὐτῷ, Τὰ περὶ Ἰησοῦ τοῦ Ναζαραίου, ὃς [a] ἐγένετο ἀνὴρ προφήτης, δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ ἐναντίον τοῦ Θεοῦ καὶ παντὸς τοῦ λαοῦ.

20 Ὅπως τε [h] παρέδωκαν αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ἄρχοντες ἡμῶν εἰς κρίμα θανάτου, καὶ [i] ἐσταύρωσαν αὐτόν.

21 Ἡμεῖς δὲ [k] ἠλπίζομεν ὅτι αὐτός [f] ἐστιν ὁ μέλλων [l] λυτροῦσθαι τὸν Ἰσραήλ· ἀλλά γε σὺν πᾶσι τούτοις, τρίτην ταύτην ἡμέραν ἄγει σήμερον ἀφ᾽ οὗ ταῦτα [a] ἐγένετο.

22 Ἀλλὰ καὶ γυναῖκές τινες ἐξ ἡμῶν [m] ἐξέστησαν ἡμᾶς, [a] γενόμεναι ὄρθριαι ἐπὶ τὸ μνημεῖον·

23 Καὶ μὴ [n] εὑροῦσαι τὸ σῶμα αὐτοῦ, [a] ἦλθον,

[t] φαίνω. //

[u] πίστις.

[x] τρέχω.

[y] ὅμιλος.

[z] βαίνω.

[a] γίνομαι.

[b] ἐγγύς.

[c] πείρω.

[d] κράτος.

[e] γινώσκω.

//

[f] εἰμί.

[g] κρίνω.

//

[h] δίδωμι.

[i] σταυρός.

[k] ἐλπίς.

[l] λύω.

[m] ἵστημι. //

[n] εὑρίσκω.

λέγουσαι καὶ ὀπτασίαν ἀγγέλων [p] ἑωρακέναι, οἳ λέγουσιν αὐτὸν * ζῆν.

24 Καὶ [o] ἀπῆλθόν τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον, καὶ [q] εὗρον οὕτω καθὼς καὶ αἱ γυναῖκες εἶπον· αὐτὸν δὲ οὐκ εἶδον.

25 Καὶ αὐτὸς εἶπε πρὸς αὐτούς, Ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ τοῦ πιστεύειν ἐπὶ πᾶσιν οἷς [r] ἐλάλησαν οἱ προφῆται,

26 Οὐχὶ ταῦτα ἔδει [s] παθεῖν τὸν Χριστόν, καὶ [o] εἰσελθεῖν εἰς τὴν δόξαν ἑαυτοῦ;

27 Καὶ [t] ἀρξάμενος ἀπὸ Μωσέως καὶ ἀπὸ πάντων τῶν προφητῶν, [u] διηρμήνευεν αὐτοῖς ἐν πάσαις ταῖς γραφαῖς τὰ περὶ αὐτοῦ.

28 ¶ Καὶ [x] ἤγγισαν εἰς τὴν κώμην οὗ [y] ἐπορεύοντο· καὶ αὐτὸς προσεποιεῖτο πορρωτέρω [y] πορεύεσθαι.

29 Καὶ [z] παρεβιάσαντο αὐτόν, λέγοντες, [a] Μεῖνον μεθ' ἡμῶν, ὅτι πρὸς ἑσπέραν [b] ἐστί, καὶ [c] κέκλικεν ἡ ἡμέρα. Καὶ [d] εἰσῆλθε τοῦ μεῖναι σὺν αὐτοῖς.

30 Καὶ [e] ἐγένετο ἐν τῷ [c] κατακλιθῆναι αὐτὸν μετ' αὐτῶν, [g] λαβὼν τὸν ἄρτον [h] εὐλόγησε, καὶ [i] κλάσας [k] ἐπεδίδου αὐτοῖς.

31 Αὐτῶν δὲ [l] διηνοίχθησαν οἱ ὀφθαλμοί, καὶ [m] ἐπέγνωσαν αὐτόν· καὶ αὐτὸς ἄφαντος [e] ἐγένετο ἀπ' αὐτῶν.

32 Καὶ εἶπον πρὸς ἀλλήλους, Οὐχὶ ἡ καρδία ἡμῶν [n] καιομένη ἦν ἐν ἡμῖν, ὡς [o] ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ, καὶ ὡς [p] διήνοιγεν ἡμῖν τὰς γραφάς;

33 ¶ Καὶ [q] ἀναστάντες αὐτῇ τῇ ὥρᾳ, [r] ὑπέστρεψαν εἰς Ἱερουσαλήμ, καὶ [s] εὗρον [t] συνηθροισμένους τοὺς ἕνδεκα καὶ τοὺς σὺν αὐτοῖς,

34 Λέγοντας, Ὅτι [u] ἠγέρθη ὁ Κύριος ὄντως, καὶ [x] ὤφθη Σίμωνι.

35 Καὶ αὐτοὶ [y] ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ, καὶ ὡς [m] ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου.

36 Ταῦτα δὲ αὐτῶν [z] λαλούντων, αὐτὸς ὁ Ἰησοῦς [a] ἔστη ἐν μέσῳ αὐτῶν, καὶ λέγει αὐτοῖς, Εἰρήνη ὑμῖν.

[b] 37 Πτοη-

p ὁράω.
* ζάω.
q εὑρίσκω.
r λαλέω.
s πάσχω.
t ἄρχω.
u ἑρμηνεύω.
x ἐγγύς.
y πείρω.
z βία.
a μένω.
b εἰμί.
c κλίνω.
d ἔρχομαι.
e γίνομαι.
g λαμβάνω.
h λέγω.
i κλάω.
k δίδωμι.
l οἴγω.
m γινώσκω.
n καίω.
o λαλέω.
p οἴγω.
q ἵστημι.
r στρέφω.
s εὑρίσκω.
t ἄθροος.
u ἐγείρω.
x ὄπτομαι.
y ἡγέομαι.
z λαλέω.
a ἵστημι.

37 [b] Πτοηθέντες δὲ καὶ ἔμφοβοι [c] γενόμενοι [d] ἐδόκουν πνεῦμα θεωρεῖν.

38 Καὶ εἶπεν αὐτοῖς, Τί * τεταραγμένοι [e] ἐστὲ, καὶ διὰ τί διαλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν;

39 [f] Ἴδετε τὰς χεῖράς μου καὶ τοὺς πόδας μου· ὅτι αὐτὸς ἐγώ εἰμι· [g] ψηλαφήσατέ με καὶ [f] ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα.

40 Καὶ τοῦτο εἰπὼν, [h] ἐπέδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας.

41 Ἔτι δὲ ἀπιστούντων αὐτῶν ἀπὸ τῆς χαρᾶς καὶ θαυμαζόντων εἶπεν αὐτοῖς, Ἔχετέ τι βρώσιμον ἐνθάδε;

42 Οἱ δὲ [i] ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος καὶ ἀπὸ μελισσίου κηρίου.

43 Καὶ [k] λαβὼν, ἐνώπιον αὐτῶν [l] ἔφαγεν.

44 Εἶπε δὲ αὐτοῖς, Οὗτοι οἱ λόγοι οὓς [m] ἐλάλησα πρὸς ὑμᾶς ἔτι [e] ὢν σὺν ὑμῖν, ὅτι δεῖ [n] πληρωθῆναι πάντα τὰ [o] γεγραμμένα ἐν τῷ νόμῳ Μωσέως, καὶ προφήταις, καὶ ψαλμοῖς, περὶ ἐμοῦ.

45 Τότε [p] διήνοιξεν αὐτῶν τὸν νοῦν, τοῦ [q] συνιέναι τὰς γραφάς·

46 Καὶ εἶπεν αὐτοῖς, Ὅτι οὕτω [o] γέγραπται, καὶ οὕτως ἔδει [r] παθεῖν τὸν Χριστὸν, καὶ [s] ἀναστῆναι ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ.

47 Καὶ [t] κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη, ἀρξάμενον ἀπὸ Ἱερουσαλήμ.

48 Ὑμεῖς δέ [e] ἐστε μάρτυρες τούτων.

49 Καὶ ἰδοὺ, ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ πατρός μου ἐφ' ὑμᾶς· ὑμεῖς δὲ [u] καθίσατε ἐν τῇ πόλει Ἱερουσαλὴμ, ἕως οὗ [x] ἐνδύσησθε δύναμιν ἐξ ὕψους.

50 [y] Ἐξήγαγε δὲ αὐτοὺς ἔξω ἕως εἰς Βηθανίαν· καὶ * ἐπάρας τὰς χεῖρας αὐτοῦ, [z] εὐλόγησεν αὐτούς·

51 Καὶ [c] ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτοὺς,

[b] πτοέω.
[c] γίνομαι.
[d] δοκέω.
* ταράττω.
[e] εἰμί.
[f] εἴδω.
[g] ἅπτω.
[h] δεικνύω.
[i] δίδωμι.
[k] λαμβάνω.
[l] φάγω.
[m] λαλέω.
[n] πλέος.
[o] γράφω.
[p] οἴγω.
[q] ἕω.
[r] πάσχω.
[s] ἵστημι.
[t] κηρύττω.
[u] ἕζω.
[x] δύω.
[y] ἄγω.
* αἴρω.
[z] λέγω.

[a] φέρω.
[b] κυνέω.
[c] στρέφω.
[d] εἰμί.
[e] αἰνέω.
[f] λέγω.

αὐτοὺς, [f] διέστη ἀπ' αὐτῶν, καὶ [a] ἀνεφέρετο εἰς τὸν οὐρανόν.

52 Καὶ αὐτοὶ [b] προσκυνήσαντες αὐτὸν, [c] ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ μετὰ χαρᾶς μεγάλης·

53 Καὶ [d] ἦσαν διαπαντὸς ἐν τῷ ἱερῷ [e] αἰνοῦντες καὶ [f] εὐλογοῦντες τὸν Θεόν. Ἀμήν.

ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ.

Κεφάλαιον α΄. Caput I.

[a] εἰμί.
[b] γίνομαι.
[c] λαμβάνω.
[d] στέλλω.
[e] ἔρχομαι.
[f] γινώσκω.
[g] ἔρχομαι.
[h] λαμβάνω.

Ἐν ἀρχῇ [a] ἦν ὁ λόγος, καὶ ὁ λόγος [a] ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς [a] ἦν ὁ λόγος.

2 Οὗτος [a] ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν.

3 Πάντα δι' αὐτοῦ [b] ἐγένετο· καὶ χωρὶς αὐτοῦ [b] ἐγένετο οὐδὲ ἓν ὃ [b] γέγονεν.

4 Ἐν αὐτῷ ζωὴ [a] ἦν, καὶ ἡ ζωὴ [b] ἦν τὸ φῶς τῶν ἀνθρώπων·

5 Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ [c] κατέλαβεν.

6 [b] Ἐγένετο ἄνθρωπος [d] ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης.

7 Οὗτος [e] ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ.

8 Οὐκ [a] ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός.

9 [a] Ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον.

10 Ἐν τῷ κόσμῳ [a] ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο· καὶ ὁ κόσμος αὐτὸν οὐκ [f] ἔγνω.

11 Εἰς τὰ ἴδια [g] ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ [h] παρέλαβον.

12 Ὅσοι δὲ [h] ἔλαβον αὐτὸν, [i] ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ [k] γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ·

[i] δίδωμι.
[k] γίνομαι.

13 Οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ᾽ ἐκ Θεοῦ [l] ἐγεννήθησαν.

[l] γεννάω.

14 Καὶ ὁ λόγος σὰρξ [k] ἐγένετο, καὶ [m] ἐσκήνωσεν ἐν ἡμῖν, (καὶ [n] ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς) πλήρης χάριτος καὶ ἀληθείας.

[m] σκηνή. //
[n] θεάομαι.

15 Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, καὶ [o] κέκραγε, λέγων, Οὗτος [p] ἦν ὃν εἶπον, Ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου [k] γέγονεν· ὅτι πρῶτός μου [p] ἦν.

[o] κράζω.
[p] εἰμί.

16 Καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες [h] ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος.

17 Ὅτι ὁ νόμος διὰ Μωσέως [t] ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ [k] ἐγένετο.

18 Θεὸν οὐδεὶς [q] ἑώρακε πώποτε· ὁ μονογενὴς υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς, ἐκεῖνος [r] ἐξηγήσατο.

[q] ὁράω. //
[r] ἡγέομαι.

19 Καὶ αὕτη [p] ἐστὶν ἡ μαρτυρία τοῦ Ἰωάννου, ὅτε [ſ] ἀπέστειλαν οἱ Ἰουδαῖοι ἐξ Ἱεροσολύμων ἱερεῖς καὶ Λευΐτας, ἵνα [t] ἐρωτήσωσιν αὐτὸν, Σὺ τίς [p] εἶ;

[ſ] στέλλω.
[t] ἐρωτάω.

20 Καὶ [u] ὡμολόγησε, καὶ οὐκ [x] ἠρνήσατο· καὶ [u] ὡμολόγησεν, Ὅτι οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός.

[u] λέγω.
[x] ἀρνέομαι.

21 Καὶ [t] ἐρώτησαν αὐτὸν, Τί οὖν; Ἠλίας εἶ σύ; Καὶ λέγει, Οὐκ εἰμί. Ὁ προφήτης [p] εἶ σύ; Καὶ [y] ἀπεκρίθη, Οὔ.

[y] κρίνω.

22 Εἶπον οὖν αὐτῷ, Τίς [p] εἶ; ἵνα ἀπόκρισιν [i] δῶμεν τοῖς [z] πέμψασιν ἡμᾶς· τί λέγεις περὶ σεαυτοῦ;

[z] πέμπω.

23 [a] Ἔφη, Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, [b] Εὐθύνατε τὴν ὁδὸν Κυρίου· καθὼς εἶπεν Ἡσαΐας ὁ προφήτης.

[a] φημί.
[b] εὐθύς.

24 Καὶ οἱ [c] ἀπεσταλμένοι, [d] ἦσαν ἐκ τῶν Φαρισαίων.

[c] στέλλω.
[d] εἰμί.

25 Καὶ [e] ἠρώτησαν αὐτὸν, καὶ εἶπον αὐτῷ, Τί

[e] ἐρωτάω.

οὖν βαπτίζεις, εἰ σὺ οὐκ [d] εἶ ὁ Χριστὸς, οὔτε Ἠλίας, οὔτε ὁ προφήτης;

[f] κρίνω.
[g] ἵστημι.
[h] εἴδω.

26 [f] Ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης, λέγων, Ἐγὼ βαπτίζω ἐν ὕδατι· μέσος δὲ ὑμῶν [g] ἕστηκεν ὃν ὑμεῖς οὐκ [h] οἴδατε·

[i] γίνομαι.

27 Αὐτός [d] ἐστιν ὁ ὀπίσω μου ἐρχόμενος, ὃς ἔμπροσθέν μου [i] γέγονεν· οὗ ἐγὼ οὐκ εἰμὶ ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος.

28 Ταῦτα ἐν Βηθαβαρᾷ [i] ἐγένετο πέραν τοῦ Ἰορδάνου, ὅπου [d] ἦν Ἰωάννης βαπτίζων·

29 ¶ Τῇ ἐπαύριον βλέπει ὁ Ἰωάννης τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει, [h] Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

30 Οὗτός [d] ἐστι περὶ οὗ ἐγὼ εἶπον, Ὀπίσω μου ἔρχεται ἀνὴρ ὃς ἔμπροσθέν μου [i] γέγονεν· ὅτι πρῶτός μου [d] ἦν.

[k] καὶ ἐγώ.
[l] φαίνω.
[m] ἔρχομαι.

31 [k] Κἀγὼ οὐκ [h] ᾔδειν αὐτόν· ἀλλ' ἵνα [l] φανερωθῇ τῷ Ἰσραὴλ, διὰ τοῦτο [m] ἦλθον ἐγὼ ἐν τῷ ὕδατι βαπτίζων.

[n] μάρτυρ.
[o] θεάομαι.
[p] μένω.

32 Καὶ [n] ἐμαρτύρησεν Ἰωάννης, λέγων, Ὅτι [o] τεθέαμαι τὸ Πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ, καὶ [p] ἔμεινεν ἐπ' αὐτόν.

[q] ὕδωρ.

33 [k] [k] Κἀγὼ οὐκ ᾔδειν αὐτόν· ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν [q] ὕδατι, ἐκεῖνός μοι εἶπεν, Ἐφ' ὃν ἂν [h] ἴδῃς τὸ πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτὸν, οὗτός [d] ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ.

[r] ὁράω.

34 Κἀγὼ [r] ἑώρακα, καὶ [n] μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ.

35 ¶ Τῇ ἐπαύριον πάλιν [g] εἱστήκει ὁ Ἰωάννης, καὶ ἐκ μαθητῶν αὐτοῦ δύο·

[ſ] βλέπω.

36 Καὶ [ſ] ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι, λέγει, [h] Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ.

[t] ἀκούω.
[u] λαλέω.
[x] ἀκόλουθος.

37 Καὶ [t] ἤκουσαν αὐτοῦ οἱ δύο μαθηταὶ [u] λαλοῦντος, καὶ [x] ἠκολούθησαν τῷ Ἰησοῦ.

[y] στρέφω.

38 [y] Στραφεὶς δὲ ὁ Ἰησοῦς, καὶ [o] θεασάμενος αὐτοὺς [x] ἀκολουθοῦντας, λέγει αὐτοῖς,

[z] ἑρμηνεύς.

39 Τί ζητεῖτε; Οἱ δὲ εἶπον αὐτῷ, Ῥαββὶ (ὃ λέγεται [z] ἑρμηνευόμενον, Διδάσκαλε) ποῦ μένεις;

40 Λέγει αὐτοῖς, [b] Ἔρχεσθε καὶ [a] ἴδετε. [b] Ἦλθον καὶ εἶδον ποῦ μένει· καὶ παρ' αὐτῷ [c] ἔμειναν τὴν ἡμέραν ἐκείνην· ὥρα δὲ [d] ἦν ὡς δεκάτη.

41 [d] Ἦν Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου, εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων παρὰ Ἰωάννου, καὶ ἀκολουθησάντων αὐτῷ·

42 Εὑρίσκει οὗτος πρῶτος τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα, καὶ λέγει αὐτῷ, [e] Εὑρήκαμεν τὸν Μεσσίαν, ὅ ἐστι [z] μεθερμηνευόμενον, ὁ Χριστός.

43 Καὶ [f] ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν· [g] Ἐμβλέψας δὲ αὐτῷ ὁ Ἰησοῦς εἶπε, Σὺ [d] εἶ Σίμων ὁ υἱὸς Ἰωνᾶ· σὺ [h] κληθήσῃ Κηφᾶς· ὃ ἑρμηνεύεται Πέτρος.

44 Τῇ ἐπαύριον [i] ἠθέλησεν ὁ Ἰησοῦς [b] ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν· καὶ εὑρίσκει Φίλιππον, καὶ λέγει αὐτῷ, Ἀκολούθει μοι.

45 [d] Ἦν δὲ ὁ Φίλιππος ἀπὸ Βηθσαϊδὰ, ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου.

46 Εὑρίσκει Φίλιππος τὸν Ναθαναὴλ, καὶ λέγει αὐτῷ, Ὃν [k] ἔγραψε Μωσῆς ἐν τῷ νόμῳ καὶ οἱ προφῆται, [e] εὑρήκαμεν, Ἰησοῦν τὸν υἱὸν τοῦ Ἰωσὴφ τὸν ἀπὸ Ναζαρέθ.

47 Καὶ εἶπεν αὐτῷ Ναθαναὴλ, Ἐκ Ναζαρὲθ δύναταί τι ἀγαθὸν [d] εἶναι; Λέγει αὐτῷ Φίλιππος, Ἔρχου καὶ ἴδε.

48 [a] Εἶδεν ὁ Ἰησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει περὶ αὐτοῦ, [a] Ἴδε ἀληθῶς Ἰσραηλίτης ἐν ᾧ δόλος οὐκ [c] ἔστι.

49 Λέγει αὐτῷ Ναθαναὴλ, Πόθεν με γινώσκεις; [l] Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῷ, Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι, [d] ὄντα ὑπὸ τὴν συκῆν εἶδόν σε.

50 [l] Ἀπεκρίθη Ναθαναὴλ, καὶ λέγει αὐτῷ, Ῥαββὶ, σὺ [d] εἶ ὁ υἱὸς τοῦ Θεοῦ, σὺ [d] εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ.

51 [l] Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ, Ὅτι εἶπόν σοι, Εἶδόν σε ὑποκάτω τῆς συκῆς, πιστεύεις; μείζω τούτων [m] ὄψει.

52 Καὶ λέγει αὐτῷ, Ἀμὴν ἀμὴν λέγω ὑμῖν,

[a] εἴδω.
[b] ἔρχομαι.
[c] μένω.
[d] εἰμί.
[e] εὑρίσκω.
[f] ἄγω.
[g] βλέπω.
[h] καλέω.
[i] θέλω.
[k] γράφω.
[l] κρίνω.
[m] ὄπτομαι.

m ὄπτομαι. ὑμῖν, Ἀπ' ἄρτι [m] ὄψεσθε τὸν οὐρανὸν [n] ἀνεῳγό-
n οἴγω. τα, καὶ τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ κα-
ταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου.

Κεφ. β'. Cap. II.

a γίνομαι. Καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ γάμος [a] ἐγένετο ἐν
b εἰμί. Κανᾶ τῆς Γαλιλαίας· καὶ [b] ἦν ἡ μήτηρ τοῦ
Ἰησοῦ ἐκεῖ

c καλέω. 2 [c] Ἐκλήθη δὲ καὶ ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐ-
τοῦ εἰς τὸν γάμον.

d ὕστερος. 3 Καὶ [d] ὑστερήσαντος οἴνου, λέγει ἡ μήτηρ τοῦ
Ἰησοῦ πρὸς αὐτόν, Οἶνον οὐκ ἔχουσι.

4 Λέγει αὐτῇ ὁ Ἰησοῦς, Τί ἐμοὶ καὶ σοί, γύ-
ναι; οὔπω ἥκει ἡ ὥρα μου.

5 Λέγει ἡ μήτηρ αὐτοῦ τοῖς διακόνοις, Ὅ τι ἂν
λέγῃ ὑμῖν ποιήσατε.

6 [b] Ἦσαν δὲ ἐκεῖ ὑδρίαι λίθιναι ἓξ, κεί-
μεναι κατὰ τὸν καθαρισμὸν τῶν Ἰουδαίων, χωροῦσαι
ἀνὰ μετρητὰς δύο ἢ τρεῖς.

e γέμω. 7 Λέγει αὐτοῖς ὁ Ἰησοῦς, [e] Γεμίσατε τὰς
ὑδρίας ὕδατος. Καὶ [e] ἐγέμισαν αὐτὰς ἕως
ἄνω.

f ἀντλέω. 8 Καὶ λέγει αὐτοῖς, [f] Ἀντλήσατε νῦν, καὶ
g φέρω. φέρετε τῷ ἀρχιτρικλίνῳ. Καὶ [g] ἤνεγκαν.

h γεύω. 9 Ὡς δὲ [h] ἐγεύσατο ὁ ἀρχιτρίκλινος τὸ ὕ-
i γίνομαι. δωρ οἶνον [i] γεγενημένον, (καὶ οὐκ [k] ᾔδει πόθεν
k εἴδω. [b] ἐστίν· οἱ δὲ διάκονοι [k] ᾔδεισαν οἱ [f] ἠντληκότες
τὸ ὕδωρ) φωνεῖ τὸν νυμφίον ὁ ἀρχιτρίκλινος,

10 Καὶ λέγει αὐτῷ, Πᾶς ἄνθρωπος πρῶ-
m τίθημι. τον τὸν καλὸν οἶνον [m] τίθησι· καὶ ὅταν [n] μεθυσθῶσι,
n μέθυ. τότε τὸν [o] ἐλάσσω· σὺ [p] τετήρηκας τὸν καλὸν οἶ-
o ἐλαχύς. νον ἕως ἄρτι.

p τηρέω. 11 Ταύτην ἐποίησε τὴν ἀρχὴν τῶν σημείων ὁ
q φαίνω. Ἰησοῦς ἐν Κανᾶ τῆς Γαλιλαίας, καὶ [q] ἐφανέρωσε τὴν
r πίστις. δόξαν αὐτοῦ, καὶ [r] ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθη-
ταὶ αὐτοῦ.

s βαίνω. 12 ¶ Μετὰ τοῦτο [s] κατέβη εἰς Καπερναοὺμ,
αὐτὸς καὶ ἡ μήτηρ αὐτοῦ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ
t μένω. οἱ μαθηταὶ αὐτοῦ· καὶ ἐκεῖ [t] ἔμειναν οὐ πολλὰς
ἡμέρας.

13 Καὶ ἐγγὺς [b] ἦν τὸ πάσχα τῶν Ἰουδαίων, ϗ [w] ἀνέβη εἰς Ἱεροσόλυμα ὁ Ἰησοῦς.

[w] βαίνω.

14 Καὶ [x] εὗρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας βόας ϗ πρόβατα ϗ περιστερὰς, ϗ τοὺς κερματιστὰς [y] καθημένους·

[x] εὑρίσκω.
[y] ἧμαι.

15 Καὶ ποιήσας φραγέλλιον ἐκ σχοινίων, πάντας [z] ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ, τά τε πρόβατα ϗ τοὺς βόας· ϗ τῶν κολλυβιστῶν [a] ἐξέχεε τὸ κέρμα, ϗ τὰς τραπέζας [b] ἀνέστρεψε.

[z] βάλλω.
[a] χέω.
[b] στρέφω.

16 Καὶ τοῖς τὰς περιστερὰς πωλοῦσιν εἶπεν, [c] Ἄρατε ταῦτα ἐντεῦθεν· μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου, οἶκον ἐμπορίου.

[c] αἴρω.

17 [d] Ἐμνήσθησαν δὲ οἱ μαθηταὶ αὐτοῦ ὅτι [e] γεγραμμένον ἐστὶν, Ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με.

[d] μιμνήσκομαι.
[e] γράφω.

18 [f] Ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι, ϗ εἶπον αὐτῷ, Τί σημεῖον δεικνύεις ἡμῖν ὅτι ταῦτα ποιεῖς;

[f] κρίνω.

19 [f] Ἀπεκρίθη ὁ Ἰησοῦς ϗ εἶπεν αὐτοῖς, [g] Λύσατε τὸν ναὸν τοῦτον, ϗ ἐν τρισὶν ἡμέραις [h] ἐγερῶ αὐτόν.

[g] λύω.
[h] ἐγείρω.

20 Εἶπον οὖν οἱ Ἰουδαῖοι, Τεσσαράκοντα ϗ ἓξ ἔτεσιν [i] ᾠκοδομήθη ὁ ναὸς οὗτος, ϗ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν;

[i] δέμω.

21 Ἐκεῖνος δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ.

22 Ὅτε οὖν [h] ἠγέρθη ἐκ νεκρῶν, [d] ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ ὅτι τοῦτο ἔλεγεν αὐτοῖς· ϗ [k] ἐπίστευσαν τῇ γραφῇ, ϗ τῷ λόγῳ ᾧ εἶπεν ὁ Ἰησοῦς.

[k] πίστις.

23 ¶ Ὡς δὲ [l] ἦν ἐν Ἱεροσολύμοις ἐν τῷ πάσχα ἐν τῇ ἑορτῇ, πολλοὶ [k] ἐπίστευσαν εἰς τὸ ὄνομα αὐτοῦ, θεωροῦντες αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει.

[l] εἰμί.

24 Αὐτὸς δὲ ὁ Ἰησοῦς οὐκ [k] ἐπίστευεν ἑαυτὸν αὐτοῖς, διὰ τὸ αὐτὸν γινώσκειν πάντας·

25 Καὶ ὅτι οὐ χρείαν εἶχεν ἵνα τις [m] μαρτυρήσῃ περὶ τοῦ ἀνθρώπου· αὐτὸς γὰρ ἐγίνωσκε τί [l] ἦν ἐν τῷ ἀνθρώπῳ.

[m] μάρτυρ.

Κεφ. γ΄. Cap. III.

[a] εἰμί.

[a] Ἦν δὲ ἄνθρωπος ἐκ τῶν φαρισαίων, (Νικόδημος ὄνομα αὐτῷ) ἄρχων τῶν Ἰουδαίων·

[b] ἔρχομαι.
[c] εἴδω.

2 Οὗτος [b] ἦλθε πρὸς τὸν Ἰησοῦν νυκτὸς, καὶ εἶπεν αὐτῷ, Ῥαββὶ, [c] οἴδαμεν ὅτι ἀπὸ Θεοῦ [b] ἐλήλυθας διδάσκαλος· οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται ποιεῖν ἃ σὺ ποιεῖς, ἐὰν μὴ [a] ᾖ ὁ Θεὸς μετ᾽ αὐτοῦ.

[d] κρίνω.
[e] γεννάω.

3 [d] Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτῷ, Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις [e] γεννηθῇ ἄνωθεν, οὐ δύναται [c] ἰδεῖν τὴν βασιλείαν τοῦ Θεοῦ.

4 Λέγει πρὸς αὐτὸν ὁ Νικόδημος, Πῶς δύναται ἄνθρωπος [e] γεννηθῆναι γέρων [a] ὤν; μὴ δύναται εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ δεύτερον [b] εἰσελθεῖν, καὶ [e] γεννηθῆναι;

[f] ὕδωρ.

5 [d] Ἀπεκρίθη ὁ Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις [e] γεννηθῇ ἐξ [f] ὕδατος καὶ Πνεύματος, οὐ δύναται [b] εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

6 Τὸ [e] γεγεννημένον ἐκ τῆς σαρκὸς, σάρξ [a] ἐστι· καὶ τὸ [d] γεγεννημένον ἐκ τοῦ Πνεύματος, πνεῦμά [a] ἐστι.

7 Μὴ θαυμάσῃς ὅτι εἶπόν σοι, Δεῖ ὑμᾶς [e] γεννηθῆναι ἄνωθεν.

8 Τὸ πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ᾽ οὐκ [c] οἶδας πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει· οὕτως ἐστὶ πᾶς ὁ [e] γεγεννημένος ἐκ τοῦ πνεύματος.

[g] γίνομαι.

9 [d] Ἀπεκρίθη Νικόδημος καὶ εἶπεν αὐτῷ, Πῶς δύναται ταῦτα [g] γενέσθαι;

10 Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτῷ, Σὺ [a] εἶ ὁ διδάσκαλος τοῦ Ἰσραὴλ, καὶ ταῦτα οὐ γινώσκεις;

[h] λαλέω.
[i] ὁράω.
[k] μαρτυρ.

11 Ἀμὴν ἀμὴν λέγω σοι, ὅτι ὃ [c] οἴδαμεν [h] λαλοῦμεν, καὶ ὃ [i] ἑωράκαμεν [k] μαρτυροῦμεν· καὶ τὴν μαρτυρίαν ἡμῶν οὐ λαμβάνετε.

12 Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν καὶ οὐ πιστεύ-

ετε, πῶς ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια, πιστεύσετε;

13 Καὶ οὐδεὶς [l] ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ [l] καταβὰς, ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ [a] ὢν ἐν τῷ οὐρανῷ.

[l] βαίνω.

14 Καὶ καθὼς Μωσῆς [m] ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως [m] ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου·

[m] ὕψος.

15 Ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ [n] ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον.

[n] ὀλλύω.

16 Οὕτω γὰρ [o] ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ [p] ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ [n] ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον.

[o] ἀγάπη.
[p] δίδωμι.

17 Οὐ γὰρ [q] ἀπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα [r] σωθῇ ὁ κόσμος δι' αὐτοῦ.

[q] στέλλω.
[r] σόος.

18 Ὁ πιστεύων εἰς αὐτὸν, οὐ κρίνεται· ὁ δὲ μὴ πιστεύων, ἤδη [d] κέκριται, ὅτι μὴ [f] πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ.

[f] πίστις.

19 Αὕτη δέ [a] ἐστιν ἡ κρίσις, ὅτι τὸ φῶς [b] ἐλήλυθεν εἰς τὸν κόσμον, καὶ [o] ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος ἢ τὸ φῶς· [a] ἦν γὰρ πονηρὰ αὐτῶν τὰ ἔργα.

20 Πᾶς γὰρ ὁ φαῦλα πράσσων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ [t] ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ·

[t] ἐλέγχω.

21 Ὁ δὲ ποιῶν τὴν ἀλήθειαν, ἔρχεται πρὸς τὸ φῶς ἵνα [u] φανερωθῇ αὐτοῦ τὰ ἔργα, ὅτι ἐν Θεῷ [a] ἐστιν [x] εἰργασμένα.

[u] φαίνω.
[x] ἔργον.

22 ¶ Μετὰ ταῦτα [b] ἦλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν Ἰουδαίαν γῆν· καὶ ἐκεῖ [y] διέτριβε μετ' αὐτῶν, καὶ ἐβάπτιζεν.

[y] τρίβω.

23 [a] Ἦν δὲ καὶ Ἰωάννης βαπτίζων ἐν Αἰνὼν, ἐγγὺς τοῦ Σαλεὶμ, ὅτι ὕδατα πολλὰ [a] ἦν ἐκεῖ· καὶ [g] παρεγίνοντο καὶ ἐβαπτίζοντο.

24 Οὔπω γὰρ [a] ἦν [z] βεβλημένος εἰς τὴν φυλακὴν ὁ Ἰωάννης.

[z] βάλλω.

25 [a] Ἐγένετο οὖν ζήτησις ἐκ τῶν μαθητῶν

[a] γίνομαι.

Ἰωάννου μετὰ Ἰουδαίων περὶ καθαρισμοῦ.
[b] ἔρχομαι. 26 Καὶ [b] ἦλθον πρὸς τὸν Ἰωάννην, καὶ εἶπον
[c] εἰμί. αὐτῷ, Ῥαββί, ὃς [c] ἦν μετὰ σοῦ πέραν τοῦ Ἰορ-
[d] μάρτυρ. δάνου, ᾧ σὺ [d] μεμαρτύρηκας, [e] ἴδε οὗτος βαπτί-
[e] εἴδω. ζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν.
[f] κρίνω. 27 [f] Ἀπεκρίθη Ἰωάννης καὶ εἶπεν, Οὐ δύ-
ναται ἄνθρωπος λαμβάνειν οὐδὲν, ἐὰν μὴ
[g] δίδωμι. [c] ᾖ [g] δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ.
28 Αὐτοὶ ὑμεῖς μοι μαρτυρεῖτε ὅτι εἶπον,
[h] στέλλω. Οὐκ εἰμὶ ἐγὼ ὁ Χριστὸς, ἀλλ' ὅτι [h] ἀπεσταλμένος
εἰμὶ ἔμπροσθεν ἐκείνου.
29 Ὁ ἔχων τὴν νύμφην, νυμφίος [c] ἐστίν· ὁ
[i] ἵστημι. δὲ φίλος τοῦ νυμφίου ὁ [i] ἑστηκὼς καὶ ἀκούων αὐτοῦ,
χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου· αὕτη
[k] πλέος. οὖν ἡ χαρὰ ἡ ἐμὴ [k] πεπλήρωται.
[l] ἐλαχύς. 30 Ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ [l] ἐλαττοῦ-
σθαι.
31 Ὁ ἄνωθεν ἐρχόμενος, ἐπάνω πάντων
[c] ἐστίν· ὁ ὢν ἐκ τῆς γῆς, ἐκ τῆς γῆς [c] ἐστι, καὶ ἐκ
τῆς γῆς λαλεῖ· ὁ ἐκ τοῦ οὐρανοῦ ἐρχόμενος, ἐ-
πάνω πάντων [c] ἐστίν.
[m] ὁράω. 32 Καὶ ὃ [m] ἑώρακε καὶ ἤκουσε, τοῦτο μαρτυ-
ρεῖ· καὶ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς λαμβάνει.
[n] λαμβάνω. 33 Ὁ [n] λαβὼν αὐτοῦ τὴν μαρτυρίαν, [o] ἐσφρά-
[o] σφραγίς. γισεν ὅτι ὁ Θεὸς ἀληθής [c] ἐστιν.
34 Ὃν γὰρ [h] ἀπέστειλεν ὁ Θεὸς, τὰ ῥήματα
τοῦ Θεοῦ λαλεῖ· οὐ γὰρ ἐκ μέτρου [g] δίδωσιν ὁ Θεὸς
τὸ πνεῦμα.
35 Ὁ πατὴρ ἀγαπᾷ τὸν υἱὸν, καὶ πάντα [g] δέ-
δωκεν ἐν τῇ χειρὶ αὐτοῦ.
36 Ὁ πιστεύων εἰς τὸν υἱὸν, ἔχει ζωὴν αἰώνιον·
[p] πείθω. ὁ δὲ [p] ἀπειθῶν τῷ υἱῷ, οὐκ [q] ὄψεται ζωὴν, ἀλλ'
[q] ὄπτομαι. ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτόν.

Κεφ. δ΄. Cap. IV.

[a] γινώσκω. Ὡς οὖν [a] ἔγνω ὁ Κύριος ὅτι [b] ἤκουσαν οἱ Φα-
[b] ἀκούω. ρισαῖοι ὅτι Ἰησοῦς πλείονας μαθητὰς
ποιεῖ καὶ βαπτίζει ἢ Ἰωάννης·
2 (Καίτοιγε Ἰησοῦς αὐτὸς οὐκ ἐβάπτιζεν, ἀλλ'
οἱ μαθηταὶ αὐτοῦ)

3 [c] Ἀφῆκε τὴν Ἰουδαίαν, καὶ [d] ἀπῆλθε πάλιν εἰς τὴν Γαλιλαίαν.

[c] ἔω. [d] ἔρχομαι.

4 [e] Ἔδει δὲ αὐτὸν διέρχεσθαι διὰ τῆς Σαμαρείας.

[e] δεῖ.

5 Ἔρχεται οὖν εἰς πόλιν τῆς Σαμαρείας [f] λεγομένην Σιχὰρ, πλησίον τοῦ χωρίου ὃ [g] ἔδωκεν Ἰακὼβ Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ.

[f] λέγω. // [g] δίδωμι.

6 [h] Ἦν δὲ ἐκεῖ πηγὴ τοῦ Ἰακώβ· ὁ οὖν Ἰησοῦς [i] κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας, [k] ἐκαθέζετο οὕτως ἐπὶ τῇ πηγῇ· ὥρα [h] ἦν ὡσεὶ ἕκτη.

[h] εἰμί. [i] κόπιω. [k] ἕζω.

7 Ἔρχεται γυνὴ ἐκ τῆς Σαμαρείας [l] ἀντλῆσαι ὕδωρ· λέγει αὐτῇ ὁ Ἰησοῦς, [g] Δός μοι [m] πιεῖν.

[l] ἀντλέω. [m] πίνω.

8 (Οἱ γὰρ μαθηταὶ αὐτοῦ [d] ἀπεληλύθεισαν [c] εἰς τὴν πόλιν ἵνα τροφὰς ἀγοράσωσι.)

9 Λέγει οὖν αὐτῷ ἡ γυνὴ ἡ Σαμαρεῖτις, Πῶς σὺ Ἰουδαῖος [h] ὢν παρ᾽ ἐμοῦ [m] πιεῖν αἰτεῖς, [h] οὔσης γυναικὸς Σαμαρείτιδος; οὐ γὰρ [o] συγχρῶνται Ἰουδαῖοι Σαμαρείταις.

// [o] χράω.

10 [p] Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῇ, Εἰ [q] ἤδεις τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι, [g] Δός μοι [m] πιεῖν· σὺ ἂν [r] ἤτησας αὐτὸν, καὶ [g] ἔδωκεν ἂν σοι ὕδωρ ζῶν.

[p] κρίνω. [q] εἴδω. [r] αἰτέω.

11 Λέγει αὐτῷ ἡ γυνὴ, Κύριε, οὔτε ἄντλημα ἔχεις, καὶ τὸ φρέαρ [h] ἐστὶ βαθύ· πόθεν οὖν ἔχεις τὸ ὕδωρ τὸ ζῶν;

//

12 Μὴ σὺ [f] μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακὼβ, ὃς [g] ἔδωκεν ἡμῖν τὸ φρέαρ, καὶ αὐτὸς ἐξ αὐτοῦ [m] ἔπιε, καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ τὰ θρέμματα αὐτοῦ;

[f] μέγας. //

13 [p] Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτῇ, Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου, [t] διψήσει πάλιν.

[t] διψάω.

14 Ὃς δ᾽ ἂν [m] πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ [g] δώσω αὐτῷ, οὐ μὴ [t] διψήσῃ εἰς τὸν αἰῶνα· ἀλλὰ τὸ ὕδωρ ὃ [g] δώσω αὐτῷ, [u] γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον.

[u] γίνομαι.

15 Λέγει πρὸς αὐτὸν ἡ γυνὴ, Κύριε, [g] δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ, μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν.

16 Λέγει αὐτῇ ὁ Ἰησοῦς, Ὕπαγε, [x] φώνησον τὸν ἄνδρα σου, καὶ [d] ἐλθὲ ἐνθάδε.

[x] φωνέω.

17 [p] Ἀπεκρίθη ἡ γυνὴ καὶ εἶπεν, Οὐκ ἔχω ἄνδρα. Λέγει αὐτῇ ὁ Ἰησοῦς, Καλῶς εἶπας, Ὅτι ἄνδρα οὐκ ἔχω.

[y] ἔχω.
[z] εἴρω.

18 Πέντε γὰρ ἄνδρας [y] ἔσχες· καὶ νῦν ὃν [y] ἔχεις, οὐκ [h] ἔστι σου ὁ ἀνήρ· τοῦτο ἀληθὲς [z] εἴρηκας.

19 Λέγει αὐτῷ ἡ γυνή, Κύριε, θεωρῶ ὅτι προφήτης [h] εἶ σύ.

[a] κύω.

20 Οἱ πατέρες ἡμῶν ἐν τούτῳ τῷ ὄρει [a] προσεκύνησαν· καὶ ὑμεῖς λέγετε, ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος ὅπου δεῖ [a] προσκυνεῖν.

[b] πίστις.

21 Λέγει αὐτῇ ὁ Ἰησοῦς, Γύναι, [b] πίστευσόν μοι ὅτι ἔρχεται ὥρα ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ οὔτε ἐν Ἱεροσολύμοις [a] προσκυνήσετε τῷ πατρί.

[c] εἴδω.
[d] εἰμί.

22 Ὑμεῖς [a] προσκυνεῖτε ὃ οὐκ [c] οἴδατε, ἡμεῖς [a] προσκυνοῦμεν ὃ [c] οἴδαμεν· ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων [d] ἐστίν·

23 Ἀλλ' ἔρχεται ὥρα, καὶ νῦν [d] ἐστιν, ὅτε οἱ ἀληθινοὶ [a] προσκυνηταὶ [a] προσκυνήσουσι τῷ πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ· καὶ γὰρ ὁ πατὴρ τοιούτους ζητεῖ τοὺς [a] προσκυνοῦντας αὐτόν.

24 Πνεῦμα ὁ Θεός· καὶ τοὺς [a] προσκυνοῦντας αὐτόν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν.

[e] ἔρχομαι.

25 Λέγει αὐτῷ ἡ γυνή, [c] Οἶδα ὅτι Μεσσίας ἔρχεται, ὁ λεγόμενος Χριστός· ὅταν [e] ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν πάντα.

26 Λέγει αὐτῇ ὁ Ἰησοῦς, Ἐγώ εἰμι, ὁ λαλῶν σοι.

[f] εἷς.

27 Καὶ ἐπὶ τούτῳ [e] ἦλθον οἱ μαθηταὶ αὐτοῦ, καὶ ἐθαύμασαν ὅτι μετὰ γυναικὸς ἐλάλει· [f] οὐδεὶς μέντοι εἶπε, Τί ζητεῖς; ἤ, Τί λαλεῖς μετ' αὐτῆς;

[g] ἵω.

28 [g] Ἀφῆκεν οὖν τὴν ὑδρίαν αὐτῆς ἡ γυνή, καὶ [c] ἀπῆλθεν εἰς τὴν πόλιν, καὶ λέγει τοῖς ἀνθρώποις,

29 Δεῦτε, [c] ἴδετε ἄνθρωπον ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα· μήτι οὗτός [d] ἐστιν ὁ Χριστός;

30 Ἐξῆλθον οὖν ἐκ τῆς πόλεως, καὶ ἤρχοντο πρὸς αὐτόν.

31 Ἐν δὲ τῷ μεταξὺ [h] ἠρώτων αὐτὸν οἱ μαθηταὶ, λέγοντες, Ῥαββὶ, φάγε.

[h] ἐρωτάω.

32 Ὁ δὲ εἶπεν αὐτοῖς, Ἐγὼ βρῶσιν ἔχω φαγεῖν ἣν ὑμεῖς οὐκ [c] οἴδατε.

33 Ἔλεγον οὖν οἱ μαθηταὶ πρὸς ἀλλήλους, Μή τις [i] ἤνεγκεν αὐτῷ φαγεῖν;

[i] φέρω.

34 Λέγει αὐτοῖς ὁ Ἰησοῦς, Ἐμὸν βρῶμά [d] ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με, καὶ τελειώσω αὐτοῦ τὸ ἔργον.

35 Οὐχ ὑμεῖς λέγετε ὅτι ἔτι [k] τετράμηνόν [d] ἐστι, καὶ ὁ θερισμὸς ἔρχεται; Ἰδοὺ, λέγω ὑμῖν, [l] ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, [m] θεάσασθε τὰς χώρας, ὅτι λευκαί [d] εἰσι πρὸς θερισμὸν ἤδη.

[k] μήν. //
[l] αἴρω.
[m] θεάομαι.

36 Καὶ ὁ θερίζων, μισθὸν λαμβάνει, καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον· ἵνα καὶ ὁ σπείρων ὁμοῦ χαίρῃ καὶ ὁ θερίζων.

37 Ἐν γὰρ τούτῳ ὁ λόγος [d] ἐστὶν ὁ ἀληθινὸς, ὅτι ἄλλος [d] ἐστὶν ὁ σπείρων καὶ ἄλλος ὁ θερίζων.

38 Ἐγὼ [n] ἀπέστειλα ὑμᾶς θερίζειν ὃ οὐχ ὑμεῖς [o] κεκοπιάκατε· ἄλλοι [o] κεκοπιάκασι, καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν [e] εἰσεληλύθατε.

[n] στέλλω.
[o] κοπιάω.

39 Ἐκ δὲ τῆς πόλεως ἐκείνης πολλοὶ [p] ἐπίστευσαν εἰς αὐτὸν τῶν Σαμαρειτῶν, διὰ τὸν λόγον τῆς γυναικὸς, μαρτυρούσης, Ὅτι εἶπέ μοι πάντα ὅσα ἐποίησα.

[p] πίστις.

40 Ὡς οὖν [e] ἦλθον πρὸς αὐτὸν οἱ Σαμαρεῖται, [h] ἐρώτων αὐτὸν [q] μεῖναι παρ' αὐτοῖς· καὶ [q] ἔμεινεν ἐκεῖ δύο ἡμέρας.

[q] μένω.

41 Καὶ πολλῷ πλείους [r] ἐπίστευσαν διὰ τὸν λόγον αὐτοῦ.

[r] πίστις.

42 Τῇ τε γυναικὶ ἔλεγον, Ὅτι οὐκέτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν· αὐτοὶ γὰρ [f] ἀκηκόαμεν, [c] οἴδαμεν ὅτι οὗτός [d] ἐστιν ἀληθῶς ὁ σωτὴρ τοῦ κόσμου, ὁ Χριστός.

[f] ἀκούω.

43 ¶ Μετὰ δὲ τὰς δύο ἡμέρας [e] ἐξῆλθεν ἐκεῖθεν, καὶ [e] ἀπῆλθεν εἰς τὴν Γαλιλαίαν.

[t] μαρτυρ. 44 Αὐτὸς γὰρ ὁ Ἰησοῦς [t] ἐμαρτύρησεν ὅτι
προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει.

[u] δέχομαι. 45 Ὅτε οὖν [e] ἦλθεν εἰς τὴν Γαλιλαίαν, [u] ἐδέξ-
[x] ὁράω. αντο αὐτὸν οἱ Γαλιλαῖοι, πάντα [x] ἑωρακότες ἃ
ἐποίησεν ἐν Ἱεροσολύμοις ἐν τῇ ἑορτῇ. καὶ αὐτοὶ
γὰρ [e] ἦλθον εἰς τὴν ἑορτήν.

46 ¶ [e] Ἦλθεν οὖν ὁ Ἰησοῦς πάλιν εἰς τὴν
Καν τῆς Γαλιλαίας, ὅπου ἐποίησε τὸ ὕδωρ οἶνον,
[y] ἀσθένος. Καὶ ἦν τις βασιλικὸς οὗ ὁ υἱὸς [y] ἠσθένει ἐν Κα-
περναούμ.

47 Οὗτος ἀκούσας ὅτι Ἰησοῦς ἥκει ἐκ τῆς Ἰου-
δαίας εἰς τὴν Γαλιλαίαν, [c] ἀπῆλθε πρὸς αὐτὸν,
[z] βαίνω. καὶ [h] ἠρώτα αὐτὸν ἵνα [z] καταβῇ καὶ [a] ἰάσηται
[a] ἰάομαι. αὐτοῦ τὸν υἱόν· [b] ἤμελλε γὰρ ἀποθνήσκειν.

[b] μέλλω. 48 Εἶπεν οὖν ὁ Ἰησοῦς πρὸς αὐτὸν, Ἐὰν μὴ
[c] εἴδω. σημεῖα καὶ τέρατα [c] ἴδητε, οὐ μὴ πιστεύσητε.

49 Λέγει πρὸς αὐτὸν ὁ βασιλικὸς, Κύριε,
[d] βαίνω. [d] κατάβηθι πρὶν ἀποθανεῖν τὸ παιδίον μου.

[e] πορεύ. 50 Λέγει αὐτῷ ὁ Ἰησοῦς, [e] Πορεύου· ὁ υἱός
σου ζῇ· Καὶ ἐπίστευσεν ὁ ἄνθρωπος τῷ λόγῳ
ᾧ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· καὶ [e] ἐπορεύετο.

51 Ἤδη δὲ αὐτοῦ καταβαίνοντος, οἱ δοῦλοι
[f] ἀντάω. αὐτοῦ [f] ἀπήντησαν αὐτῷ, καὶ ἀπήγγειλαν, λέγον-
[g] ζάω. τες, Ὅτι ὁ παῖς σου [g] ζῇ.

[h] πυνθάνο- 52 [h] Ἐπύθετο οὖν παρ' αὐτῶν τὴν ὥραν ἐν ᾗ
μαι. κομψότερον [i] ἔσχε· καὶ εἶπον αὐτῷ, Ὅτι χθὲς
[i] ἔχω. ὥραν ἑβδόμην [*] ἀφῆκεν αὐτὸν ὁ πυρετός.

[*] ἵω. 53 [k] Ἔγνω οὖν ὁ πατὴρ ὅτι ἐν ἐκείνῃ τῇ ὥρᾳ
[k] γινώσκω. ἐν ᾗ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, Ὅτι ὁ υἱός σου [g] ζῇ· καὶ
[l] πίστις. [l] ἐπίστευσεν αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ ὅλη.

54 Τοῦτο πάλιν δεύτερον σημεῖον ἐποίησεν
[m] ἔρχομαι. ὁ Ἰησοῦς, [m] ἐλθὼν ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλι-
λαίαν.

Κεφ. ε. Cap. V.

[a] εἰμί. Μετὰ ταῦτα [a] ἦν ἑορτὴ τῶν Ἰουδαίων, καὶ
[b] βαίνω. [b] ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα.

2 [a] Ἔστι δὲ ἐν τοῖς Ἱεροσολύμοις ἐπὶ τῇ
[c] λέγω. προβατικῇ κολυμβήθρα, ἡ [c] ἐπιλεγομένη Ἑ-
βραϊστὶ Βηθεσδά, πέντε στοὰς ἔχουσα.

3 Ἐν ταύταις [d] κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν, ξηρῶν, ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν.

[d] κεῖμαι. //

4 Ἄγγελος γὰρ κατὰ καιρὸν κατέβαινεν ἐν τῇ κολυμβήθρᾳ, καὶ [e] ἐτάρασσε τὸ ὕδωρ· ὁ οὖν πρῶτος [b] ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος ὑγιὴς [f] ἐγίνετο ᾧ δήποτε [g] κατείχετο νοσήματι.

//

[e] ταράσσω.

[f] γίνομαι.

5 [a] Ἦν δέ τις ἄνθρωπος ἐκεῖ τριάκοντα ὀκτὼ ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ.

[g] ἔχω.

6 Τοῦτον [h] ἰδὼν ὁ Ἰησοῦς κατακείμενον, καὶ [i] γνοὺς ὅτι πολὺν ἤδη χρόνον ἔχει, λέγει αὐτῷ, Θέλεις ὑγιὴς [f] γενέσθαι;

[h] εἴδω.

[i] γινώσκω.

7 [n] Ἀπεκρίθη αὐτῷ ὁ ἀσθενῶν, Κύριε, ἄνθρωπον οὐκ ἔχω, ἵνα ὅταν [e] ταραχθῇ τὸ ὕδωρ, βάλλῃ με εἰς τὴν κολυμβήθραν· ἐν ᾧ δὲ ἔρχομαι ἐγὼ, ἄλλος πρὸ ἐμοῦ καταβαίνει.

8 Λέγει αὐτῷ ὁ Ἰησοῦς, [k] Ἔγειραι, [l] ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει.

[k] ἐγείρω.

[l] αἴρω.

9 Καὶ εὐθέως [f] ἐγένετο ὑγιὴς ὁ ἄνθρωπος· καὶ ἦρε τὸν κράββατον αὐτοῦ, καὶ περιεπάτει· [a] ἦν δὲ σάββατον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ.

10 [c] Ἔλεγον οὖν οἱ Ἰουδαῖοι τῷ [m] τεθεραπευμένῳ, Σάββατόν [a] ἐστιν· οὐκ ἔξεστί σοι [l] ἆραι τὸν κράββατον.

[m] θεραπεύω.

11 [n] Ἀπεκρίθη αὐτοῖς, Ὁ ποιήσας με ὑγιῆ, ἐκεῖνός μοι εἶπεν, [l] Ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει.

[n] κρίνω.

12 [o] Ἠρώτησαν οὖν αὐτὸν, Τίς ἐστιν ὁ ἄνθρωπος ὁ εἰπών σοι, [l] Ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει.

[o] ἐρωτάω.

13 Ὁ δὲ [p] ἰαθεὶς οὐκ * ᾔδει τίς [a] ἐστιν· ὁ γὰρ Ἰησοῦς [q] ἐξένευσεν ὄχλου [a] ὄντος ἐν τῷ τόπῳ.

[p] ἰάομαι. //

* εἴδω.

[q] νεύω.

14 Μετὰ ταῦτα εὑρίσκει αὐτὸν ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ, καὶ εἶπεν αὐτῷ, Ἴδε, ὑγιὴς [f] γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι [f] γένηται.

15 [r] Ἀπῆλθεν ὁ ἄνθρωπος, καὶ [s] ἀνήγγειλε τοῖς Ἰουδαίοις, ὅτι Ἰησοῦς [a] ἐστιν ὁ ποιήσας αὐτὸν ὑγιῆ.

[r] ἔρχομαι.

[s] ἀγγέλλω.

[t] διώκω. [u] ζητέω. [x] κτείνω.

16 Καὶ διὰ τοῦτο [t] ἐδίωκον τὸν Ἰησοῦν οἱ Ἰουδαῖοι, καὶ [u] ἐζήτουν αὐτὸν [x] ἀποκτεῖναι, ὅτι ταῦτα ἐποίει ἐν σαββάτῳ.

[y] καὶ ἐγώ.

17 Ὁ δὲ Ἰησοῦς [n] ἀπεκρίνατο αὐτοῖς, Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται· [y] κἀγὼ ἐργάζομαι.

[z] λύω.

18 Διὰ τοῦτο οὖν μᾶλλον [u] ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι [x] ἀποκτεῖναι, ὅτι οὐ μόνον [z] ἔλυε τὸ σάββατον, ἀλλὰ καὶ πατέρα ἴδιον ἔλεγε τὸν Θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ.

[a] κρίνω.

19 [a] Ἀπεκρίνατο οὖν ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς, Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ δύναται ὁ υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδέν, ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα· ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ.

[b] δεικνύω.

20 Ὁ γὰρ πατὴρ φιλεῖ τὸν υἱόν, καὶ πάντα [b] δείκνυσιν αὐτῷ ἃ αὐτὸς ποιεῖ· καὶ μείζονα τούτων [b] δείξει αὐτῷ ἔργα, ἵνα ὑμεῖς θαυμάζητε.

21 Ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ.

[c] δίδωμι.

22 Οὐδὲ γὰρ ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν [c] δέδωκε τῷ υἱῷ·

23 Ἵνα πάντες τιμῶσι τὸν υἱόν, καθὼς τιμῶσι τὸν πατέρα· ὁ μὴ τιμῶν τὸν υἱόν, οὐ τιμᾷ τὸν πατέρα τὸν πέμψαντα αὐτόν.

[d] βαίνω.

24 Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ὁ τὸν λόγον μου ἀκούων, καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ [d] μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν.

25 Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ Θεοῦ· καὶ οἱ ἀκούσαντες ζήσονται.

26 Ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως [c] ἔδωκε καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ·

[e] εἰμί.

27 Καὶ ἐξουσίαν [c] ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου [e] ἐστί.

28 Μὴ θαυμάζετε τοῦτο· ὅτι ἔρχεται ὥρα

ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις, ἀκούσονται τῆς φωνῆς αὐτοῦ.

29 Καὶ [f] ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως.

30 Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ᾽ ἐμαυτοῦ οὐδέν· καθὼς ἀκούω, κρίνω· καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία [e] ἐστίν· ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός.

31 Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής.

32 Ἄλλος [e] ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ, καὶ οἶδα ὅτι ἀληθής [e] ἐστιν ἡ μαρτυρία ἣν μαρτυρεῖ περὶ ἐμοῦ.

33 Ὑμεῖς [g] ἀπεστάλκατε πρὸς Ἰωάννην, καὶ [h] μεμαρτύρηκε τῇ ἀληθείᾳ.

34 Ἐγὼ δὲ οὐ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν λαμβάνω· ἀλλὰ ταῦτα λέγω ἵνα ὑμεῖς [i] σωθῆτε.

35 Ἐκεῖνος [e] ἦν ὁ λύχνος ὁ καιόμενος καὶ φαίνων· ὑμεῖς δὲ [k] ἠθελήσατε [l] ἀγαλλιαθῆναι πρὸς ὥραν ἐν τῷ φωτὶ αὐτοῦ.

36 Ἐγὼ δὲ ἔχω τὴν μαρτυρίαν μείζω τοῦ Ἰωάννου· τὰ γὰρ ἔργα ἃ [e] ἔδωκέ μοι ὁ πατὴρ ἵνα [m] τελειώσω αὐτὰ, αὐτὰ τὰ ἔργα ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ ὅτι ὁ πατήρ με [g] ἀπέσταλκε.

37 Καὶ ὁ πέμψας με πατὴρ, αὐτὸς [h] μεμαρτύρηκε περὶ ἐμοῦ· οὔτε φωνὴν αὐτοῦ [n] ἀκηκόατε πώποτε, οὔτε εἶδος αὐτοῦ [o] ἑωράκατε·

38 Καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχετε [p] μένοντα ἐν ὑμῖν· ὅτι ὃν [g] ἀπέστειλεν ἐκεῖνος, τούτῳ ὑμεῖς οὐ πιστεύετε.

39 [q] Ἐρευνᾶτε τὰς γραφὰς, ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν· καὶ ἐκεῖναί [e] εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ.

40 Καὶ οὐ θέλετε [r] ἐλθεῖν πρός με, ἵνα ζωὴν ἔχητε.

[f] πείρω.

[g] στέλλω.

[h] μάρτυρ.

[i] σόος.

[k] θέλω.

[l] ἀγάλλω.

[m] τέλος.

[n] ἀκούω.

[o] ὁράω.

[p] μένω.

[q] ἔρευνα.

[r] ἔρχομαι.

41 Δόξαν παρὰ ἀνθρώπων οὐ λαμβάνω·

[f] γινώσκω. 42 Ἀλλ' [f] ἔγνωκα ὑμᾶς ὅτι τὴν ἀγάπην τοῦ
Θεοῦ οὐκ ἔχετε ἐν ἑαυτοῖς.

43 Ἐγὼ [r] ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ πατρός
μου, καὶ οὐ λαμβάνετέ με· ἐὰν ἄλλος [r] ἔλθῃ ἐν
[t] λαμβάνω. τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον [t] λήψεσθε.

44 Πῶς δύνασθε ὑμεῖς πιστεῦσαι, δόξαν παρὰ
ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ
τοῦ μόνου Θεοῦ οὐ ζητεῖτε;

[u] ἀγορά. 45 Μὴ δοκεῖτε ὅτι ἐγὼ [u] κατηγορήσω ὑμῶν
πρὸς τὸν πατέρα· [e] ἔστιν ὁ [u] κατηγορῶν ὑμῶν,
[x] ἐλπίς. Μωσῆς, εἰς ὃν ὑμεῖς [x] ἠλπίκατε.

[y] πίστις. 46 Εἰ γὰρ [y] ἐπιστεύετε Μωσῇ, [y] ἐπιστεύετε
[z] γράφω. ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος [z] ἔγραψεν.

47 Εἰ δὲ τοῖς ἐκείνου γράμμασιν οὐ πιστεύετε,
πῶς τοῖς ἐμοῖς ῥήμασι πιστεύσετε;

Κεφ. ϛ'. Cap. VI.

[a] ἔρχομαι. Μετὰ ταῦτα [a] ἀπῆλθεν ὁ Ἰησοῦς πέραν τῆς
θαλάσσης, τῆς Γαλιλαίας τῆς Τιβεριάδος.

[b] ἀκόλουθος. 2 Καὶ [b] ἠκολούθει αὐτῷ ὄχλος πολύς, ὅτι
[c] ὁράω. [c] ἑώρων αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων.

3 [a] Ἀνῆλθε δὲ εἰς τὸ ὄρος ὁ Ἰησοῦς, καὶ ἐκεῖ
[d] ἧμαι. [d] ἐκάθητο μετὰ τῶν μαθητῶν αὐτοῦ.

[e] εἰμί. 4 [e] Ἦν δὲ ἐγγὺς τὸ πάσχα, ἡ ἑορτὴ τῶν Ἰουδαίων.

[f] αἴρω. 5 [f] Ἐπάρας οὖν ὁ Ἰησοῦς τοὺς ὀφθαλμούς,
καὶ θεασάμενος ὅτι πολὺς ὄχλος ἔρχεται
πρὸς αὐτόν, λέγει πρὸς τὸν Φίλιππον, Πόθεν
[g] ἀγορά. [g] ἀγοράσομεν ἄρτους, ἵνα φάγωσιν οὗτοι;

6 (Τοῦτον δὲ ἔλεγε πειράζων αὐτόν· αὐτὸς
[h] εἴδω. γὰρ [h] ᾔδει τί ἔμελλε ποιεῖν.)

[i] κρίνω. 7 [i] Ἀπεκρίθη αὐτῷ Φίλιππος, Διακοσίων
δηναρίων ἄρτοι οὐκ ἀρκοῦσιν αὐτοῖς, ἵνα ἕκαστος
[k] λαμβάνω. αὐτῶν βραχύ τι [k] λάβῃ.

8 Λέγει αὐτῷ εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ,
Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου,

// 9 [e] Ἔστι παιδάριον ἓν ὧδε ὃ ἔχει πέντε ἄρτους κριθίνους, καὶ δύο ὀψάρια· ἀλλὰ ταῦτα τί [c] ἐστιν εἰς τοσούτους;

10 Εἶπε δὲ ὁ Ἰησοῦς, Ποιήσατε τοὺς ἀνθρώπους [l] ἀναπεσεῖν. [c] Ἦν δὲ χόρτος πολὺς ἐν τῷ τόπῳ. [l] Ἀνέπεσον οὖν οἱ ἄνδρες τὸν ἀριθμὸν ὡσεὶ πεντακισχίλιοι.

11 [k] Ἔλαβε δὲ τοὺς ἄρτους ὁ Ἰησοῦς καὶ [m] εὐχαριστήσας [n] διέδωκε τοῖς μαθηταῖς, οἱ δὲ μαθηταὶ τοῖς [o] ἀνακειμένοις· ὁμοίως καὶ ἐκ τῶν ὀψαρίων ὅσον [p] ἤθελον.

12 Ὡς δὲ [q] ἐνεπλήσθησαν, λέγει τοῖς μαθηταῖς αὐτοῦ, [r] Συναγάγετε τὰ [s] περισσεύσαντα κλάσματα, ἵνα μή τι [t] ἀπόληται.

13 [r] Συνήγαγον οὖν, καὶ [u] ἐγέμισαν δώδεκα κοφίνους κλασμάτων ἐκ τῶν πέντε ἄρτων τῶν κριθίνων, ἃ [s] ἐπερίσσευσε τοῖς [x] βεβρωκόσιν.

14 Οἱ οὖν ἄνθρωποι [h] ἰδόντες ὃ ἐποίησε σημεῖον ὁ Ἰησοῦς, ἔλεγον, Ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης ὁ ἐρχόμενος εἰς τὸν κόσμον.

15 Ἰησοῦς οὖν [y] γνοὺς ὅτι μέλλουσιν ἔρχεσθαι, καὶ ἁρπάζειν αὐτὸν ἵνα ποιήσωσιν αὐτὸν βασιλέα, [z] ἀνεχώρησε πάλιν εἰς τὸ ὄρος αὐτὸς μόνος.

16 ¶ Ὡς δὲ ὀψία [a] ἐγένετο, [b] κατέβησαν οἱ μαθηταὶ αὐτοῦ ἐπὶ τὴν θάλασσαν·

17 Καὶ [b] ἐμβάντες εἰς τὸ πλοῖον, [c] ἤρχοντο πέραν τῆς θαλάσσης εἰς Καπερναούμ· καὶ σκοτία ἤδη [a] ἐγεγόνει, καὶ οὐκ [c] ἐληλύθει πρὸς αὐτοὺς ὁ Ἰησοῦς.

18 Ἥ τε θάλασσα, ἀνέμου μεγάλου πνέοντος, [*] διηγείρετο.

19 [d] Ἐληλακότες οὖν ὡς σταδίους εἰκοσιπέντε ἢ τριάκοντα, θεωροῦσι τὸν Ἰησοῦν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης, καὶ ἐγγὺς τοῦ πλοίου γινόμενον· καὶ [e] ἐφοβήθησαν.

20 Ὁ δὲ λέγει ἑαυτοῖς, Ἐγώ εἰμι, μὴ [e] φοβεῖσθε.

[l] πίπτω.
[m] χάρις.
[n] δίδωμι.
[o] κεῖμαι.
[p] θέλω.
[q] πλέος.
[r] ἄγω.
[s] περί.
[t] ὀλλύω.
[u] γέμω.
[x] βρώσκω.
[y] γινώσκω.
[z] χῶρος.
[a] γίνομαι.
[b] βαίνω.
[c] ἔρχομαι.
[*] ἐγείρω.
[d] ἐλαύνω.
[e] φοβέομαι.

21 [f] Ἤθελον οὖν [g] λαβεῖν αὐτὸν εἰς τὸ πλοῖον· καὶ εὐθέως τὸ πλοῖον [a] ἐγένετο ἐπὶ τῆς γῆς εἰς [h] ἣν [i] ὑπῆγον.

22 ¶ Τῇ ἐπαύριον ὁ ὄχλος ὁ [k] ἑστηκὼς πέραν τῆς θαλάσσης, [l] ἰδὼν ὅτι πλοιάριον ἄλλο οὐκ [h] ἦν ἐκεῖ εἰ μὴ ἓν ἐκεῖνο εἰς ὃ [m] ἐνέβησαν οἱ μαθηταὶ αὐτοῦ, καὶ ὅτι οὐ [c] συνεισῆλθε τοῖς μαθηταῖς αὐτοῦ ὁ Ἰησοῦς εἰς τὸ πλοιάριον, ἀλλὰ μόνοι οἱ μαθηταὶ αὐτοῦ [c] ἀπῆλθον·

23 Ἀλλὰ δὲ [c] ἦλθε πλοιάρια ἐκ Τιβεριάδος ἐγγὺς τοῦ τόπου ὅπου [n] ἔφαγον τὸν ἄρτον εὐχαριστήσαντος τοῦ Κυρίου·

24 Ὅτε οὖν εἶδεν ὁ ὄχλος ὅτι Ἰησοῦς οὐκ [h] ἔστιν ἐκεῖ, οὐδὲ οἱ μαθηταὶ αὐτοῦ, [m] ἐνέβησαν καὶ αὐτοὶ εἰς τὰ πλοῖα, καὶ [c] ἦλθον εἰς Καπερναοὺμ, ζητοῦντες τὸν Ἰησοῦν.

25 Καὶ [o] εὑρόντες αὐτὸν πέραν τῆς θαλάσσης, εἶπον αὐτῷ, Ῥαββὶ, πότε ὧδε [a] γέγονας;

26 [p] Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς καὶ εἶπεν, Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ζητεῖτέ με οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλ' ὅτι [n] ἐφάγετε ἐκ τῶν ἄρτων, καὶ [q] ἐχορτάσθητε.

27 Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν [r] ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν τὴν [s] μένουσαν εἰς ζωὴν αἰώνιον, ἣν ὁ υἱὸς τοῦ ἀνθρώπου ὑμῖν [t] δώσει· τοῦτον γὰρ ὁ πατὴρ [u] ἐσφράγισεν ὁ Θεός.

28 Εἶπον οὖν πρὸς αὐτὸν, Τί ποιῶμεν, ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ Θεοῦ;

29 [p] Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς, Τοῦτό [h] ἐστι τὸ ἔργον τοῦ Θεοῦ, ἵνα [x] πιστεύσητε εἰς ὃν [y] ἀπέστειλεν ἐκεῖνος.

30 Εἶπον οὖν αὐτῷ, Τί οὖν ποιεῖς σὺ σημεῖον, ἵνα [l] ἴδωμεν καὶ πιστεύσωμέν σοι; τί ἐργάζῃ;

31 Οἱ πατέρες ἡμῶν τὸ μάννα [n] ἔφαγον ἐν τῇ ἐρήμῳ· καθώς ἐστι [z] γεγραμμένον, Ἄρτον ἐκ τοῦ οὐρανοῦ [a] ἔδωκεν αὐτοῖς φαγεῖν.

32 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ Μωσῆς [a] δέδωκεν ὑμῖν τὸν

ἄρτον

[f] θέλω.
[g] λαμβάνω.
[h] εἰμί.
[i] ἄγω.
[k] ἵστημι.
[l] εἴδω.
[m] βαίνω.
[n] φάγω.
[o] εὑρίσκω.
[p] κρίνω.
[q] χόρτος.
[r] ὀλλύω.
[s] μένω.
[t] δίδωμι.
[u] σφραγίς.
[x] πίστις.
[y] στέλλω.
[z] γράφω.
[a] δίδωμι.

ἄρτον ἐκ τοῦ οὐρανοῦ· ἀλλ᾽ ὁ πατήρ μου [a] δίδωσιν
ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν.

33 Ὁ γὰρ ἄρτος τοῦ Θεοῦ [b] ἐστιν ὁ καταβαίνων [b] εἰμί.
ἐκ τοῦ οὐρανοῦ, καὶ ζωὴν [a] διδοὺς τῷ κόσμῳ.

34 Εἶπον οὖν πρὸς αὐτὸν, Κύριε, πάντοτε
δὸς ἡμῖν τὸν ἄρτον τοῦτον.

35 Εἶπε δὲ αὐτοῖς ὁ Ἰησοῦς, Ἐγώ εἰμι ὁ
ἄρτος τῆς ζωῆς· ὁ ἐρχόμενος πρός με, οὐ μὴ
[c] πεινάσῃ· καὶ ὁ πιστεύων εἰς ἐμὲ, οὐ μὴ [d] διψήσῃ [c] πεῖνα.
πώποτε. [d] δίψα.

36 Ἀλλ᾽ εἶπον ὑμῖν ὅτι καὶ [e] ἑωράκατέ με, καὶ [e] ὁράω.
οὐ πιστεύετε.

37 Πᾶν ὃ [a] δίδωσί μοι ὁ πατὴρ, πρὸς ἐμὲ [f] ἥξει· [f] ἥκω.
καὶ τὸν ἐρχόμενον πρός με, οὐ μὴ ἐκβάλω ἔξω.

38 Ὅτι [g] καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα [g] βαίνω.
ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα
τοῦ πέμψαντός με.

39 Τοῦτο δέ [b] ἐστι τὸ θέλημα τοῦ πέμψαντός
με πατρὸς, ἵνα πᾶν ὃ [a] δέδωκέ μοι, μὴ
[h] ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ [i] ἀναστήσω αὐτὸ ἐν [h] ὀλλύω.
τῇ ἐσχάτῃ ἡμέρᾳ. [i] ἵστημι.

40 Τοῦτο δέ [b] ἐστι τὸ θέλημα τοῦ πέμψαντός
με, ἵνα πᾶς ὁ θεωρῶν τὸν υἱὸν, καὶ πιστεύων εἰς
αὐτὸν, ἔχῃ ζωὴν αἰώνιον· καὶ [i] ἀναστήσω αὐτὸν
ἐγὼ τῇ ἐσχάτῃ ἡμέρᾳ.

41 [k] Ἐγόγγυζον οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, [k] γογγύζω.
ὅτι εἶπεν, Ἐγώ εἰμι ὁ ἄρτος ὁ [g] καταβὰς ἐκ
τοῦ οὐρανοῦ.

42 Καὶ ἔλεγον, Οὐχ οὗτός [b] ἐστιν ὁ Ἰησοῦς
ὁ υἱὸς Ἰωσὴφ, οὗ ἡμεῖς [l] οἴδαμεν τὸν πατέρα καὶ τὴν [l] εἴδω.
μητέρα; πῶς οὖν λέγει οὗτος, Ὅτι ἐκ τοῦ οὐρανοῦ
[g] καταβέβηκα;

43 [m] Ἀπεκρίθη οὖν ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς, [m] κρίνω.
Μὴ γογγύζετε μετ᾽ ἀλλήλων.

44 Οὐδεὶς δύναται [n] ἐλθεῖν πρός με, ἐὰν [n] ἔρχομαι.
μὴ ὁ πατὴρ ὁ πέμψας με, [o] ἑλκύσῃ αὐτόν· καὶ [o] ἕλκω.
ἐγὼ [i] ἀναστήσω αὐτὸν τῇ ἐσχάτῃ ἡμέρᾳ.

45 [b] Ἔστι [p] γεγραμμένον ἐν τοῖς προφήταις, [p] γράφω.

Καὶ [b] ἔσονται πάντες διδακτοὶ τοῦ Θεοῦ. Πᾶς οὖν
[q] μανθάνω. ὁ ἀκούσας παρὰ τοῦ πατρὸς, καὶ [q] μαθὼν, ἔρχεται
πρός με.

[r] ὁράω. 46 Οὐχ ὅτι τὸν πατέρα τις [r] ἑώρακεν εἰ μὴ
ὁ [b] ὢν παρὰ τοῦ Θεοῦ· οὗτος [r] ἑώρακε τὸν πατέρα.

47 Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς
ἐμὲ, ἔχει ζωὴν αἰώνιον·

48 Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς.

49 Οἱ πατέρες ὑμῶν ἔφαγον τὸ μάννα ἐν
[s] θνήσκω. τῇ ἐρήμῳ, καὶ [s] ἀπέθανον.

50 Οὗτός [b] ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ
καταβαίνων, ἵνα τις ἐξ αὐτοῦ φάγῃ καὶ μὴ [s] ἀποθάνῃ.

[t] ζάω. 51 Ἐγώ εἰμι ὁ ἄρτος ὁ [t] ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ
g καταβάς. ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου,
[t] ζήσεται εἰς τὸν αἰῶνα· καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ [a] δώσω,
ἡ σάρξ μου [b] ἐστὶν, ἣν ἐγὼ [a] δώσω ὑπὲρ τῆς
τοῦ κόσμου ζωῆς.

[u] μάχομαι. 52 [u] Ἐμάχοντο οὖν πρὸς ἀλλήλους οἱ Ἰουδαῖοι,
λέγοντες, Πῶς δύναται οὗτος ἡμῖν [a] δοῦναι
τὴν σάρκα φαγεῖν;

53 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, Ἀμὴν ἀμὴν
[x] φάγω. λέγω ὑμῖν, ἐὰν μὴ [x] φάγητε τὴν σάρκα τοῦ
[y] πίνω. υἱοῦ τοῦ ἀνθρώπου, καὶ [y] πίητε αὐτοῦ τὸ αἷμα, οὐκ
ἔχετε ζωὴν ἐν ἑαυτοῖς.

54 Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ
αἷμα, ἔχει ζωὴν αἰώνιον· καὶ ἐγὼ [i] ἀναστήσω
αὐτὸν τῇ ἐσχάτῃ ἡμέρᾳ.

55 Ἡ γὰρ σάρξ μου ἀληθῶς [b] ἐστι βρῶσις, καὶ
τὸ αἷμά μου ἀληθῶς [b] ἐστι πόσις.

56 Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου
[z] καὶ ἐγώ. τὸ αἷμα, ἐν ἐμοὶ μένει, [z] κἀγὼ ἐν αὐτῷ.

[a] στέλλω. 57 Καθὼς [a] ἀπέστειλέ με ὁ [b] ζῶν πατὴρ,
[b] ζάω. κἀγὼ ζῶ διὰ τὸν πατέρα· καὶ ὁ τρώγων με,
[c] καὶ ἐκεῖνος [c] κἀκεῖνος ζήσεται δι' ἐμέ.

[d] εἰμί. 58 Οὗτός [d] ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ
[e] βαίνω. [e] καταβάς· οὐ καθὼς [f] ἔφαγον οἱ πατέρες ὑμῶν
[f] ἐσθίω. τὸ μάννα, καὶ [g] ἀπέθανον· ὁ τρώγων τοῦτον τὸν
[g] θνήσκω. ἄρτον, [h] ζήσεται εἰς τὸν αἰῶνα.

59 Ταῦτα εἶπεν ἐν συναγωγῇ, διδάσκων ἐν Καπερναούμ.

60 Πολλοὶ οὖν ἀκούσαντες ἐκ τῶν μαθητῶν αὐτοῦ, εἶπον, Σκληρός [d] ἐστιν οὗτος ὁ λόγος· τίς δύναται αὐτοῦ ἀκούειν;

61 Εἰδὼς δὲ ὁ Ἰησοῦς ἐν ἑαυτῷ ὅτι γογγύζουσι περὶ τούτου οἱ μαθηταὶ αὐτοῦ, εἶπεν αὐτοῖς, Τοῦτο ὑμᾶς σκανδαλίζει;

62 Ἐὰν οὖν θεωρῆτε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα ὅπου [d] ἦν τὸ πρότερον;

63 Τὸ πνεῦμά [d] ἐστι τὸ ζωοποιοῦν, ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν· τὰ ῥήματα ἃ ἐγὼ λαλῶ ὑμῖν, πνεῦμά [d] ἐστι, καὶ ζωή [d] ἐστιν.

64 Ἀλλ' [d] εἰσὶν ἐξ ὑμῶν τινες οἳ οὐ πιστεύουσιν. *Ἤδει γὰρ ἐξ ἀρχῆς ὁ Ἰησοῦς τίνες [d] εἰσὶν οἱ μὴ πιστεύοντες, καὶ τίς [d] ἐστιν ὁ [h] παραδώσων αὐτόν.

* εἴδω.
[h] δίδωμι.

65 Καὶ [i] ἔλεγε, Διὰ τοῦτο [k] εἴρηκα ὑμῖν ὅτι οὐδεὶς δύναται [p] ἐλθεῖν πρός με ἐὰν μὴ [d] ᾖ [h] δεδομένον αὐτῷ ἐκ τοῦ πατρός μου.

[i] λέγω.
[k] εἴρω.

66 Ἐκ τούτου πολλοὶ [l] ἀπῆλθον τῶν μαθητῶν αὐτοῦ εἰς τὰ ὀπίσω, καὶ οὐκέτι μετ' αὐτοῦ [m] περιεπάτουν.

[l] ἔρχομαι.
[m] πατέω.

67 Εἶπεν οὖν ὁ Ἰησοῦς τοῖς δώδεκα, Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν;

68 [n] Ἀπεκρίθη οὖν αὐτῷ Σίμων Πέτρος, Κύριε, πρὸς τίνα [l] ἀπελευσόμεθα; ῥήματα ζωῆς αἰωνίου ἔχεις.

[n] κρίνω.

69 Καὶ ἡμεῖς [o] πεπιστεύκαμεν καὶ [p] ἐγνώκαμεν ὅτι σὺ [d] εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος.

[o] πίστις.
[p] γινώσκω.

70 [q] Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, Οὐκ ἐγὼ ὑμᾶς τοὺς δώδεκα [i] ἐξελεξάμην, καὶ ἐξ ὑμῶν εἷς διάβολός [d] ἐστιν;

[q] κρίνω.

71 Ἔλεγε δὲ τὸν Ἰούδαν Σίμωνος, Ἰσκαριώτην. οὗτος γὰρ [r] ἤμελλεν αὐτὸν [h] παραδιδόναι, εἷς [d] ὢν ἐκ τῶν δώδεκα.

[r] μέλλω.

Κεφ. ζ. Cap. VII.

ΚΑὶ περιεπάτει ὁ Ἰησοῦς μετὰ ταῦτα ἐν τῇ Γαλιλαίᾳ, οὐ γὰρ [a] ἤθελεν ἐν τῇ Ἰουδαίᾳ περι-

[a] θέλω.

περιπατεῖν, ὅτι [b] ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι.

2 [c] Ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ τῶν Ἰουδαίων ἡ σκηνοπηγία.

3 Εἶπον οὖν πρὸς αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ, [d] Μετάβηθι ἐντεῦθεν, καὶ ὕπαγε εἰς τὴν Ἰουδαίαν, ἵνα καὶ οἱ μαθηταί σου [e] θεωρήσωσι τὰ ἔργα σου ἃ ποιεῖς.

4 Οὐδεὶς γὰρ ἐν κρυπτῷ τι ποιεῖ, καὶ ζητεῖ αὐτὸς ἐν παῤῥησίᾳ [c] εἶναι· εἰ ταῦτα ποιεῖς, [f] φανέρωσον σεαυτὸν τῷ κόσμῳ.

5 Οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ [g] ἐπίστευον εἰς αὐτόν.

6 Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς, Ὁ καιρὸς ὁ ἐμὸς οὔπω [c] πάρεστιν· ὁ δὲ καιρὸς ὁ ὑμέτερος πάντοτέ [c] ἐστιν ἕτοιμος.

7 Οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς· ἐμὲ δὲ μισεῖ, ὅτι ἐγὼ μαρτυρῶ περὶ αὐτοῦ ὅτι τὰ ἔργα αὐτοῦ πονηρά [c] ἐστιν.

8 Ὑμεῖς [d] ἀνάβητε εἰς τὴν ἑορτὴν ταύτην· ἐγὼ οὔπω ἀναβαίνω εἰς τὴν ἑορτὴν ταύτην, ὅτι ὁ καιρὸς ὁ ἐμὸς οὔπω [h] πεπλήρωται.

9 Ταῦτα δὲ εἰπὼν αὐτοῖς, [i] ἔμεινεν ἐν τῇ Γαλιλαίᾳ.

10 Ὡς δὲ [d] ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ, τότε καὶ αὐτὸς [d] ἀνέβη εἰς τὴν ἑορτήν, οὐ φανερῶς, ἀλλ' ὡς ἐν κρυπτῷ.

11 Οἱ οὖν Ἰουδαῖοι [k] ἐζήτουν αὐτὸν ἐν τῇ ἑορτῇ, καὶ ἔλεγον, Ποῦ ἐστιν ἐκεῖνος;

12 Καὶ γογγυσμὸς πολὺς περὶ αὐτοῦ [c] ἦν ἐν τοῖς ὄχλοις· οἱ μὲν [l] ἔλεγον, Ὅτι ἀγαθός [c] ἐστιν· ἄλλοι δὲ ἔλεγον, Οὔ· ἀλλὰ πλανᾷ τὸν ὄχλον.

13 Οὐδεὶς μέντοι παῤῥησίᾳ [m] ἐλάλει περὶ αὐτοῦ διὰ τὸν φόβον τῶν Ἰουδαίων.

14 ¶ Ἤδη δὲ τῆς ἑορτῆς μεσούσης [d] ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερόν, καὶ [n] ἐδίδασκε.

15 Καὶ [o] ἐθαύμαζον οἱ Ἰουδαῖοι, λέγοντες, Πῶς οὗτος γράμματα [p] οἶδε, μὴ [q] μεμαθηκώς.

16 [r] Ἀπε-

[b] ζητέω.
[c] εἰμί.
[d] βαίνω.
[e] θεωρέω.
[f] φαίνω.
[g] πίστις.
[h] πλέος.
[i] μένω.
[k] ζητέω.
[l] λέγω.
[m] λαλέω.
[n] διδάσκω.
[o] θαῦμα.
[p] εἴδω.
[q] μανθάνω.

16 [r] Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς καὶ εἶπεν, Ἡ ἐμὴ διδαχὴ, οὐκ [c] ἔστιν ἐμὴ, ἀλλὰ τοῦ πέμψαντός με.

[r] κρίνω.

17 Ἐάν τις θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν, [s] γνώσεται περὶ τῆς διδαχῆς, πότερον ἐκ τοῦ Θεοῦ [c] ἐστιν, ἢ ἐγὼ ἀπ᾽ ἐμαυτοῦ λαλῶ.

[s] γινώσκω.

18 Ὁ ἀφ᾽ ἑαυτοῦ [m] λαλῶν, τὴν δόξαν τὴν ἰδίαν ζητεῖ· ὁ δὲ ζητῶν τὴν δόξαν τοῦ πέμψαντος αὐτὸν, οὗτος ἀληθής [c] ἐστι, καὶ ἀδικία ἐν αὐτῷ οὐκ [c] ἔστιν.

19 Οὐ Μωσῆς [t] δέδωκεν ὑμῖν τὸν νόμον, καὶ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον; τί με ζητεῖτε [u] ἀποκτεῖναι;

[t] δίδωμι.
[u] κτείνω.

20 [r] Ἀπεκρίθη ὁ ὄχλος καὶ εἶπε, Δαιμόνιον ἔχεις· τίς σε ζητεῖ ἀποκτεῖναι;

21 Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς, Ἓν ἔργον ἐποίησα, καὶ πάντες θαυμάζετε.

22 Διὰ τοῦτο Μωσῆς [t] δέδωκεν ὑμῖν τὴν περιτομὴν, (οὐχ ὅτι ἐκ τοῦ Μωσέως [c] ἐστὶν, ἀλλ᾽ ἐκ τῶν πατέρων) καὶ ἐν σαββάτῳ περιτέμνετε ἄνθρωπον.

23 Εἰ περιτομὴν λαμβάνει ἄνθρωπος ἐν σαββάτῳ, ἵνα μὴ [x] λυθῇ ὁ νόμος Μωσέως, ἐμοὶ [y] χολᾶτε ὅτι ὅλον ἄνθρωπον ὑγιῆ [z] ἐποίησα ἐν σαββάτῳ;

[x] λύω.
[y] χολάω.
[z] ποιέω.

24 Μὴ κρίνετε κατ᾽ ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε.

25 [a] Ἔλεγον οὖν τινες ἐκ τῶν Ἱεροσολυμιτῶν, Οὐχ οὗτός [b] ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι;

[a] λέγω.
[b] εἰμί.

26 Καὶ ἴδε, παῤῥησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσι· μήποτε ἀληθῶς [c] ἔγνωσαν οἱ ἄρχοντες, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ Χριστός;

[c] γινώσκω.

27 Ἀλλὰ τοῦτον [d] οἴδαμεν πόθεν [b] ἐστίν· ὁ δὲ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν [b] ἐστίν.

[d] εἴδω.

28 [e] Ἔκραξεν οὖν ἐν τῷ ἱερῷ διδάσκων ὁ Ἰησοῦς, καὶ λέγων, [f] Κἀμὲ [d] οἴδατε, καὶ [d] οἴδατε πόθεν εἰμί· καὶ ἀπ᾽ ἐμαυτοῦ οὐκ [g] ἐλήλυθα, ἀλλ᾽ [b] ἔστιν ἀληθινὸς ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ [d] οἴδατε.

[e] κράζω.
[f] καὶ ἐγώ.
[g] ἔρχομαι.

29 Ἐγὼ δὲ [d] οἶδα αὐτὸν, ὅτι παρ᾽ αὐτοῦ εἰμι, [h] κἀκεῖνός με [i] ἀπέστειλεν.

h καὶ ἐκεῖνος.
i στέλλω.
k ζητέω.
l πιάζω.
m βάλλω.

30 [k] Ἐζήτουν οὖν αὐτὸν [l] πιάσαι· καὶ οὐδεὶς [m] ἐπέβαλεν ἐπ᾽ αὐτὸν τὴν χεῖρα, ὅτι οὔπω [g] ἐληλύθει ἡ ὥρα αὐτοῦ.

n πίστις.

31 Πολλοὶ δὲ ἐκ τοῦ ὄχλου [n] ἐπίστευσαν εἰς αὐτὸν, καὶ ἔλεγον, Ὅτι ὁ Χριστὸς ὅταν [g] ἔλθῃ, μήτι πλείονα σημεῖα τούτων ποιήσει ὧν οὗτος ἐποίησεν;

o ἀκούω.
p στέλλω.

32 [o] Ἤκουσαν οἱ Φαρισαῖοι τοῦ ὄχλου γογγύζοντος περὶ αὐτοῦ ταῦτα· καὶ [p] ἀπέστειλαν οἱ Φαρισαῖοι καὶ οἱ ἀρχιερεῖς ὑπηρέτας, ἵνα πιάσωσιν αὐτόν.

33 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, Ἔτι μικρὸν χρόνον μεθ᾽ ὑμῶν εἰμι, καὶ ὑπάγω πρὸς τὸν πέμψαντά με.

q εὑρίσκω.

34 [k] Ζητήσετέ με, καὶ οὐχ [q] εὑρήσετε· καὶ ὅπου εἰμὶ ἐγὼ, ὑμεῖς οὐ δύνασθε [g] ἐλθεῖν.

r πείρω.

35 Εἶπον οὖν οἱ Ἰουδαῖοι πρὸς ἑαυτοὺς, Ποῦ οὗτος μέλλει [r] πορεύεσθαι, ὅτι ἡμεῖς οὐχ [q] εὑρήσομεν αὐτόν; μὴ εἰς τὴν διασπορὰν τῶν Ἑλλήνων μέλλει [r] πορεύεσθαι, καὶ διδάσκειν τοὺς Ἕλληνας;

36 Τίς [b] ἐστιν οὗτος ὁ λόγος ὃν εἶπε; Ζητήσετέ με, καὶ οὐχ [q] εὑρήσετε· καὶ ὅπου εἰμὶ ἐγὼ, ὑμεῖς οὐ δύνασθε [g] ἐλθεῖν;

s ἵστημι.
* κράζω.

37 ¶ Ἐν δὲ τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς ἑορτῆς [s] εἱστήκει ὁ Ἰησοῦς, καὶ * ἔκραξε, λέγων, Ἐάν τις διψᾷ, [g] ἐρχέσθω πρός με, καὶ πινέτω.

t ῥέω.

38 Ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ [t] ῥεύσουσιν ὕδατος ζῶντος.

u μέλλω.
x δοκέω.

39 (Τοῦτο δὲ εἶπε περὶ τοῦ πνεύματος οὗ [u] ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν· οὔπω γὰρ ἦν πνεῦμα ἅγιον, ὅτι ὁ Ἰησοῦς οὐδέπω [x] ἐδοξάσθη.)

40 Πολλοὶ οὖν ἐκ τοῦ ὄχλου ἀκούσαντες τὸν λόγον, [a] ἔλεγον, Οὗτός [b] ἐστιν ἀληθῶς ὁ προφήτης.

41 Ἄλλοι [a] ἔλεγον, Οὗτός ἐστιν ὁ Χριστός·

ἄλλοι δὲ [a] ἔλεγον, Μὴ γὰρ ἐκ τῆς Γαλιλαίας ὁ Χριστὸς ἔρχεται;

42 Οὐχὶ ἡ γραφὴ εἶπεν ὅτι ἐκ τοῦ σπέρματος Δαβὶδ ϗ ἀπὸ Βηθλεὲμ τῆς κώμης ὅπου [b] ἦν Δαβὶδ, ὁ Χριστὸς ἔρχεται;

43 Σχίσμα οὖν ἐν τῷ ὄχλῳ [y] ἐγένετο δι' αὐτόν.

[y] γίνομαι.

44 Τινὲς δὲ [z] ἤθελον ἐξ αὐτῶν [a] πιάσαι αὐτόν· ἀλλ' οὐδεὶς [b] ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας.

[z] θέλω.
[a] πιάζω.
[b] βάλλω.

45 [c] Ἦλθον οὖν οἱ ὑπηρέται πρὸς τοὺς ἀρχιερεῖς ϗ φαρισαίους· ϗ εἶπον αὐτοῖς ἐκεῖνοι, Διὰ τί οὐκ [d] ἠγάγετε αὐτόν;

[c] ἔρχομαι.
[d] ἄγω.

46 [e] Ἀπεκρίθησαν οἱ ὑπηρέται, Οὐδέποτε οὕτως [f] ἐλάλησεν ἄνθρωπος ὡς οὗτος ὁ ἄνθρωπος.

[e] κρίνω.
[f] λαλέω.

47 [g] Ἀπεκρίθησαν οὖν αὐτοῖς οἱ φαρισαῖοι, Μὴ ϗ ὑμεῖς [h] πεπλάνησθε;

[g] κρίνω.
[h] πλάνη.

48 Μή τις ἐκ τῶν ἀρχόντων [i] ἐπίστευσεν εἰς αὐτὸν, ἢ ἐκ τῶν φαρισαίων;

[i] πίστις.

49 Ἀλλ' ὁ ὄχλος οὗτος ὁ μὴ γινώσκων τὸν νόμον [k] ἐπικατάρατοί [l] εἰσι.

[k] ἀρά.
[l] εἰμί.

50 Λέγει Νικόδημος πρὸς αὐτοὺς, (ὁ [c] ἐλθὼν νυκτὸς πρὸς αὐτὸν) εἷς [b] ὢν ἐξ αὐτῶν,

51 Μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ παρ' αὐτοῦ πρότερον, ϗ [m] γνῷ τί ποιεῖ;

[m] γινώσκω.

52 [g] Ἀπεκρίθησαν ϗ εἶπον αὐτῷ, Μὴ ϗ σὺ ἐκ τῆς Γαλιλαίας [b] εἶ; [n] ἐρεύνησον ϗ [o] ἴδε ὅτι προφήτης ἐκ τῆς Γαλιλαίας οὐκ [p] ἐγήγερται.

[n] ἐρευνάω.
[o] εἴδω.
[p] ἐγείρω.

53 Καὶ [q] ἐπορεύθη ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ.

[q] πείρω.

Κεφ. η'. Cap. VIII.

Ἰησοῦς δὲ [a] ἐπορεύθη εἰς τὸ ὄρος τῶν ἐλαιῶν.

[a] πείρω.

2 Ὄρθρου δὲ πάλιν [b] παρεγένετο εἰς τὸ ἱερὸν, ϗ πᾶς ὁ λαὸς [c] ἤρχετο πρὸς αὐτόν· ϗ [d] καθίσας [e] ἐδίδασκεν αὐτούς.

[b] γίνομαι.
[c] ἔρχομαι.
[d] ἵζω.
[e] διδάσκω.

3 Ἄγουσι δὲ οἱ γραμματεῖς ϗ οἱ φαρισαῖοι πρὸς αὐτὸν γυναῖκα ἐν μοιχείᾳ [f] κατειλημμένην

[f] λαμβάνω.

g ἵστημι.

μένην· καὶ g στήσαντες αὐτὴν ἐν μέσῳ,

h φώρ.
i τέλλω.
k βάλλω.

4 Λέγουσιν αὐτῷ, Διδάσκαλε, αὕτη ἡ γυνὴ f κατειλήφθη h ἐπαυτοφώρῳ μοιχευομένη.

5 Ἐν δὲ τῷ νόμῳ Μωσῆς ἡμῖν i ἐνετείλατο τὰς τοιαύτας k λιθοβολεῖσθαι· σὺ οὖν τί λέγεις;

l κύπτω.
m γράφω.

6 Τοῦτο δὲ ἔλεγον πειράζοντες αὐτὸν, ἵνα ἔχωσι κατηγορεῖν αὐτοῦ. Ὁ δὲ Ἰησοῦς κάτω l κύψας, τῷ δακτύλῳ m ἔγραφεν εἰς τὴν γῆν.

n μένω.
o ἐρωτάω.
p ἁμαρτάνω.

7 Ὡς δὲ n ἐπέμενον o ἐρωτῶντες αὐτὸν, l ἀνακύψας εἶπε πρὸς αὐτοὺς, Ὁ p ἀναμάρτητος ὑμῶν πρῶτος τὸν λίθον ἐπ' αὐτῇ k βαλέτω.

8 Καὶ πάλιν κάτω l κύψας, m ἔγραφεν εἰς τὴν γῆν.

q ἐλέγχω.
r ἄρχω.
f λείπω.

9 Οἱ δὲ ἀκούσαντες, καὶ ὑπὸ τῆς συνειδήσεως q ἐλεγχόμενοι, c ἐξήρχοντο εἷς καθ' εἷς, r ἀρξάμενοι ἀπὸ τῶν πρεσβυτέρων, ἕως τῶν ἐσχάτων· καὶ f κατελείφθη μόνος ὁ Ἰησοῦς, καὶ ἡ γυνὴ ἐν μέσῳ g ἑστῶσα.

u εἰμί.

10 l Ἀνακύψας δὲ ὁ Ἰησοῦς, καὶ μηδένα θεασάμενος, πλὴν τῆς γυναικὸς, εἶπεν αὐτῇ, Ἡ γυνὴ, ποῦ u εἰσιν ἐκεῖνοι οἱ κατήγοροί σου; οὐδείς σε κατέκρινεν;

11 Ἡ δὲ εἶπεν, Οὐδεὶς, Κύριε. Εἶπε δὲ αὐτῇ ὁ Ἰησοῦς, Οὐδὲ ἐγώ σε κατακρίνω· a πορεύου, καὶ μηκέτι ἁμάρτανε.

x λαλέω.
y ἔχω.

12 ¶ Πάλιν οὖν ὁ Ἰησοῦς αὐτοῖς x ἐλάλησε, λέγων, Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ὁ ἀκολουθῶν ἐμοὶ, οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ, ἀλλ' y ἕξει τὸ φῶς τῆς ζωῆς.

13 Εἶπον οὖν αὐτῷ οἱ Φαρισαῖοι, Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς· ἡ μαρτυρία σου οὐκ u ἔστιν ἀληθής.

z κρίνω.
a εἴδω.
b ἔρχομαι.

14 z Ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς, Κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἀληθής u ἐστιν ἡ μαρτυρία μου· ὅτι a οἶδα πόθεν b ἦλθον, καὶ ποῦ ὑπάγω· ὑμεῖς δὲ οὐκ a οἴδατε πόθεν ἔρχομαι καὶ ποῦ ὑπάγω.

15 Ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε, ἐγὼ οὐ κρίνω οὐδένα.

16 Καὶ ἐὰν κρίνω δὲ ἐγὼ, ἡ κρίσις ἡ ἐμὴ ἀληθής [c] ἐστιν· ὅτι μόνος οὐκ εἰμὶ, ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με πατήρ.

[c] εἰμί.

17 Καὶ ἐν τῷ νόμῳ δὲ τῷ ὑμετέρῳ [d] γέγραπται, ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής [c] ἐστιν.

[d] γράφω.

18 Ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με πατήρ.

19 [e] Ἔλεγον οὖν αὐτῷ, Ποῦ ἐστιν ὁ πατήρ σου; [f] Ἀπεκρίθη ὁ Ἰησοῦς, Οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν πατέρα μου· εἰ ἐμὲ [b] ᾔδειτε, καὶ τὸν πατέρα μου ᾔδειτε ἄν.

[e] λέγω.
[f] κρίνω.

20 Ταῦτα τὰ ῥήματα [g] ἐλάλησεν ὁ Ἰησοῦς ἐν τῷ γαζοφυλακίῳ, διδάσκων ἐν τῷ ἱερῷ· καὶ οὐδεὶς [h] ἐπίασεν αὐτὸν, ὅτι οὔπω [b] ἐληλύθει ἡ ὥρα αὐτοῦ.

[g] λαλέω.
[h] πιάζω.

21 Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς, Ἐγὼ ὑπάγω, καὶ ζητήσετέ με, καὶ ἐν τῇ ἁμαρτίᾳ ὑμῶν [i] ἀποθανεῖσθε· ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν.

[i] θνήσκω.

22 Ἔλεγον οὖν οἱ Ἰουδαῖοι, Μήτι ἀποκτενεῖ ἑαυτόν; ὅτι λέγει, Ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε [b] ἐλθεῖν.

23 Καὶ εἶπεν αὐτοῖς, Ὑμεῖς ἐκ τῶν κάτω [c] ἐστὲ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί· ὑμεῖς ἐκ τοῦ κόσμου τούτου [c] ἐστὲ, ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου.

24 Εἶπον οὖν ὑμῖν ὅτι [i] ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν· ἐὰν γὰρ μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, [i] ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν.

25 [e] Ἔλεγον οὖν αὐτῷ, Σὺ τίς [c] εἶ; Καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, Τὴν ἀρχὴν ὅ, τι καὶ λαλῶ ὑμῖν.

26 Πόλλα ἔχω περὶ ὑμῶν λαλεῖν καὶ κρίνειν· ἀλλ' ὁ πέμψας με ἀληθής ἐστι. [k] κἀγὼ ἃ [l] ἤκουσα παρ' αὐτοῦ, ταῦτα λέγω εἰς τὸν κόσμον.

[k] καὶ ἐγώ.
[l] ἀκούω.

27 Οὐκ [m] ἔγνωσαν ὅτι τὸν πατέρα αὐτοῖς ἔλεγεν.

[m] γινώσκω.

28 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, Ὅταν [n] ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε [m] γνώσεσθε ὅτι

[n] ὕψος.

ἐγὼ

o διδάσκω.

ἐγώ εἰμι, καὶ ἀπ' ἐμαυτοῦ ποιῶ οὐδὲν, ἀλλὰ καθὼς [o] ἐδίδαξέ με ὁ πατήρ μου, ταῦτα λαλῶ.

p ἐάω.

29 Καὶ ὁ πέμψας με μετ' ἐμοῦ ἐστιν· οὐκ [p] ἀφῆκέ με μόνον ὁ πατήρ μου, ὅτι ἐγὼ τὰ ἀρεστὰ αὐτῷ ποιῶ πάντοτε.

q πίστις.

30 Ταῦτα αὐτοῦ λαλοῦντος πολλοὶ [q] ἐπίστευσαν εἰς αὐτόν.

31 Ἔλεγεν οὖν ὁ Ἰησοῦς πρὸς τοὺς [q] πεπιστευκότας αὐτῷ Ἰουδαίους, Ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μου [c] ἐστέ.

// 32 Καὶ [m] γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς.

r δοῦλος.
s γίνομαι.

33 [f] Ἀπεκρίθησαν[c] αὐτῷ, Σπέρμα Ἀβραάμ [c] ἐσμεν, καὶ οὐδενὶ [r] δεδουλεύκαμεν πώποτε· πῶς σὺ λέγεις, Ὅτι ἐλεύθεροι [s] γενήσεσθε;

34 [f] Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός [c] ἐστι τῆς ἁμαρτίας.

35 Ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα· ὁ υἱὸς μένει εἰς τὸν αἰῶνα.

36 Ἐὰν οὖν ὁ υἱὸς ὑμᾶς ἐλευθερώσῃ, ὄντως ἐλεύθεροι [c] ἔσεσθε.

t κτείνω.

37 [a] Οἶδα ὅτι σπέρμα Ἀβραάμ [c] ἐστε· ἀλλὰ ζητεῖτέ με [t] ἀποκτεῖναι, ὅτι ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν.

u ὁράω.

38 Ἐγὼ ὃ [u] ἑώρακα παρὰ τῷ πατρί μου, λαλῶ· καὶ ὑμεῖς οὖν ὃ ἑωράκατε παρὰ τῷ πατρὶ ὑμῶν ποιεῖτε.

39 [f] Ἀπεκρίθησαν[c] καὶ εἶπον αὐτῷ, Ὁ πατὴρ ἡμῶν Ἀβραάμ [c] ἐστι. Λέγει αὐτοῖς ὁ Ἰησοῦς, Εἰ τέκνα τοῦ Ἀβραὰμ [c] ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν.

40 Νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν [g] λελάληκα, ἣν [l] ἤκουσα παρὰ τοῦ Θεοῦ· τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν.

z γεννάω.

41 Ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν. Εἶπον οὖν αὐτῷ, Ἡμεῖς ἐκ πορνείας οὐ [z] γεγεννήμεθα· ἕνα πατέρα ἔχομεν τὸν Θεόν.

42 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, Εἰ ὁ Θεὸς

πατὴρ ὑμῶν ἦν, [y] ἠγαπᾶτε ἂν ἐμέ· ἐγὼ γὰρ ἐκ τοῦ Θεοῦ [b] ἐξῆλθον καὶ ἥκω· οὐδὲ γὰρ ἀπ' ἐμαυτοῦ [b] ἐλήλυθα, ἀλλ' ἐκεῖνός με [z] ἀπέστειλε.

[y] ἀγαπάω.
[z] στέλλω.

43 Διὰ τί τὴν λαλιὰν τὴν ἐμὴν οὐ γινώσκετε; ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν.

44 Ὑμεῖς ἐκ πατρὸς τοῦ διαβόλου [a] ἐστὲ, καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν· ἐκεῖνος ἀνθρωποκτόνος [a] ἦν ἀπ' ἀρχῆς, καὶ ἐν τῇ ἀληθείᾳ οὐχ [b] ἕστηκεν· ὅτι οὐκ [a] ἔστιν ἀλήθεια ἐν αὐτῷ· ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ· ὅτι ψεύστης [a] ἐστὶ, καὶ ὁ πατὴρ αὐτοῦ.

[a] εἰμί. //
[b] ἵστημι.

45 Ἐγὼ δὲ ὅτι τὴν ἀλήθειαν λέγω, οὐ πιστεύετέ μοι.

46 Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; εἰ δὲ ἀλήθειαν λέγω, διὰ τί ὑμεῖς οὐ πιστεύετέ μοι;

47 Ὁ [a] ὢν ἐκ τοῦ Θεοῦ, τὰ ῥήματα τοῦ Θεοῦ ἀκούει· διὰ τοῦτο ὑμεῖς οὐκ ἀκούετε ὅτι ἐκ τοῦ Θεοῦ οὐκ [a] ἐστέ.

48 [c] Ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι καὶ εἶπον αὐτῷ, Οὐ καλῶς λέγομεν ἡμεῖς, ὅτι Σαμαρείτης [a] εἶ σὺ, καὶ δαιμόνιον ἔχεις;

[c] κρίνω.

49 [c] Ἀπεκρίθη Ἰησοῦς, Ἐγὼ δαιμόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν πατέρα μου, καὶ ὑμεῖς [d] ἀτιμάζετέ με.

// [d] τίω.

50 Ἐγὼ δὲ οὐ ζητῶ τὴν δόξαν μου· [a] ἔστιν ὁ ζητῶν καὶ κρίνων.

51 Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐάν τις τὸν λόγον τὸν ἐμὸν τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα.

52 Εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι, Νῦν [e] ἐγνώκαμεν ὅτι δαιμόνιον ἔχεις. Ἀβραὰμ [f] ἀπέθανε καὶ οἱ προφῆται, [f] καὶ σὺ λέγεις, Ἐάν τις τὸν λόγον μου τηρήσῃ, οὐ μὴ γεύσεται θανάτου εἰς τὸν αἰῶνα.

[e] γινώσκω.
[f] θνήσκω.

53 Μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἀβραὰμ, ὅστις [f] ἀπέθανε; καὶ οἱ προφῆται [f] ἀπέθανον· τίνα σεαυτὸν σὺ ποιεῖς;

54 [c] Ἀπεκρίθη Ἰησοῦς, Ἐὰν ἐγὼ δοξάζω

ἐμαυτὸν, ἡ δόξα μου οὐδέν [a]ἐστιν· ἔστιν ὁ πατήρ
μου ὁ δοξάζων με, ὃν ὑμεῖς λέγετε ὅτι Θεὸς ὑ-
μῶν [a]ἐστι.
55 Καὶ οὐκ ἐγνώκατε αὐτόν· ἐγὼ δὲ [g]οἶδα
[g] εἴδω. αὐτόν· καὶ ἐὰν εἴπω ὅτι οὐκ [g]οἶδα αὐτὸν, [a]ἔσο-
μαι ὅμοιος ὑμῶν, ψεύστης· ἀλλ' [g]οἶδα αὐτὸν,
καὶ τὸν λόγον αὐτοῦ τηρῶ.
[h] ἀγάλλω. 56 Ἀβραὰμ ὁ πατὴρ ὑμῶν [h]ἠγαλλιάσατο
ἵνα [g]ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν· καὶ εἶδε, καὶ
ἐχάρη.
57 Εἶπον οἱ Ἰουδαῖοι πρὸς αὐτὸν, Πεντή-
[i] ὁράω. κοντα ἔτη οὔπω ἔχεις, καὶ Ἀβραὰμ [i]ἑώρακας;
[k] γίνομαι. 58 Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, Ἀμὴν ἀμὴν λέ-
[l] αἴρω. γω ὑμῖν, πρὶν Ἀβραὰμ [k]γενέσθαι, ἐγώ εἰμι.
[m] βάλλω. 59 [l]Ἦραν οὖν λίθους ἵνα [m]βάλωσιν ἐπ'
[n] κρύπτω. αὐτόν· Ἰησοῦς δὲ [n]ἐκρύβη, καὶ [o]ἐξῆλθεν ἐκ τοῦ
[o] ἔρχομαι. ἱεροῦ, [o]διελθὼν διὰ μέσου αὐτῶν· καὶ [p]παρῆγεν
[p] ἄγω. οὕτως.

Κεφ. θ'. Cap. IX.

ΚΑὶ παράγων, εἶδεν ἄνθρωπον τυφλὸν ἐκ
γενετῆς.
[a] ἐρωτάω. 2 Καὶ [a]ἐρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέ-
[b] ἁμαρτάνω. γοντες, Ῥαββὶ, τίς [b]ἥμαρτεν; οὗτος, ἢ οἱ γο-
[c] γεννάω. νεῖς αὐτοῦ, ἵνα τυφλὸς [c]γεννηθῇ;
[d] κρίνω. 3 [d]Ἀπεκρίθη ὁ Ἰησοῦς, Οὔτε οὗτος [b]ἥμαρ-
τεν, οὔτε οἱ γονεῖς αὐτοῦ· ἀλλ' ἵνα φανερωθῇ τὰ
ἔργα τοῦ Θεοῦ ἐν αὐτῷ.
4 Ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός
[e] εἰμί. με ἕως ἡμέρα [e]ἐστίν· ἔρχεται νὺξ, ὅτε οὐδεὶς δύν-
αται ἐργάζεσθαι.
5 Ὅταν ἐν τῷ κόσμῳ [e]ὦ, φῶς εἰμι τοῦ
κόσμου.
[f] πτύω. 6 Ταῦτα εἰπὼν, [f]ἔπτυσε χαμαὶ, καὶ ἐποίησε
[g] χρίω. πηλὸν ἐκ τοῦ πτύσματος, καὶ [g]ἐπέχρισε τὸν πη-
λὸν ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ.
[h] νίπτω. 7 Καὶ εἶπεν αὐτῷ, Ὕπαγε, [h]νίψαι εἰς τὴν
[i] ἑρμηνεύω. κολυμβήθραν τοῦ Σιλωάμ· (ὃ [i]ἑρμηνεύεται
[k] στέλλω. [k]ἀπεσταλμένος.) Ἀπῆλθεν οὖν καὶ [h]ἐνίψατο, καὶ
[l] ἔρχομαι. [l]ἦλθε βλέπων.

8 Οἱ οὖν γείτονες καὶ οἱ θεωροῦντες αὐτὸν τὸ πρότερον ὅτι τυφλὸς [c] ἦν, ἔλεγον, Οὐχ οὗτός [e] ἐστιν ὁ καθήμενος καὶ προσαιτῶν;

9 Ἄλλοι [m] ἔλεγον, Ὅτι οὗτός [e] ἐστιν· ἄλλοι δὲ, Ὅτι ὅμοιος αὐτῷ [e] ἐστιν· Ἐκεῖνος [m] ἔλεγεν, Ὅτι ἐγώ εἰμι. [m] λέγω.

10 Ἔλεγον οὖν αὐτῷ, Πῶς [n] ἀνεῴχθησάν σοι οἱ ὀφθαλμοί; [n] οἴγω.

11 [d] Ἀπεκρίθη ἐκεῖνος καὶ εἶπεν, Ἄνθρωπος λεγόμενος Ἰησοῦς πηλὸν ἐποίησε, καὶ [g] ἐπέχρισέ μου τοὺς ὀφθαλμοὺς, καὶ εἶπέ μοι, Ὕπαγε εἰς τὴν κολυμβήθραν τοῦ Σιλωὰμ, καὶ [h] νίψαι. [l] Ἀπελθὼν δὲ καὶ [h] νιψάμενος, [o] ἀνέβλεψα. [o] βλέπω.

12 Εἶπον οὖν αὐτῷ, Ποῦ ἐστιν ἐκεῖνος; Λέγει, Οὐκ [p] οἶδα. [p] εἴδω.

13 Ἄγουσιν αὐτὸν πρὸς τοὺς Φαρισαίους, τόν ποτε τυφλόν.

14 [o] Ἦν δὲ σάββατον ὅτε τὸν πηλὸν ἐποίησεν ὁ Ἰησοῦς, καὶ [n] ἀνέῳξεν αὐτοῦ τοὺς ὀφθαλμούς.

15 Πάλιν οὖν [a] ἠρώτων αὐτὸν καὶ οἱ Φαρισαῖοι πῶς [o] ἀνέβλεψεν. Ὁ δὲ εἶπεν αὐτοῖς, Πηλὸν [q] ἐπέθηκεν ἐπὶ τοὺς ὀφθαλμούς μου, καὶ [h] ἐνιψάμην, καὶ βλέπω. [q] τίθημι.

16 [m] Ἔλεγον οὖν ἐκ τῶν Φαρισαίων τινὲς, Οὗτος ὁ ἄνθρωπος οὐκ [e] ἔστι παρὰ τοῦ Θεοῦ, ὅτι τὸ σάββατον οὐ τηρεῖ. Ἄλλοι [m] ἔλεγον, Πῶς δύναται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα σημεῖα ποιεῖν. Καὶ σχίσμα [c] ἦν ἐν αὐτοῖς.

17 Λέγουσι τῷ τυφλῷ πάλιν, Σὺ τί λέγεις περὶ αὐτοῦ, ὅτι [n] ἤνοιξέ σου τοὺς ὀφθαλμούς; Ὁ δὲ εἶπεν, ὅτι προφήτης [e] ἐστίν.

18 Οὐκ [r] ἐπίστευσαν οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι τυφλὸς [c] ἦν, καὶ [o] ἀνέβλεψεν, ἕως ὅτου [s] ἐφώνησαν τοὺς γονεῖς αὐτοῦ τοῦ [o] ἀναβλέψαντος· [r] πίστις. [s] φωνή.

19 Καὶ ἠρώτησαν αὐτοὺς, λέγοντες, Οὗτός [e] ἐστιν ὁ υἱὸς ὑμῶν, ὃν ὑμεῖς λέγετε ὅτι τυφλὸς [t] ἐγεννήθη; πῶς οὖν ἄρτι βλέπει;

20 [d] Ἀπεκρίθησαν αὐτοῖς οἱ γονεῖς αὐτοῦ,

καὶ εἶπον, [p] Οἴδαμεν ὅτι οὗτός [e] ἐστιν ὁ υἱὸς ἡμῶν, καὶ ὅτι τυφλὸς [t] ἐγεννήθη.

21 Πῶς δὲ νῦν βλέπει οὐκ [p] οἴδαμεν, ἢ τίς [n] ἤνοιξεν αὐτοῦ τοὺς ὀφθαλμοὺς, ἡμεῖς οὐκ [p] οἴδαμεν· αὐτὸς ἡλικίαν ἔχει, αὐτὸν [a] ἐρωτήσατε, αὐτὸς περὶ αὐτοῦ [u] λαλήσει.

[u] λαλέω.

22 Ταῦτα εἶπον οἱ γονεῖς αὐτοῦ, ὅτι [x] ἐφοβοῦντο τοὺς Ἰουδαίους· ἤδη γὰρ [q] συνετέθειντο οἱ Ἰουδαῖοι ἵνα ἐάν τις αὐτὸν [m] ὁμολογήσῃ Χριστὸν, ἀποσυνάγωγος [*] γένηται.

[x] φοβέομαι.
[*] γίνομαι.

23 Διὰ τοῦτο οἱ γονεῖς αὐτοῦ εἶπον, Ὅτι ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε.

24 Ἐφώνησεν οὖν ἐκ δευτέρου τὸν ἄνθρωπον ὃς [c] ἦν τυφλὸς, καὶ εἶπον αὐτῷ, [y] Δὸς δόξαν τῷ Θεῷ· ἡμεῖς [p] οἴδαμεν ὅτι ὁ ἄνθρωπος οὗτος ἁμαρτωλός [c] ἐστιν.

[y] δίδωμι.

25 Ἀπεκρίθη οὖν ἐκεῖνος καὶ εἶπεν, Εἰ ἁμαρτωλός [c] ἐστιν, οὐκ [p] οἶδα· ἓν [p] οἶδα, ὅτι τυφλὸς [c] ὢν, ἄρτι βλέπω.

26 Εἶπον δὲ αὐτῷ πάλιν, Τί ἐποίησέ σοι; πῶς [n] ἤνοιξέ σου τοὺς ὀφθαλμούς;

27 [d] Ἀπεκρίθη αὐτοῖς, Εἶπον ὑμῖν ἤδη, καὶ οὐκ [z] ἠκούσατε· τί πάλιν θέλετε ἀκούειν; μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ μαθηταὶ [a] γενέσθαι;

[z] ἀκούω.
[a] γίνομαι.

28 [b] Ἐλοιδόρησαν οὖν αὐτὸν, καὶ εἶπον, Σὺ [c] εἶ μαθητὴς ἐκείνου· ἡμεῖς δὲ τοῦ Μωσέως [c] ἐσμὲν μαθηταί.

[b] λοίδορος.
[c] εἰμί.

29 Ἡμεῖς [d] οἴδαμεν ὅτι Μωσῇ [e] λελάληκεν ὁ Θεός· τοῦτον δὲ οὐκ [d] οἴδαμεν πόθεν ἐστίν.

[d] εἴδω.
[e] λαλέω.

30 [f] Ἀπεκρίθη ὁ ἄνθρωπος καὶ εἶπεν αὐτοῖς, Ἐν γὰρ τούτῳ θαυμαστόν [e] ἐστιν, ὅτι ὑμεῖς οὐκ [d] οἴδατε πόθεν ἐστὶ, καὶ [g] ἀνέῳξέ μου τοὺς ὀφθαλμούς.

[f] κρίνω.
[g] οἴγω.

31 [d] Οἴδαμεν δὲ ὅτι ἁμαρτωλῶν ὁ Θεὸς οὐκ ἀκούει· ἀλλ' ἐάν τις θεοσεβὴς [c] ᾖ, καὶ τὸ θέλημα αὐτοῦ ποιῇ, τούτου ἀκούει.

32 Ἐκ τοῦ αἰῶνος οὐκ [h] ἠκούσθη ὅτι [c] ἤνοιξέ τις ὀφθαλμοὺς τυφλοῦ [i] γεγεννημένου.

[h] ἀκούω.
[i] γεννάω.

33 Εἰ μὴ [c] ἦν οὗτος παρὰ Θεοῦ, οὐκ [k] ἐδύνατο ποιεῖν οὐδέν,

[k] δύναμαι.

34 [f] Ἀπε-

34 [f]Ἀπεκρίθησαν[c] καὶ εἶπον αὐτῷ, Ἐν ἁμαρτίαις σὺ [h]ἐγεννήθης ὅλος, καὶ σὺ διδάσκεις ἡμᾶς; Καὶ [l]ἐξέβαλον αὐτὸν ἔξω.

35 [h]Ἤκουσεν ὁ Ἰησοῦς ὅτι [l]ἐξέβαλον αὐτὸν ἔξω· καὶ [m]εὑρὼν αὐτὸν, εἶπεν αὐτῷ, Σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ Θεοῦ;

[l] βάλλω.
[m] εὑρίσκω.

36 Ἀπεκρίθη ἐκεῖνος καὶ εἶπε, Τίς [c]ἐστι, Κύριε, ἵνα πιστεύσω εἰς αὐτόν;

37 Εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς, Καὶ [n]ἑώρακας αὐτὸν, καὶ ὁ λαλῶν μετὰ σοῦ, ἐκεῖνός [c]ἐστιν.

[n] ὁράω.

38 Ὁ δὲ [o]ἔφη, Πιστεύω, Κύριε· καὶ [p]προσεκύνησεν αὐτῷ.

[o] φάω.
[p] κύω.

39 Καὶ εἶπεν ὁ Ἰησοῦς, Εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον [q]ἦλθον· ἵνα οἱ μὴ βλέποντες βλέπωσι, καὶ οἱ βλέποντες, τυφλοὶ [a]γένωνται.

[q] ἔρχομαι.

40 Καὶ [h]ἤκουσαν ἐκ τῶν Φαρισαίων ταῦτα οἱ [c]ὄντες μετ' αὐτοῦ, καὶ εἶπον αὐτῷ, Μὴ καὶ ἡμεῖς τυφλοί [c]ἐσμεν;

41 Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, Εἰ τυφλοὶ [c]ἦτε, οὐκ ἂν [r]εἴχετε ἁμαρτίαν· νῦν δὲ λέγετε, Ὅτι βλέπομεν· ἡ οὖν ἁμαρτία ὑμῶν μένει.

[r] ἔχω.

Κεφ. ι. Cap. X.

Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων [a]ἀλλαχόθεν, ἐκεῖνος κλέπτης [b]ἐστὶ καὶ λῃστής·

[a] ἄλλος.
[b] εἰμί.

2 Ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας, ποιμήν [b]ἐστι τῶν προβάτων.

3 Τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει· καὶ τὰ ἴδια πρόβατα καλεῖ κατ' ὄνομα, καὶ ἐξάγει αὐτά.

4 Καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται· καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι [c]οἴδασι τὴν φωνὴν αὐτοῦ.

[c] εἴδω.

5 Ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ [d]φεύξονται ἀπ' αὐτοῦ· ὅτι οὐκ [c]οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν.

[d] φεύγω.

6 Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ [e]ἔγνωσαν τίνα [h]ἦν ἃ ἐλάλει αὐτοῖς.

[e] γινώσκω.

7 Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων.

8 Πάντες ὅσοι πρὸ ἐμοῦ [f] ἦλθον, κλέπται [b] εἰσὶ καὶ λῃσταί· ἀλλ' οὐκ [g] ἤκουσαν αὐτῶν τὰ πρόβατα.

[f] ἔρχομαι.
[g] ἀκούω.

9 Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, [h] σωθήσεται· καὶ [f] εἰσελεύσεται, καὶ [f] ἐξελεύσεται, καὶ νομὴν [i] εὑρήσει.

[h] σώζω.
[i] εὑρίσκω.

10 Ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ [k] θύσῃ καὶ [l] ἀπολέσῃ· ἐγὼ [f] ἦλθον ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσι.

[k] θύω.
[l] ὄλλυμι.

11 Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων·

12 Ὁ μισθωτὸς δὲ, καὶ οὐκ [b] ὢν ποιμὴν, οὗ οὐκ [b] εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον, καὶ [m] ἀφίησι τὰ πρόβατα, καὶ φεύγει· καὶ ὁ λύκος ἁρπάζει αὐτὰ, καὶ σκορπίζει τὰ πρόβατα.

[m] ἐάω.

13 Ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός [b] ἐστι· καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων.

14 Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· καὶ γινώσκω τὰ ἐμὰ, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν.

15 Καθὼς γινώσκει με πατὴρ, [n] κἀγὼ γινώσκω τὸν πατέρα· καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων.

[n] καὶ ἐγώ.

16 Καὶ ἄλλα πρόβατα ἔχω ἃ οὐκ [b] ἔστιν ἐκ τῆς αὐλῆς ταύτης, [o] κἀκεῖνά με δεῖ ἀγαγεῖν· καὶ τῆς φωνῆς μου ἀκούσουσι, καὶ [p] γενήσεται μία ποίμνη, εἷς ποιμήν.

[o] καὶ ἐκεῖνος
[p] γίνομαι.

17 Διὰ τοῦτο ὁ πατήρ με ἀγαπᾷ ὅτι ἐγὼ τίθημι τὴν ψυχήν μου ἵνα πάλιν [q] λάβω αὐτήν.

[q] λαμβάνω.

18 Οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ· ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ· ἐξουσίαν ἔχω [r] θεῖναι αὐτὴν, καὶ ἐξουσίαν ἔχω πάλιν [q] λαβεῖν αὐτήν· ταύτην τὴν ἐντολὴν [q] ἔλαβον παρὰ τοῦ πατρός μου.

[r] τίθημι.

19 Σχίσμα οὖν πάλιν [p] ἐγένετο ἐν τοῖς Ἰουδαίοις διὰ τοὺς λόγους τούτους.

20 [s] Ἔλεγον δὲ πολλοὶ ἐξ αὐτῶν, Δαιμόνιον ἔχει, καὶ μαίνεται· τί αὐτοῦ ἀκούετε; [s] λέγω.

21 Ἄλλοι [s] ἔλεγον, Ταῦτα τὰ ῥήματα οὐκ [b] ἔστι δαιμονιζομένου· μὴ δαιμόνιον δύναται τυφλῶν ὀφθαλμοὺς ἀνοίγειν;

22 ¶ [p] Ἐγένετο δὲ τὰ ἐγκαίνια ἐν τοῖς Ἱεροσολύμοις, καὶ χειμὼν [b] ἦν. //

23 Καὶ περιεπάτει ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ ἐν τῇ στοᾷ τοῦ Σολομῶντος.

24 Ἐκύκλωσαν οὖν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ ἔλεγον αὐτῷ, Ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; εἰ σὺ [b] εἶ ὁ Χριστὸς, εἰπὲ ἡμῖν παῤῥησίᾳ.

25 [t] Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, Εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε· τὰ ἔργα ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ πατρός μου, ταῦτα μαρτυρεῖ περὶ ἐμοῦ. [t] κρίνω.

26 Ἀλλ' ὑμεῖς οὐ πιστεύετε· οὐ γάρ [b] ἐστε ἐκ τῶν προβάτων τῶν ἐμῶν, καθὼς εἶπον ὑμῖν.

27 Τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει, [n] κἀγὼ γινώσκω αὐτὰ, καὶ ἀκολουθοῦσί μοι·

28 Κἀγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς· καὶ οὐ μὴ [l] ἀπόλωνται εἰς τὸν αἰῶνα, καὶ οὐχ ἁρπάζει τίς αὐτὰ ἐκ τῆς χειρός μου.

29 Ὁ πατήρ μου ὃς [u] δέδωκέ μοι, μείζων πάντων ἐστί· καὶ οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ πατρός μου. [u] δίδωμι.

30 Ἐγὼ καὶ ὁ πατὴρ ἕν [b] ἐσμεν.

31 [x] Ἐβάστασαν οὖν πάλιν λίθους οἱ Ἰουδαῖοι ἵνα λιθάσωσιν αὐτόν. [x] βαστάζω.

32 [t] Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, Πολλὰ καλὰ ἔργα [y] ἔδειξα ὑμῖν ἐκ τοῦ πατρός μου· διὰ ποῖον αὐτῶν ἔργον λιθάζετέ με; [y] δεικνύω.

33 [t] Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι, λέγοντες, Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, καὶ ὅτι σὺ ἄνθρωπος [b] ὢν, ποιεῖς σεαυτὸν Θεόν.

34 [t] Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, Οὐκ [b] ἔστι [z] γεγραμμένον ἐν τῷ νόμῳ ὑμῶν, Ἐγὼ εἶπα, θεοί [b] ἐστε;

[z] γράφω.

35 Εἰ ἐκείνους εἶπε θεοὺς πρὸς οὓς ὁ λόγος τοῦ Θεοῦ [a] ἐγένετο, καὶ οὐ δύναται [b] λυθῆναι ἡ γραφή·

[a] γίνομαι. [b] λύω.

36 Ὃν ὁ πατὴρ [c] ἡγίασε καὶ [d] ἀπέστειλεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε, Ὅτι βλασφημεῖς· ὅτι εἶπον, Υἱὸς τοῦ Θεοῦ εἰμι;

[c] ἅγιος. [d] στέλλω.

37 Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι·

38 Εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύσατε, ἵνα [e] γνῶτε καὶ πιστεύσητε ὅτι ἐν ἐμοὶ ὁ πατήρ, [f] κἀγὼ ἐν αὐτῷ.

[e] γινώσκω. [f] καὶ ἐγώ.

39 ¶ [g] Ἐζήτουν οὖν πάλιν αὐτὸν [h] πιάσαι· καὶ [i] ἐξῆλθεν ἐκ τῆς χειρὸς αὐτῶν.

[g] ζητέω. [h] πιάζω.

40 Καὶ [i] ἀπῆλθε πάλιν πέραν τοῦ Ἰορδάνου εἰς τὸν τόπον ὅπου [k] ἦν Ἰωάννης τὸ πρῶτον βαπτίζων· καὶ [l] ἔμεινεν ἐκεῖ.

[i] ἔρχομαι. [k] εἰμί. [l] μένω.

41 Καὶ πολλοὶ [i] ἦλθον πρὸς αὐτόν, καὶ [m] ἔλεγον, Ὅτι Ἰωάννης μὲν σημεῖον ἐποίησεν οὐδέν· πάντα δὲ ὅσα εἶπεν Ἰωάννης περὶ τούτου, ἀληθῆ [k] ἦν.

[m] λέγω.

42 Καὶ [n] ἐπίστευσαν πολλοὶ ἐκεῖ εἰς αὐτόν.

[n] πίστις.

Κεφ. ια΄. Cap. XI.

[a] ἮΝ δέ τις ἀσθενῶν Λάζαρος ἀπὸ Βηθανίας, ἐκ τῆς κώμης Μαρίας καὶ Μάρθας τῆς ἀδελφῆς αὐτῆς·

[a] εἰμί.

2 (Ἦν δὲ Μαρία ἡ [b] ἀλείψασα τὸν Κύριον μύρῳ, καὶ [c] ἐκμάξασα τοὺς πόδας αὐτοῦ ταῖς [d] θριξὶν αὐτῆς· ἧς ὁ ἀδελφὸς Λάζαρος [e] ἠσθένει.)

[b] ἀλείφω. [c] μάσσω. [d] θρίξ. [e] σθένος.

3 [f] Ἀπέστειλαν οὖν αἱ ἀδελφαὶ αὐτοῦ πρὸς αὐτόν, λέγουσαι, Κύριε, [g] ἴδε, ὃν φιλεῖς [e] ἀσθενεῖ.

[f] στέλλω. [g] εἴδω.

4 Ἀκούσας δὲ ὁ Ἰησοῦς εἶπεν, Αὕτη ἡ ἀσθένεια οὐκ [a] ἔστι πρὸς θάνατον, ἀλλ' ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ, ἵνα [h] δοξασθῇ ὁ υἱὸς τοῦ Θεοῦ δι' αὐτῆς.

[h] δοκέω.

5 [i] Ἠγάπα δὲ ὁ Ἰησοῦς τὴν Μάρθαν, καὶ τὴν ἀδελφὴν αὐτῆς, καὶ τὸν Λάζαρον.

[i] ἀγάπη.

6 Ὡς οὖν [k] ἤκουσεν ὅτι ἀσθενεῖ, τότε μὲν [l] ἔμει- [k] ἀκούω.
νεν ἐν ᾧ [a] ἦν τόπῳ δύο ἡμέρας· [l] μένω.

7 Ἔπειτα μετὰ τοῦτο λέγει τοῖς μαθηταῖς,
[n] Ἄγωμεν εἰς τὴν Ἰουδαίαν πάλιν. [n] ἄγω.

8 Λέγουσιν αὐτῷ οἱ μαθηταὶ, Ῥαββὶ, νῦν
ἐζήτουν σε λιθάσαι οἱ Ἰουδαῖοι, καὶ πάλιν ὑπά-
γεις ἐκεῖ;

9 [o] Ἀπεκρίθη ὁ Ἰησοῦς, Οὐχὶ δώδεκά [a] εἰ- [o] κρίνω.
σιν ὧραι τῆς ἡμέρας; ἐάν τις περιπατῇ ἐν τῇ ἡ-
μέρᾳ, οὐ προσκόπτει, ὅτι τὸ φῶς τοῦ κόσμου τούτου
βλέπει·

10 Ἐὰν δέ τις περιπατῇ ἐν τῇ νυκτὶ, προ-
σκόπτει· ὅτι τὸ φῶς οὐκ [a] ἔστιν ἐν αὐτῷ.

11 Ταῦτα εἶπε· καὶ μετὰ τοῦτο λέγει αὐτοῖς, //
Λάζαρος ὁ φίλος ἡμῶν [p] κεκοίμηται· ἀλλὰ [p] κοιμάω.
[q] πορεύομαι ἵνα [r] ἐξυπνίσω αὐτόν. [q] πείρω.

12 Εἶπον οὖν οἱ μαθηταὶ αὐτοῦ, Κύριε, εἰ [r] ὕπνος.
[p] κεκοίμηται, [s] σωθήσεται. [s] σόος.

13 [t] Εἰρήκει δὲ ὁ Ἰησοῦς περὶ τοῦ θανάτου αὐ- [t] εἴρω. //
τοῦ· ἐκεῖνοι δὲ [b] ἔδοξαν ὅτι περὶ τῆς κοιμήσεως τοῦ
ὕπνου λέγει.

14 Τότε οὖν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς παῤῥησίᾳ,
Λάζαρος [u] ἀπέθανε· [u] θνήσκω.

15 Καὶ χαίρω δι' ὑμᾶς (ἵνα πιστεύσητε) ὅτι
οὐκ [a] ἤμην ἐκεῖ· ἀλλ' ἄγωμεν πρὸς αὐτόν·

16 Εἶπεν οὖν Θωμᾶς ὁ λεγόμενος Δίδυ- /
μος, τοῖς συμμαθηταῖς, Ἄγωμεν καὶ ἡμεῖς, ἵνα
[y] ἀποθάνωμεν μετ' αὐτοῦ.

17 [x] Ἐλθὼν οὖν ὁ Ἰησοῦς [y] εὗρεν αὐτὸν τέσ- [x] ἔρχομαι.
σαρας ἡμέρας ἤδη ἔχοντα ἐν τῷ μνημείῳ. [y] εὑρίσκω.

18 [a] Ἦν δὲ ἡ Βηθανία ἐγγὺς τῶν Ἱεροσο-
λύμων, ὡς ἀπὸ σταδίων δεκαπέντε.

19 Καὶ πολλοὶ ἐκ τῶν Ἰουδαίων [z] ἐληλύ-
θεισαν πρὸς τὰς περὶ Μάρθαν καὶ Μαρίαν, ἵνα
[z] παραμυθήσωνται αὐτὰς περὶ τοῦ ἀδελφοῦ αὐ- [z] μῦθος.
τῶν.

20 Ἡ οὖν Μάρθα ὡς [a] ἤκουσεν ὅτι ὁ Ἰησοῦς [a] ἀκούω. //
ἔρχεται, [b] ὑπήντησεν αὐτῷ· Μαρία δὲ ἐν τῷ [b] ἄντα.
οἴκῳ [c] ἐκαθέζετο. [c] ἕζω.

21 Εἶπεν οὖν ἡ Μάρθα πρὸς τὸν Ἰησοῦν, Κύριε, εἰ [d] ἦς ὧδε, ὁ ἀδελφός μου οὐκ ἂν [e] ἐτεθνήκει.

22 Ἀλλὰ καὶ νῦν [f] οἶδα ὅτι ὅσα ἂν αἰτήσῃ τὸν Θεὸν, [g] δώσει σοι ὁ Θεός.

23 Λέγει αὐτῇ ὁ Ἰησοῦς, [h] Ἀναστήσεται ὁ ἀδελφός σου.

24 Λέγει αὐτῷ Μάρθα, [f] Οἶδα ὅτι [h] ἀναστήσεται ἐν τῇ ἀναστάσει, ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

25 Εἶπεν αὐτῇ ὁ Ἰησοῦς, Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή· ὁ πιστεύων εἰς ἐμὲ, κἂν [e] ἀποθάνῃ, [i] ζήσεται.

26 Καὶ πᾶς ὁ ζῶν, καὶ πιστεύων εἰς ἐμὲ, οὐ μὴ [e] ἀποθάνῃ εἰς τὸν αἰῶνα. Πιστεύεις τοῦτο;

27 Λέγει αὐτῷ, Ναὶ Κύριε· ἐγὼ [k] πεπίστευκα ὅτι σὺ [d] εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, ὁ εἰς τὸν κόσμον ἐρχόμενος.

28 Καὶ ταῦτα εἰποῦσα, * ἀπῆλθε, καὶ [l] ἐφώνησε Μαρίαν τὴν ἀδελφὴν αὐτῆς λάθρα· εἰποῦσα, Ὁ διδάσκαλος [d] πάρεστι, καὶ φωνεῖ σε.

29 Ἐκείνη ὡς [m] ἤκουσεν, [n] ἐγείρεται ταχὺ, καὶ ἔρχεται πρὸς αὐτόν.

30 (Οὔπω δὲ * ἐληλύθει ὁ Ἰησοῦς εἰς τὴν κώμην· ἀλλ' [b] ἦν ἐν τῷ τόπῳ ὅπου [b] ὑπήντησεν αὐτῷ ἡ Μάρθα.)

31 Οἱ οὖν Ἰουδαῖοι οἱ ὄντες μετ' αὐτῆς ἐν τῇ οἰκίᾳ, καὶ [o] παραμυθούμενοι αὐτὴν, [f] ἰδόντες τὴν Μαρίαν ὅτι ταχέως [h] ἀνέστη, καὶ * ἐξῆλθεν, [x] ἠκολούθησαν αὐτῇ, λέγοντες, Ὅτι ὑπάγει εἰς τὸ μνημεῖον ἵνα [p] κλαύσῃ ἐκεῖ.

32 Ἡ οὖν Μαρία ὡς * ἦλθεν ὅπου [d] ἦν ὁ Ἰησοῦς, [f] ἰδοῦσα αὐτὸν, [q] ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ, λέγουσα αὐτῷ, Κύριε, εἰ [d] ἦς ὧδε, οὐκ ἂν [e] ἀπέθανέ μου ὁ ἀδελφός.

33 Ἰησοῦς οὖν, ὡς εἶδεν αὐτὴν κλαίουσαν, καὶ τοὺς * συνελθόντας αὐτῇ Ἰουδαίους κλαίοντας, [r] ἐνεβριμήσατο τῷ πνεύματι, καὶ [s] ἐτάραξεν ἑαυτόν·

34 Καὶ εἶπε, Ποῦ [t] τεθείκατε αὐτόν; Λέγουσιν αὐτῷ, Κύριε, ἔρχου καὶ [f] ἴδε.

35 [u] Ἐδά-

[d] εἰμί.
[e] θνήσκω.
[f] εἴδω.
[g] δίδωμι.
[h] ἵστημι.
[i] ζάω.
[k] πίστις.
* ἔρχομαι.
[l] φωνή.
[m] ἀκούω.
[n] ἐγείρω.
[o] μῦθος.
[x] ἀκόλουθος.
[p] κλαίω.
[q] πίπτω.
[r] βριμάομαι
[s] ταράσσω.
[t] τίθημι.

35 [n] Ἐδάκρυσεν ὁ Ἰησοῦς.

[n] δακρυ.

36 Ἔλεγον οὖν οἱ Ἰουδαῖοι, [f] Ἴδε πῶς [x] ἐφίλει αὐτόν.

[x] φίλος.

37 Τινὲς δὲ ἐξ αὐτῶν εἶπον, Οὐκ [y] ἠδύνατο οὗτος ὁ [z] ἀνοίξας τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, ποιῆσαι ἵνα καὶ οὗτος μὴ [a] ἀποθάνῃ;

[y] δύναμαι. [z] οἴγω. [a] θνήσκω.

38 Ἰησοῦς οὖν πάλιν [b] ἐμβριμώμενος ἐν ἑαυτῷ, ἔρχεται εἰς τὸ μνημεῖον. [c] Ἦν δὲ σπήλαιον, καὶ λίθος [d] ἀπέκειτο ἐπ' αὐτῷ.

[b] βριμόομαι. [c] εἰμί. [d] κεῖμαι.

39 Λέγει ὁ Ἰησοῦς, [e] Ἄρατε τὸν λίθον· Λέγει αὐτῷ ἡ ἀδελφὴ τοῦ [a] τεθνηκότος Μάρθα, Κύριε, ἤδη ὄζει· τεταρταῖος γάρ [c] ἐστι.

[e] αἴρω.

40 Λέγει αὐτῇ ὁ Ἰησοῦς, Οὐκ εἶπόν σοι ὅτι ἐὰν [f] πιστεύσῃς, [g] ὄψει τὴν δόξαν τοῦ Θεοῦ;

[f] πίστις. [g] ὄπτομαι.

41 [e] Ἦραν οὖν τὸν λίθον οὗ ἦν ὁ [a] τεθνηκὼς κείμενος. Ὁ δὲ Ἰησοῦς [e] ἦρε τοὺς ὀφθαλμοὺς ἄνω, καὶ εἶπε, Πάτερ, εὐχαριστῶ σοι ὅτι [h] ἤκουσάς μου.

[h] ἀκούω.

42 Ἐγὼ δὲ [i] ᾔδειν ὅτι πάντοτέ μου [h] ἀκούεις· ἀλλὰ διὰ τὸν ὄχλον τὸν [k] περιεστῶτα, εἶπον, ἵνα πιστεύσωσιν ὅτι σύ με [l] ἀπέστειλας.

[i] εἴδω. [k] ἵστημι. [l] στέλλω.

43 Καὶ ταῦτα εἰπὼν, φωνῇ μεγάλῃ [m] ἐκραύγασε, Λάζαρε, δεῦρο ἔξω.

[m] κράζω.

44 Καὶ [n] ἐξῆλθεν ὁ [a] τεθνηκὼς, [o] δεδεμένος τοὺς [p] πόδας καὶ τὰς χεῖρας κειρίαις· καὶ ἡ ὄψις αὐτοῦ σουδαρίῳ [q] περιεδέδετο. Λέγει αὐτοῖς ὁ Ἰησοῦς, Λύσατε αὐτὸν, καὶ [r] ἄφετε ὑπάγειν.

[n] ἔρχομαι. [o] δέω. [p] πούς. [q] δέω. [r] ἔω.

45 Πολλοὶ οὖν ἐκ τῶν Ἰουδαίων οἱ [n] ἐλθόντες πρὸς τὴν Μαρίαν, καὶ [s] θεασάμενοι ἃ ἐποίησεν ὁ Ἰησοῦς, [t] ἐπίστευσαν εἰς αὐτόν.

[s] θεάομαι. [t] πίστις.

46 Τινὲς δὲ ἐξ αὐτῶν ἀπῆλθον πρὸς τοὺς φαρισαίους, καὶ εἶπον αὐτοῖς ἃ ἐποίησεν ὁ Ἰησοῦς.

47 [u] Συνήγαγον οὖν οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι συνέδριον, καὶ [x] ἔλεγον, Τί ποιοῦμεν; ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ σημεῖα ποιεῖ.

[u] ἄγω. [x] λέγω.

48 Ἐὰν [r] ἀφῶμεν αὐτὸν οὕτω, πάντες πιστεύσουσιν εἰς αὐτόν· καὶ [n] ἐλεύσονται οἱ Ῥωμαῖοι, [e] ἀροῦσιν ἡμῶν καὶ τὸν τόπον καὶ τὸ ἔθνος.

49 Εἷς δέ τις ἐξ αὐτῶν Καϊάφας, ἀρχιε-

ρεὺς [b] ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, εἶπεν αὐτοῖς, Ὑμεῖς οὐκ [i] οἴδατε οὐδέν.

50 Οὐδὲ διαλογίζεσθε ὅτι συμφέρει ἡμῖν ἵνα
εἷς ἄνθρωπος [a] ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ, καὶ μὴ
y ὀλλύω. ὅλον τὸ ἔθνος [y] ἀπόληται.

51 Τοῦτο δὲ ἀφ' ἑαυτοῦ οὐκ εἶπεν· ἀλλὰ ἀρχι-
z φάω. ερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, [z] προεφήτευσεν ὅτι
ἔμελλεν ὁ Ἰησοῦς ἀποθνήσκειν ὑπὲρ τοῦ ἔθνους·

52 Καὶ οὐκ ὑπὲρ τοῦ ἔθνους μόνον, ἀλλ' ἵνα
a σκορπίος. καὶ τὰ τέκνα τοῦ Θεοῦ τὰ [a] διεσκορπισμένα [b] συν-
b ἄγω. αγάγῃ εἰς ἕν.

c βουλή. 53 Ἀπ' ἐκείνης οὖν τῆς ἡμέρας [c] συνεβουλεύ-
σαντο ἵνα ἀποκτείνωσιν αὐτόν.

54 Ἰησοῦς οὖν οὐκ ἔτι παῤῥησίᾳ περιεπάτει ἐν
d ἔρχομαι. τοῖς Ἰουδαίοις, ἀλλὰ [d] ἀπῆλθεν ἐκεῖθεν εἰς τὴν
χώραν ἐγγὺς τῆς ἐρήμου, εἰς Ἐφραὶμ λεγομένην
e τρίβω. πόλιν· κἀκεῖ [e] διέτριβε μετὰ τῶν μαθητῶν
f εἰμί. αὐτοῦ.

g βαίνω. 55 [f] Ἦν δὲ ἐγγὺς τὸ πάσχα τῶν Ἰουδαίων· καὶ
h ἁγνός. [g] ἀνέβησαν πολλοὶ εἰς Ἱεροσόλυμα ἐκ τῆς χώ-
i ζητέω. ρας πρὸ τοῦ πάσχα, ἵνα [h] ἁγνίσωσιν ἑαυτούς.

k λέγω. 56 [i] Ἐζήτουν οὖν τὸν Ἰησοῦν, καὶ [k] ἔλεγον μετ'
l ἵστημι. ἀλλήλων ἐν τῷ ἱερῷ [l] ἑστηκότες, Τί δοκεῖ ὑμῖν,
m δίδωμι. ὅτι οὐ μὴ [d] ἔλθῃ εἰς τὴν ἑορτήν;

n γινώσκω. 57 [m] Δεδώκεισαν δὲ καὶ οἱ ἀρχιερεῖς καὶ οἱ Φα-
o μηνύω. ρισαῖοι ἐντολήν, ἵνα ἐάν τις [n] γνῷ ποῦ [f] ἐστι,
p πιάζω. [o] μηνύσῃ, ὅπως [p] πιάσωσιν αὐτόν.

Κεφ. ιβ'. Cap. XII.

a ἔρχομαι. Ὁ οὖν Ἰησοῦς πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα
b εἰμί. [a] ἦλθεν εἰς Βηθανίαν, ὅπου [b] ἦν Λάζαρος
c θνήσκω. ὁ [c] τεθνηκώς, ὃν [d] ἤγειρεν ἐκ νεκρῶν.

d ἐγείρω. 2 [e] Ἐποίησαν οὖν αὐτῷ δεῖπνον ἐκεῖ, καὶ ἡ
e ποιέω. Μάρθα διηκόνει· ὁ δὲ Λάζαρος, εἷς [b] ἦν τῶν
f κεῖμαι. [f] συνανακειμένων αὐτῷ.

g λαμβάνω. // 3 Ἡ οὖν Μαρία, [g] λαβοῦσα λίτραν μύρου
h ἀλείφω. νάρδου πιστικῆς πολυτίμου, [h] ἤλειψε τοὺς [i] πόδας
i πούς. τοῦ Ἰησοῦ, καὶ [k] ἐξέμαξε ταῖς θριξὶν αὐτῆς τοὺς
k μάσσω. πόδας αὐτοῦ· ἡ δὲ οἰκία [l] ἐπληρώθη ἐκ τῆς ὀσμῆς
l πλέος. τοῦ μύρου.

4 Λέγει οὖν εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, Ἰούδας Σίμωνος Ἰσκαριώτης, ὁ μέλλων αὐτὸν [m] παραδιδόναι,

[m] δίδωμι.

5 Διατί τοῦτο τὸ μύρον οὐκ [n] ἐπράθη τριακοσίων δηναρίων, καὶ [m] ἐδόθη πτωχοῖς;

[n] πιπράω.

6 Εἶπε δὲ τοῦτο, οὐχ ὅτι περὶ τῶν πτωχῶν [o] ἔμελεν αὐτῷ, ἀλλ' ὅτι κλέπτης [b] ἦν, καὶ τὸ γλωσσόκομον εἶχε, καὶ τὰ βαλλόμενα [p] ἐβάσταζεν.

[o] μέλλω.
[p] βαστάζω.

7 Εἶπεν οὖν ὁ Ἰησοῦς, [q] Ἄφες αὐτήν· εἰς τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου [r] τετήρηκεν αὐτό.

[q] ἔω.
[r] τηρέω.

8 Τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε.

9 [s] Ἔγνω οὖν ὄχλος πολὺς ἐκ τῶν Ἰουδαίων ὅτι ἐκεῖ [b] ἐστι· καὶ [a] ἦλθον οὐ διὰ τὸν Ἰησοῦν μόνον, ἀλλ' ἵνα καὶ τὸν Λάζαρον [t] ἴδωσιν ὃν [d] ἔγειρεν ἐκ νεκρῶν.

[s] γινώσκω.
[t] εἴδω.

10 [u] Ἐβουλεύσαντο δὲ οἱ ἀρχιερεῖς ἵνα καὶ τὸν Λάζαρον [x] ἀποκτείνωσιν·

[u] βουλεύω.
[x] κτείνω.

11 Ὅτι πολλοὶ δι' αὐτὸν [y] ὑπῆγον τῶν Ἰουδαίων, καὶ [z] ἐπίστευον εἰς τὸν Ἰησοῦν.

[y] ἄγω.
[z] πιστεύω.

12 ¶ Τῇ [a] ἐπαύριον ὄχλος πολὺς ὁ [b] ἐλθὼν εἰς τὴν ἑορτήν, ἀκούσαντες ὅτι ἔρχεται ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα,

[a] αὔριον.
[b] ἔρχομαι.

13 [c] Ἔλαβον τὰ βαΐα τῶν φοινίκων, καὶ [b] ἐξῆλθον εἰς ὑπάντησιν αὐτῷ, καὶ [d] ἔκραζον, Ὡσαννά, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὁ βασιλεὺς τοῦ Ἰσραήλ.

[c] λαμβάνω.
[d] κράζω.
[e] λέγω.

14 [f] Εὑρὼν δὲ ὁ Ἰησοῦς ὀνάριον, [g] ἐκάθισεν ἐπ' αὐτό, καθὼς [h] ἐστι [i] γεγραμμένον.

[f] εὑρίσκω.
[g] ἵζω.
[h] εἰμί.
[i] γράφω.

15 Μὴ [k] φοβοῦ θύγατερ Σιών· ἰδού, ὁ βασιλεύς σου ἔρχεται, [l] καθήμενος ἐπὶ πῶλον ὄνου.

[k] φοβέομαι.
[l] ἧμαι.

16 Ταῦτα δὲ οὐκ [m] ἔγνωσαν οἱ μαθηταὶ αὐτοῦ τὸ πρῶτον· ἀλλ' ὅτε [n] ἐδοξάσθη ὁ Ἰησοῦς, τότε [o] ἐμνήσθησαν ὅτι ταῦτα [h] ἦν ἐπ' αὐτῷ [i] γεγραμμένα, καὶ ταῦτα ἐποίησαν αὐτῷ.

[m] γινώσκω.
[n] δοξάζω.
[o] μιμνήσκομαι.

17 Ἐμαρτύρει οὖν ὁ ὄχλος ὁ [h] ὢν μετ' αὐτοῦ, ὅτε τὸν Λάζαρον * ἐφώνησεν ἐκ τοῦ μνημείου, καὶ [p] ἔγειρεν αὐτὸν ἐκ νεκρῶν.

* φωνέω.
[p] ἐγείρω.

[q] ἄντα. 18 Διὰ τοῦτο καὶ [q] ὑπήντησεν αὐτῷ ὁ ὄχλος,
[r] ἀκούω. ὅτι [r] ἤκουσε τοῦτο αὐτὸν [s] πεποιηκέναι τὸ
[s] ποιέω. σημεῖον.

19 Οἱ οὖν Φαρισαῖοι εἶπον πρὸς ἑαυτούς,
[t] εἴδω. Θεωρεῖτε ὅτι οὐκ ὠφελεῖτε οὐδέν; [t] ἴδε, ὁ κόσμος
ὀπίσω αὐτοῦ [b] ἀπῆλθεν.

20 ¶ [h] Ἦσαν δέ τινες Ἕλληνες ἐκ τῶν ἀναβαινόντων
[u] κυνέω. ἵνα [u] προσκυνήσωσιν ἐν τῇ ἑορτῇ·

21 Οὗτοι οὖν [b] προσῆλθον Φιλίππῳ τῷ
[x] ἐρωτάω. ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας, καὶ [x] ἠρώτων αὐτόν,
λέγοντες, Κύριε, θέλομεν τὸν Ἰησοῦν [t] ἰδεῖν.

22 [b] Ἔρχεται Φίλιππος καὶ λέγει τῷ Ἀνδρέᾳ·
καὶ πάλιν Ἀνδρέας καὶ Φίλιππος λέγουσι
τῷ Ἰησοῦ.

[y] κρίνω. 23 Ὁ δὲ Ἰησοῦς [y] ἀπεκρίνατο αὐτοῖς, λέγων,
[b] Ἐλήλυθεν ἡ ὥρα ἵνα [n] δοξασθῇ ὁ υἱὸς
τοῦ ἀνθρώπου.

24 Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος
[z] πίπτω. τοῦ σίτου [z] πεσὼν εἰς τὴν γῆν [a] ἀποθάνῃ,
[a] θνήσκω. αὐτὸς μόνος μένει· ἐὰν δὲ [a] ἀποθάνῃ, πολὺν
καρπὸν φέρει.

[b] ὀλλύω. 25 Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ, [b] ἀπολέσει
αὐτήν· καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ
τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν.

[c] ἀκόλουθος. 26 Ἐὰν ἐμοὶ διακονῇ τις, ἐμοὶ [c] ἀκολουθείτω·
καὶ ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς
[d] εἰμί. [d] ἔσται· καὶ ἐάν τις ἐμοὶ διακονῇ, τιμήσει αὐτὸν
ὁ πατήρ.

[e] ταράττω. 27 Νῦν ἡ ψυχή μου [e] τετάρακται· καὶ τί εἴπω;
[f] σόος. Πάτερ, [f] σῶσόν με ἐκ τῆς ὥρας ταύτης, ἀλλὰ
[g] ἔρχομαι. διὰ τοῦτο [g] ἦλθον εἰς τὴν ὥραν ταύτην.

[h] δοκέω. 28 Πάτερ, [h] δόξασόν σου τὸ ὄνομα· [i] Ἦλθεν
[i] ἵστημι. οὖν φωνὴ ἐκ τοῦ οὐρανοῦ, Καὶ [h] ἐδόξασα, καὶ
[k] ἀκούω. πάλιν [h] δοξάσω.

[l] λέγω. 29 Ὁ οὖν ὄχλος ὁ [i] ἑστὼς, καὶ [k] ἀκούσας,
[m] γίνομαι. [l] ἔλεγε βροντὴν [m] γεγονέναι. Ἄλλοι ἔλεγον,
[n] λαλέω. Ἄγγελος αὐτῷ [n] λελάληκεν.

[o] κρίνω. 30 [o] Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν, Οὐ δι'
[p] γίνομαι. ἐμὲ αὕτη ἡ φωνὴ [p] γέγονεν, ἀλλὰ δι' ὑμᾶς.

31 Νῦν κρίσις [d] ἐστὶ τοῦ κόσμου τούτου· νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου [q] ἐκβληθήσεται ἔξω.

[q] βάλλω.

32 [r] Κἀγὼ ἐὰν [s] ὑψωθῶ ἐκ τῆς γῆς, πάντας [t] ἑλκύσω πρὸς ἐμαυτόν.

[r] καὶ ἐγώ.
[s] ὕψος.
[t] ἕλκω.

33 (Τοῦτο δὲ [l] ἔλεγε, σημαίνων ποίῳ θανάτῳ [u] ἔμελλεν ἀποθνήσκειν)

[u] μέλλω.

34 [x] Ἀπεκρίθη αὐτῷ ὁ ὄχλος, Ἡμεῖς [k] ἠκούσαμεν ἐκ τοῦ νόμου ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα· καὶ πῶς σὺ λέγεις ὅτι δεῖ [s] ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου; τίς [e] ἐστιν οὗτος ὁ υἱὸς τοῦ ἀνθρώπου;

[x] κρίνω.

35 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, Ἔτι μικρὸν χρόνον τὸ φῶς μεθ' ὑμῶν [d] ἐστι· περιπατεῖτε ἕως τὸ φῶς ἔχετε, ἵνα μὴ σκοτία ὑμᾶς [y] καταλάβῃ· καὶ ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ, οὐκ [z] οἶδε ποῦ ὑπάγει.

[y] λαμβάνω.
[z] εἴδω.

36 Ἕως τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς [a] γένησθε. Ταῦτα [b] ἐλάλησεν ὁ Ἰησοῦς, καὶ [c] ἀπελθὼν [d] ἐκρύβη ἀπ' αὐτῶν.

[a] γίνομαι.
[b] λαλέω.
[c] ἔρχομαι.
[d] κρύπτω.

37 Τοσαῦτα δὲ αὐτοῦ σημεῖα [e] πεποιηκότος ἔμπροσθεν αὐτῶν, οὐκ ἐπίστευον εἰς αὐτόν·

[e] ποιέω.

38 Ἵνα ὁ λόγος Ἠσαΐου τοῦ προφήτου [f] πληρωθῇ, ὃν εἶπε, Κύριε, τίς [g] ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου τίνι [h] ἀπεκαλύφθη;

[f] πλέος.
[g] πίστις.
[h] καλύπτω.

39 Διὰ τοῦτο οὐκ [i] ἠδύναντο πιστεύειν, ὅτι πάλιν εἶπεν Ἠσαΐας,

[i] δύναμαι.

40 [k] Τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς, καὶ [l] πεπώρωκεν αὐτῶν τὴν καρδίαν· ἵνα μὴ [m] ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ νοήσωσι τῇ καρδίᾳ, καὶ [n] ἐπιστραφῶσι, καὶ [o] ἰάσωμαι αὐτούς.

[k] τυφλός.
[l] πωρός.
[m] εἴδω.
[n] στρέφω.
[o] ἰάομαι.

41 Ταῦτα εἶπεν Ἠσαΐας ὅτε εἶδε τὴν δόξαν αὐτοῦ, καὶ [p] ἐλάλησε περὶ αὐτοῦ.

[p] λαλέω.

42 Ὅμως μέντοι καὶ ἐκ τῶν ἀρχόντων πολλοὶ [q] ἐπίστευσαν εἰς αὐτόν· ἀλλὰ διὰ τοὺς Φαρισαίους οὐχ [r] ὡμολόγουν, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται.

[q] πίστις.
[r] λέγω.

43 [s] Ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον ἤπερ τὴν δόξαν τοῦ Θεοῦ.

[s] ἀγαπάω.

[t] κράζω. 44 Ἰησοῦς δὲ [t] ἔκραξε καὶ εἶπεν, Ὁ πιστεύων
εἰς ἐμὲ, οὐ πιστεύει εἰς ἐμὲ, ἀλλ᾽ εἰς τὸν πέμψαντά με.

45 Καὶ ὁ θεωρῶν ἐμὲ, θεωρεῖ τὸν πέμψαντά με.

36 Ἐγὼ φῶς εἰς τὸν κόσμον [c] ἐλήλυθα, ἵνα
πᾶς ὁ πιστεύων εἰς ἐμὲ, ἐν τῇ σκοτίᾳ μὴ μείνῃ.

47 Καὶ ἐάν τις μου ἀκούσῃ τῶν ῥημάτων, καὶ
μὴ πιστεύσῃ, ἐγὼ οὐ κρίνω αὐτόν. Οὐ γὰρ [c] ἦλθον
[u] σώζω. ἵνα κρίνω τὸν κόσμον, ἀλλ᾽ ἵνα [u] σώσω τὸν
κόσμον.

[x] τίθημι. 48 Ὁ [x] ἀθετῶν ἐμὲ, καὶ μὴ λαμβάνων τὰ
ῥήματά μου, ἔχει τὸν κρίνοντα αὐτόν· ὁ λόγος
ὃν [b] ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

49 Ὅτι ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ [b] ἐλάλησα·
[y] πέμπω. ἀλλ᾽ ὁ [y] πέμψας με πατὴρ, αὐτός μοι ἐντολὴν
[z] δίδωμι. [z] ἔδωκέ τι εἴπω καὶ τί λαλήσω.

[a] εἴδω. 50 Καὶ [a] οἶδα ὅτι ἡ ἐντολὴ αὐτοῦ, ζωὴ αἰώ-
[b] εἰμί. νιός [b] ἐστιν· ἃ οὖν λαλῶ ἐγὼ, καθὼς [c] εἴρηκέ μοι
[c] εἴρω. ὁ πατὴρ, οὕτω λαλῶ.

Κεφ. ιγ΄. Cap. XIII.

[a] εἴδω. ΠΡὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα, [a] εἰδὼς ὁ Ἰησοῦς
[b] ἔρχομαι. ὅτι [b] ἐλήλυθεν αὐτοῦ ἡ ὥρα ἵνα [c] μεταβῇ
[c] βαίνω. ἐκ τοῦ κόσμου τούτου πρὸς τὸν πατέρα, ἀγαπήσας
[d] ἀγάπη. τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ, εἰς τέλος [d] ἠγά-
[e] βάλλω. πησεν αὐτούς.

2 Καὶ δείπνου γενομένου (τοῦ διαβόλου ἤδη [e] βε-
βληκότος εἰς τὴν καρδίαν Ἰούδα Σίμωνος, Ἰσ-
[f] δίδωμι. καριώτου, ἵνα αὐτὸν [f] παραδῷ)

3 [a] Εἰδὼς ὁ Ἰησοῦς ὅτι πάντα [f] δέδωκεν αὐ-
τῷ ὁ πατὴρ εἰς τὰς χεῖρας, καὶ ὅτι ἀπὸ Θεοῦ [b] ἐξ-
ῆλθε, καὶ πρὸς τὸν Θεὸν ὑπάγει·

[h] ἐγείρω. 4 [h] Ἐγείρεται ἐκ τοῦ δείπνου, καὶ τίθησι τὰ ἱ-
[i] λαμβάνω. μάτια καὶ [i] λαβὼν λέντιον, [k] διέζωσεν ἑαυτόν.
[k] ζώννυμι. 5 Εἶτα βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα, καὶ [l] ἤρ-
[l] ἄρχω. ξατο νίπτειν τοὺς πόδας τῶν μαθητῶν, καὶ ἐκ-
[m] εἰμί. μάσσειν τῷ λεντίῳ ᾧ [m] ἦν διεζωσμένος.

6 Ἔρχεται οὖν πρὸς Σίμωνα Πέτρον· καὶ

λέγει αὐτῷ ἐκεῖνος, Κύριε, σύ μου νίπτεις τοὺς
πόδας;
7 [n] Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ, Ὃ ἐγὼ [n] κρίνω.
ποιῶ σὺ οὐκ [a] οἶδας ἄρτι, [o] γνώσῃ δὲ μετὰ ταῦτα. [o] γινώσκω.
8 Λέγει αὐτῷ Πέτρος, Οὐ μὴ [p] νίψῃς τοὺς [p] νίπτω.
[q] πόδας μου εἰς τὸν αἰῶνα. [n] Ἀπεκρίθη αὐτῷ ὁ [q] πούς.
Ἰησοῦς, Ἐὰν μὴ [p] νίψω σε, οὐκ ἔχεις μέρος
μετ' ἐμοῦ.
9 Λέγει αὐτῷ Σίμων Πέτρος, Κύριε, μὴ
τοὺς [q] πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας καὶ
τὴν κεφαλήν.
10 Λέγει αὐτῷ ὁ Ἰησοῦς, Ὁ [r] λελουμένος [r] λούω.
οὐ χρείαν ἔχει ἢ τοὺς [q] πόδας [p] νίψασθαι, ἀλλ'
[m] ἔστι καθαρὸς ὅλος· καὶ ὑμεῖς καθαροί [m] ἐστε,
ἀλλ' οὐχὶ πάντες.
11 [a] Ἤδει γὰρ τὸν [f] παραδιδόντα αὐτόν· διὰ
τοῦτο εἶπεν, Οὐχὶ πάντες καθαροί [m] ἐστε.
12 Ὅτε οὖν [p] ἔνιψε τοὺς [q] πόδας αὐτῶν, καὶ
[i] ἔλαβε τὰ ἱμάτια αὐτοῦ, [f] ἀναπεσὼν πάλιν, [f] πίπτω.
εἶπεν αὐτοῖς, Γινώσκετε τί [t] πεποίηκα ὑμῖν; [t] ποιέω.
13 Ὑμεῖς φωνεῖτέ με, Ὁ διδάσκαλος, καὶ
ὁ κύριος· καὶ καλῶς λέγετε· εἰμὶ γάρ.
14 Εἰ οὖν ἐγὼ [p] ἔνιψα ὑμῶν τοὺς πόδας, ὁ
κύριος καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε
ἀλλήλων νίπτειν τοὺς [q] πόδας.
15 Ὑπόδειγμα γὰρ [f] ἔδωκα ὑμῖν, ἵνα καθὼς
ἐγὼ [t] ἐποίησα ὑμῖν, καὶ ὑμεῖς [t] ποιῆτε.
16 Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐκ [m] ἔστι δοῦλος
[u] μείζων τοῦ κυρίου αὐτοῦ, οὐδὲ ἀπόστολος [u] μέγας.
[u] μείζων τοῦ πέμψαντος αὐτόν.
17 Εἰ ταῦτα [a] οἴδατε, μακάριοί [m] ἐστε ἐὰν
ποιῆτε αὐτά.
18 Οὐ περὶ πάντων ὑμῶν λέγω· ἐγὼ [a] οἶδα
οὓς [x] ἐξελεξάμην· ἀλλ' ἵνα ἡ γραφὴ [y] πληρωθῇ, [x] λέγω.
Ὁ τρώγων μετ' ἐμοῦ τὸν ἄρτον, [z] ἐπῆρεν [y] πλίος.
ἐπ' ἐμὲ τὴν πτέρναν αὐτοῦ. [z] αἴρω.
19 Ἀπ' ἄρτι λέγω ὑμῖν πρὸ τοῦ [a] γενέσθαι, [a] γίνομαι.
ἵνα ὅταν [a] γένηται, [b] πιστεύσητε ὅτι ἐγώ εἰμι. [b] πίστις.
20 Ἀμὴν ἀμὴν λέγω ὑμῖν, Ὁ λαμβάνων
ἐὰν

ἐάν τινα πέμψω, ἐμὲ λαμβάνει· ὁ δὲ ἐμὲ λαμβάνων, λαμβάνει τὸν πέμψαντά με.

21 Ταῦτα εἰπὼν ὁ Ἰησοῦς [c] ἐταράχθη τῷ πνεύματι· καὶ ἐμαρτύρησε, καὶ εἶπεν, Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν [d] παραδώσει με.

22 [e] Ἔβλεπον οὖν εἰς ἀλλήλους οἱ μαθηταὶ, [f] ἀπορούμενοι περὶ τίνος λέγει.

23 [g] Ἦν δὲ ἀνακείμενος εἷς τῶν μαθητῶν αὐτοῦ ἐν τῷ κόλπῳ τοῦ Ἰησοῦ, ὃν [h] ἠγάπα ὁ Ἰησοῦς.

24 Νεύει οὖν τούτῳ Σίμων Πέτρος [i] πυθέσθαι τίς ἂν εἴη περὶ οὗ λέγει.

25 [k] Ἐπιπεσὼν δὲ ἐκεῖνος ἐπὶ τὸ στῆθος τοῦ Ἰησοῦ, λέγει αὐτῷ, Κύριε, τίς [g] ἐστιν;

26 [m] Ἀποκρίνεται ὁ Ἰησοῦς, Ἐκεῖνός [g] ἐστιν ᾧ ἐγὼ [n] βάψας τὸ ψωμίον ἐπιδώσω. Καὶ [n] ἐμβάψας τὸ ψωμίον, [d] δίδωσιν Ἰούδᾳ Σίμωνος Ἰσκαριώτῃ.

27 Καὶ μετὰ τὸ ψωμίον τότε [o] εἰσῆλθεν εἰς ἐκεῖνον ὁ Σατανᾶς. Λέγει οὖν αὐτῷ ὁ Ἰησοῦς, Ὃ ποιεῖς, [p] ποίησον τάχιον.

28 Τοῦτο δὲ οὐδεὶς [q] ἔγνω τῶν ἀνακειμένων πρὸς τί εἶπεν αὐτῷ.

29 Τινὲς γὰρ [r] ἐδόκουν, ἐπεὶ τὸ γλωσσόκομον εἶχεν ὁ Ἰούδας, ὅτι λέγει αὐτῷ ὁ Ἰησοῦς, [s] Ἀγόρασον ὧν χρείαν ἔχομεν εἰς τὴν ἑορτήν· ἢ τοῖς πτωχοῖς ἵνα τι [d] δῷ.

30 [t] Λαβὼν οὖν τὸ ψωμίον ἐκεῖνος, εὐθέως [o] ἐξῆλθεν· [g] ἦν δὲ νύξ.

31 Ὅτε οὖν [o] ἐξῆλθε, λέγει ὁ Ἰησοῦς, Νῦν [r] ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ Θεὸς [r] ἐδοξάσθη ἐν αὐτῷ.

32 Εἰ ὁ Θεὸς [r] ἐδοξάσθη ἐν αὐτῷ, καὶ ὁ Θεὸς δοξάσει αὐτὸν ἐν ἑαυτῷ, καὶ εὐθὺς [r] δοξάσει αὐτόν.

33 Τεκνία, ἔτι μικρὸν μεθ᾽ ὑμῶν εἰμι· ζητήσετέ με· καὶ καθὼς εἶπον τοῖς Ἰουδαίοις, Ὅτι ὅπου ὑπάγω ἐγὼ, ὑμεῖς οὐ [u] δύνασθε [o] ἐλθεῖν· καὶ ὑμῖν λέγω ἄρτι.

[c] ταράσσω.
[d] δίδωμι.
[e] βλέπω.
[f] πορέω.
[g] εἰμί.
[h] ἀγάπη.
[i] πυνθάνομαι.
[k] πίπτω.
[m] κρίνω.
[n] βάπτω.
[o] ἔρχομαι.
[p] ποιέω.
[q] γινώσκω.
[r] δοκέω.
[s] ἀγορά.
[t] λαμβάνω.
[u] δύναμαι.

34 Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγα-
πᾶτε ἀλλήλους· καθὼς [h] ἠγάπησα ὑμᾶς, ἵνα
καὶ ὑμεῖς ἀγαπᾶτε ἀλλήλους.

35 Ἐν τούτῳ [q] γνώσονται πάντες ὅτι ἐμοὶ
μαθηταί [g] ἐστε, ἐὰν ἀγάπην [x] ἔχητε ἐν ἀλλή- [x] ἔχω.
λοις.

36 Λέγει αὐτῷ Σίμων Πέτρος, Κύριε, ποῦ
ὑπάγεις; [y] Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς, Ὅπου [y] κρίνω.
ὑπάγω, οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι, ὕστε-
ρον δὲ ἀκολουθήσεις μοι.

37 Λέγει αὐτῷ ὁ Πέτρος, Κύριε, διὰ τί οὐ
δύναμαί σοι ἀκολουθῆσαι ἄρτι; τὴν ψυχήν μου
ὑπὲρ σοῦ * θήσω. * τίθημι.

38 [y] Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς, Τὴν ψυ-
χήν σου ὑπὲρ ἐμοῦ [x] θήσεις; Ἀμὴν ἀμὴν λέγω
σοι, οὐ μὴ ἀλέκτωρ φωνήσει ἕως οὗ [z] ἀπαρνήσῃ [z] ἀρνέομαι.
με τρίς.

Κεφ. ιδʹ. Cap. XIV.

ΜΗ [a] ταρασσέσθω ὑμῶν ἡ καρδία· πιστεύετε [a] ταράσσω.
εἰς τὸν Θεόν, καὶ εἰς ἐμὲ πιστεύετε.

2 Ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί
[b] εἰσιν· εἰ δὲ μή, εἶπον ἂν ὑμῖν· [c] Πορεύομαι [b] εἰμί.
ἑτοιμάσαι τόπον ὑμῖν. [c] πορεύω.

3 Καὶ ἐὰν [c] πορευθῶ, καὶ ἑτοιμάσω ὑμῖν
τόπον, πάλιν ἔρχομαι, καὶ [d] παραλήψομαι ὑ- [d] λαμβάνω.
μᾶς πρὸς ἐμαυτόν· ἵνα ὅπου εἰμὶ ἐγώ, καὶ ὑ-
μεῖς [b] ἦτε.

4 Καὶ ὅπου ἐγὼ ὑπάγω [e] οἴδατε, καὶ τὴν ὁδὸν [e] εἴδω.
[e] οἴδατε.

5 Λέγει αὐτῷ Θωμᾶς, Κύριε, οὐκ [e] οἴδαμεν
ποῦ ὑπάγεις· καὶ πῶς δυνάμεθα τὴν ὁδὸν [e] εἰδέ-
ναι;

6 Λέγει αὐτῷ ὁ Ἰησοῦς, Ἐγώ εἰμι ἡ ὁδὸς,
καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή· οὐδεὶς ἔρχεται πρὸς τὸν
πατέρα εἰ μὴ δι' ἐμοῦ.

7 Εἰ [f] ἐγνώκειτέ με, καὶ τὸν πατέρα μου [f] ἐγ- [f] γινώσκω.
νώκειτε ἄν· καὶ ἀπ' ἄρτι γινώσκετε αὐτόν, καὶ
[g] ἑωράκατε αὐτόν. [g] ὁράω.

8 Λέγει αὐτῷ Φίλιππος, Κύριε, [h] δεῖξον [h] δεικνύω.
ἡμῖν

ἡμῖν τὸν πατέρα, καὶ ἀρκεῖ ἡμῖν.

9 Λέγει αὐτῷ ὁ Ἰησοῦς, Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ [f] ἔγνωκάς με Φίλιππε; Ὁ [g] ἑωρακὼς ἐμὲ, [g] ἑώρακε τὸν πατέρα· καὶ πῶς σὺ λέγεις, Δεῖξον ἡμῖν τὸν πατέρα;

10 Οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί [b] ἐστι; τὰ ῥήματα ἃ ἐγὼ λαλῶ ὑμῖν, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ· ὁ δὲ πατὴρ ὁ ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ τὰ ἔργα.

11 Πιστεύετέ μοι ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί [b] ἐστιν· εἰ δὲ μὴ, διὰ τὰ ἔργα αὐτὰ πιστεύετέ μοι.

[i] καὶ ἐκεῖνος.
[k] μέγας.

12 Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ, [i] κἀκεῖνος ποιήσει, καὶ [k] μείζονα τούτων ποιήσει· ὅτι ἐγὼ πρὸς τὸν πατέρα μου πορεύομαι.

[l] δοκέω.

13 Καὶ ὅ, τι ἂν αἰτήσετε ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω· ἵνα [l] δοξασθῇ ὁ πατὴρ ἐν τῷ υἱῷ.

14 Ἐάν τι αἰτήσητε ἐν τῷ ὀνόματί μου, ἐγὼ ποιήσω.

[m] τηρέω.

15 Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς [m] τηρήσατε.

[n] ἐρωτάω.
[o] δίδωμι.

16 Καὶ ἐγὼ [n] ἐρωτήσω τὸν πατέρα, καὶ ἄλλον παράκλητον [o] δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα.

17 Τὸ πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται [d] λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτὸ, οὐδὲ γινώσκει αὐτό· ὑμεῖς δὲ γινώσκετε αὐτὸ, ὅτι παρ' ὑμῖν μένει, καὶ ἐν ὑμῖν [b] ἔσται·

[p] ἕω.

18 Οὐκ [p] ἀφήσω ὑμᾶς ὀρφανούς· ἔρχομαι πρὸς ὑμᾶς.

[q] ζάω.

19 Ἔτι μικρὸν, καὶ ὁ κόσμος με οὐκ ἔτι θεωρεῖ· ὑμεῖς δὲ θεωρεῖτέ με, ὅτι ἐγὼ [q] ζῶ, καὶ ὑμεῖς ζήσεσθε.

[r] γινώσκω.
[s] καὶ ἐγώ.

20 Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ [r] γνώσεσθε ὑμεῖς ὅτι ἐγὼ ἐν τῷ πατρί μου, καὶ ὑμεῖς ἐν ἐμοὶ, [s] κἀγὼ ἐν ὑμῖν.

21 Ὁ ἔχων τὰς ἐντολάς μου, καὶ τηρῶν

αὐτὰς, ἐκεῖνός [b] ἐστιν ὁ ἀγαπῶν με· ὁ δὲ ἀγαπῶν με, [t] ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου· καὶ ἐγὼ ἀγαπήσω αὐτὸν, καὶ [u] ἐμφανίσω αὐτῷ ἐμαυτόν.

22 Λέγει αὐτῷ Ἰούδας, (οὐχ ὁ Ἰσκαριώτης) Κύριε, τί [x] γέγονεν ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτὸν, καὶ οὐχὶ τῷ κόσμῳ;

23 [y] Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτῷ, Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει· καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν [z] ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν.

24 Ὁ μὴ ἀγαπῶν με, τοὺς λόγους μου οὐ τηρεῖ· καὶ ὁ λόγος ὃν ἀκούετε, οὐκ [a] ἔστιν ἐμὸς, ἀλλὰ τοῦ πέμψαντός με πατρός.

25 Ταῦτα [b] λελάληκα ὑμῖν παρ' ὑμῖν μένων.

26 Ὁ δὲ παράκλητος, τὸ πνεῦμα τὸ ἅγιον, ὃ πέμψει ὁ πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς [c] διδάξει πάντα, καὶ [d] ὑπομνήσει ὑμᾶς πάντα ἃ εἶπον ὑμῖν.

27 Εἰρήνην [e] ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· οὐ καθὼς ὁ κόσμος δίδωσιν, ἐγὼ δίδωμι ὑμῖν· μὴ [f] ταρασσέσθω ὑμῶν ἡ καρδία, μηδὲ [g] δειλιάτω.

28 [h] Ἠκούσατε ὅτι ἐγὼ εἶπον ὑμῖν, Ὑπάγω, καὶ ἔρχομαι πρὸς ὑμᾶς. Εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἂν ὅτι εἶπον, Πορεύομαι πρὸς τὸν πατέρα· ὅτι ὁ πατήρ μου [i] μείζων μού ἐστι.

29 Καὶ νῦν [k] εἴρηκα ὑμῖν πρὶν [l] γενέσθαι, ἵνα ὅταν γένηται, [m] πιστεύσητε.

39 Οὐκ ἔτι πολλὰ [b] λαλήσω μεθ' ὑμῶν· ἔρχεται γὰρ ὁ τοῦ κόσμου τούτου ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν.

31 Ἀλλ' ἵνα [n] γνῷ ὁ κόσμος ὅτι ἀγαπῶ τὸν πατέρα, καὶ καθὼς [o] ἐνετείλατό μοι ὁ πατὴρ, οὕτω ποιῶ· [p] ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν.

[t] ἀγαπάω.
[u] φαίνω.
[x] γίνομαι.
[y] κρίνω.
[z] ἔρχομαι.
[a] εἰμί.
[b] λαλέω.
[c] διδάσκω.
[d] μιμνήσκομαι.
[e] ἔω.
[f] ταράσσω.
[g] δειλὸς.
[h] ἀκούω.
[i] μέγας.
[k] ἐρέω.
[l] γίνομαι.
[m] πίστις.
[n] γινώσκω.
[o] τέλλω.
[p] ἐγείρω.

Κεφ. ιε'.

Κεφ. ιε. Cap. XV.

Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή, καὶ ὁ πατήρ μου, ὁ γεωργός [a] ἐστι.

[a] εἰμί.

2 Πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπὸν, αἴρει αὐτό· καὶ πᾶν τὸ καρπὸν φέρον, καθαίρει αὐτὸ, ἵνα πλείονα καρπὸν φέρῃ.

3 Ἤδη ὑμεῖς καθαροί [a] ἐστε, διὰ τὸν λόγον ὃν [b] λελάληκα ὑμῖν.

[b] λαλέω.

4 [c] Μείνατε ἐν ἐμοὶ, [d] κἀγὼ ἐν ὑμῖν· καθὼς τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν ἀφ᾽ ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ· οὕτως οὐδὲ ὑμεῖς ἐὰν μὴ ἐν ἐμοὶ [c] μείνητε.

[c] μένω.
[d] καὶ ἐγώ.

5 Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς, τὰ κλήματα· ὁ μένων ἐν ἐμοὶ, [d] κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν· ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν.

6 Ἐὰν μή τις μείνῃ ἐν ἐμοὶ, [e] ἐβλήθη ἔξω ὡς τὸ κλῆμα, καὶ [f] ἐξηράνθη· καὶ συνάγουσιν αὐτὰ, καὶ εἰς πῦρ βάλλουσι, καὶ [g] καίεται.

[e] βάλλω.
[f] ξηρός.
[g] καίω.

7 Ἐὰν [c] μείνητε ἐν ἐμοὶ, καὶ τὰ ῥήματά μου ἐν ὑμῖν [c] μείνῃ, ὃ ἐὰν θέλητε αἰτήσεσθε, καὶ [h] γενήσεται ὑμῖν.

[h] γίνομαι.

8 Ἐν τούτῳ [i] ἐδοξάσθη ὁ πατήρ μου, ἵνα καρπὸν πολὺν φέρετε· καὶ [h] γενήσεσθε ἐμοὶ μαθηταί.

[i] δοκέω.

9 Καθὼς [k] ἠγάπησέ με ὁ πατὴρ, [d] κἀγὼ [k] ἠγάπησα ὑμᾶς· [c] μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ.

[k] ἀγάπη.

10 Ἐὰν τὰς ἐντολάς μου [m] τηρήσητε, [c] μενεῖτε ἐν τῇ ἀγάπῃ μου· καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ πατρός μου [m] τετήρηκα, καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ.

[m] τηρέω.

11 Ταῦτα [b] λελάληκα ὑμῖν ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ, καὶ ἡ χαρὰ ὑμῶν [n] πληρωθῇ.

[n] πλέος.

12 Αὕτη [a] ἐστὶν ἡ ἐντολὴ ἡ ἐμὴ, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς [k] ἠγάπησα ὑμᾶς.

13 [o] Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ [p] θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ.

[o] μέγας.
[p] τίθημι.

14 Ὑμεῖς φίλοι μου [a] ἐστὲ ἐὰν ποιῆτε ὅσα ἐγὼ [q] ἐντέλλομαι ὑμῖν.

[q] τέλλω.

15 Οὐκέτι ὑμᾶς λέγω δούλους· ὅτι ὁ δοῦλος οὐκ [r] οἶδε τί ποιεῖ αὐτοῦ ὁ κύριος· ὑμᾶς δὲ [s] εἴρηκα φίλους ὅτι πάντα ἃ [t] ἤκουσα παρὰ τοῦ πατρός μου, [u] ἐγνώρισα ὑμῖν.

[r] εἴδω. [s] εἴρω. [t] ἀκούω. [u] γνωρίζω.

16 Οὐχ ὑμεῖς με [x] ἐξελέξασθε, ἀλλ' ἐγὼ [x] ἐξελεξάμην ὑμᾶς, καὶ [p] ἔθηκα ὑμᾶς, ἵνα ὑμεῖς [y] ὑπάγητε, καὶ καρπὸν φέρητε, καὶ ὁ καρπὸς ὑμῶν μένῃ· ἵνα ὅ, τι ἂν [z] αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου, [a] δῷ ὑμῖν.

[x] λέγω. [y] ἄγω. [z] αἰτέω. [a] δίδωμι.

17 Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους.

18 Εἰ ὁ κόσμος ὑμᾶς [b] μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν [b] μεμίσηκεν.

[b] μῖσος.

19 Εἰ ἐκ τοῦ κόσμου [c] ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον [d] ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ [c] ἐστὲ, ἀλλ' ἐγὼ [e] ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο [c] μισεῖ ὑμᾶς ὁ κόσμος.

[c] εἰμί. [d] φίλος. [e] λέγω.

20 [f] Μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν, Οὐκ [c] ἔστι δοῦλος [g] μείζων τοῦ κυρίου αὐτοῦ· εἰ ἐμὲ [h] ἐδίωξαν, καὶ ὑμᾶς [h] διώξουσιν· εἰ τὸν λόγον μου [i] ἐτήρησαν, καὶ τὸν ὑμέτερον [i] τηρήσουσιν.

[f] μιμνήσκομαι. [g] μέγας. [h] διώκω. [i] τηρέω.

21 Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ [k] οἴδασι τὸν πέμψαντά με.

[k] εἴδω.

22 Εἰ μὴ [l] ἦλθον καὶ [m] ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν.

[l] ἔρχομαι. [m] λαλέω.

23 Ὁ ἐμὲ [b] μισῶν, καὶ τὸν πατέρα μου [b] μισεῖ.

24 Εἰ τὰ ἔργα μὴ [n] ἐποίησα ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος [n] πεποίηκεν, ἁμαρτίαν οὐκ [o] εἶχον· νῦν δὲ καὶ [p] ἑωράκασι, καὶ [b] μεμισήκασι καὶ ἐμὲ καὶ τὸν πατέρα μου.

[n] ποιέω. [o] ἔχω. [p] ὁράω.

25 Ἀλλ' ἵνα [q] πληρωθῇ ὁ λόγος ὁ [r] γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν, Ὅτι [b] ἐμίσησάν με δωρεάν.

[q] πλέος. [r] γράφω.

26 Ὅταν δὲ [l] ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρὸς, (τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς [s] ἐκπορεύεται) ἐκεῖνος [t] μαρτυρήσει περὶ ἐμοῦ.

[s] πείρω. [t] μάρτυρ.

27 Καὶ ὑμεῖς δὲ [t] μαρτυρεῖτε, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ [c] ἐστε.

Κεφ. ιϛ'. Cap. XVI.

[a] λαλέω.
[b] σκάζω.

Ταῦτα [a] λελάληκα ὑμῖν ἵνα μὴ [b] σκανδαλισθῆτε.

[c] ἄγω.
[d] κτείνω.
[e] δοκέω.

2 [c] Ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ' ἔρχεται ὥρα ἵνα πᾶς ὁ [d] ἀποκτείνας ὑμᾶς [e] δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ.

[f] γινώσκω.

3 Καὶ ταῦτα ποιήσουσιν ὑμῖν ὅτι οὐκ [f] ἔγνωσαν τὸν πατέρα, οὐδὲ ἐμέ.

[g] λαλέω.
[h] ἔρχομαι.
[i] μιμνήσκομαι.
[k] εἰμί.

4 Ἀλλὰ ταῦτα [g] λελάληκα ὑμῖν, ἵνα ὅταν [h] ἔλθῃ ἡ ὥρα, [i] μνημονεύητε αὐτῶν, ὅτι ἐγὼ εἶπον ὑμῖν· ταῦτα δὲ ὑμῖν ἐξ ἀρχῆς οὐκ εἶπον, ὅτι μεθ' ὑμῶν [k] ἤμην.

[l] ἐρωτάω.

5 Νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐδεὶς ἐξ ὑμῶν [l] ἐρωτᾷ με, Ποῦ ὑπάγεις;

[m] πλέος.

6 Ἀλλ' ὅτι ταῦτα [g] λελάληκα ὑμῖν, ἡ λύπη [m] πεπλήρωκεν ὑμῶν τὴν καρδίαν.

[n] πείρω.

7 Ἀλλ' ἐγὼ τὴν ἀλήθειαν λέγω ὑμῖν· συμφέρει ὑμῖν ἵνα ἐγὼ [h] ἀπέλθω· ἐὰν γὰρ μὴ [h] ἀπέλθω, ὁ παράκλητος οὐκ [h] ἐλεύσεται πρὸς ὑμᾶς· ἐὰν δὲ [n] πορευθῶ, πέμψω αὐτὸν πρὸς ὑμᾶς.

8 Καὶ [h] ἐλθῶν ἐκεῖνος ἐλέγξει τὸν κόσμον περὶ ἁμαρτίας καὶ περὶ δικαιοσύνης καὶ περὶ κρίσεως.

9 Περὶ ἁμαρτίας μὲν, ὅτι οὐ πιστεύουσιν εἰς ἐμέ.

10 Περὶ δικαιοσύνης δὲ, ὅτι πρὸς τὸν πατέρα μου ὑπάγω, καὶ οὐκ ἔτι θεωρεῖτέ με·

[o] κρίνω.

11 Περὶ δὲ κρίσεως, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου [o] κέκριται.

12 Ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι.

13 Ὅταν δὲ [h] ἔλθῃ ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀληθείας, [c] ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν· οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἂν ἀκούσῃ, λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν.

14 Ἐκεῖνος ἐμὲ [c] δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ [p] λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν.

[p] λαμβάνω.

15 Πάντα ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστι· διὰ τοῦτο εἶπον ὅτι ἐκ τοῦ ἐμοῦ [p] λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν.

16 Μικρὸν, καὶ οὐ θεωρεῖτέ με· καὶ πάλιν μικρὸν, καὶ [q] ὄψεσθέ με, ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν πατέρα.

[q] ὄπτομαι.

17 Εἶπον οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ πρὸς ἀλλήλους, Τί [k] ἐστι τοῦτο ὃ λέγει ἡμῖν; Μικρὸν, καὶ οὐ θεωρεῖτέ με· καὶ πάλιν μικρὸν, καὶ [q] ὄψεσθέ με· καὶ Ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν πατέρα.

18 [r] Ἔλεγον οὖν, Τοῦτο τί [k] ἐστι ὃ λέγει, τὸ μικρὸν; οὐκ [ſ] οἴδαμεν τί λαλεῖ.

[r] λέγω.
[ſ] εἴδω.

19 [t] Ἔγνω οὖν ὁ Ἰησοῦς ὅτι [u] ἤθελον αὐτὸν [x] ἐρωτᾷν, καὶ εἶπεν αὐτοῖς, Περὶ τούτου ζητεῖτε μετ' ἀλλήλων ὅτι εἶπον, Μικρὸν, καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν, καὶ [q] ὄψεσθέ με;

[t] γινώσκω.
[u] θέλω.
[x] ἐρωτάω.

20 Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι [y] κλαύσετε καὶ [z] θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος [a] χαρήσεται· ὑμεῖς δὲ [b] λυπηθήσεσθε, ἀλλ' ἡ λύπη ὑμῶν εἰς χαρὰν [c] γενήσεται.

[y] κλαίω.
[z] θρῆνος.
[a] χαίρω.
[b] λύπη.
[c] γίνομαι.

21 Ἡ γυνὴ ὅταν τίκτῃ, λύπην ἔχει, ὅτι [d] ἦλθεν ἡ ὥρα αὐτῆς· ὅταν δὲ [e] γεννήσῃ τὸ παιδίον, οὐκ ἔτι μνημονεύει τῆς θλίψεως, διὰ τὴν χαρὰν ὅτι [e] ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον.

[d] ἔρχομαι.
[e] γεννάω.

22 Καὶ ὑμεῖς οὖν λύπην μὲν νῦν ἔχετε· πάλιν δὲ [f] ὄψομαι ὑμᾶς, καὶ [a] χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ' ὑμῶν.

[f] ὄπτομαι.

23 Καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐμὲ οὐκ [g] ἐρωτήσετε οὐδέν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὅσα ἂν [h] αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου, [i] δώσει ὑμῖν.

[g] ἐρωτάω.
[h] αἰτέω.
[i] δίδωμι.

24 Ἕως ἄρτι οὐκ [h] ᾐτήσατε οὐδὲν ἐν τῷ ὀνόματί μου· αἰτεῖτε, καὶ [k] λήψεσθε, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ [l] πεπληρωμένη.

[k] λαμβάνω.
[l] πλέος.

25 Ταῦτα ἐν παροιμίαις [m] λελάληκα ὑμῖν· ἀλλ' ἔρχεται ὥρα ὅτε οὐκ ἔτι ἐν παροιμίαις

[m] λαλέω.

[m] λαλήσω ὑμῖν, ἀλλὰ παῤῥησίᾳ περὶ τοῦ πατρὸς
ἀναγγελῶ ὑμῖν.
26 Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ ὀνόματί μου
αἰτήσεσθε· καὶ οὐ λέγω ὑμῖν ὅτι ἐγὼ [g] ἐρωτήσω
τὸν πατέρα περὶ ὑμῶν.
[n] φίλος. 27 Αὐτὸς γὰρ ὁ πατὴρ [n] φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς
[o] πίστις. ἐμὲ [n] πεφιλήκατε, καὶ [o] πεπιστεύκατε ὅτι
ἐγὼ παρὰ τοῦ Θεοῦ ἐξῆλθον.
28 [d] Ἐξῆλθον παρὰ τοῦ πατρὸς, καὶ [d] ἐλέλυθα
[p] ἴω. εἰς τὸν κόσμον· πάλιν [p] ἀφίημι τὸν κόσμον, καὶ
[q] πείρω. [q] πορεύομαι πρὸς τὸν πατέρα.
29 Λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, Ἴδε
νῦν παῤῥησίᾳ λαλεῖς, καὶ παροιμίαν οὐδεμίαν
λέγεις.
[r] εἴδω. 30 Νῦν [r] οἴδαμεν ὅτι [r] οἶδας πάντα, καὶ οὐ
χρείαν ἔχεις ἵνα τίς σε [g] ἐρωτᾷ· ἐν τούτο πιστεύομεν
ὅτι ἀπὸ Θεοῦ ἐξῆλθες.
[s] κρίνω. 31 [s] Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, Ἄρτι πιστεύετε;
32 Ἰδοὺ ἔρχεται ὥρα, καὶ νῦν [d] ἐλήλυθεν,
[t] σκορπίος. ἵνα [t] σκορπισθῆτε ἕκαστος εἰς τὰ ἴδια, καὶ ἐμὲ
μόνον [p] ἀφῆτε· καὶ οὐκ εἰμὶ μόνος, ὅτι ὁ πατὴρ
μετ' ἐμοῦ ἐστι.
[u] ἔχω. 33 Ταῦτα [m] λελάληκα ὑμῖν ἵνα ἐν ἐμοὶ
[x] θάρσος. εἰρήνην ἔχητε· ἐν τῷ κόσμῳ θλίψιν [u] ἕξετε·
[y] νικάω. ἀλλὰ [x] θαρσεῖτε, ἐγὼ [y] νενίκηκα τὸν κόσμον.

Κεφ. ιζ'. Cap. XVII.

[a] λαλέω. ΤΑῦτα [a] ἐλάλησεν ὁ Ἰησοῦς· καὶ [b] ἐπῆρε τοὺς
[b] αἴρω. ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν, καὶ εἶπε,
[c] ἔρχομαι. Πάτερ, [c] ἐλήλυθεν ἡ ὥρα· δόξασόν σου τὸν υἱὸν,
[d] δοκέω. ἵνα καὶ ὁ υἱὸς σου [d] δοξάσῃ σε.
[e] δίδωμι. 2 Καθὼς [e] ἔδωκας αὐτῷ ἐξουσίαν πάσης
σαρκὸς, ἵνα πᾶν ὃ [e] δέδωκας αὐτῷ, [e] δώσῃ
αὐτοῖς ζωὴν αἰώνιον.
[f] εἰμί. 3 Αὕτη δέ [f] ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί
[g] στέλλω. σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν [g] ἀπέστειλας
Ἰησοῦν Χριστόν.
4 Ἐγώ σε [d] ἐδόξασα ἐπὶ τῆς γῆς· τὸ ἔργον
[h] τέλος. [h] ἐτελείωσα ὃ [e] δέδωκάς μοι ἵνα ποιήσω.

5 Καὶ νῦν [d] δόξασόν με σὺ πάτερ παρὰ σεαυτῷ τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον [f] εἶναι, παρὰ σοι.

6 [i] Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις οὓς [e] δέδωκάς μοι ἐκ τοῦ κόσμου· σοὶ [f] ἦσαν, καὶ ἐμοὶ αὐτοὺς [e] δέδωκας, καὶ τὸν λόγον σου [k] τετηρήκασι.

[i] φαίνω.
[k] τηρέω.

7 Νῦν [l] ἔγνωκαν ὅτι πάντα ὅσα [e] δέδωκάς μοι παρὰ σοῦ [f] ἐστιν·

[l] γινώσκω.

8 Ὅτι τὰ ῥήματα ἃ [e] δέδωκάς μοι, [e] δέδωκα αὐτοῖς· καὶ αὐτοὶ [m] ἔλαβον, καὶ [n] ἔγνωσαν ἀληθῶς ὅτι παρὰ σοῦ [c] ἐξῆλθον, καὶ [o] ἐπίστευσαν ὅτι σύ με [g] ἀπέστειλας.

[m] λαμβάνω.
[n] γινώσκω.
[o] πίστις.

9 Ἐγὼ περὶ αὐτῶν [p] ἐρωτῶ· οὐ περὶ τοῦ κόσμου [p] ἐρωτῶ, ἀλλὰ περὶ ὧν [e] δέδωκάς μοι, ὅτι σοί [f] εἰσι.

[p] ἐρωτάω.

10 Καὶ τὰ ἐμὰ πάντα, σά [f] ἐστι, καὶ τὰ σὰ, ἐμά· καὶ [d] δεδόξασμαι ἐν αὐτοῖς.

11 Καὶ οὐκ ἔτι εἰμὶ ἐν τῷ κόσμῳ, καὶ οὗτοι ἐν τῷ κόσμῳ [f] εἰσι, καὶ ἐγὼ πρός σε ἔρχομαι. Πάτερ ἅγιε, [k] τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου, οὓς [e] δέδωκάς μοι· ἵνα [f] ὦσιν ἓν, καθὼς ἡμεῖς.

12 Ὅτε [f] ἤμην μετ' αὐτῶν ἐν τῷ κόσμῳ, ἐγὼ [k] ἐτήρουν αὐτοὺς ἐν τῷ ὀνόματί σου· οὓς δέδωκάς μοι [r] ἐφύλαξα, καὶ οὐδεὶς ἐξ αὐτῶν [ſ] ἀπώλετο εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας· ἵνα ἡ γραφὴ [t] πληρωθῇ.

[r] φυλάττω.
[ſ] ὀλλύω.
[t] πλέος.

13 Νῦν δὲ πρός σε ἔρχομαι, καὶ ταῦτα λαλῶ ἐν τῷ κόσμῳ, ἵνα ἔχωσι τὴν χαρὰν τὴν ἐμὴν [t] πεπληρωμένην ἐν αὐτοῖς.

14 Ἐγὼ [e] δέδωκα αὐτοῖς τὸν λόγον σου· καὶ ὁ κόσμος [u] ἐμίσησεν αὐτοὺς, ὅτι οὐκ [f] εἰσὶν ἐκ τοῦ κόσμου, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου·

[u] μῖσος.

15 Οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα [k] τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ.

16 Ἐκ τοῦ κόσμου οὐκ [f] εἰσὶ, καθὼς ἐγὼ ἐκ τοῦ κόσμου οὐκ εἰμί.

17 [x] Ἁγίασον

17 [x] Ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου· ὁ λόγος ὁ σὸς, ἀλήθειά [f] ἐστι.

18 Καθὼς ἐμὲ [g] ἀπέστειλας εἰς τὸν κόσμον, [y] κἀγὼ [g] ἀπέστειλα αὐτοὺς εἰς τὸν κόσμον·

19 Καὶ ὑπὲρ αὐτῶν ἐγὼ [x] ἁγιάζω ἐμαυτὸν, ἵνα καὶ αὐτοὶ [f] ὦσιν ἡγιασμένοι ἐν ἀληθείᾳ.

20 Οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευσόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ.

21 Ἵνα πάντες ἓν [f] ὦσι· καθὼς σὺ πάτερ ἐν ἐμοὶ, [y] κἀγὼ ἐν σοὶ, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν [f] ὦσιν· ἵνα ὁ κόσμος πιστεύσῃ ὅτι σύ με [g] ἀπέστειλας.

22 Καὶ ἐγὼ τὴν δόξαν ἣν [c] δέδωκάς μοι, [c] δέδωκα αὐτοῖς· ἵνα [f] ὦσιν ἓν, καθὼς ἡμεῖς ἕν [f] ἐσμεν.

23 Ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοὶ, ἵνα [f] ὦσι [h] τετελειωμένοι εἰς ἓν, καὶ ἵνα γινώσκῃ ὁ κόσμος ὅτι σύ με [g] ἀπέστειλας, καὶ [z] ἠγάπησας αὐτοὺς καθὼς ἐμὲ [z] ἠγάπησας.

24 Πάτερ, οὓς [a] δέδωκάς μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ, [b] κἀκεῖνοι [c] ὦσι μετ' ἐμοῦ· ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμὴν ἣν [a] ἔδωκάς μοι, ὅτι [d] ἠγάπησάς με πρὸ καταβολῆς κόσμου.

25 Πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ [e] ἔγνω· ἐγὼ δέ σε [e] ἔγνων, καὶ οὗτοι [e] ἔγνωσαν ὅτι σύ με [f] ἀπέστειλας.

26 Καὶ [g] ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου, καὶ [g] γνωρίσω· ἵνα ἡ ἀγάπη ἣν ἠγάπησάς με, ἐν αὐτοῖς [c] ᾖ, [h] κἀγὼ ἐν αὐτοῖς.

[x] ἅγιος.
[y] καὶ ἐγώ.
[z] ἀγάπη.
[a] δίδωμι.
[b] καὶ ἐκεῖνος.
[c] εἰμί.
[d] ἀγάπη.
[e] γινώσκω.
[f] στέλλω.
[g] γνωρίζω.
[h] καὶ ἐγώ.

Κεφ. ιη'. Cap. XVIII.

ΤΑῦτα εἰπὼν ὁ Ἰησοῦς [a] ἐξῆλθε σὺν τοῖς μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάῤῥου τῶν Κέδρων, ὅπου [b] ἦν κῆπος, εἰς ὃν [a] εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ.

2 Ἤδει δὲ καὶ Ἰούδας ὁ [c] παραδιδοὺς αὐτὸν τὸν τόπον· ὅτι πολλάκις [d] συνήχθη ὁ Ἰησοῦς ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ.

3 Ὁ οὖν Ἰούδας [e] λαβὼν τὴν σπεῖραν, καὶ ἐκ

τῶν

[a] ἔρχομαι.
[b] εἰμί.
[c] δίδωμι.
[d] ἄγω.
[e] λαμβάνω.

τῶν ἀρχιερέων καὶ Φαρισαίων ὑπηρέτας, ἔρχεται
ἐκεῖ μετὰ φανῶν καὶ λαμπάδων καὶ ὅπλων.

4 Ἰησοῦς οὖν εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ'
αὐτὸν, [a] ἐξελθὼν εἶπεν αὐτοῖς, Τίνα ζητεῖτε;

5 [f] Ἀπεκρίθησαν αὐτῷ, Ἰησοῦν τὸν Ναζω- — [f] κρίνω.
ραῖον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς, Ἐγώ εἰμι. [g] Εἱ- — [g] ἵστημι.
στήκει δὲ καὶ Ἰούδας ὁ [c] παραδιδοὺς αὐτὸν, μετ'
αὐτῶν.

6 Ὡς οὖν εἶπεν αὐτοῖς, Ὅτι ἐγώ εἰμι, [a] ἀ-
πῆλθον εἰς τὰ ὀπίσω, καὶ [h] ἔπεσον χαμαί· — [h] πίπτω.

7 Πάλιν οὖν αὐτοὺς [i] ἐπηρώτησε, Τίνα ζη- — [i] ἐρωτάω.
τεῖτε; Οἱ δὲ εἶπον, Ἰησοῦν τὸν Ναζωραῖον.

8 [f] Ἀπεκρίθη ὁ Ἰησοῦς, Εἶπον ὑμῖν ὅτι ἐγώ
εἰμι· εἰ οὖν ἐμὲ ζητεῖτε, [k] ἄφετε τούτους ὑπά- — [k] ἴω.
γειν.

9 Ἵνα [l] πληρωθῇ ὁ λόγος ὃν εἶπεν, ὅτι Οὓς — [l] πλέος.
[c] δέδωκάς μοι, οὐκ [m] ἀπώλεσα ἐξ αὐτῶν οὐδένα. — [m] ὀλλύω.

10 Σίμων οὖν Πέτρος ἔχων μάχαιραν, [n] εἵλ- — [n] ἕλκω.
κυσεν αὐτὴν, καὶ [o] ἔπαισε τὸν τοῦ ἀρχιερέως δοῦλον, — [o] παίω.
καὶ [p] ἀπέκοψεν αὐτοῦ τὸ ὠτίον τὸ δεξιόν· [b] ἦν — [p] κόπτω.
δὲ ὄνομα τῷ δούλῳ Μάλχος.

11 Εἶπεν οὖν ὁ Ἰησοῦς τῷ Πέτρῳ, Βάλε τὴν
μάχαιράν σου εἰς τὴν θήκην· τὸ ποτήριον ὃ [c] δέ-
δωκέ μοι ὁ πατὴρ, οὐ μὴ [q] πίω αὐτό; — [q] πίνω.

12 Ἡ οὖν σπεῖρα καὶ ὁ χιλίαρχος καὶ οἱ ὑπη-
ρέται τῶν Ἰουδαίων [c] συνέλαβον τὸν Ἰησοῦν, καὶ [r] ἔ- — [r] δέω.
δησ[c] αὐτόν.

13 Καὶ [d] ἀπήγαγον αὐτὸν πρὸς Ἄνναν
πρῶτον· [b] ἦν γὰρ πενθερὸς τοῦ Καϊάφα, ὃς
[b] ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου.

14 [b] Ἦν δὲ Καϊάφας ὁ συμβουλεύσας τοῖς
Ἰουδαίοις ὅτι συμφέρει [r] ἕνα ἄνθρωπον [m] ἀπο-
λέσθαι ὑπὲρ τοῦ λαοῦ.

15 [f] Ἠκολούθει δὲ τῷ Ἰησοῦ Σίμων Πέτρος — [f] ἀκόλουθος.
καὶ ἄλλος μαθητής· ὁ δὲ μαθητὴς ἐκεῖνος [b] ἦν
[t] γνωστὸς τῷ ἀρχιερεῖ, καὶ [a] συνεισῆλθε τῷ Ἰη- — [t] γινώσκω.
σοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως.

16 Ὁ δὲ Πέτρος [g] εἱστήκει πρὸς τῇ θύρᾳ
ἔξω· [a] ἐξῆλθεν οὖν ὁ μαθητὴς ὁ ἄλλος ὃς [b] ἦν

[t] γνωστὸς τῷ ἀρχιερεῖ, καὶ εἶπε τῇ θυρωρῷ, καὶ
[d] εἰσήγαγε τὸν Πέτρον.

17 Λέγει οὖν ἡ παιδίσκη ἡ θυρωρὸς τῷ Πέτρῳ, Μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν [b] εἶ τοῦ ἀνθρώπου τούτου; Λέγει ἐκεῖνος, Οὐκ εἰμί.

18 [g] Εἱστήκεισαν δὲ οἱ δοῦλοι καὶ οἱ ὑπηρέται
[u] ποιέω. ἀνθρακιὰν [u] πεποιηκότες, ὅτι ψύχος [b] ἦν,
[x] θέρω. καὶ [x] ἐθερμαίνοντο· [b] ἦν δὲ μετ' αὐτῶν ὁ Πέτρος
[g] ἑστὼς καὶ [x] θερμαινόμενος.

19 Ὁ οὖν ἀρχιερεὺς [l] ἠρώτησε τὸν Ἰησοῦν περὶ τῶν μαθητῶν αὐτοῦ καὶ περὶ τῆς διδαχῆς αὐτοῦ.

20 [f] Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς, Ἐγὼ παρ-
[y] λαλέω. ρησίᾳ [y] ἐλάλησα τῷ κόσμῳ· ἐγὼ πάντοτε [z] ἐ-
[z] διδάσκω. δίδαξα ἐν τῇ συναγωγῇ καὶ ἐν τῷ ἱερῷ, ὅπου
πάντοθεν οἱ Ἰουδαῖοι συνέρχονται· καὶ ἐν κρυπτῷ
[y] ἐλάλησα οὐδέν.

[*] ἐρωτάω. 21 Τί με [*] ἐπερωτᾷς; [*] ἐπερώτησον τοὺς
[a] ἀκούω. [a] ἀκηκοότας, τί [b] ἐλάλησα αὐτοῖς· ἴδε, οὗτοι
[b] λαλέω. [c] οἴδασιν ἃ εἶπον ἐγώ.
[c] εἴδω. 22 Ταῦτα δὲ αὐτοῦ εἰπόντος, εἷς τῶν ὑπηρετῶν
[d] ἵστημι. [d] παρεστηκὼς [e] ἔδωκε ῥάπισμα τῷ Ἰησοῦ, εἰ-
[e] δίδωμι. πών, Οὕτως [f] ἀποκρίνῃ τῷ ἀρχιερεῖ;
[f] κρίνω. 23 [f] Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς, Εἰ κακῶς
[g] μάρτυρ. [b] ἐλάλησα [g] μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ κα-
λῶς, τί με δέρεις;
[h] στέλλω. 24 [h] Ἀπέστειλεν οὖν αὐτὸν ὁ Ἄννας [i] δεδε-
[i] δέω. μένον πρὸς Καϊάφαν τὸν ἀρχιερέα.
[k] εἰμί. 25 [k] Ἦν δὲ Σίμων Πέτρος [d] ἑστὼς καὶ [l] θερ-
[l] θέρω. μαινόμενος· εἶπον οὖν αὐτῷ, Μὴ καὶ σὺ ἐκ τῶν
[m] ἀρνέομαι μαθητῶν αὐτοῦ [k] εἶ; [m] Ἠρνήσατο ἐκεῖνος, καὶ
εἶπεν, Οὐκ εἰμί.

26 Λέγει εἷς ἐκ τῶν δούλων τοῦ ἀρχιερέως,
[n] κόπτω. συγγενὴς [k] ὢν οὗ [n] ἀπέκοψε Πέτρος τὸ ὠτίον,
Οὐκ ἐγώ σε εἶδον ἐν τῷ κήπῳ μετ' αὐτοῦ;

27 Πάλιν οὖν [m] ἠρνήσατο ὁ Πέτρος, καὶ εὐ-
[o] φωνή. θέως ἀλέκτωρ [o] ἐφώνησεν.

28 Ἄγουσιν οὖν τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊά-
φα εἰς τὸ πραιτώριον· [k] ἦν δὲ πρωΐα, καὶ αὐ-
[p] ἔρχομαι. τοὶ οὐκ [p] εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα
μὴ

μὴ [q] μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ πάσχα.

[q] μιαίνω.

29 [p] Ἐξῆλθεν οὖν ὁ Πιλάτος πρὸς αὐτοὺς ἔξω, καὶ εἶπε, Τίνα κατηγορείαν φέρετε κατὰ τοῦ ἀνθρώπου τούτου;

30 [f] Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ, Εἰ μὴ [k] ἦν οὗτος κακοποιὸς, οὐκ ἂν σοι [e] παρεδώκαμεν αὐτόν.

31 Εἶπεν οὖν αὐτοῖς ὁ Πιλάτος, [f] Λάβετε αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν. Εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι, Ἡμῖν οὐκ [k] ἔξεστιν [t] ἀποκτεῖναι οὐδένα.

[f] λαμβάνω.
[t] κτείνω.

32 Ἵνα ὁ λόγος τοῦ Ἰησοῦ [u] πληρωθῇ, ὃν εἶπε σημαίνων ποίῳ θανάτῳ [x] ἤμελλεν [y] ἀποθνήσκειν.

[u] πληρόω.
[x] μέλλω.
[y] θνήσκω.

33 [p] Εἰσῆλθεν οὖν εἰς τὸ πραιτώριον πάλιν ὁ Πιλάτος, καὶ [o] ἐφώνησε τὸν Ἰησοῦν, καὶ εἶπεν αὐτῷ, Σὺ [k] εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων;

34 [f] Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς, Ἀφ' ἑαυτοῦ σὺ τοῦτο λέγεις, ἢ ἄλλοι σοι εἶπον περὶ ἐμοῦ;

35 [f] Ἀπεκρίθη ὁ Πιλάτος, Μήτι ἐγὼ Ἰουδαῖός εἰμι; τὸ ἔθνος τὸ σὸν καὶ οἱ ἀρχιερεῖς [e] παρέδωκάν σε ἐμοί· τί [z] ἐποίησας;

[z] ποιέω.

36 [a] Ἀπεκρίθη ὁ Ἰησοῦς, Ἡ βασιλεία ἡ ἐμὴ οὐκ [b] ἔστιν ἐκ τοῦ κόσμου τούτου· εἰ ἐκ τοῦ κόσμου τούτου [k] ἦν ἡ βασιλεία ἡ ἐμὴ, οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ [c] ἠγωνίζοντο ἵνα μὴ [d] παραδοθῶ τοῖς Ἰουδαίοις· νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ [b] ἔστιν ἐντεῦθεν.

[a] κρίνω.
[b] εἰμί.
[c] ἀγών.
[d] δίδωμι.

37 Εἶπεν οὖν αὐτῷ ὁ Πιλάτος, Οὐκοῦν βασιλεὺς εἶ σύ; [a] Ἀπεκρίθη ὁ Ἰησοῦς, Σὺ λέγεις ὅτι βασιλεύς εἰμι ἐγώ. ἐγὼ εἰς τοῦτο [e] γεγέννημαι, καὶ εἰς τοῦτο [f] ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ· πᾶς ὁ [b] ὢν ἐκ τῆς ἀληθείας, ἀκούει μου τῆς φωνῆς.

[e] γεννάω.
[f] ἔρχομαι.

38 Λέγει αὐτῷ ὁ Πιλάτος, Τί [b] ἐστιν ἀλήθεια; Καὶ τοῦτο εἰπὼν, πάλιν [f] ἐξῆλθε πρὸς τοὺς Ἰουδαίους, καὶ λέγει αὐτοῖς, Ἐγὼ οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ.

39 [b] Ἔστι δὲ συνήθεια ὑμῖν, ἵνα ἕνα ὑμῖν

[g] λύω. [g] ἀπολύσω ἐν τῷ πάσχα· βούλεσθε οὖν ὑμῖν [g] ἀπο-
λύσω τὸν βασιλέα τῶν Ἰουδαίων;

[h] κράζω. 49 [h] Ἐκραύγασαν οὖν πάλιν πάντες, λέγον-
τες, Μὴ τοῦτον, ἀλλὰ τὸν Βαραββᾶν· [c] ἦν δὲ ὁ
Βαραββᾶς λῃστής.

Κεφ. ιθʹ. Cap. XIX.

[a] λαμβάνω. ΤΟʹτε οὖν [a] ἔλαβεν ὁ Πιλάτος τὸν Ἰησοῦν, καὶ
[b] μάστιξ. [b] ἐμαστίγωσε.

[c] πλέκω. 2 Καὶ οἱ στρατιῶται [c] πλέξαντες στέφανον ἐξ
[d] τίθημι. ἀκανθῶν [d] ἐπέθηκαν αὐτοῦ τῇ κεφαλῇ, καὶ ἱμά-
[e] βάλλω. τιον πορφυροῦν [e] περιέβαλον αὐτόν.

[f] λέγω. 3 Καὶ [f] ἔλεγον, Χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαί-
[g] δίδωμι. ων, καὶ [g] ἐδίδουν αὐτῷ ῥαπίσματα.

[h] ἔρχομαι. 4 [h] Ἐξῆλθεν οὖν πάλιν ἔξω ὁ Πιλάτος, καὶ
λέγει αὐτοῖς, Ἴδε, ἄγω ὑμῖν αὐτὸν ἔξω, ἵνα
[i] γινώσκω. [i] γνῶτε ὅτι ἐν αὐτῷ οὐδεμίαν αἰτίαν εὑρίσκω.

[k] φέρω. 5 [h] Ἐξῆλθεν οὖν ὁ Ἰησοῦς ἔξω, [k] φορῶν τὸν
ἀκάνθινον στέφανον, καὶ τὸ πορφυροῦν ἱμάτιον. Καὶ
[l] εἴδω. λέγει αὐτοῖς, [l] Ἴδε ὁ ἄνθρωπος.

6 Ὅτε οὖν εἶδον αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπη-
[m] κράζω. ρέται, [m] ἐκραύγασαν, λέγοντες, [n] Σταύρωσον,
[n] σταυρός. [n] σταύρωσον. Λέγει αὐτοῖς ὁ Πιλάτος, [a] Λά-
βετε αὐτὸν ὑμεῖς, καὶ [n] σταυρώσατε· ἐγὼ γὰρ οὐχ
εὑρίσκω ἐν αὐτῷ αἰτίαν.

[o] κρίνω. 7 [o] Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι, Ἡμεῖς
[p] θνήσκω. νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ἡμῶν ὀφείλει [p] ἀ-
[q] ποιέω. ποθανεῖν, ὅτι ἑαυτὸν υἱὸν τοῦ Θεοῦ [q] ἐποίησεν.

[r] ἀκούω. 8 Ὅτε οὖν [r] ἤκουσεν ὁ Πιλάτος τοῦτον τὸν
[s] φοβέομαι. λόγον, μᾶλλον [s] ἐφοβήθη.

9 Καὶ [h] εἰσῆλθεν εἰς τὸ πραιτώριον πάλιν,
[t] εἰμί. καὶ λέγει τῷ Ἰησοῦ, Πόθεν [t] εἶ σύ; Ὁ δὲ Ἰη-
σοῦς ἀπόκρισιν οὐκ [g] ἔδωκεν αὐτῷ.

10 Λέγει οὖν αὐτῷ ὁ Πιλάτος, Ἐμοὶ οὐ
λαλεῖς; οὐκ [f] οἶδας ὅτι ἐξουσίαν ἔχω [n] σταυρῶσαί
[u] λύω. σε, καὶ ἐξουσίαν ἔχω [u] ἀπολῦσαί σε;

11 [o] Ἀπεκρίθη ὁ Ἰησοῦς, Οὐκ εἶχες ἐξουσίαν
οὐδεμίαν κατ᾽ ἐμοῦ, εἰ μὴ [t] ἦν σοι [g] δεδομένον
[x] μέγας. ἄνωθεν· διὰ τοῦτο ὁ [g] παραδιδούς μέ σοι [x] μεί-
ζονα ἁμαρτίαν ἔχει.

12 Ἐκ τούτου ἐζήτει ὁ Πιλάτος [y] ἀπολῦσαι αὐτόν· οἱ δὲ Ἰουδαῖοι [m] ἔκραζον, λέγοντες, Ἐὰν τοῦτον [y] ἀπολύσῃς, οὐκ [t] εἶ φίλος τοῦ Καίσαρος· πᾶς ὁ βασιλέα αὐτὸν ποιῶν, ἀντιλέγει τῷ Καίσαρι.

[y] λύω.

13 Ὁ οὖν Πιλάτος ἀκούσας τοῦτον τὸν λόγον, [z] ἤγαγεν ἔξω τὸν Ἰησοῦν· καὶ [a] ἐκάθισεν ἐπὶ τοῦ βήματος εἰς τόπον λεγόμενον Λιθόστρωτον, Ἑβραϊστὶ δὲ Γαββαθᾶ.

[z] ἄγω.
[a] ἵζω.

14 [b] Ἦν δὲ παρασκευὴ τοῦ πάσχα, ὥρα δὲ ὡσεὶ ἕκτη· καὶ λέγει τοῖς Ἰουδαίοις, [c] Ἴδε ὁ βασιλεὺς ὑμῶν.

[b] εἰμί.
[c] εἴδω.

15 Οἱ δὲ [d] ἐκραύγασαν, [e] Ἆρον, [e] ἆρον, [f] σταύρωσον αὐτόν. Λέγει αὐτοῖς ὁ Πιλάτος, Τὸν βασιλέα ὑμῶν [f] σταυρώσω; [g] Ἀπεκρίθησαν οἱ ἀρχιερεῖς, Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα.

[d] κράζω.
[e] αἴρω.
[f] σταυρόω.
[g] κρίνω.

16 Τότε οὖν [h] παρέδωκεν αὐτὸν αὐτοῖς ἵνα [f] σταυρωθῇ· [i] παρέλαβον δὲ τὸν Ἰησοῦν καὶ [k] ἀπήγαγον.

[h] δίδωμι.
[i] λαμβάνω.
[k] ἄγω.

17 Καὶ βαστάζων τὸν σταυρὸν αὐτοῦ [l] ἐξῆλθεν εἰς τὸν λεγόμενον Κρανίου τόπον, ὃς λέγεται Ἑβραϊστὶ Γολγοθᾶ.

[l] ἔρχομαι.

18 Ὅπου αὐτὸν [f] ἐσταύρωσαν, καὶ μετ᾽ αὐτοῦ ἄλλους δύο ἐντεῦθεν καὶ ἐντεῦθεν, μέσον δὲ τὸν Ἰησοῦν.

19 [m] Ἔγραψε δὲ καὶ τίτλον ὁ Πιλάτος, καὶ [n] ἔθηκεν ἐπὶ τοῦ σταυροῦ. [b] ἦν δὲ [m] γεγραμμένον, ἸΗΣΟΥΣ Ὁ ΝΑΖΩΡΑΙΟΣ Ὁ ΒΑΣΙΛΕΥΣ ΤΩΝ ἸΟΥΔΑΙΩΝ.

[m] γράφω.
[n] τίθημι.

20 Τοῦτον οὖν τὸν τίτλον πολλοὶ [o] ἀνέγνωσαν τῶν Ἰουδαίων· ὅτι ἐγγὺς [b] ἦν τῆς πόλεως ὁ τόπος ὅπου [f] ἐσταυρώθη ὁ Ἰησοῦς· καὶ [b] ἦν [m] γεγραμμένον Ἑβραϊστί, Ἑλληνιστί, Ῥωμαϊστί.

[o] γινώσκω.

21 [p] Ἔλεγον οὖν τῷ Πιλάτῳ οἱ ἀρχιερεῖς τῶν Ἰουδαίων· Μὴ γράφε Ὁ βασιλεὺς τῶν Ἰουδαίων· ἀλλ᾽ ὅτι ἐκεῖνος εἶπε, Βασιλεύς εἰμι τῶν Ἰουδαίων.

[p] λέγω.

22 [g] Ἀπεκρίθη ὁ Πιλάτος, Ὃ [m] γέγραφα, [m] γέγραφα.

23 Οἱ οὖν στρατιῶται ὅτε [f] ἐσταύρωσαν τὸν Ἰησοῦν, [q] ἔλαβον τὰ ἱμάτια αὐτοῦ (καὶ [r] ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος) καὶ τὸν χιτῶνα· [b] ἦν δὲ ὁ χιτὼν ἄῤῥαφος, ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι᾽ ὅλου.

[q] λαμβάνω.
[r] ποιέω.

24 Εἶπον οὖν πρὸς ἀλλήλους, Μὴ [s] σχίσωμεν αὐτὸν, ἀλλὰ [t] λάχωμεν περὶ αὐτοῦ, τίνος [b] ἔσται· ἵνα ἡ γραφὴ [u] πληρωθῇ ἡ λέγουσα, [x] Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου [y] ἔβαλον κλῆρον. Οἱ μὲν οὖν στρατιῶται ταῦτα [r] ἐποίησαν.

[s] σχίζω.
[t] λαγχάνω.
[u] πλέος.
[x] μερίζω.
[y] βάλλω.

25 [z] Εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή.

[z] ἵστημι.

26 Ἰησοῦς οὖν [c] ἰδὼν τὴν μητέρα, καὶ τὸν μαθητὴν [z] παρεστῶτα ὃν [a] ἠγάπα, λέγει τῇ μητρὶ αὐτοῦ, Γύναι, ἰδοὺ ὁ υἱός σου.

[a] ἀγαπάω.

27 Εἶτα λέγει τῷ μαθητῇ, Ἰδοὺ ἡ μήτηρ σου. Καὶ ἀπ᾽ ἐκείνης τῆς ὥρας [b] ἔλαβεν αὐτὴν ὁ μαθητὴς εἰς τὰ ἴδια.

[b] λαμβάνω.

28 Μετὰ τοῦτο [c] εἰδὼς ὁ Ἰησοῦς ὅτι πάντα ἤδη [d] τετέλεσται, ἵνα [d] τελειωθῇ ἡ γραφὴ, λέγει, Διψῶ.

[c] εἴδω.
[d] τέλος.

29 Σκεῦος οὖν [e] ἔκειτο ὄξους μεστόν· οἱ δὲ, [f] πλήσαντες σπόγγον ὄξους, καὶ ὑσσώπῳ περιθέντες, [g] προσήνεγκαν αὐτοῦ τῷ στόματι.

[e] κεῖμαι.
[f] πλέος.
[g] φέρω.

30 Ὅτε οὖν [b] ἔλαβε τὸ ὄξος ὁ Ἰησοῦς, εἶπε, [d] Τετέλεσται· καὶ κλίνας τὴν κεφαλὴν, [h] παρέδωκε τὸ πνεῦμα.

[h] δίδωμι.

31 ¶ Οἱ οὖν Ἰουδαῖοι, ἵνα μὴ [i] μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν τῷ σαββάτῳ, ἐπεὶ παρασκευὴ [k] ἦν, ([k] ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνη τοῦ σαββάτου) [l] ἠρώτησαν τὸν Πιλάτον ἵνα [m] κατεαγῶσιν αὐτῶν τὰ σκέλη, καὶ [n] ἀρθῶσιν.

[i] μένω.
[k] εἰμί.
[l] ἐρωτάω.
[m] ἄγω.
[n] αἴρω.

32 [o] Ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ μὲν πρώτου [m] κατέαξαν τὰ σκέλη καὶ τοῦ ἄλλου τοῦ [p] συσταυρωθέντος αὐτῷ.

[o] ἔρχομαι.
[p] σταυρός.

33 Ἐπὶ δὲ τὸν Ἰησοῦν [o] ἐλθόντες, ὡς [c] εἶδον

αὐτὸν ἤδη [q] τεθνηκότα, οὐ [m] κατέαξαν αὐτοῦ τὰ σκέλη·

34 Ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν [r] ἔνυξε, καὶ εὐθὺς [o] ἐξῆλθεν αἷμα καὶ ὕδωρ.

35 Καὶ ὁ [s] ἑωρακὼς [t] μεμαρτύρηκε, καὶ ἀληθινὴ αὐτοῦ [k] ἐστὶν ἡ μαρτυρία· [u] κἀκεῖνος [c] οἶδεν ὅτι ἀληθῆ λέγει, ἵνα καὶ ὑμεῖς [x] πιστεύσητε.

36 [y] Ἐγένετο γὰρ ταῦτα ἵνα ἡ γραφὴ [f] πληρωθῇ, Ὀστοῦν οὐ [z] (συντριβήσεται) αὐτοῦ.

37 Καὶ πάλιν ἑτέρα γραφὴ λέγει, [a] Ὄψονται εἰς ὃν [b] ἐξεκέντησαν.

38 ¶ Μετὰ δὲ ταῦτα [c] ἠρώτησε τὸν Πιλάτον ὁ Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, (ὢν μαθητὴς τοῦ Ἰησοῦ, [d] κεκρυμμένος δὲ διὰ τὸν φόβον τῶν Ἰουδαίων) ἵνα [e] ἄρῃ τὸ σῶμα τοῦ Ἰησοῦ· καὶ [f] ἐπέτρεψεν ὁ Πιλάτος· [g] ἦλθεν οὖν καὶ [e] ἦρε τὸ σῶμα τοῦ Ἰησοῦ.

39 [g] Ἦλθε δὲ καὶ Νικόδημος (ὁ [g] ἐλθὼν πρὸς τὸν Ἰησοῦν νυκτὸς τὸ πρῶτον) φέρων [*] μίγμα σμύρνης καὶ ἀλόης ὡσεὶ λίτρας ἑκατόν.

40 [h] Ἔλαβον οὖν τὸ σῶμα τοῦ Ἰησοῦ, καὶ [i] ἔδησαν αὐτὸ ὀθονίοις μετὰ τῶν ἀρωμάτων, καθὼς ἔθος ἐστὶ τοῖς Ἰουδαίοις ἐνταφιάζειν.

41 [k] Ἦν δὲ ἐν τῷ τόπῳ ὅπου [l] ἐσταυρώθη, κῆπος, καὶ ἐν τῷ κήπῳ μνημεῖον καινόν, ἐν ᾧ οὐδέπω οὐδεὶς [m] ἐτέθη.

42 Ἐκεῖ οὖν διὰ τὴν παρασκευὴν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν τὸ μνημεῖον, [m] ἔθηκαν τὸν Ἰησοῦν.

Κεφ. κʹ. Cap. XX.

Τῇ δὲ μιᾷ τῶν σαββάτων Μαρία ἡ Μαγδαληνὴ ἔρχεται πρωῒ (σκοτίας ἔτι [a] οὔσης,) εἰς τὸ μνημεῖον, καὶ βλέπει τὸν λίθον [b] ἠρμένον ἐκ τοῦ μνημείου.

2 Τρέχει οὖν καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον, καὶ πρὸς τὸν ἄλλον μαθητὴν ὃν ἐφίλει ὁ Ἰησοῦς, καὶ λέγει αὐτοῖς, [b] Ἦραν τὸν Κύριον ἐκ τοῦ μνημείου, καὶ οὐκ [c] οἴδαμεν ποῦ [d] ἔθηκαν αὐτόν.

[q] θνήσκω.
[r] νύσσω.
[s] ὁράω.
[t] μάρτυρ.
[u] καὶ ἐκεῖνος.
[x] πίστις.
[y] γίνομαι.
[z] τρίβω.
[a] ὄπτομαι.
[b] κεντέω.
[c] ἐρωτάω.
[d] κρύπτω.
[e] αἴρω.
[f] τρέπω.
[g] ἔρχομαι.
[*] μιγνύω.
[h] λαμβάνω.
[i] δέω.
[k] εἰμί.
[l] σταυρός.
[m] τίθημι.
[a] εἰμί.
[b] αἴρω.
[c] εἴδω.
[d] τίθημι.

c ἔρχομαι. 3 c Ἐξῆλθεν οὖν ὁ Πέτρος καὶ ὁ ἄλλος μαθητὴς,
καὶ c ἤρχοντο εἰς τὸ μνημεῖον.

f τρέχω. 4 f Ἔτρεχον δὲ οἱ δύο ὁμοῦ· καὶ ὁ ἄλλος μαθητὴς
f προέδραμε τάχιον τοῦ Πέτρου, καὶ c ἦλθε
πρῶτος εἰς τὸ μνημεῖον.

g κύπτω. 5 Καὶ g παρακύψας βλέπει κείμενα τὰ ὀθόνια·
οὐ μέντοι c εἰσῆλθεν.

6 Ἔρχεται οὖν Σίμων Πέτρος ἀκολουθῶν
αὐτῷ, καὶ c εἰσῆλθεν εἰς τὸ μνημεῖον, καὶ θεωρεῖ
τὰ ὀθόνια κείμενα·

7 Καὶ τὸ σουδάριον ὃ a ἦν ἐπὶ τῆς κεφαλῆς
αὐτοῦ, οὐ μετὰ τῶν ὀθονίων κείμενον, ἀλλὰ χωρὶς
h τύλος. h ἐντετυλιγμένον εἰς ἕνα τόπον.

8 Τότε οὖν c εἰσῆλθε καὶ ὁ ἄλλος μαθητὴς
ὁ c ἐλθὼν πρῶτος εἰς τὸ μνημεῖον, καὶ εἶδε,
i πίστις. καὶ i ἐπίστευσεν.

9 Οὐδέπω γὰρ c ᾔδεισαν τὴν γραφὴν, ὅτι δεῖ
k ἵστημι. αὐτὸν ἐκ νεκρῶν k ἀναστῆναι.

10 c Ἀπῆλθον οὖν πάλιν πρὸς ἑαυτοὺς οἱ
μαθηταί.

11 Μαρία δὲ k εἱστήκει πρὸς τὸ μνημεῖον
l κλαίω. l κλαίουσα ἔξω· ὡς οὖν l ἔκλαιε, παρέκυψεν εἰς
τὸ μνημεῖον.

12 Καὶ θεωρεῖ δύο ἀγγέλους ἐν λευκοῖς,
m ἕζω. m καθεζομένους, n ἕνα πρὸς τῇ κεφαλῇ, καὶ
n εἷς. n ἕνα πρὸς τοῖς o ποσὶν, ὅπου p ἔκειτο τὸ σῶμα
o πούς. τοῦ Ἰησοῦ.

p κεῖμαι. 13 Καὶ λέγουσιν αὐτῇ ἐκεῖνοι, Γύναι, τί κλαίεις;
Λέγει αὐτοῖς, Ὅτι b ἦραν τὸν κύριόν μου, καὶ
οὐκ c οἶδα ποῦ d ἔθηκαν αὐτόν.

q στρέφω. 14 Καὶ ταῦτα εἰποῦσα, q ἐστράφη εἰς τὰ ὀπίσω,
καὶ θεωρεῖ τὸν Ἰησοῦν a ἑστῶτα· καὶ οὐκ c ᾔδει
ὅτι ὁ Ἰησοῦς a ἐστι.

15 Λέγει αὐτῇ ὁ Ἰησοῦς, Γύναι, τί κλαίεις;
τίνα ζητεῖς; Ἐκείνη, δοκοῦσα ὅτι ὁ κηπουρός
r βαστάζω. ἐστι, λέγει αὐτῷ, Κύριε, εἰ σὺ r ἐβάστασας αὐτὸν,
s καὶ ἐγώ. εἰπέ μοι ποῦ αὐτὸν d ἔθηκας· s κἀγὼ αὐτὸν
b ἀρῶ.

16 Λέγει αὐτῇ ὁ Ἰησοῦς, Μαρία. q Στρα-

φεῖσα ἐκείνη λέγει αὐτῷ, Ῥαββουνὶ, ὃ λέγεται, Διδάσκαλε.

17 Λέγει αὐτῇ ὁ Ἰησοῦς, Μή μου ἅπτου· (οὔπω γὰρ [t] ἀναβέβηκα πρὸς τὸν πατέρα μου) [u] πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου, καὶ εἰπὲ αὐτοῖς, Ἀναβαίνω πρὸς τὸν πατέρα μου, καὶ πατέρα ὑμῶν, Θεόν μου καὶ Θεὸν ὑμῶν.

18 Ἔρχεται Μαρία ἡ Μαγδαληνὴ ἀπαγγέλλουσα τοῖς μαθηταῖς ὅτι [x] ἑώρακε τὸν Κύριον, καὶ ταῦτα εἶπεν αὐτῇ.

19 ¶ [a] Οὔσης οὖν ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν σαββάτων, καὶ τῶν θυρῶν [y] κεκλεισμένων ὅπου [a] ἦσαν οἱ μαθηταὶ [z] συνηγμένοι, διὰ τὸν φόβον τῶν Ἰουδαίων, [a] ἦλθεν ὁ Ἰησοῦς· καὶ [b] ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς, Εἰρήνη ὑμῖν.

20 Καὶ τοῦτο εἰπὼν, [c] ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ· [d] ἐχάρησαν οὖν οἱ μαθηταὶ [e] ἰδόντες τὸν Κύριον.

21 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν, Εἰρήνη ὑμῖν· καθὼς [f] ἀπέσταλκέ με ὁ πατὴρ, [g] κἀγὼ πέμπω ὑμᾶς.

22 Καὶ τοῦτο εἰπὼν, [h] ἐνεφύσησε καὶ λέγει αὐτοῖς, [i] Λάβετε πνεῦμα ἅγιον.

23 Ἄν τινων [k] ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων [l] κρατῆτε, [i] κεκράτηνται.

24 Θωμᾶς δὲ εἷς ἐκ τῶν δώδεκα, ὁ λεγόμενος Δίδυμος, οὐκ [m] ἦν μετ' αὐτῶν ὅτε ἦλθεν ὁ Ἰησοῦς.

25 [n] Ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταὶ, [o] Ἑωράκαμεν τὸν Κύριον. Ὁ δὲ εἶπεν αὐτοῖς, Ἐὰν μὴ [e] ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω.

26 Καὶ μεθ' ἡμέρας ὀκτὼ, πάλιν [m] ἦσαν ἔσω οἱ μαθηταὶ αὐτοῦ, καὶ Θωμᾶς μετ' αὐτῶν· ἔρχεται ὁ Ἰησοῦς τῶν θυρῶν [p] κεκλεισμένων, καὶ [b] ἔστη εἰς τὸ μέσον, καὶ εἶπεν, Εἰρήνη ὑμῖν.

[t] βαίνω.
[u] πορεύο.
[x] ὁράω.
[y] κλείω.
[z] ἄγω.
[a] ἔρχομαι.
[b] ἵστημι.
[c] δεικνύω.
[d] χαίρω.
[e] εἴδω.
[f] στέλλω.
[g] καὶ ἐγώ.
[h] φυσάω.
[i] λαμβάνω.
[k] ἕω.
[l] κρατέω.
[m] εἰμί.
[n] λέγω.
[o] ὁράω.
[p] κλείω.

27 Εἶτα λέγει τῷ Θωμᾷ, Φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ [e] ἴδε τὰς χεῖράς μου· καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου· καὶ μὴ [q] γίνου ἄπιστος, ἀλλὰ πιστός.

[q] γίνομαι.

28 [r] Ἀπεκρίθη ὁ Θωμᾶς καὶ εἶπεν αὐτῷ, Ὁ Κύριός μου, καὶ ὁ Θεός μου.

[r] κρίνω.

29 Λέγει αὐτῷ ὁ Ἰησοῦς, Ὅτι [o] ἑώρακάς με, Θωμᾶ, [s] πεπίστευκας· μακάριοι οἱ μὴ [e] ἰδόντες, καὶ [s] πιστεύσαντες.

[s] πίστις.

30 Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα [t] ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι [u] γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ.

[t] ποιέω.

[u] γράφω.

31 Ταῦτα δὲ [n] γέγραπται ἵνα [s] πιστεύσητε ὅτι ὁ Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, καὶ ἵνα [s] πιστεύοντες, ζωὴν [x] ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.

[x] ἔχω.

Κεφ. κα΄. Cap. XXI.

Μετὰ ταῦτα [a] ἐφανέρωσεν ἑαυτὸν πάλιν ὁ Ἰησοῦς τοῖς μαθηταῖς ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος· [a] ἐφανέρωσε δὲ οὕτως.

[a] φαίνω.

2 [b] Ἦσαν ὁμοῦ Σίμων Πέτρος καὶ Θωμᾶς ὁ λεγόμενος Δίδυμος, καὶ Ναθαναὴλ ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας, καὶ οἱ τοῦ Ζεβεδαίου, καὶ ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύο.

[b] εἰμί.

3 Λέγει αὐτοῖς Σίμων Πέτρος, Ὑπάγω ἁλιεύειν. Λέγουσιν αὐτῷ, [c] Ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοί. [c] Ἐξῆλθον, καὶ [d] ἀνέβησαν εἰς τὸ πλοῖον εὐθύς· καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ [e] ἐπίασαν οὐδέν.

[c] ἔρχομαι.

[d] βαίνω.

[e] πιάζω.

4 Πρωΐας δὲ ἤδη [f] γινομένης [g] ἔστη ὁ Ἰησοῦς εἰς τὸν αἰγιαλόν· οὐ μέντοι [h] ᾔδεισαν οἱ μαθηταὶ ὅτι Ἰησοῦς [b] ἐστι.

[f] γίνομαι.

[g] ἵστημι.

[h] εἴδω.

5 Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς, Παιδία, μή τι προσφάγιον ἔχετε; [i] Ἀπεκρίθησαν αὐτῷ, Οὔ.

[i] κρίνω.

6 Ὁ δὲ εἶπεν αὐτοῖς, Βάλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ [k] εὑρήσετε. [l] Ἔβαλον οὖν, καὶ οὐκ ἔτι αὐτὸ [m] ἑλκύσαι [n] ἴσχυσαν, ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων.

[k] εὑρίσκω.

[l] βάλλω.

[m] ἕλκω.

[n] ἰσχύς.

7 Λέγει οὖν ὁ μαθητὴς ἐκεῖνος ὃν [o] ἠγάπα ὁ Ἰησοῦς τῷ Πέτρῳ, Ὁ Κύριός ἐστι. Σίμων οὖν Πέτρος, ἀκούσας ὅτι ὁ Κύριός ἐστι, τὸν [p] ἐπενδύτην

[o] ἀγαπάω.

[p] δύω.

δύτην [q] διεζώσατο, (ἦν γὰρ γυμνὸς) [l] καὶ ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν.

[q] ζώννυμι.

8 Οἱ δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ [r] ἦλθον, (οὐ γὰρ ἦσαν μακρὰν ἀπὸ τῆς γῆς, ἀλλ' ὡς ἀπὸ πηχῶν διακοσίων) σύροντες τὸ δίκτυον τῶν ἰχθύων.

[r] ἔρχομαι.

9 Ὡς οὖν [l] ἀπέβησαν εἰς τὴν γῆν, βλέπουσιν ἀνθρακιὰν κειμένην, καὶ ὀψάριον ἐπικείμενον, καὶ ἄρτον.

10 Λέγει αὐτοῖς ὁ Ἰησοῦς, [f] Ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων ὧν [c] ἐπιάσατε νῦν.

[f] φέρω.

11 [l] Ἀνέβη Σίμων Πέτρος, καὶ [m] εἵλκυσε τὸ δίκτυον ἐπὶ τῆς γῆς, μεστὸν ἰχθύων μεγάλων ἑκατὸν πεντηκοντατριῶν· καὶ τοσούτων ὄντων οὐκ [t] ἐσχίσθη τὸ δίκτυον.

[t] σχίζω.

12 Λέγει αὐτοῖς ὁ Ἰησοῦς, Δεῦτε, [u] ἀριστήσατε. Οὐδεὶς δὲ ἐτόλμα τῶν μαθητῶν [x] ἐξετάσαι αὐτὸν, Σὺ τίς εἶ; [h] εἰδότες ὅτι ὁ Κύριός ἐστιν.

[u] ἄριστον.
[x] ἐτάζω.

13 Ἔρχεται οὖν ὁ Ἰησοῦς, καὶ λαμβάνει τὸν ἄρτον καὶ [y] δίδωσιν αὐτοῖς, καὶ τὸ ὀψάριον ὁμοίως.

[y] δίδωμι.

14 Τοῦτο ἤδη τρίτον [a] ἐφανερώθη ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ, [z] ἐγερθεὶς ἐκ νεκρῶν.

[z] ἐγείρω.

15 Ὅτε οὖν [a] ἠρίστησαν, λέγει τῷ Σίμωνι Πέτρῳ ὁ Ἰησοῦς, Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλεῖον τούτων; Λέγει αὐτῷ, Ναὶ Κύριε· σὺ [b] οἶδας ὅτι φιλῶ σε· Λέγει αὐτῷ, Βόσκε τὰ ἀρνία μου.

[a] ἄριστον.

16 Λέγει αὐτῷ πάλιν δεύτερον, Σίμων Ἰωνᾶ, ἀγαπᾷς με; Λέγει αὐτῷ, Ναὶ Κύριε· σὺ [b] οἶδας ὅτι φιλῶ σε· Λέγει αὐτῷ, Ποίμαινε τὰ πρόβατά μου.

[b] εἴδω.

17 Λέγει αὐτῷ τὸ τρίτον, Σίμων Ἰωνᾶ, φιλεῖς με; [c] Ἐλυπήθη ὁ Πέτρος ὅτι εἶπεν αὐτῷ τὸ τρίτον, Φιλεῖς με; καὶ εἶπεν αὐτῷ, Κύριε, σὺ πάντα [b] οἶδας, σὺ γινώσκεις ὅτι φιλῶ σε. Λέγει αὐτῷ ὁ Ἰησοῦς, Βόσκε τὰ πρόβατά μου.

[c] λύπη.

18 Ἀμὴν ἀμὴν λέγω σοι, ὅτε * ἦς νεώτερος [d] ἐζώννυες σεαυτὸν, καὶ περιεπάτεις ὅπου [e] ἤθελες· ὅταν δὲ [f] γηράσῃς, ἐκτενεῖς τὰς

* εἰμί.
[d] ζώννυμι.
[e] θέλω.
[f] γῆρας.

χεῖρας

[g] φέρω.

χεῖράς σου, καὶ ἄλλος σε ζώσει, καὶ [g] οἴσει ὅπου οὐ θέλεις.

19 Τοῦτο δὲ εἶπε, σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν Θεόν· καὶ τοῦτο εἰπὼν, λέγει αὐτῷ, Ἀκολούθει μοι.

[h] στρέφω.
[i] ἀγαπάω.
[k] πίπτω.
[l] δίδωμι.

20 [h] Ἐπιστραφεὶς δὲ ὁ Πέτρος βλέπει τὸν μαθητὴν ὃν [i] ἠγάπα ὁ Ἰησοῦς ἀκολουθοῦντα· ὃς καὶ [k] ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ, καὶ εἶπε, Κύριε, τίς ἐστιν ὁ [l] παραδιδούς σε;

21 Τοῦτον [b] ἰδὼν ὁ Πέτρος λέγει τῷ Ἰησοῦ, Κύριε, οὗτος δὲ τί;

22 Λέγει αὐτῷ ὁ Ἰησοῦς, Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρός σε; σὺ ἀκολούθει μοι.

[m] ἔρχομαι.

23 [m] Ἐξῆλθεν οὖν ὁ λόγος οὗτος εἰς τοὺς ἀδελφοὺς, ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει· καὶ οὐκ εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι οὐκ ἀποθνήσκει· ἀλλ᾽, Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρός σε;

[n] εἰμί.

24 Οὗτός [n] ἐστιν ὁ μαθητὴς ὁ μαρτυρῶν περὶ τούτων, καὶ γράψας ταῦτα· καὶ οἴδαμεν ὅτι ἀληθής [n] ἐστιν ἡ μαρτυρία αὐτοῦ.

[o] ποιέω.
[p] γράφω.
[q] χωρέω.

25 [m] Ἔστι δὲ καὶ ἄλλα πολλὰ ὅσα [o] ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν [p] γράφηται καθ᾽ ἓν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον [q] χωρῆσαι τὰ [p] γραφόμενα βιβλία. Ἀμήν.

BRITISH MUSEUM 15 60 SEP

ΠΡΑΞΕΙΣ ΤΩΝ ἉΓΙΩΝ ἈΠΟΣΤΟΛΩΝ.

15 SEP 60

Κεφάλαιον α΄. Caput I.

ΤΟΝ μὲν πρῶτον λόγον [a] ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν [b] ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν,

2 Ἄχρι ἧς ἡμέρας [c] ἐντειλάμενος τοῖς ἀποστόλοις διὰ πνεύματος ἁγίου, οὓς [d] ἐξελέξατο, [e] ἀνελήφθη.

3 Οἷς καὶ [f] παρέστησεν ἑαυτὸν [g] ζῶντα μετὰ τὸ [h] παθεῖν αὐτὸν, ἐν πολλοῖς τεκμηρίοις, δι᾽ ἡμερῶν τεσσαράκοντα [i] ὀπτανόμενος αὐτοῖς, καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ.

4 Καὶ [k] συναλιζόμενος [l] παρήγγειλεν αὐτοῖς, ἀπὸ Ἱερουσολύμων μὴ [m] χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρὸς, ἣν [n] ἠκούσατέ μου.

5 Ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας.

6 Οἱ μὲν οὖν [o] συνελθόντες [p] ἐπηρώτων αὐτὸν λέγοντες, Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ [q] ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ;

7 Εἶπε δὲ πρὸς αὐτοὺς, Οὐκ ὑμῶν [r] ἐστι [s] γνῶναι χρόνους ἢ καιροὺς οὓς ὁ Πατὴρ [t] ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ·

8 Ἀλλὰ [e] λήψεσθε δύναμιν [o] ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ᾽ ὑμᾶς· καὶ [r] ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἱερουσαλὴμ καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς.

9 Καὶ

[a] ποιέω.
[b] ἄρχω.
[c] τέλλω.
[d] λέγω.
[e] λαμβάνω.
[f] ἵστημι.
[g] ζάω.
[h] πάσχω.
[i] ὄπτομαι.
[k] ἅλς.
[l] ἀγγέλλω.
[m] χῶρος.
[n] ἀκούω.
[o] ἔρχομαι.
[p] ἐρωτάω.
[q] ἵστημι.
[r] εἰμί.
[s] γινώσκω.
[t] τίθημι.

9 Καὶ ταῦτα εἰπών, βλεπόντων αὐτῶν [n] ἐπήρθη· καὶ νεφέλη [o] ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν.

[n] αἴρω.

10 Καὶ ὡς [x] ἀτενίζοντες [r] ἦσαν εἰς τὸν οὐρανόν, [y] πορευομένου αὐτοῦ, καὶ ἰδού, ἄνδρες δύο [q] παρειστήκεισαν αὐτοῖς ἐν ἐσθῆτι λευκῇ·

[x] τείνω.
[y] πείρω.

11 Οἳ καὶ εἶπον, Ἄνδρες Γαλιλαῖοι, τί [q] ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν; οὗτος ὁ Ἰησοῦς ὁ [c] ἀναληφθεὶς ἀφ᾽ ὑμῶν εἰς τὸν οὐρανόν, οὕτως [o] ἐλεύσεται ὃν τρόπον [z] ἐθεάσασθε αὐτὸν [y] πορευόμενον εἰς τὸν οὐρανόν.

[z] θεάομαι.

12 ¶ Τότε [a] ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ἀπὸ ὄρους τοῦ καλουμένου Ἐλαιῶνος, ὅ [b] ἐστιν ἐγγὺς Ἱερουσαλήμ, σαββάτου [c] ἔχον ὁδόν.

[a] στρέφω.
[b] εἰμί.
[c] ἔχω.

13 Καὶ ὅτε [d] εἰσῆλθον [e] ἀνέβησαν εἰς τὸ ὑπερῷον, οὗ [b] ἦσαν [f] καταμένοντες ὅ, τε Πέτρος καὶ Ἰάκωβος, καὶ Ἰωάννης, καὶ Ἀνδρέας, Φίλιππος καὶ Θωμᾶς, Βαρθολομαῖος καὶ Ματθαῖος, Ἰάκωβος Ἀλφαίου, καὶ Σίμων ὁ Ζηλωτής, καὶ Ἰούδας Ἰακώβου.

[d] ἔρχομαι.
[e] βαίνω.
[f] μένω.

14 Οὗτοι πάντες [b] ἦσαν [g] προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ καὶ τῇ δεήσει, σὺν [h] γυναιξί, καὶ Μαρίᾳ τῇ μητρὶ τοῦ Ἰησοῦ, καὶ σὺν τοῖς ἀδελφοῖς αὐτοῦ.

[g] κράτος.
[h] γυνή.

15 Καὶ ἐν ταῖς ἡμέραις ταύταις [i] ἀναστὰς Πέτρος ἐν μέσῳ τῶν μαθητῶν, εἶπεν, ([b] ἦν τε ὄχλος ὀνομάτων ἐπὶ τὸ αὐτὸ ὡς ἑκατὸν εἴκοσιν.)

[i] ἵστημι.

16 Ἄνδρες ἀδελφοί, ἔδει [k] πληρωθῆναι τὴν γραφὴν ταύτην ἣν προεῖπε τὸ πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαβίδ, περὶ Ἰούδα τοῦ * γενομένου ὁδηγοῦ τοῖς [l] συλλαβοῦσι τὸν Ἰησοῦν.

[k] πλέος.
* γίνομαι.
[l] λαμβάνω.

17 Ὅτι [m] κατηριθμημένος [a] ἦν σὺν ἡμῖν, καὶ [n] ἔλαχε τὸν κλῆρον τῆς διακονίας ταύτης.

[m] ἀριθμός.
[n] λαγχάνω.

18 Οὗτος μὲν οὖν [o] ἐκτήσατο χωρίον ἐκ τοῦ μισθοῦ τῆς ἀδικίας· καὶ πρηνὴς * γενόμενος [p] ἐλάκησε μέσος· καὶ [q] ἐξεχύθη πάντα τὰ σπλάγχνα αὐτοῦ.

[o] κτάομαι.
[p] λακέω.
[q] χέω.

19 Καὶ γνωστὸν * ἐγένετο πᾶσι τοῖς κατοικοῦσιν

σιν Ἱερουσαλήμ, ὥστε [r] κληθῆναι τὸ χωρίον ἐκεῖνο [r] καλέω.
τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν, Ἀκέλδαμα,
[b] τουτέστι χωρίον αἵματος.

20 [c] Γέγραπται γὰρ ἐν βίβλῳ ψαλμῶν, * Γενηθήτω [c] γράφω.
ἡ ἔπαυλις αὐτοῦ ἔρημος, καὶ μὴ [b] ἔστω
ὁ κατοικῶν ἐν αὐτῇ. Καὶ τὴν ἐπισκοπὴν αὐτοῦ
[l] λάβοι ἕτερος.

21 Δεῖ οὖν τῶν συνελθόντων ἡμῖν ἀνδρῶν ἐν
παντὶ χρόνῳ ἐν ᾧ [d] εἰσῆλθε καὶ [d] ἐξῆλθεν ἐφ'
ἡμᾶς ὁ Κύριος Ἰησοῦς,

22 [f] Ἀρξάμενος ἀπὸ τοῦ βαπτίσματος [f] ἄρχω.
Ἰωάννου ἕως τῆς ἡμέρας ἧς [l] ἀνελήφθη ἀφ' ἡμῶν,
μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ * γενέσθαι σὺν ἡμῖν
ἕνα τούτων.

23 Καὶ [l] ἔστησαν δύο, Ἰωσὴφ τὸν [r] καλούμενον
Βαρσαβᾶν, ὃς [r] ἐπεκλήθη Ἰοῦστος, καὶ Ματθίαν·

24 Καὶ [t] προσευξάμενοι εἶπον, Σὺ Κύριε, [t] εὐχή.
[u] καρδιογνῶστα πάντων, [x] ἀνάδειξον ἐκ τούτων [u] γινώσκω.
τῶν δύο ἕνα ὃν [y] ἐξελέξω, [x] δεικνύω.

25 [l] Λαβεῖν τὸν κλῆρον τῆς διακονίας ταύτης καὶ [y] λέγω.
ἀποστολῆς, ἐξ ἧς [c] παρέβη Ἰούδας, [z] πορευθῆναι [z] πείρω.
εἰς τὸν τόπον τὸν ἴδιον.

26 Καὶ [a] ἔδωκαν κλήρους αὐτῶν· καὶ [b] ἔπεσεν [a] δίδωμι.
ὁ κλῆρος ἐπὶ Ματθίαν, καὶ [c] συγκατεψηφίσθη [b] πίπτω.
μετὰ τῶν ἕνδεκα ἀποστόλων. [c] ψῆφος.

Κεφ. β'. Cap. II.

ΚΑὶ ἐν τῷ [a] συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεντηκοστῆς, [a] πλέος.
[b] ἦσαν ἅπαντες * ὁμοθυμαδὸν [b] εἰμί.
ἐπὶ τὸ αὐτό. * θυμός.

2 Καὶ [c] ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος ὥσπερ [c] γίνομαι.
φερομένης πνοῆς βιαίας, καὶ [a] ἐπλήρωσεν
ὅλον τὸν οἶκον οὗ [b] ἦσαν καθήμενοι. ἧμαι.

3 Καὶ [f] ὤφθησαν αὐτοῖς [g] διαμεριζόμεναι [f] ὄπτομαι.
γλῶσσαι ὡσεὶ πυρός, [h] ἐκάθισέ τε ἐφ' ἕνα ἕκαστον [g] μείρω.
αὐτῶν. [h] ἕζω.

4 Καὶ [a] ἐπλήσθησαν ἅπαντες πνεύματος ἁγίου, [i] ἄρχω.
καὶ [i] ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ [k] δίδωμι.
πνεῦμα [k] ἐδίδου αὐτοῖς [l] ἀποφθέγγεσθαι. [l] φθέγγομαι

5 [b] Ἦσαν

5 [b] Ἦσαν δὲ ἐν Ἱερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι, ἄνδρες εὐλαβεῖς, ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν.

[m] ἔρχομαι.
[n] χέω.
[o] ἀκούω.

6 [c] Γενομένης δὲ τῆς φωνῆς ταύτης, [m] συνῆλθε τὸ πλῆθος, καὶ [n] συνεχύθη· ὅτι [o] ἤκουον εἷς ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐτῶν.

[p] ἵστημι.

7 [p] Ἐξίσταντο δὲ πάντες καὶ ἐθαύμαζον, λέγοντες πρὸς ἀλλήλους, Οὐκ ἰδοὺ πάντες οὗτοί [b] εἰσιν οἱ λαλοῦντες, Γαλιλαῖοι;

[q] γεννάω.

8 Καὶ πῶς ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν ἐν ᾗ [q] ἐγεννήθημεν;

9 Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν·

[r] δῆμος.

10 Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον, καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην· καὶ οἱ [r] ἐπιδημοῦντες Ῥωμαῖοι, Ἰουδαῖοί τε καὶ προσήλυτοι,

11 Κρῆτες καὶ Ἄραβες, ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ.

[s] πείρω.

12 [p] Ἐξίσταντο δὲ πάντες καὶ [s] διηπόρουν, ἄλλος πρὸς ἄλλον λέγοντες, Τί ἂν θέλοι τοῦτο [b] εἶναι;

[t] μεστός.

13 Ἕτεροι δὲ χλευάζοντες ἔλεγον, Ὅτι γλεύκους [t] μεμεστωμένοι εἰσί.

[u] εἴρω.
[x] γινώσκω.
[y] οὖς.

14 [p] Σταθεὶς δὲ Πέτρος σὺν τοῖς ἕνδεκα, [u] ἐπῆρε τὴν φωνὴν αὐτοῦ, καὶ [l] ἀπεφθέγξατο αὐτοῖς, Ἄνδρες Ἰουδαῖοι, καὶ οἱ κατοικοῦντες Ἱερουσαλὴμ ἅπαντες, τοῦτο ὑμῖν [x] γνωστὸν [b] ἔστω, καὶ [y] ἐνωτίσασθε τὰ ῥήματά μου.

15 Οὐ γὰρ, ὡς ὑμεῖς ὑπολαμβάνετε, οὗτοι μεθύουσιν ([b] ἔστι γὰρ ὥρα τρίτη τῆς ἡμέρας)

[z] αἴρω.

16 Ἀλλὰ τοῦτό [b] ἐστι τὸ [z] εἰρημένον διὰ τοῦ προφήτου Ἰωήλ,

[a] φάω.
[b] ὄπτομαι.

17 Καὶ [b] ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, (λέγει ὁ Θεὸς) ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· καὶ [a] προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις [b] ὄψονται, καὶ οἱ πρεσβύτεροι ὑμῶν

ἐνύπνια [c] ἐνυπνιασθήσονται·

18 Καί γε ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, καὶ προφητεύσουσι.

19 Καὶ [d] δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω, καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω, αἷμα καὶ πῦρ, καὶ ἀτμίδα καπνοῦ.

20 Ὁ ἥλιος [e] μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἢ [f] ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ.

21 Καὶ [g] ἔσται, πᾶς ὃς ἂν [h] ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, [i] σωθήσεται.

22 Ἄνδρες Ἰσραηλῖται, ἀκούσατε τοὺς λόγους τούτους, Ἰησοῦν τὸν Ναζωραῖον, ἄνδρα ἀπὸ τοῦ Θεοῦ [k] ἀποδεδειγμένον εἰς ὑμᾶς δυνάμεσι καὶ τέρασι καὶ σημείοις οἷς [l] ἐποίησε δι' αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ ὑμῶν, καθὼς καὶ αὐτοὶ [m] οἴδατε,

23 Τοῦτον τῇ [n] ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ Θεοῦ [d] ἔκδοτον [x] λαβόντες, διὰ χειρῶν ἀνόμων [o] προσπήξαντες [p] ἀνείλετε.

24 Ὃν ὁ Θεὸς [q] ἀνέστησε, [r] λύσας τὰς ὠδῖνας τοῦ θανάτου· καθότι οὐκ [g] ἦν δυνατὸν [ſ] κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ.

25 Δαβὶδ γὰρ λέγει εἰς αὐτόν, [t] Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μου [g] ἐστίν, ἵνα μὴ [u] σαλευθῶ.

26 Διὰ τοῦτο [x] εὐφράνθη ἡ καρδία μου, καὶ [y] ἠγαλλιάσατο ἡ γλῶσσά μου· ἔτι δὲ καὶ ἡ σάρξ μου [z] κατασκηνώσει ἐπ' ἐλπίδι.

27 Ὅτι οὐκ [a] ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου, οὐδὲ [b] δώσεις τὸν ὅσιόν σου [c] ἰδεῖν διαφθοράν.

28 [d] Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς· [e] πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου.

29 Ἄνδρες ἀδελφοί, [f] ἐξὸν εἰπεῖν μετὰ παρρησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαβίδ, ὅτι καὶ [g] ἐτελεύτησε καὶ [h] ἐτάφη, καὶ τὸ μνῆμα αὐτοῦ [f] ἐστιν ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας ταύτης.

30 Προ-

[c] ὕπνος.
[d] δίδωμι.
[e] στρέφω.
[f] ἔρχομαι.
[g] εἰμί.
[h] καλέω.
[i] σόος.
[k] δεικνύω.
[l] ποιέω.
[m] εἴδω.
[n] ὅρος.
[x] λαμβάνω.
[o] πηγνύω.
[p] αἱρέω.
[q] ἵστημι.
[r] λύω.
[ſ] κράτος.
[t] ὁράω.
[u] σάλος.
[x] φρήν.
[y] ἀγάλλω.
[z] σκηνή.
[a] λείπω.
[b] δίδωμι.
[c] εἴδω.
[d] γνωρίζω.
[e] πλέος.
[f] εἰμί.
[g] τέλος.
[h] θάπτω.

30 Προφήτης οὖν ὑπάρχων, καὶ εἰδὼς ὅτι ὅρκῳ [i] ὤμοσεν αὐτῷ ὁ Θεὸς ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ τὸ κατὰ σάρκα [k] ἀναστήσειν τὸν Χριστὸν, [l] καθίσαι ἐπὶ τοῦ θρόνου αὐτοῦ·

[i] ὀμνύω.
[k] ἵστημι.
[l] ἵζω.

31 [c] Προϊδὼν [m] ἐλάλησε περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, ὅτι οὐ [a] κατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδου, οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν.

[m] λαλέω.

32 Τοῦτον τὸν Ἰησοῦν [k] ἀνέστησεν ὁ Θεὸς, οὗ πάντες ἡμεῖς [f] ἐσμὲν μάρτυρες.

33 Τῇ δεξιᾷ οὖν τοῦ Θεοῦ [n] ὑψωθεὶς, τήν τε ἐπαγγελίαν τοῦ ἁγίου πνεύματος [o] λαβὼν παρὰ τοῦ πατρὸς, [p] ἐξέχεε τοῦτο ὃ νῦν ὑμεῖς βλέπετε καὶ ἀκούετε.

[n] ὕψος.
[o] λαμβάνω.
[p] χέω.

34 Οὐ γὰρ Δαβὶδ [q] ἀνέβη εἰς τοὺς οὐρανούς· λέγει δὲ αὐτὸς, Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, [r] Κάθου ἐκ δεξιῶν μου,

[q] βαίνω.
[r] ἧμαι.

35 Ἕως ἂν [s] θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν [*] ποδῶν σου.

[s] τίθημι.
[*] πούς.

36 Ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ ὅτι Κύριον καὶ Χριστὸν αὐτὸν ὁ Θεὸς [t] ἐποίησε τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς [u] ἐσταυρώσατε.

[t] ποιέω.
[u] σταυρός.

37 Ἀκούσαντες δὲ [x] κατενύγησαν τῇ καρδίᾳ εἶπόν τε πρὸς τὸν Πέτρον καὶ τοὺς λοιποὺς ἀποστόλους, Τί [t] ποιήσωμεν ἄνδρες ἀδελφοί;

[x] νύσσω.

38 Πέτρος δὲ [y] ἔφη πρὸς αὐτοὺς, [z] Μετανοήσατε, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν· καὶ [a] λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος.

[y] φάω.
[z] νόος.
[a] λαμβάνω.

39 Ὑμῖν γάρ [b] ἐστιν ἡ ἐπαγγελία καὶ τοῖς τέκνοις ὑμῶν, καὶ πᾶσι τοῖς εἰς μακρὰν, ὅσους ἂν [c] προσκαλέσηται Κύριος ὁ Θεὸς ἡμῶν.

[b] εἰμί.
[c] καλέω.

40 Ἑτέροις τε λόγοις πλείοσι [d] διεμαρτύρετο, καὶ παρεκάλει, λέγων, [e] Σώθητε ἀπὸ τῆς γενεᾶς τῆς σκολιᾶς ταύτης.

[d] μάρτυρ.
[e] σόος.

41 Οἱ μὲν οὖν, ἀσμένως [f] ἀποδεξάμενοι τὸν λόγον αὐτοῦ, ἐβαπτίσθησαν· καὶ [g] προσετέθησαν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι.

[f] δέχομαι.
[g] τίθημι.

42 [b] Ἦσαν δὲ [h] προσκαρτεροῦντες τῇ διδαχῇ τῶν ἀποστόλων, καὶ τῇ κοινωνίᾳ, καὶ τῇ κλάσει τοῦ ἄρτου καὶ ταῖς προσευχαῖς.

[h] κάρτος.

43 ⁱ Ἐγένετο δὲ πάσῃ ψυχῇ φόβος· πολλά τε τέρατα καὶ σημεῖα διὰ τῶν ἀποστόλων ⁱ ἐγίνετο.

ⁱ γίνομαι.

44 Πάντες δὲ οἱ πιστεύοντες ᵈ ἦσαν ἐπὶ τὸ αὐτὸ, καὶ εἶχον ἅπαντα κοινά·

45 Καὶ τὰ κτήματα καὶ τὰς ὑπάρξεις ᵏ ἐπίπρασκον, καὶ ˡ διεμέριζον αὐτὰ πᾶσι, καθότι ἄν τις χρείαν εἶχε.

ᵏ περάω.
ˡ μείρω.

46 Καθ' ἡμέραν τε ᵐ προσκαρτεροῦντες ὁμοθυμαδὸν ἐν τῷ ἱερῷ, ⁿ κλῶντές τε κατ' οἶκον ἄρτον, ᵃ μετελάμβανον τροφῆς ἐν ἀγαλλιάσει καὶ ᵒ ἀφελότητι καρδίας·

ᵐ κάρτος.
ⁿ κλάω.
ᵒ ἀφελής.

47 Αἰνοῦντες τὸν Θεὸν, καὶ ἔχοντες χάριν πρὸς ὅλον τὸν λαόν· Ὁ δὲ Κύριος ᵍ προσετίθει τοὺς σωζομένους καθ' ἡμέραν τῇ ἐκκλησίᾳ.

Κεφ. γ'. Cap. III.

ἘΠὶ τὸ αὐτὸ δὲ Πέτρος καὶ Ἰωάννης ᵃ ἀνέβαινον εἰς τὸ ἱερὸν, ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐννάτην.

ᵃ βαίνω.

2 Καί τις ἀνὴρ χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων, ᵇ ἐβαστάζετο· ὃν ᶜ ἐτίθουν καθ' ἡμέραν πρὸς τὴν θύραν τοῦ ἱεροῦ τὴν λεγομένην Ὡραίαν, τοῦ αἰτεῖν ἐλεημοσύνην παρὰ τῶν ᵈ εἰσπορευομένων εἰς τὸ ἱερόν.

ᵇ βαστάζω.
ᶜ τίθημι.
ᵈ πείρω.

3 Ὃς ᵉ ἰδὼν Πέτρον καὶ Ἰωάννην μέλλοντας ᶠ εἰσιέναι εἰς τὸ ἱερὸν, ᵍ ἠρώτα ἐλεημοσύνην ʰ λαβεῖν.

ᵉ εἴδω.
ᶠ εἶμι.
ᵍ ἐρωτάω.
ʰ λαμβάνω.

4 ⁱ Ἀτενίσας δὲ Πέτρος εἰς αὐτὸν σὺν τῷ Ἰωάννῃ, εἶπε, ᵏ Βλέψον εἰς ἡμᾶς.

ⁱ τείνω.
ᵏ βλέπω.

5 Ὁ δὲ ˡ ἐπεῖχεν αὐτοῖς, προσδοκῶν τι παρ' αὐτῶν ʰ λαβεῖν.

ˡ ἔχω.

6 Εἶπε δὲ Πέτρος, Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι· ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι· Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου ᵐ ἔγειραι καὶ περιπάτει.

ᵐ ἐγείρω.

7 Καὶ ⁿ πιάσας αὐτὸν τῆς δεξιᾶς χειρὸς ᵐ ἤγειρε· παραχρῆμα δὲ ᵒ ἐστερεώθησαν αὐτοῦ αἱ βάσεις καὶ τὰ σφυρά.

ⁿ πιάζω.
ᵒ στερεός.

8 Καὶ ᵖ ἐξαλλόμενος ᶠ ἔστη, καὶ περιεπάτει· καὶ

ᵖ ἅλλομαι.
ᶠ ἵστημι.

ᑫ ἐξῆλθε

[q] ἔρχομαι. [q] εἰσῆλθε σὺν αὐτοῖς εἰς τὸ ἱερὸν, περιπατῶν καὶ
ἁλλόμενος καὶ αἰνῶν τὸν Θεόν.

9 Καὶ εἶδεν αὐτὸν πᾶς ὁ λαὸς περιπατοῦντα
καὶ αἰνοῦντα τὸν Θεόν·

[r] γινώσκω. 10 [r] Ἐπεγίνωσκόν τε αὐτὸν ὅτι οὗτος [f] ἦν ὁ
[*] ἧμαι. πρὸς τὴν ἐλεημοσύνην * καθήμενος ἐπὶ τῇ Ὡ-
[s] πλέος. ραίᾳ πύλῃ τοῦ ἱεροῦ· καὶ [s] ἐπλήσθησαν θάμβους καὶ
ἐκστάσεως ἐπὶ τῷ [a] συμβεβηκότι αὐτῷ.

[t] κράτος. 11 [t] Κρατοῦντος δὲ τοῦ [u] ἰαθέντος χωλοῦ τὸν
[u] ἰάομαι. Πέτρον καὶ Ἰωάννην, [x] συνέδραμε πρὸς αὐ-
[x] τρέχω. τοὺς πᾶς ὁ λαὸς ἐπὶ τῇ στοᾷ τῇ καλουμένῃ Σολο-
μῶντος, ἔκθαμβοι.

[y] κρίνω. 12 [e] Ἰδὼν δὲ Πέτρος [y] ἀπεκρίνατο πρὸς
τὸν λαὸν, Ἄνδρες Ἰσραηλῖται, τί θαυμάζετε
ἐπὶ τούτῳ; ἢ ἡμῖν τί ἀτενίζετε, ὡς ἰδίᾳ δυν-
[z] ποιέω. άμει ἢ εὐσεβείᾳ [z] πεποιηκόσι τοῦ περιπατεῖν
αὐτόν;

13 Ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ,
[a] δοκέω. ὁ Θεὸς τῶν πατέρων ἡμῶν [a] ἐδόξασε τὸν παῖδα
[b] δίδωμι. αὐτοῦ Ἰησοῦν, ὃν ὑμεῖς [b] παρεδώκατε, καὶ [c] ἠρ-
[c] ἀρνέομαι. νήσασθε αὐτὸν κατὰ πρόσωπον Πιλάτου, κρίναν-
τος ἐκείνου ἀπολύειν.

14 Ὑμεῖς δὲ τὸν ἅγιον καὶ δίκαιον [c] ἠρνήσασθε,
[d] αἰτέω. καὶ [d] ᾐτήσασθε ἄνδρα φονέα [e] χαρισθῆναι ὑμῖν·

[e] χάρις. 15 Τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς [f] ἀπεκτείνατε, ὃν
[f] κτείνω. ὁ Θεὸς [g] ἤγειρεν ἐκ νεκρῶν· οὗ ἡμεῖς μάρτυρές
[g] ἐγείρω. * ἐσμεν.

[*] εἰμί. 16 Καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ, τοῦτον
[h] εἴδω. ὃν θεωρεῖτε καὶ [h] οἴδατε, * ἐστερέωσε τὸ ὄνομα
[*] στερεός. αὐτοῦ· καὶ ἡ πίστις ἡ δι᾽ αὐτοῦ [i] ἔδωκεν αὐτῷ τὴν ὁ-
[i] δίδωμι. λοκληρίαν ταύτην ἀπέναντι πάντων ὑμῶν.

[k] πράττω. 17 Καὶ νῦν, ἀδελφοὶ, [h] οἶδα ὅτι κατὰ ἄγνοι-
[l] ἀγγέλλω. αν [k] ἐπράξατε, ὥσπερ καὶ οἱ ἄρχοντες ὑμῶν.

[m] πάσχω. 18 Ὁ δὲ Θεὸς, ἃ [l] προκατήγγειλε διὰ στό-
[n] πλέος. ματος πάντων τῶν προφητῶν αὐτοῦ, [m] παθεῖν τὸν
[o] νόος. Χριστὸν, [n] ἐπλήρωσεν οὕτω.

[p] στρέφω. 19 [o] Μετανοήσατε οὖν, καὶ [p] ἐπιστρέψατε, εἰς
[q] ἀλείφω. τὸ [q] ἐξαλειφθῆναι ὑμῶν τὰς ἁμαρτίας· ὅπως
[r] ἔρχομαι. ἂν [r] ἔλθωσι καιροὶ ἀναψύξεως, ἀπὸ προσώπου
τοῦ Κυρίου,

20 Καὶ [s] ἀποστείλῃ τὸν [t] προκεκηρυγμένον ὑμῖν Ἰησοῦν Χριστόν·

[s] στέλλω.
[t] κήρυξ.

21 [u] Ὃν δεῖ οὐρανὸν μὲν [u] δέξασθαι ἄχρι χρόνων ἀποκαταστάσεως πάντων ὧν [x] ἐλάλησεν ὁ Θεὸς διὰ στόματος πάντων ἁγίων αὐτοῦ προφητῶν ἀπ' αἰῶνος.

[u] δέχομαι. //
[x] λαλέω.

22 Μωσῆς μὲν γὰρ πρὸς τοὺς πατέρας εἶπεν, Ὅτι προφήτην ὑμῖν [y] ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς.

[y] ἵστημι.

23 * Ἔσται δὲ, πᾶσα ψυχὴ ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, [z] ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ.

[z] ὀλλύω. //

24 Καὶ πάντες δὲ οἱ προφῆται ἀπὸ Σαμουὴλ καὶ τῶν καθεξῆς, ὅσοι [a] ἐλάλησαν, καὶ [b] προκατήγγειλαν τὰς ἡμέρας ταύτας.

[a] λαλέω.
[b] ἀγγέλλω.

25 Ὑμεῖς [c] ἐστὲ υἱοὶ τῶν προφητῶν, καὶ τῆς διαθήκης ἧς [d] διέθετο ὁ Θεὸς πρὸς τοὺς πατέρας ἡμῶν, λέγων πρὸς Ἀβραάμ, Καὶ τῷ σπέρματί σου [e] ἐνευλογηθήσονται πᾶσαι αἱ πατριαὶ τῆς γῆς.

[c] εἰμί.
[d] τίθημι.
[e] λέγω.

26 Ὑμῖν πρῶτον ὁ Θεὸς [f] ἀναστήσας τὸν παῖδα αὐτοῦ Ἰησοῦν, [g] ἀπέστειλεν αὐτὸν εὐλογοῦντα ὑμᾶς, ἐν τῷ ἀποστρέφειν ἕκαστον ἀπὸ τῶν πονηριῶν ὑμῶν.

[f] ἵστημι.
[g] στέλλω.

Κεφ. δ'. Cap. IV.

[a] Λαλούντων δὲ αὐτῶν πρὸς λαὸν, [b] ἐπέστησαν αὐτοῖς οἱ ἱερεῖς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ σαδδουκαῖοι.

[a] λαλέω.
[b] ἵστημι.

2 [c] Διαπονούμενοι διὰ τὸ διδάσκειν αὐτοὺς τὸν λαὸν, καὶ καταγγέλλειν ἐν τῷ Ἰησοῦ τὴν ἀνάστασιν τὴν ἐκ νεκρῶν·

[c] πένομαι.

3 Καὶ [d] ἐπέβαλον αὐτοῖς τὰς χεῖρας, καὶ [e] ἔθεντο εἰς τήρησιν εἰς τὴν αὔριον· [f] ἦν γὰρ ἑσπέρα ἤδη.

[d] βάλλω.
[e] τίθημι.
[f] εἰμί.

4 Πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν λόγον [g] ἐπίστευσαν· καὶ [h] ἐγενήθη ὁ ἀριθμὸς τῶν ἀνδρῶν ὡσεὶ χιλιάδες πέντε.

[g] πίστις.
[h] γίνομαι.

5 ¶ [h] Ἐ-

[i] ἄγω.

5 ¶ [h] Ἐγένετο δὲ ἐπὶ τὴν αὔριον [i] συναχθῆναι αὐτῶν τοὺς ἄρχοντας, καὶ πρεσβυτέρους καὶ γραμματεῖς εἰς Ἱερουσαλήμ·

6 Καὶ Ἄνναν τὸν ἀρχιερέα, καὶ Καϊάφαν καὶ Ἰωάννην καὶ Ἀλέξανδρον, καὶ ὅσοι [f] ἦσαν ἐκ γένους ἀρχιερατικοῦ.

[k] πυνθάνομαι.
[l] ποιέω.

7 Καὶ [b] στήσαντες αὐτοὺς ἐν τῷ μέσῳ [k] ἐπυνθάνοντο, Ἐν ποίᾳ δυνάμει ἢ ἐν ποίῳ ὀνόματι [l] ἐποιήσατε τοῦτο ὑμεῖς;

[m] πλέος.

8 Τότε Πέτρος [m] πλησθεὶς πνεύματος ἁγίου εἶπε πρὸς αὐτοὺς, Ἄρχοντες τοῦ λαοῦ, καὶ πρεσβύτεροι τοῦ Ἰσραήλ,

[n] κρίνω.
[o] σόος.

9 Εἰ ἡμεῖς σήμερον [n] ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς, ἐν τίνι οὗτος [o] σέσωσται·

[p] σταυρόω.
[q] ἐγείρω.

10 Γνωστὸν [f] ἔστω πᾶσιν ὑμῖν καὶ παντὶ τῷ λαῷ Ἰσραήλ, ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, ὃν ὑμεῖς [p] ἐσταυρώσατε, ὃν ὁ Θεὸς [q] ἤγειρεν ἐκ νεκρῶν, ἐν τούτῳ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής.

[r] εἷς.

11 Οὗτός [f] ἐστιν ὁ λίθος ὁ [r] ἐξουθενηθεὶς ὑφ᾽ ὑμῶν τῶν οἰκοδομούντων, [h] ὁ γενόμενος εἰς κεφαλὴν γωνίας.

[s] δίδωμι.
[t] σόος.

12 Καὶ οὐκ [f] ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία· οὔτε γὰρ ὄνομά [f] ἐστιν ἕτερον ὑπὸ τὸν οὐρανὸν τὸ [s] δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ [t] σωθῆναι ἡμᾶς.

[u] θεωρέω.
[x] λαμβάνω.

13 [u] Θεωροῦντες δὲ τὴν τοῦ Πέτρου παῤῥησίαν, καὶ Ἰωάννου, καὶ [x] καταλαβόμενοι ὅτι ἄνθρωποι ἀγράμματοί [f] εἰσι καὶ ἰδιῶται, ἐθαύμαζον· ἐπεγίνωσκόν τε αὐτοὺς ὅτι σὺν τῷ Ἰησοῦ [f] ἦσαν·

[y] θεράπων.
[z] ἔχω.

14 Τὸν δὲ ἄνθρωπον βλέποντες σὺν αὐτοῖς [h] ἑστῶτα τὸν τε [y] τεθεραπευμένον, οὐδὲν [z] εἶχον ἀντειπεῖν.

[a] ἔρχομαι.
[b] βάλλω.

15 Κελεύσαντες δὲ αὐτοὺς ἔξω τοῦ συνεδρίου [a] ἀπελθεῖν, [b] συνέβαλλον πρὸς ἀλλήλους,

[c] γίνομαι.

16 Λέγοντες, Τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις; ὅτι μὲν γὰρ γνωστὸν σημεῖον [c] γέγονε δι᾽

αὐτῶν, πᾶσι τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ φανερόν, καὶ οὐ δυνάμεθα [d] ἀρνήσασθαι.

17 Ἀλλ' ἵνα μὴ ἐπὶ πλεῖον [c] διανεμηθῇ εἰς τὸν λαόν, [f] ἀπειλῇ [f] ἀπειλησώμεθα αὐτοῖς μηκέτι λαλεῖν ἐπὶ τῷ ὀνόματι τούτῳ μηδενὶ ἀνθρώπων.

18 Καὶ [g] καλέσαντες αὐτούς, [h] παρήγγειλαν αὐτοῖς τὸ καθόλου μὴ φθέγγεσθαι μηδὲ διδάσκειν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ.

19 Ὁ δὲ Πέτρος καὶ Ἰωάννης [i] ἀποκριθέντες πρὸς αὐτοὺς εἶπον, Εἰ δίκαιόν [k] ἐστιν ἐνώπιον τοῦ Θεοῦ ὑμῶν ἀκούειν μᾶλλον ἢ τοῦ Θεοῦ, κρίνατε.

20 Οὐ [l] δυνάμεθα γὰρ ἡμεῖς ἃ εἴδομεν καὶ [m] ἠκούσαμεν μὴ λαλεῖν.

21 Οἱ δὲ [f] προσαπειλησάμενοι [n] ἀπέλυσαν αὐτούς, μηδὲν εὑρίσκοντες τὸ πῶς * κολάσωνται αὐτούς, διὰ τὸν λαόν· ὅτι πάντες [o] ἐδόξαζον τὸν Θεὸν ἐπὶ τῷ [c] γεγονότι.

22 Ἐτῶν γὰρ [k] ἦν πλειόνων τεσσαράκοντα ὁ ἄνθρωπος ἐφ' ὃν [c] ἐγεγόνει τὸ σημεῖον τοῦτο τῆς ἰάσεως.

23 [n] Ἀπολυθέντες δὲ [a] ἦλθον πρὸς τοὺς ἰδίους, καὶ [h] ἀπήγγειλαν ὅσα πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι εἶπον.

24 Οἱ δὲ ἀκούσαντες, ὁμοθυμαδὸν [p] ἦραν φωνὴν πρὸς τὸν Θεόν, καὶ εἶπον, Δέσποτα, σὺ ὁ Θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς·

25 Ὁ διὰ στόματος Δαβὶδ τοῦ παιδός σου εἰπών, Ἵνα τί [q] ἐφρύαξαν ἔθνη, καὶ λαοὶ [r] ἐμελέτησαν κενά;

26 [s] Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες * συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.

27 * Συνήχθησαν γὰρ ἐπ' ἀληθείας ἐπὶ τὸν ἅγιον παῖδά σου Ἰησοῦν, ὃν [t] ἔχρισας, Ἡρώδης τε καὶ Πόντιος Πιλάτος, σὺν ἔθνεσι καὶ λαοῖς Ἰσραήλ,

28 [u] Ποι-

[d] ἀρνέομαι.
[c] νέμω.
[f] ἀπειλέω.
[g] καλέω.
[h] ἀγγέλλω.
[i] κρίνω.
[k] εἰμί.
[l] δύναμαι.
[m] ἀκούω.
[n] λύω.
* κολάζω.
[o] δοκέω.
[p] αἴρω.
[q] φρυάσσω.
[r] μέλει.
[s] ἵστημι.
* ἄγω.
[t] χρίω.

28 [u] Ποιῆσαι ὅσα ἡ χείρ σου καὶ ἡ βουλή σου [x] προώρισε [c] γενέσθαι.

29 Καὶ τὰ νῦν, Κύριε, [y] ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν, καὶ [z] δὸς τοῖς δούλοις σου μετὰ παῤῥησίας πάσης λαλεῖν τὸν λόγον σου,

30 Ἐν τῷ τὴν χεῖρά σου ἐκτείνειν σε εἰς ἴασιν, καὶ σημεῖα καὶ τέρατα [a] γίνεσθαι διὰ τοῦ ὀνόματος τοῦ ἁγίου παιδός σου Ἰησοῦ.

31 Καὶ [b] δεηθέντων αὐτῶν [c] ἐσαλεύθη ὁ τόπος ἐν ᾧ [d] ἦσαν [e] συνηγμένοι· καὶ [f] ἐπλήσθησαν ἅπαντες Πνεύματος ἁγίου, καὶ [g] ἐλάλουν τὸν λόγον τοῦ Θεοῦ μετὰ παῤῥησίας.

32 Τοῦ δὲ πλήθους τῶν πιστευσάντων [d] ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία· καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ, [h] ἔλεγεν ἴδιον [d] εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά.

33 Καὶ [i] μεγάλῃ δυνάμει [k] ἀπεδίδουν τὸ μαρτύριον οἱ ἀπόστολοι τῆς ἀναστάσεως τοῦ Κυρίου Ἰησοῦ· χάρις τε [i] μεγάλη [d] ἦν ἐπὶ πάντας αὐτούς.

34 Οὐδὲ γὰρ ἐνδεής τις [l] ὑπῆρχεν ἐν αὐτοῖς· ὅσοι γὰρ κτήτορες χωρίων ἢ οἰκιῶν [l] ὑπῆρχον, πωλοῦντες [m] ἔφερον τὰς τιμὰς τῶν [n] πιπρασκομένων·

35 Καὶ [o] ἐτίθουν παρὰ τοὺς [p] πόδας τῶν ἀποστόλων· [k] διεδίδοτο δὲ ἑκάστῳ καθότι ἄν τις χρείαν [q] εἶχεν.

36 Ἰωσῆς δὲ, ὁ [r] ἐπικληθεὶς Βαρνάβας ὑπὸ τῶν ἀποστόλων, (ὅ ἐστι [s] μεθερμηνευόμενον υἱὸς παρακλήσεως) Λευΐτης, Κύπριος τῷ γένει,

37 Ὑπάρχοντος αὐτῷ ἀγροῦ, πωλήσας [t] ἤνεγκε τὸ χρῆμα, καὶ [o] ἔθηκε παρὰ τοὺς πόδας τῶν ἀποστόλων.

Κεφ. ε΄. Cap. V.

Ἀνὴρ δέ τις Ἀνανίας ὀνόματι, σὺν Σαπφείρῃ τῇ γυναικὶ αὐτοῦ [a] ἐπώλησε κτῆμα.

2 Καὶ [b] ἐνοσφίσατο ἀπὸ τῆς τιμῆς, [c] συνειδυίας καὶ τῆς γυναικὸς αὐτοῦ· καὶ [d] ἐνέγκας μέρος τι, παρὰ τοὺς [e] πόδας τῶν ἀποστόλων [f] ἔθηκεν.

3 Εἶπε

[u] ποιέω.
[x] ὅρος.
[y] εἴδω.
[z] δίδωμι.
[a] γίνομαι.
[b] δέομαι.
[c] σάλος.
[d] εἰμί.
[e] ἄγω.
[f] πλέος.
[g] λαλέω.
[h] λέγω.
[i] μέγας.
[k] δίδωμι.
[l] ἄρχω.
[m] φέρω.
[n] περάω.
[o] τίθημι.
[p] πούς.
[q] ἔχω.
[r] καλέω.
[s] ἑρμηνεύς.
[t] φέρω.
[a] πωλέω.
[b] νόσφι.
[c] εἴδω.
[d] φέρω.
[e] πούς.
[f] τίθημι.

3 Εἶπε δὲ Πέτρος, Ἀνανία, διατί [g] ἐπλήρωσεν ὁ σατανᾶς τὴν καρδίαν σου, [h] ψεύσασθαί σε τὸ πνεῦμα τὸ ἅγιον, καὶ [i] νοσφίσασθαι ἀπὸ τῆς τιμῆς τοῦ χωρίου;

4 Οὐχὶ [k] μένον, σοὶ [k] ἔμενε, καὶ [l] πραθὲν ἐν τῇ σῇ ἐξουσίᾳ [m] ὑπῆρχε; τί ὅτι [ſ] ἔθου ἐν τῇ καρδίᾳ σου τὸ πρᾶγμα τοῦτο; οὐκ [h] ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ.

5 Ἀκούων δὲ Ἀνανίας τοὺς λόγους τούτους, [n] πεσὼν [o] ἐξέψυξε· καὶ [p] ἐγένετο φόβος μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα.

6 [q] Ἀναστάντες δὲ οἱ νεώτεροι [r] συνέστειλαν αὐτὸν, καὶ [l] ἐξενέγκαντες [ſ] ἔθαψαν.

7 [p] Ἐγένετο δὲ ὡς ὡρῶν τριῶν διάστημα, καὶ ἡ γυνὴ αὐτοῦ μὴ [c] εἰδυῖα τὸ [q] γεγονὸς [t] εἰσῆλθεν.

8 [u] Ἀπεκρίθη δὲ αὐτῇ ὁ Πέτρος, Εἰπέ μοι, εἰ τοσούτου τὸ χωρίον [x] ἀπέδοσθε; Ἡ δὲ εἶπε, Ναὶ, τοσούτου.

9 Ὁ δὲ Πέτρος εἶπε πρὸς αὐτὴν, Τί ὅτι [y] συνεφωνήθη ὑμῖν [z] πειράσαι τὸ πνεῦμα Κυρίου; ἰδοὺ οἱ [a] πόδες τῶν θαψάντων τὸν ἄνδρα σου, ἐπὶ τῇ θύρᾳ, καὶ [b] ἐξοίσουσί σε.

10 [c] Ἔπεσε δὲ παραχρῆμα παρὰ τοὺς [a] πόδας αὐτοῦ, καὶ [d] ἐξέψυξεν· [e] εἰσελθόντες δὲ οἱ νεανίσκοι [f] εὗρον αὐτὴν νεκρὰν, καὶ ἐξενέγκαντες [g] ἔθαψαν πρὸς τὸν ἄνδρα αὐτῆς.

11 Καὶ [h] ἐγένετο φόβος μέγας ἐφ᾽ ὅλην τὴν ἐκκλησίαν, καὶ ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα.

12 ¶ Διὰ δὲ τῶν [i] χειρῶν τῶν ἀποστόλων [h] ἐγίνετο σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ πολλά· (καὶ [k] ἦσαν ὁμοθυμαδὸν ἅπαντες ἐν τῇ στοᾷ Σολομῶντος.

13 Τῶν δὲ λοιπῶν οὐδεὶς ἐτόλμα [l] κολλᾶσθαι αὐτοῖς· ἀλλ᾽ [m] ἐμεγάλυνεν αὐτοὺς ὁ λαός.

14 Μᾶλλον δὲ [n] προσετίθεντο πιστεύοντες τῷ Κυρίῳ, πλήθη ἀνδρῶν τε καὶ γυναικῶν)

15 Ὥστε κατὰ τὰς πλατείας ἐκφέρειν τοὺς ἀσθενεῖς, καὶ [n] τιθέναι ἐπὶ κλινῶν καὶ κραββάτων

[g] πλέος.
[h] ψεύδω.
[i] νόσφι.
[k] μένω.
[l] περάω.
[m] ἄρχω.
[n] πίπτω.
[o] ψύχω.
[p] γίνομαι.
[q] ἵστημι.
[r] στέλλω.
[ſ] θάπτω.
[t] ἔρχομαι.
[u] κρίνω.
[x] δίδωμι.
[y] φωνή.
[z] πειράω.
[a] πούς.
[b] φέρω.
[c] πίπτω.
[d] ψύχω
[e] ἔρχομαι.
[f] εὑρίσκω.
[g] θάπτω.
[h] γίνομαι.
[i] χείρ.
[k] εἰμί.
[l] κόλλα.
[m] μεγα
[n] [illegible]

ἵνα ἐρχομένου Πέτρου κἂν ἡ σκιὰ [o] ἐπισκιάσῃ τινὶ αὐτῶν.

16 [c] Συνήρχετο δὲ καὶ τὸ πλῆθος τῶν πέριξ πόλεων εἰς Ἱερουσαλὴμ, φέροντες ἀσθενεῖς καὶ ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων· οἵτινες [p] ἐθεραπεύοντο ἅπαντες.

17 [q] Ἀναστὰς δὲ ὁ ἀρχιερεὺς καὶ πάντες οἱ σὺν αὐτῷ (ἡ [k] οὖσα αἵρεσις τῶν Σαδδουκαίων) [r] ἐπλήσθησαν ζήλου·

18 [s] Ἐπέβαλον τὰς χεῖρας αὐτῶν ἐπὶ τοὺς ἀποστόλους, καὶ [n] ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ.

19 Ἄγγελος δὲ Κυρίου διὰ τῆς νυκτὸς [t] ἤνοιξε τὰς θύρας τῆς φυλακῆς· [u] ἐξαγαγών τε αὐτοὺς εἶπε,

20 [x] Πορεύεσθε, καὶ [l] σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης.

21 Ἀκούσαντες δὲ [c] εἰσῆλθον ὑπὸ τὸν ὄρθρον εἰς τὸ ἱερὸν, καὶ [y] ἐδίδασκον. [h] Παραγενόμενος δὲ ὁ ἀρχιερεὺς καὶ οἱ σὺν αὐτῷ, συνεκάλεσαν τὸ συνέδριον καὶ πᾶσαν τὴν γερουσίαν τῶν υἱῶν Ἰσραὴλ· καὶ [z] ἀπέστειλαν εἰς τὸ δεσμωτήριον, [a] ἀχθῆναι αὐτούς.

22 Οἱ δὲ ὑπηρέται [b] παραγενόμενοι οὐχ [c] εὗρον αὐτοὺς ἐν τῇ φυλακῇ· [d] ἀναστρέψαντες δὲ [c] ἀπήγγειλαν,

23 Λέγοντες, Ὅτι τὸ μὲν δεσμωτήριον [c] εὕρομεν [g] κεκλεισμένον ἐν πάσῃ ἀσφαλείᾳ, καὶ τοὺς φύλακας ἔξω [h] ἑστῶτας πρὸ τῶν θυρῶν· [i] ἀνοίξαντες δὲ, ἔσω οὐδένα [c] εὕρομεν.

24 Ὡς δὲ [k] ἤκουσαν τοὺς λόγους τούτους ὅ, τε ἱερεὺς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ ἀρχιερεῖς, [l] διηπόρουν περὶ αὐτῶν, τί ἂν [b] γένοιτο τοῦτο.

25 [b] Παραγενόμενος δέ τις [c] ἀπήγγειλεν αὐτοῖς, λέγων, Ὅτι ἰδοὺ, οἱ ἄνδρες οὓς [m] ἔθεσθε ἐν τῇ φυλακῇ, [n] εἰσὶν ἐν τῷ ἱερῷ [h] ἑστῶτες, καὶ διδάσκοντες τὸν λαόν.

26 Τότε [o] ἀπελθὼν ὁ στρατηγὸς σὺν τοῖς ὑπηρέταις,

[o] σκιά.
[p] θεράπων.
[q] ἵστημι.
[r] πλέος.
[s] βάλλω.
[t] οἴγω.
[u] ἄγω.
[x] πείρω.
[y] διδάσκω.
[z] στέλλω.
[a] ἄγω.
[b] γίνομαι.
[c] εὑρίσκω.
[d] στρέφω.
[e] ἀγγέλλω.
[g] κλείω.
[h] ἵστημι.
[i] οἴγω.
[k] ἀκούω.
[l] πείρω.
[m] τίθημι.
[n] εἰμί.
[o] ἔρχομαι.

ὑπηρέταις, [a] ἤγαγεν αὐτούς, οὐ μετὰ βίας ([p] ἐφο- [p] φέβομαι.
βοῦντο γὰρ τὸν λαόν, ἵνα μὴ [q] λιθασθῶσιν.) [q] λίθος.

27 [a] Ἀγαγόντες δὲ αὐτοὺς [h] ἔστησαν ἐν τῷ
συνεδρίῳ· καὶ [r] ἐπηρώτησεν αὐτοὺς ὁ ἀρχιερεύς, [r] ἐρωτάω.

28 Λέγων, Οὐ παραγγελίᾳ [c] παρηγγείλα-
μεν ὑμῖν μὴ διδάσκειν ἐπὶ τῷ ὀνόματι τούτῳ;
καὶ ἰδού, [s] πεπληρώκατε τὴν Ἱερουσαλὴμ τῆς διδα- [s] πλέος.
χῆς ὑμῶν, καὶ βούλεσθε [a] ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ
αἷμα τοῦ ἀνθρώπου τούτου.

29 [t] Ἀποκριθεὶς δὲ ὁ Πέτρος καὶ οἱ ἀπόστο- [t] κρίνω.
λοι εἶπον, Πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ ἀν-
θρώποις.

30 Ὁ Θεὸς τῶν πατέρων ἡμῶν [u] ἤγειρεν Ἰη- [u] ἐγείρω.
σοῦν, ὃν ὑμεῖς [x] διεχειρίσασθε [y] κρεμάσαντες [x] χείρ.
ἐπὶ ξύλου. [y] κρεμάω.

31 Τοῦτον ὁ Θεὸς ἀρχηγὸν καὶ σωτῆρα [z] ὕψω- [z] ὕψος.
σε τῇ δεξιᾷ αὐτοῦ, [a] δοῦναι μετάνοιαν τῷ Ἰσ- [a] δίδωμι.
ραὴλ, καὶ ἄφεσιν ἁμαρτιῶν.

32 Καὶ ἡμεῖς [b] ἐσμεν αὐτοῦ μάρτυρες τῶν ῥη- [b] εἰμί.
μάτων τούτων· καὶ τὸ πνεῦμα δὲ τὸ ἅγιον, ὃ [a] ἔ-
δωκεν ὁ Θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ.

33 Οἱ δὲ, ἀκούσαντες [c] διεπρίοντο, καὶ [d] ἐ- [c] πρίω.
βουλεύοντο [e] ἀνελεῖν αὐτούς. [d] βουλή.

34 [f] Ἀναστὰς δέ τις ἐν τῷ συνεδρίῳ Φαρι- [e] αἱρέω.
σαῖος, ὀνόματι Γαμαλιήλ, νομοδιδάσκαλος, [f] ἵστημι.
τίμιος ἐν παντὶ τῷ λαῷ, [g] ἐκέλευσεν ἔξω βρα- [g] κελεύω.
χύ τι τοὺς ἀποστόλους ποιῆσαι·

35 Εἶπέ τε πρὸς αὐτούς, Ἄνδρες Ἰσραη-
λῖται, προσέχετε ἑαυτοῖς ἐπὶ τοῖς ἀνθρώποις
τούτοις, τί μέλλετε πράσσειν.

36 Πρὸ γὰρ τούτων τῶν ἡμερῶν [f] ἀνέστη Θευ-
δᾶς, λέγων εἶναί τινα ἑαυτόν· ᾧ [h] προσεκολ- [h] κόλλα.
λήθη ἀριθμὸς ἀνδρῶν ὡσεὶ τετρακοσίων· ὃς
[e] ἀνῃρέθη, καὶ πάντες ὅσοι [i] ἐπείθοντο αὐτῷ, [i] πείθω.
[k] διελύθησαν, καὶ [l] ἐγένοντο εἰς οὐδέν. [k] ἔρχομαι.

37 Μετὰ τοῦτον [f] ἀνέστη Ἰούδας ὁ Γαλιλαῖος [l] γίνομαι.
ἐν ταῖς ἡμέραις τῆς ἀπογραφῆς, καὶ [f] ἀπέστησε λαὸν
ἱκανὸν ὀπίσω αὐτοῦ· κἀκεῖνος [m] ἀπώλετο, καὶ [m] ὀλλύω.
πάντες ὅσοι ἐπείθοντο αὐτῷ, [n] διεσκορπίσθησαν. [n] σκορπίος.

38 Καὶ τὰ νῦν λέγω ὑμῖν, [f] ἀπόστητε ἀπὸ
[o] ἐάω. τῶν ἀνθρώπων τούτων, καὶ [o] ἐάσατε αὐτούς· ὅτι
ἐὰν [b] ᾖ ἐξ ἀνθρώπων ἡ βουλὴ αὕτη ἢ τὸ ἔργον
[p] λύω. τοῦτο, [p] καταλυθήσεται.

39 Εἰ δὲ ἐκ Θεοῦ ἐστιν, οὐ δύνασθε [p] καταλῦσαι
[q] εὑρίσκω. αὐτό, μήποτε καὶ θεομάχοι [q] εὑρεθῆτε.

[x] πείθω. 40 [x] Ἐπείσθησαν δὲ αὐτῷ· καὶ προσκαλεσάμενοι
* ἀγγέλλω. τοὺς ἀποστόλους, δείραντες * παρήγγειλαν μὴ
λαλεῖν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ· καὶ [p] ἀπέλυσαν
αὐτούς.

[r] πορεύω. 41 Οἱ μὲν οὖν [r] ἐπορεύοντο χαίροντες ἀπὸ
προσώπου τοῦ συνεδρίου, ὅτι ὑπὲρ τοῦ ὀνόματος
[s] ἄξιος. αὐτοῦ [s] κατηξιώθησαν [t] ἀτιμασθῆναι.

[t] τίω. 42 Πᾶσάν τε ἡμέραν ἐν τῷ ἱερῷ καὶ κατ᾽ οἶκον
[u] παύω. οὐκ [u] ἐπαύοντο διδάσκοντες καὶ εὐαγγελιζόμενοι
Ἰησοῦν τὸν Χριστόν.

Κεφ. ς΄. Cap. VI.

[a] πλῆθος. ἘΝ δὲ ταῖς ἡμέραις ταύταις [a] πληθυνόντων τῶν
[b] γίνομαι. μαθητῶν, [b] ἐγένετο γογγυσμὸς τῶν Ἑλληνιστῶν
[c] θεωρέω. πρὸς τοὺς Ἑβραίους, ὅτι [c] παρεθεωροῦντο ἐν
τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν.

[d] καλέω. 2 [d] Προσκαλεσάμενοι δὲ οἱ δώδεκα τὸ πλῆθος
[e] εἰμί. τῶν μαθητῶν, εἶπον, Οὐκ ἀρεστόν [e] ἐστιν
[f] λείπω. ἡμᾶς [f] καταλείψαντας τὸν λόγον τοῦ Θεοῦ διακονεῖν
τραπέζαις.

[g] σκέπτομαι 3 [g] Ἐπισκέψασθε οὖν, ἀδελφοί, ἄνδρας ἐξ
ὑμῶν μαρτυρουμένους ἑπτά, πλήρεις πνεύματος
[h] ἵστημι. ἁγίου καὶ σοφίας, οὓς [h] καταστήσομεν ἐπὶ τῆς χρείας
ταύτης·

4 Ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ
[i] κράτος. λόγου [i] προσκαρτερήσομεν.

[k] ἀρέσκω. 5 Καὶ [k] ἤρεσεν ὁ λόγος ἐνώπιον παντὸς τοῦ
[l] λέγω. πλήθους· καὶ [l] ἐξελέξαντο Στέφανον, ἄνδρα πλήρη
πίστεως καὶ πνεύματος ἁγίου, καὶ Φίλιππον καὶ
Πρόχορον, καὶ Νικάνορα καὶ Τίμωνα καὶ Παρμενᾶν
καὶ Νικόλαον προσήλυτον Ἀντιοχέα.

6 Οὓς [h] ἔστησαν ἐνώπιον τῶν ἀποστόλων· καὶ
[m] εὐχή. [m] προσευξάμενοι [n] ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας.
[n] τίθημι.

7 Καὶ ὁ λόγος τοῦ Θεοῦ *ηὔξανε· καὶ [x]ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν ἐν Ἱερουσαλὴμ σφόδρα· πολύς τε ὄχλος τῶν ἱερέων [o]ὑπήκουον τῇ πίστει.

* αὐξάνω.
[x] πλέος.
[o] ἀκούω.

8 Στέφανος δὲ πλήρης πίστεως καὶ δυνάμεως ἐποίει τέρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ.

9 [h]Ἀνέστησαν δέ τινες τῶν ἐκ τῆς συναγωγῆς τῆς λεγομένης Λιβερτίνων καὶ Κυρηναίων, καὶ Ἀλεξανδρέων, καὶ τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας, [p]συζητοῦντες τῷ Στεφάνῳ.

[p] ζητέω.

10 Καὶ οὐκ ἴσχυον [h]ἀντιστῆναι τῇ σοφίᾳ καὶ πνεύματι ᾧ ἐλάλει.

11 Τότε [q]ὑπέβαλον ἄνδρας λέγοντας, Ὅτι [c]ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα εἰς Μωσῆν καὶ τὸν Θεόν.

[q] βάλλω.

12 [r]Συνεκίνησάν τε τὸν λαὸν καὶ τοὺς πρεσβυτέρους καὶ τοὺς γραμματεῖς· καὶ [h]ἐπιστάντες [s]συνήρπασαν αὐτὸν, καὶ [t]ἤγαγον εἰς τὸ συνέδριον.

[r] κινέω.
[s] ἁρπάζω.
[t] ἄγω.

13 [h]Ἔστησάν τε μάρτυρας ψευδεῖς, λέγοντας, Ὁ ἄνθρωπος οὗτος οὐ παύεται ῥήματα βλάσφημα λαλῶν κατὰ τοῦ τόπου τοῦ ἁγίου τούτου καὶ τοῦ νόμου.

14 [o]Ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος ὅτι Ἰησοῦς ὁ Ναζωραῖος οὗτος καταλύσει τὸν τόπον τοῦτον, καὶ [u]ἀλλάξει τὰ ἔθη ἃ [x]παρέδωκεν ἡμῖν Μωσῆς.

[u] ἀλλάσσω.
[x] δίδωμι.

15 Καὶ [y]ἀτενίσαντες εἰς αὐτὸν ἅπαντες οἱ [z]καθεζόμενοι ἐν τῷ συνεδρίῳ, εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου.

[y] τείνω.
[z] ἕζω.

Κεφ. ζ. Cap. VII.

Εἶπε δὲ ὁ ἀρχιερεύς, Εἰ ἄρα ταῦτα οὕτως ἔχει;

2 Ὁ δὲ [a]ἔφη, Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατε, Ὁ Θεὸς τῆς δόξης [b]ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ ὄντι ἐν τῇ Μεσοποταμίᾳ πρὶν ἢ [c]κατοικῆσαι αὐτὸν ἐν Χαῤῥάν.

[a] φάω.
[b] ὄπτομαι.
[c] οἶκος.

3 Καὶ εἶπε πρὸς αὐτὸν, [d]Ἔξελθε ἐκ τῆς γῆς

[d] ἔρχομαι.

e δεικνύω.

σου καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς γῆν ἣν ἄν σοι [c] δείξω.

f θνήσκω. * οἶκος.

4 Τότε [d] ἐξελθὼν ἐκ γῆς Χαλδαίων, [c] κατῴκησεν ἐν Χαῤῥάν· κἀκεῖθεν μετὰ τὸ [f] ἀποθανεῖν τὸν πατέρα αὐτοῦ, * μετῴκισεν αὐτὸν εἰς τὴν γῆν ταύτην εἰς ἣν ὑμεῖς νῦν * κατοικεῖτε.

g δίδωμι. h ἀγγέλλω. i εἰμί.

5 Καὶ οὐκ [g] ἔδωκεν αὐτῷ κληρονομίαν ἐν αὐτῇ, οὐδὲ βῆμα ποδός· καὶ [h] ἐπηγγείλατο αὐτῷ [g] δοῦναι εἰς κατάσχεσιν αὐτὴν καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτόν, οὐκ [i] ὄντος αὐτῷ τέκνου.

k λαλέω.

6 [k] Ἐλάλησε δὲ οὕτως ὁ Θεός, Ὅτι [i] ἔσται τὸ σπέρμα αὐτοῦ πάροικον ἐν γῇ ἀλλοτρίᾳ, καὶ δουλώσουσιν αὐτὸ καὶ κακώσουσιν ἔτη τετρακόσια.

7 Καὶ τὸ ἔθνος ᾧ ἐὰν δουλεύσωσι κρινῶ ἐγώ, εἶπεν ὁ Θεός· καὶ μετὰ ταῦτα [d] ἐξελεύσονται, καὶ λατρεύσουσί μοι ἐν τῷ τόπῳ τούτῳ.

l γεννάω. m τέμνω.

8 Καὶ [g] ἔδωκεν αὐτῷ διαθήκην περιτομῆς· καὶ οὕτως [l] ἐγέννησε τὸν Ἰσαὰκ καὶ [m] περιέτεμεν αὐτὸν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ· καὶ ὁ Ἰσαὰκ τὸν Ἰακώβ, καὶ ὁ Ἰακὼβ τοὺς δώδεκα πατριάρχας.

9 Καὶ οἱ πατριάρχαι ζηλώσαντες τὸν Ἰωσὴφ [g] ἀπέδοντο εἰς Αἴγυπτον· καὶ [i] ἦν ὁ Θεὸς μετ' αὐτοῦ.

n αἱρέω. o ἵστημι.

10 Καὶ [n] ἐξείλετο αὐτὸν ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ· καὶ [g] ἔδωκεν χάριν καὶ σοφίαν ἐναντίον Φαραὼ βασιλέως Αἰγύπτου, καὶ [o] κατέστησεν αὐτὸν ἡγούμενον ἐπ' Αἴγυπτον καὶ ὅλον τὸν οἶκον αὐτοῦ.

11 [d] Ἦλθε δὲ λιμὸς ἐφ' ὅλην τὴν γῆν Αἰγύπτου καὶ Χαναάν, καὶ θλίψις μεγάλη· καὶ οὐχ εὕρισκον χορτάσματα οἱ πατέρες ἡμῶν.

p στέλλω.

12 Ἀκούσας δὲ Ἰακὼβ [i] ὄντα σῖτα ἐν Αἰγύπτῳ, [p] ἐξαπέστειλε τοὺς πατέρας ἡμῶν πρῶτον.

* γνωρίζω. q γίνομαι.

13 Καὶ ἐν τῷ δευτέρῳ * ἀνεγνωρίσθη Ἰωσὴφ τοῖς ἀδελφοῖς αὐτοῦ· καὶ φανερὸν [q] ἐγένετο τῷ Φαραὼ τὸ γένος τοῦ Ἰωσήφ.

r καλέω.

14 [p] Ἀποστείλας δὲ Ἰωσὴφ [r] μετεκαλέσατο τὸν πατέρα αὐτοῦ Ἰακώβ, καὶ πᾶσαν τὴν συγ-

γένειαν αὐτοῦ, ἐν ψυχαῖς ἑβδομηκονταπέντε.

15 [s] Κατέβη δὲ Ἰακὼβ εἰς Αἴγυπτον· καὶ [t] ἐτελεύτησεν αὐτὸς καὶ οἱ πατέρες ἡμῶν.

16 Καὶ [u] μετετέθησαν εἰς Συχὲμ, καὶ [u] ἐτέθησαν ἐν τῷ μνήματι ὃ [x] ὠνήσατο Ἀβραὰμ τιμῆς ἀργυρίου παρὰ τῶν υἱῶν Ἐμμὸρ τοῦ Συχέμ.

17 Καθὼς δὲ [y] ἤγγιζεν ὁ χρόνος τῆς ἐπαγγελίας ἧς [z] ὤμοσεν ὁ Θεὸς τῷ Ἀβραὰμ, [a] ηὔξησεν ὁ λαὸς καὶ [b] ἐπληθύνθη ἐν Αἰγύπτῳ.

18 Ἄχρις οὗ [c] ἀνέστη βασιλεὺς ἕτερος, ὃς οὐκ [d] ᾔδει τὸν Ἰωσήφ.

19 Οὗτος [e] κατασοφισάμενος τὸ γένος ἡμῶν, [f] ἐκάκωσε τοὺς πατέρας ἡμῶν τοῦ ποιεῖν ἔκθετα τὰ βρέφη αὐτῶν, εἰς τὸ μὴ [g] ζωογονεῖσθαι.

20 Ἐν ᾧ καιρῷ * ἐγεννήθη Μωσῆς, καὶ [h] ἦν ἀστεῖος τῷ Θεῷ· ὃς [i] ἀνετράφη μῆνας τρεῖς ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ.

21 [k] Ἐκτεθέντος δὲ αὐτοῦ, [l] ἀνείλετο αὐτὸν ἡ θυγάτηρ Φαραὼ, καὶ [i] ἀνεθρέψατο αὐτὸν ἑαυτῇ εἰς υἱόν.

22 Καὶ [m] ἐπαιδεύθη Μωσῆς πάσῃ σοφίᾳ Αἰγυπτίων· [h] ἦν δὲ δυνατὸς ἐν λόγοις καὶ ἐν ἔργοις.

23 Ὡς δὲ [n] ἐπληροῦτο αὐτῷ τεσσαρακονταετὴς χρόνος, [o] ἀνέβη ἐπὶ τὴν καρδίαν αὐτοῦ [p] ἐπισκέψασθαι τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱοὺς Ἰσραήλ.

24 Καὶ [q] ἰδών τινα ἀδικούμενον, [r] ἠμύνατο, καὶ [s] ἐποίησεν ἐκδίκησιν τῷ καταπονουμένῳ, [t] πατάξας τὸν Αἰγύπτιον.

25 [u] Ἐνόμιζε δὲ [x] συνιέναι τοὺς ἀδελφοὺς αὐτοῦ ὅτι ὁ Θεὸς διὰ χειρὸς αὐτοῦ δίδωσιν αὐτοῖς σωτηρίαν· οἱ δὲ οὐ [x] συνῆκαν.

26 Τῇ δὲ * ἐπιούσῃ ἡμέρᾳ [y] ὤφθη αὐτοῖς μαχομένοις· καὶ [z] συνήλασεν αὐτοὺς εἰς εἰρήνην, εἰπὼν, Ἄνδρες, ἀδελφοί [a] ἐστε ὑμεῖς· ἵνα τί ἀδικεῖτε ἀλλήλους;

27 Ὁ δὲ ἀδικῶν τὸν πλησίον, [b] ἀπώσατο αὐτὸν, εἰπὼν, Τίς σε [c] κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς;

[s] βαίνω.
[t] τέλος.
[u] τίθημι.
[x] ὠνέομαι.
[y] ἐγγύς.
[z] ὀμνύω.
[a] αὐξάνω.
[b] πλέος.
[c] ἵστημι.
[d] εἴδω.
[e] σοφός.
[f] κακός
[g] γίνομαι.
* γεννάω.
[h] εἰμί.
[i] τρέφω.
[k] τίθημι.
[l] αἱρέω.
[m] παῖς.
[n] πλέος.
[o] βαίνω.
[p] σκέπτομαι
[q] εἴδω.
[r] ἀμύνω.
[s] ποιέω.
[t] πατάσσω.
[u] νέμω.
[x] ἕω.
* εἰμί.
[y] ὄπτομαι.
[z] ἐλαύνω.
[a] εἰμί.
[b] ὠθέω.
[c] ἵστημι.

[d] αἱρέω.

28 Μὴ [d] ἀνελεῖν με σὺ θέλεις, ὃν τρόπον [d] ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον;

[e] φεύγω. [f] γεννάω.

29 [e] Ἔφυγε δὲ Μωσῆς ἐν τῷ λόγῳ τούτῳ· καὶ ἐγένετο πάροικος ἐν γῇ Μαδιάμ, οὗ [f] ἐγέννησεν υἱοὺς δύο.

[g] πλίος. [h] ὄπτομαι. [i] φλέγω.

30 Καὶ [g] πληρωθέντων ἐτῶν τεσσαράκοντα [h] ὤφθη αὐτῷ ἐν τῇ ἐρήμῳ τοῦ ὄρους Σινᾶ ἄγγελος Κυρίου, ἐν [i] φλογὶ πυρὸς βάτου.

[k] εἴδω. [l] θαῦμα. [m] νόος. [n] γίνομαι.

31 Ὁ δὲ Μωσῆς [k] ἰδὼν [l] ἐθαύμασε τὸ ὅραμα· προσερχομένου δὲ αὐτοῦ [m] κατανοῆσαι, [n] ἐγένετο φωνὴ Κυρίου πρὸς αὐτόν,

[o] τρέμω. [p] τόλμα.

32 Ἐγὼ ὁ Θεὸς τῶν πατέρων σου, ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ. [o] Ἔντρομος δὲ [n] γενόμενος Μωσῆς οὐκ [p] ἐτόλμα [m] κατανοῆσαι.

[q] λύω.

33 Εἶπε δὲ αὐτῷ ὁ Κύριος, [q] Λῦσον τὸ ὑπόδημα τῶν ποδῶν σου· ὁ γὰρ τόπος ἐν ᾧ [c] ἕστηκας, γῆ ἁγία [a] ἐστίν.

[r] ἀκούω. [s] βαίνω. [t] στέλλω.

34 [k] Ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ, καὶ τοῦ στεναγμοῦ αὐτῶν [r] ἤκουσα, καὶ [s] κατέβην [d] ἐξελέσθαι αὐτούς· καὶ νῦν δεῦρο, [t] ἀποστελῶ σε εἰς Αἴγυπτον.

[u] ἀρνέομαι. [x] ὄπτομαι.

35 Τοῦτον τὸν Μωϋσῆν ὃν [u] ἠρνήσαντο, εἰπόντες, Τίς σε [c] κατέστησεν ἄρχοντα καὶ δικαστήν; τοῦτον ὁ Θεὸς ἄρχοντα καὶ λυτρωτὴν [t] ἀπέστειλεν ἐν χειρὶ ἀγγέλου τοῦ [x] ὀφθέντος αὐτῷ ἐν τῇ βάτῳ.

[y] ἄγω.

36 Οὗτος [y] ἐξήγαγεν αὐτοὺς, ποιήσας τέρατα καὶ σημεῖα ἐν γῇ Αἰγύπτου, καὶ ἐν ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐν τῇ ἐρήμῳ, ἔτη τεσσαράκοντα.

37 Οὗτός [a] ἐστιν ὁ Μωϋσῆς ὁ εἰπὼν τοῖς υἱοῖς Ἰσραὴλ, Προφήτην ὑμῖν [c] ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ· αὐτοῦ [r] ἀκούσεσθε.

[z] λαλέω. [a] δέχομαι. [b] δίδωμι. [c] θέλω.

38 Οὗτός [a] ἐστιν ὁ [n] γενόμενος ἐν τῇ ἐκκλησίᾳ ἐν τῇ ἐρέμῳ, μετὰ τοῦ ἀγγέλου τοῦ [z] λαλοῦντος αὐτῷ ἐν τῷ ὄρει Σινᾶ, καὶ τῶν πατέρων ἡμῶν, ὃς [a] ἐδέξατο λόγια ζῶντα, [b] δοῦναι ἡμῖν.

[d] γίνομαι.

39 Ὧ οὐκ [c] ἠθέλησαν ὑπήκοοι [d] γενέσθαι οἱ

πατέρες ἡμῶν, ἀλλ' [c] ἀπώσαντο, καὶ [f] ἐστράφησαν ταῖς καρδίαις αὐτῶν εἰς Αἴγυπτον,

40 Εἰπόντες τῷ Ἀαρὼν, [g] Ποίησον ἡμῖν θεοὺς οἳ [h] προπορεύσονται ἡμῶν· ὁ γὰρ Μωσῆς οὗτος ὃς [i] ἐξήγαγεν ἡμᾶς ἐκ τῆς γῆς Αἰγύπτου, οὐκ [k] οἴδαμεν τί [d] γέγονεν αὐτῷ.

41 Καὶ [g] ἐμοσχοποίησαν ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ [i] ἀνήγαγον θυσίαν τῷ εἰδώλῳ, καὶ [l] εὐφραίνοντο ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν.

42 [f] Ἔστρεψε δὲ ὁ Θεὸς, καὶ [b] παρέδωκεν αὐτοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ· καθὼς [m] γέγραπται ἐν βίβλῳ τῶν προφητῶν, Μὴ σφάγια καὶ θυσίας [n] προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα ἐν τῇ ἐρήμῳ, οἶκος Ἰσραήλ;

43 Καὶ [o] ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολὸχ καὶ τὸ ἄστρον τοῦ θεοῦ ὑμῶν Ῥεμφὰν, τοὺς τύπους οὓς [g] ἐποιήσατε προσκυνεῖν αὐτοῖς· καὶ μετοικιῶ ὑμᾶς [p] ἐπέκεινα Βαβυλῶνος.

44 Ἡ σκηνὴ τοῦ μαρτυρίου * ἦν ἐν τοῖς πατράσιν ἡμῶν ἐν τῇ ἐρήμῳ, καθὼς [q] διετάξατο ὁ λαλῶν τῷ Μωσῇ ποιῆσαι αὐτὴν κατὰ τὸν τύπον ὃν [r] ἑωράκει.

45 Ἣν καὶ [i] εἰσήγαγον [a] διαδεξάμενοι οἱ πατέρες ἡμῶν μετὰ Ἰησοῦ ἐν τῇ κατασχέσει τῶν ἐθνῶν, ὧν [e] ἐξῶσεν ὁ Θεὸς ἀπὸ προσώπου τῶν πατέρων ἡμῶν, ἕως τῶν ἡμερῶν Δαβίδ.

46 Ὃς [ſ] εὗρε χάριν ἐνώπιον τοῦ Θεοῦ, καὶ [t] ᾐτήσατο [ſ] εὑρεῖν σκήνωμα τῷ Θεῷ Ἰακώβ.

47 Σολομῶν δὲ ᾠκοδόμησεν αὐτῷ οἶκον.

48 Ἀλλ' οὐχ ὁ ὕψιστος ἐν χειροποιήτοις ναοῖς κατοικεῖ· καθὼς ὁ προφήτης λέγει,

49 Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. Ποῖον οἶκον [u] οἰκοδομήσετέ μοι; λέγει Κύριος. ἢ τίς τόπος τῆς καταπαύσεώς μου;

50 Οὐχὶ ἡ χείρ μου [g] ἐποίησε ταῦτα πάντα;

51 [x] Σκληροτράχηλοι, καὶ [y] ἀπερίτμητοι τῇ καρδίᾳ καὶ τοῖς [z] ὠσίν, ὑμεῖς ἀεὶ τῷ πνεύματι

[c] ὠθέω.
[f] στρέφω.
[g] ποιέω.
[h] πείρω.
[i] ἄγω.
[k] εἴδω.
[l] φρήν.
[m] γράφω.
[n] φέρω.
[o] λαμβάνω.
[p] ἐκεῖνος.
* εἰμί.
[q] τάσσω.
[r] ὁράω.
[ſ] εὑρίσκω.
[t] αἰτέω.
[u] δέμω.
[x] τράχηλος.
[y] τέμνω.
[z] οὖς.

τῷ ἁγίῳ ἀντιπίπτετε· ὡς οἱ πατέρες ὑμῶν, καὶ ὑμεῖς.

52 Τίνα τῶν προφητῶν οὐκ [a] ἐδίωξαν οἱ πατέρες ὑμῶν; καὶ [b] ἀπέκτειναν τοὺς [c] προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως τοῦ δικαίου, οὗ νῦν ὑμεῖς [d] προδόται καὶ φονεῖς [e] γεγένησθε·

53 Οἵτινες [f] ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων, καὶ οὐκ [g] ἐφυλάξατε.

54 Ἀκούοντες δὲ ταῦτα, [h] διεπρίοντο ταῖς καρδίαις αὐτῶν, καὶ [i] ἔβρυχον τοὺς ὀδόντας ἐπ' αὐτόν.

55 Ὑπάρχων δὲ πλήρης πνεύματος ἁγίου, [k] ἀτενίσας εἰς τὸν οὐρανὸν, εἶδε δόξαν Θεοῦ, καὶ Ἰησοῦν [l] ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ·

56 Καὶ εἶπεν, Ἰδοὺ, θεωρῶ τοὺς οὐρανοὺς [m] ἀνεῳγμένους, καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν [l] ἑστῶτα τοῦ Θεοῦ.

57 [n] Κράξαντες δὲ φωνῇ μεγάλῃ, [o] συνέσχον τὰ [p] ὦτα αὐτῶν, καὶ [q] ὥρμησαν ὁμοθυμαδὸν ἐπ' αὐτόν.

58 Καὶ [r] ἐκβαλόντες ἔξω τῆς πόλεως, [r] ἐλιθοβόλουν· καὶ οἱ μάρτυρες [s] ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς [t] πόδας νεανίου καλουμένου Σαύλου.

59 Καὶ [r] ἐλιθοβόλουν τὸν Στέφανον, ἐπικαλούμενον καὶ λέγοντα, Κύριε Ἰησοῦ [u] δέξαι τὸ πνεῦμά μου.

60 [s] Θεὶς δὲ τὰ γόνατα, [n] ἔκραξε φωνῇ μεγάλῃ, Κύριε, μὴ [l] στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. Καὶ τοῦτο εἰπὼν [x] ἐκοιμήθη.

Κεφ. η'. Cap. VIII.

ΣΑῦλος δὲ [a] ἦν συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ. [b] Ἐγένετο δὲ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ διωγμὸς μέγας ἐπὶ τὴν ἐκκλησίαν τὴν ἐν Ἱεροσολύμοις· πάντες τε [c] διεσπάρησαν κατὰ τὰς χώρας τῆς Ἰουδαίας καὶ Σαμαρείας, πλὴν τῶν ἀποστόλων.

2 [d] Συνεκόμισαν δὲ τὸν Στέφανον ἄνδρες εὐλαβεῖς, καὶ [e] ἐποιήσαντο κοπετὸν μέγαν ἐπ' αὐτῷ.

3 Σαῦλος δὲ [f] ἐλυμαίνετο τὴν ἐκκλησίαν, κατὰ

τοὺς

[a] διώκω.
[b] κτείνω.
[c] ἀγγέλλω.
[d] δίδωμι.
[e] γίνομαι.
[f] λαμβάνω.
[g] φυλάττω.
[h] πρίω.
[i] βρύχω.
[k] τείνω.
[l] ἵστημι.
[m] οἴγω.
[n] κράζω.
[o] ἔχω.
[p] οὖς.
[q] ὁρμή.
[r] βάλλω.
[s] τίθημι.
[t] πούς.
[u] δέχομαι.
[x] κοιμάω.

[a] εἰμί.
[b] γίνομαι.
[c] σπείρω.
[d] κομίζω.
[e] ποιέω.
[f] λῦμα.

τοὺς οἴκους [g] εἰσπορευόμενος· σύρων τε ἄνδρας [g] πείρω.
καὶ γυναῖκας, [h] παρεδίδου εἰς φυλακήν. [h] δίδωμι.

4 Οἱ μὲν οὖν [c] διασπαρέντες [i] διῆλθον, εὐ- [i] ἔρχομαι.
αγγελιζόμενοι τὸν λόγον.

5 Φίλιππος δὲ [i] κατελθὼν εἰς πόλιν τῆς Σα-
μαρείας, [k] ἐκήρυσσεν αὐτοῖς τὸν Χριστόν· [k] κήρυξ.

6 [l] Προσεῖχόν τε οἱ ὄχλοι τοῖς λεγομένοις [l] ἔχω.
ὑπὸ τοῦ Φιλίππου ὁμοθυμαδὸν, ἐν τῷ ἀκούειν
αὐτοὺς, καὶ βλέπειν τὰ σημεῖα ἃ ἐποίει.

7 Πολλῶν γὰρ τῶν ἐχόντων πνεύματα ἀκά-
θαρτα, [m] βοῶντα μεγάλῃ φωνῇ, [i] ἐξήρχετο· [m] βοάω.
πολλοὶ δὲ [n] παραλελυμένοι καὶ χωλοὶ [o] ἐθερα- [n] λύω.
πεύθησαν. [o] θεράπων.

8 Καὶ [b] ἐγένετο χαρὰ μεγάλη ἐν τῇ πόλει
ἐκείνη.

9 ¶ Ἀνὴρ δέ τις ὀνόματι Σίμων [p] προϋ- [p] ἄρχω.
πῆρχεν ἐν τῇ πόλει μαγεύων καὶ [q] ἐξιστῶν τὸ [q] ἵστημι.
ἔθνος τῆς Σαμαρείας, λέγων [a] εἶναί τινα ἑαυτὸν
μέγαν.

10 Ὧ [l] προσεῖχον πάντες ἀπὸ μικροῦ ἕως
μεγάλου, λέγοντες, Οὗτός [a] ἐστιν ἡ δύναμις τοῦ
Θεοῦ ἡ μεγάλη.

11 [l] Προσεῖχον δὲ αὐτῷ διὰ τὸ ἱκανῷ χρόνῳ
ταῖς μαγείαις [q] ἐξεστακέναι αὐτούς.

12 Ὅτε δὲ [r] ἐπίστευσαν τῷ Φιλίππῳ εὐαγ- [r] πίστις.
γελιζομένῳ τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ καὶ τοῦ
ὀνόματος τοῦ Ἰησοῦ Χριστοῦ, ἐβαπτίζοντο ἄν-
δρες τε καὶ γυναῖκες.

13 Ὁ δὲ Σίμων, καὶ αὐτὸς [r] ἐπίστευσε, καὶ βα-
πτισθεὶς, [a] ἦν προσκαρτερῶν τῷ Φιλίππῳ·
θεωρῶν τε σημεῖα καὶ δυνάμεις μεγάλας γινο-
μένας, [q] ἐξίστατο.

14 Ἀκούσαντες δὲ οἱ ἐν Ἱεροσολύμοις ἀπό-
στολοι ὅτι δέδεκται ἡ Σαμάρεια τὸν λόγον τοῦ Θεοῦ,
[s] ἀπέστειλαν πρὸς αὐτοὺς τὸν Πέτρον καὶ Ἰωάν- [s] στέλλω.
νην.

15 Οἵτινες [t] καταβάντες [u] προσηύξαντο [t] βαίνω.
περὶ αὐτῶν ὅπως [x] λάβωσι πνεῦμα ἅγιον. [u] εὐχή.

16 (Οὔπω γὰρ [a] ἦν ἐπ' οὐδενὶ αὐτῶν ἐπι- [x] λαμβάνω.
πεπτωκὸς,

πεπτωκὸς, μόνον δὲ βεβαπτισμένοι [p] ὑπῆρχον
εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ.)

[z] τίθημι. — 17 Τότε [z] ἐπετίθουν τὰς χεῖρας ἐπ' αὐτούς,
καὶ [x] ἐλάμβανον πνεῦμα ἅγιον.

[a] θεάομαι. — 18 [a] Θεασάμενος δὲ ὁ Σίμων ὅτι διὰ τῆς ἐπι-
[b] δίδωμι. — θέσεως τῶν χειρῶν τῶν ἀποστόλων [b] δίδοται τὸ
[c] φέρω. — πνεῦμα τὸ ἅγιον, [c] προσήνεγκεν αὐτοῖς χρή-
ματα,

[d] καὶ ἐμοί. — 19 Λέγων, [b] Δότε [d] κἀμοὶ τὴν ἐξουσίαν ταύ-
[e] τίθημι. — την, ἵνα ᾧ ἐὰν [e] ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ
πνεῦμα ἅγιον.

20 Πέτρος δὲ εἶπε πρὸς αὐτόν, Τὸ ἀργύρι-
[f] εἰμί. — ον σου σὺν σοὶ [f] εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρε-
[g] νέμω. — ὰν τοῦ Θεοῦ [g] ἐνόμισας διὰ χρημάτων [h] κτᾶσθαι.

[h] κτάομαι. — 21 Οὐκ [f] ἔστι σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ
λόγῳ τούτῳ· ἡ γὰρ καρδία σου οὐκ [d] ἔστιν εὐθεῖα
ἐνώπιον τοῦ Θεοῦ.

[i] νόος. — 22 [i] Μετανόησον οὖν ἀπὸ τῆς κακίας σου ταύ-
[k] δέομαι. — της, καὶ [k] δεήθητι τοῦ Θεοῦ, εἰ ἄρα * ἀφεθήσεταί
* ἵω. — σοι ἡ ἐπίνοια τῆς καρδίας σου.

23 Εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδι-
κίας ὁρῶ σε [f] ὄντα.

[l] κρίνω. — 24 [l] Ἀποκριθεὶς δὲ ὁ Σίμων εἶπε, [k] Δεήθητε
ὑμεῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν Κύριον, ὅπως μηδὲν
[m] ἔρχομαι. — [m] ἐπέλθῃ ἐπ' ἐμὲ ὧν [n] εἰρήκατε.

[n] εἴρω. — 25 ¶ Οἱ μὲν οὖν, διαμαρτυράμενοι, καὶ [o] λα-
[o] λαλέω. — λήσαντες τὸν λόγον τοῦ Κυρίου, [p] ὑπέστρεψαν εἰς
[p] στρέφω. — Ἱερουσαλήμ, πολλάς τε κώμας τῶν Σαμαρειτῶν
[q] ἀγγέλλω. — [q] εὐηγγελίσαντο.

26 Ἄγγελος δὲ Κυρίου [o] ἐλάλησε πρὸς Φί-
[r] ἵστημι. — λιππον, λέγων, [r] Ἀνάστηθι καὶ [s] πορεύου κατὰ με-
[s] πείρω. — σημβρίαν, ἐπὶ τὴν ὁδὸν τὴν καταβαίνουσαν ἀπὸ Ἱε-
ρουσαλὴμ εἰς Γάζαν· (αὕτη [f] ἐστὶν ἔρημος.)

27 Καὶ [r] ἀναστὰς [s] ἐπορεύθη· καὶ ἰδοὺ ἀνὴρ
Αἰθίοψ εὐνοῦχος, δυνάστης Κανδάκης τῆς βα-
σιλίσσης Αἰθιόπων, ὃς [f] ἦν ἐπὶ πάσης τῆς γάζης
[t] κύω. — αὐτῆς, ὃς [m] ἐληλύθει [t] προσκυνήσων εἰς Ἱερου-
σαλήμ·

[u] ἧμαι. — 28 [f] Ἦν τε [p] ὑποστρέφων, καὶ [u] καθήμενος ἐπὶ

τοῦ ἅρματος αὐτοῦ, καὶ [x] ἀνεγίνωσκε τὸν προφήτην Ἡσαΐαν.

29 Εἶπε δὲ τὸ πνεῦμα τῷ Φιλίππῳ, [m] Πρόσελθε, καὶ [y] κολλήθητι τῷ ἅρματι τούτῳ.

30 [z] Προσδραμὼν δὲ ὁ Φίλιππος [a] ἤκουσεν αὐτοῦ ἀναγινώσκοντος τὸν προφήτην Ἡσαΐαν, καὶ εἶπεν, Ἆρά γε γινώσκεις ἃ ἀναγινώσκεις;

31 Ὁ δὲ εἶπε, Πῶς γὰρ ἂν [b] δυναίμην, ἐὰν μή τις [c] ὁδηγήσῃ με; Παρεκάλεσέ τε τὸν Φίλιππον [d] ἀναβάντα [e] καθίσαι σὺν αὐτῷ.

32 Ἡ δὲ περιοχὴ τῆς γραφῆς ἣν [f] ἀνεγίνωσκεν, [g] ἦν αὕτη, Ὡς πρόβατον ἐπὶ σφαγὴν [c] ἤχθη· καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.

33 Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ [h] ἤρθη· τὴν δὲ γενεὰν αὐτοῦ τίς [i] διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ.

34 [k] Ἀποκριθεὶς δὲ ὁ εὐνοῦχος τῷ Φιλίππῳ, εἶπε, Δέομαί σου, περὶ τίνος ὁ προφήτης λέγει τοῦτο; περὶ ἑαυτοῦ, ἢ περὶ ἑτέρου τινός;

35 [l] Ἀνοίξας δὲ ὁ Φίλιππος τὸ στόμα αὐτοῦ, καὶ [m] ἀρξάμενος ἀπὸ τῆς γραφῆς ταύτης, [n] εὐηγγελίσατο αὐτῷ τὸν Ἰησοῦν.

36 Ὡς δὲ [o] ἐπορεύοντο κατὰ τὴν ὁδὸν, [p] ἦλθον ἐπί τι ὕδωρ· καί φησιν ὁ εὐνοῦχος, Ἰδοὺ ὕδωρ· τί κωλύει με βαπτισθῆναι;

37 Εἶπε δὲ ὁ Φίλιππος, Εἰ πιστεύεις ἐξ ὅλης τῆς καρδίας, [g] ἔξεστιν. [q] Ἀποκριθεὶς δὲ εἶπε, Πιστεύω τὸν υἱὸν τοῦ Θεοῦ [g] εἶναι τὸν Ἰησοῦν Χριστόν.

38 Καὶ ἐκέλευσε [r] στῆναι τὸ ἅρμα· καὶ κατέβησαν ἀμφότεροι εἰς τὸ ὕδωρ, ὅ, τε Φίλιππος καὶ ὁ εὐνοῦχος· καὶ ἐβάπτισεν αὐτόν.

39 Ὅτε δὲ [d] ἀνέβησαν ἐκ τοῦ ὕδατος, πνεῦμα Κυρίου [f] ἥρπασε τὸν Φίλιππον, καὶ οὐκ εἶδεν αὐτὸν οὐκέτι ὁ εὐνοῦχος· [o] ἐπορεύετο γὰρ τὴν ὁδὸν αὐτοῦ χαίρων·

40 Φίλιππος δὲ [t] εὑρέθη εἰς Ἄζωτον· καὶ διερχόμενος [u] εὐηγγελίσατο τὰς πόλεις πάσας, ἕως τοῦ [p] ἐλθεῖν αὐτὸν εἰς Καισάρειαν.

[x] γινώσκω.
[y] κόλλα.
[z] τρέχω.
[a] ἀκούω.
[b] δύναμαι.
[c] ἄγω.
[d] βαίνω.
[e] ἕζω.
[f] γινώσκω.
[g] εἰμί.
[h] αἴρω.
[i] ἡγέομαι.
[k] κρίνω.
[l] οἴγω.
[m] ἄρχω.
[n] ἄγγελος.
[o] πείρω.
[p] ἔρχομαι.
[q] κρίνω.
[r] ἵστημι.
[f] ἁρπάζω.
[t] εὑρίσκω.
[u] ἄγγελος.

Κεφ.

Κεφ. θʹ. Cap. IX.

Ὁ ΔῈ Σαῦλος ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου, [a] προσελθὼν τῷ ἀρχιερεῖ,

2 [b] Ἠτήσατο παρ' αὐτοῦ ἐπιστολὰς εἰς Δαμασκὸν πρὸς τὰς συναγωγάς, ὅπως ἐάν τινας * εὕρῃ τῆς ὁδοῦ [c] ὄντας ἄνδρας τε καὶ γυναῖκας, [d] δεδεμένους [e] ἀγάγῃ εἰς Ἱερουσαλήμ.

3 Ἐν δὲ τῷ [f] πορεύεσθαι, [g] ἐγένετο αὐτὸν ἐγγίζειν τῇ Δαμασκῷ· καὶ ἐξαίφνης [h] περιήστραψεν αὐτὸν φῶς ἀπὸ τοῦ οὐρανοῦ.

4 Καὶ [i] πεσὼν ἐπὶ τὴν γῆν, [k] ἤκουσε φωνὴν λέγουσαν αὐτῷ, Σαοὺλ, Σαοὺλ, τί με διώκεις;

5 Εἶπε δὲ, Τίς εἶ, Κύριε; Ὁ δὲ Κύριος εἶπεν, Ἐγώ εἰμι Ἰησοῦς ὃν σὺ διώκεις· σκληρόν σοι πρὸς κέντρα λακτίζειν.

6 Τρέμων τε καὶ θαμβῶν εἶπε, Κύριε, τί με θέλεις ποιῆσαι; Καὶ ὁ κύριος πρὸς αὐτόν, [l] Ἀνάστηθι, καὶ [m] εἴσελθε εἰς τὴν πόλιν· καὶ [n] λαληθήσεταί σοι τί σε δεῖ ποιεῖν.

7 Οἱ δὲ ἄνδρες οἱ [o] συνοδεύοντες αὐτῷ [l] εἱστήκεισαν [c] ἐννεοὶ, ἀκούοντες μὲν τῆς φωνῆς, μηδένα δὲ θεωροῦντες.

8 [p] Ἠγέρθη δὲ ὁ Σαῦλος ἀπὸ τῆς γῆς· [q] ἀνεῳγμένων δὲ τῶν ὀφθαλμῶν αὐτοῦ, οὐδένα ἔβλεπε· [c] χειραγωγοῦντες δὲ αὐτὸν [c] εἰσήγαγον εἰς Δαμασκόν.

9 Καὶ [c] ἦν ἡμέρας τρεῖς μὴ βλέπων· καὶ οὐκ [r] ἔφαγεν, οὐδὲ [s] ἔπιεν.

10 [c] Ἦν δέ τις μαθητὴς ἐν Δαμασκῷ ὀνόματι Ἀνανίας, καὶ εἶπε πρὸς αὐτὸν ὁ Κύριος ἐν ὁράματι, Ἀνανία. Ὁ δὲ εἶπεν, [t] Ἰδοὺ ἐγώ, Κύριε.

11 Ὁ δὲ Κύριος πρὸς αὐτόν, [l] Ἀναστὰς [f] πορεύθητι ἐπὶ τὴν ῥύμην τὴν [u] καλουμένην εὐθεῖαν, καὶ ζήτησον ἐν οἰκίᾳ Ἰούδα Σαῦλον ὀνόματι Ταρσέα· ἰδοὺ γὰρ προσεύχεται.

12 Καὶ εἶδεν ἐν ὁράματι ἄνδρα ὀνόματι Ἀνανίαν [m] εἰσελθόντα, καὶ [x] ἐπιθέντα αὐτῷ χεῖρα, ὅπως [y] ἀναβλέψῃ.

[a] ἔρχομαι.
[b] αἰτέω.
* εὑρίσκω.
[c] εἰμί.
[d] δέω.
[e] ἄγω.
[f] πείρω.
[g] γίνομαι.
[h] ἀστράπτω.
[i] πίπτω.
[k] ἀκούω.
[l] ἵστημι.
[m] ἔρχομαι.
[n] λαλέω.
[o] ὁδός.
[p] ἐγείρω.
[q] οἴγω.
[r] φάγω.
[s] πίνω.
[t] εἴδω.
[u] καλέω.
[x] τίθημι.
[y] βλέπω.

13 [z] Ἀπεκρίθη δὲ ὁ Ἀνανίας, Κύριε, [a] ἀκήκοα ἀπὸ πολλῶν περὶ τοῦ ἀνδρὸς τούτου, ὅσα κακὰ [b] ἐποίησε τοῖς ἁγίοις σου ἐν Ἱερουσαλήμ·

14 Καὶ ὧδε ἔχει ἐξουσίαν παρὰ τῶν ἀρχιερέων, [c] δῆσαι πάντας τοὺς [d] ἐπικαλουμένους τὸ ὄνομά σου.

15 Εἶπε δὲ πρὸς αὐτὸν ὁ Κύριος, [e] Πορεύου· ὅτι σκεῦος ἐκλογῆς μοι [f] ἐστὶν οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν, καὶ βασιλέων, υἱῶν τε Ἰσραήλ.

16 Ἐγὼ γὰρ [g] ὑποδείξω αὐτῷ ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μου [h] παθεῖν.

17 [i] Ἀπῆλθε δὲ Ἀνανίας, καὶ [i] εἰσῆλθεν εἰς τὴν οἰκίαν· καὶ [k] ἐπιθεὶς ἐπ' αὐτὸν τὰς χεῖρας, εἶπε, Σαοὺλ ἀδελφὲ, ὁ Κύριος [l] ἀπέσταλκέ με (Ἰησοῦς ὁ [m] ὀφθείς σοι ἐν τῇ ὁδῷ ᾗ [i] ἤρχου) ὅπως [n] ἀναβλέψῃς, καὶ [o] πλησθῇς πνεύματος ἁγίου.

18 Καὶ εὐθέως [p] ἀπέπεσον ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ ὡσεὶ λεπίδες· [n] ἀνέβλεψέ τε παραχρῆμα· καὶ [q] ἀναστὰς ἐβαπτίσθη.

19 Καὶ [r] λαβὼν τροφὴν [s] ἐνίσχυσεν· [t] ἐγένετο δὲ ὁ Σαῦλος μετὰ τῶν ἐν Δαμασκῷ μαθητῶν ἡμέρας τινάς.

20 Καὶ εὐθέως ἐν ταῖς συναγωγαῖς [u] ἐκήρυσσε τὸν Χριστὸν, ὅτι οὗτός [f] ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ.

21 [q] Ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες, καὶ [x] ἔλεγον, Οὐχ οὗτός [f] ἐστιν ὁ [c] πορθήσας ἐν Ἱερουσαλὴμ τοὺς [d] ἐπικαλουμένους τὸ ὄνομα τοῦτο; καὶ ὧδε εἰς τοῦτο [i] ἐληλύθει ἵνα [c] δεδεμένους αὐτοὺς [y] ἀγάγῃ ἐπὶ τοὺς ἀρχιερεῖς;

22 Σαῦλος δὲ μᾶλλον [z] ἐνεδυναμοῦτο, καὶ [a] συνέχυνε τοὺς Ἰουδαίους τοὺς κατοικοῦντας ἐν Δαμασκῷ, συμβιβάζων ὅτι οὗτός [b] ἐστιν ὁ Χριστός.

23 Ὡς δὲ [c] ἐπληροῦντο ἡμέραι ἱκαναὶ, [d] συνεβουλεύσαντο οἱ Ἰουδαῖοι [e] ἀνελεῖν αὐτόν.

24 [f] Ἐγνώσθη δὲ τῷ Σαύλῳ ἡ ἐπιβουλὴ αὐτῶν· [g] παρετήρουν τε τὰς πύλας ἡμέρας

τε

[z] κρίνω.
[a] ἀκούω.
[b] ποιέω.
[c] δέω.
[d] καλέω.
[e] πορεύω.
[f] εἰμί.
[g] δεικνύω.
[h] πάσχω.
[i] ἔρχομαι.
[k] τίθημι.
[l] στέλλω.
[m] ὄπτομαι.
[n] βλέπω.
[o] πλέος.
[p] πίπτω.
[q] ἵστημι.
[r] λαμβάνω.
[s] ἰσχύς.
[t] γίνομαι.
[u] κῆρυξ.
[x] λέγω.
[y] ἄγω.
[z] δύναμαι.
[a] χύνω.
[b] εἰμί.
[c] πλέος.
[d] βουλή.
[e] αἱρέω.
[f] γινώσκω.
[g] τηρέω.

τε καὶ νυκτὸς, ὅπως αὐτὸν [c] ἀνέλωσι.

[h] λαμβάνω. 25 [h] Λαβόντες δὲ αὐτὸν οἱ μαθηταὶ νυκτὸς,
[i] ἕω. [i] καθῆκαν διὰ τοῦ τείχους, χαλάσαντες ἐν σπυρίδι.

[k] γίνομαι. 26 [k] Παραγενόμενος δὲ ὁ Σαῦλος εἰς Ἱερουσαλὴμ,
[l] πεῖρα. [l] ἐπειρᾶτο [m] κολλᾶσθαι τοῖς μαθηταῖς·
[m] κόλλα. καὶ πάντες [n] ἐφοβοῦντο αὐτὸν, μὴ πιστεύοντες
[n] φέβομαι. ὅτι [b] ἐστὶ μαθητής·

27 Βαρνάβας δὲ [h] ἐπιλαβόμενος αὐτὸν,
[o] ἄγω. [o] ἤγαγε πρὸς τοὺς ἀποστόλους· καὶ [p] διηγήσατο αὐτοῖς
[p] ἡγέομαι. πῶς ἐν τῇ ὁδῷ εἶδε τὸν Κύριον, καὶ ὅτι [q] ἐλάλησεν
[q] λαλέω. αὐτῷ, καὶ πῶς ἐν Δαμασκῷ [r] ἐπαῤῥησιάσατο
[r] ῥέω. ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ.

[f] πείρω. 28 Καὶ [b] ἦν μετ᾽ αὐτῶν [f] εἰσπορευόμενος
καὶ [f] ἐκπορευόμενος ἐν Ἱερουσαλήμ.

29 Καὶ [r] παῤῥησιαζόμενος ἐν τῷ ὀνόματι
τοῦ Κυρίου Ἰησοῦ ἐλάλει τε καὶ συνεζήτει πρὸς
[t] χείρ. τοὺς Ἑλληνιστάς· οἱ δὲ [t] ἐπεχείρουν αὐτὸν [u] ἀνελεῖν.
[u] αἱρέω.

30 [f] Ἐπιγνόντες δὲ οἱ ἀδελφοὶ [i] κατήγαγον
[x] στέλλω. αὐτὸν εἰς Καισάρειαν, καὶ [x] ἐξαπέστειλαν αὐτὸν
εἰς Ταρσόν.

31 Αἱ μὲν οὖν ἐκκλησίαι καθ᾽ ὅλης τῆς Ἰουδαίας
καὶ Γαλιλαίας καὶ Σαμαρείας εἶχον εἰρήνην,
[y] δέμω. [y] οἰκοδομούμεναι καὶ [f] πορευόμεναι τῷ φόβῳ τοῦ
Κυρίου, καὶ τῇ παρακλήσει τοῦ ἁγίου πνεύματος
[o] πλέος. [o] ἐπληθύνοντο.

32 ¶ [k] Ἐγένετο δὲ Πέτρον διερχόμενον
[z] ἔρχομαι. διὰ πάντων, [z] κατελθεῖν καὶ πρὸς τοὺς ἁγίους
τοὺς κατοικοῦντας Λύδδαν.

[a] εὑρίσκω. 33 [a] Εὗρε δὲ ἐκεῖ ἄνθρωπόν τινα Αἰνέαν
[b] κεῖμαι. ὀνόματι, ἐξ ἐτῶν ὀκτὼ [b] κατακείμενον ἐπὶ
[c] εἰμί. κραββάτῳ, ὃς [c] ἦν [d] παραλελυμένος.
[d] λύω. 34 Καὶ εἶπεν αὐτῷ ὁ Πέτρος, Αἰνέα, [e] ἰᾶταί
[e] ἰάομαι. σε Ἰησοῦς ὁ Χριστός· [f] ἀνάστηθι, καὶ [g] στρῶσον
[f] ἵστημι. σεαυτῷ. Καὶ εὐθέως [f] ἀνέστη.
[g] στορέω. 35 Καὶ εἶδον αὐτὸν πάντες οἱ κατοικοῦντες
[h] στρέφω. Λύδδαν καὶ τὸν Σάρωνα· οἵτινες [h] ἐπέστρεψαν ἐπὶ
τὸν Κύριον.

36 Ἐν Ἰόππῃ δέ τις [c] ἦν μαθήτρια ὀνόματι Ταβιθὰ (ἣ [i] διερμηνευομένη λέγεται Δορκάς·) αὕτη [c] ἦν πλήρης ἀγαθῶν ἔργων καὶ ἐλεημοσυνῶν ὧν ἐποίει.

37 [k] Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις [l] ἀσθενήσασαν αὐτὴν [m] ἀποθανεῖν· λούσαντες δὲ αὐτὴν [n] ἔθηκαν ἐν ὑπερῴῳ.

38 Ἐγγὺς δὲ [c] οὔσης Λύδδης τῇ Ἰόππῃ, οἱ μαθηταὶ ἀκούσαντες ὅτι Πέτρος [c] ἐστὶν ἐν αὐτῇ, [o] ἀπέστειλαν δύο ἄνδρας πρὸς αὐτὸν, παρακαλοῦντες μὴ [p] ὀκνῆσαι [q] διελθεῖν ἕως αὐτῶν.

39 [f] Ἀναστὰς δὲ Πέτρος [q] συνῆλθεν αὐτοῖς· ὃν [k] παραγενόμενον [r] ἀνήγαγον εἰς τὸ ὑπερῷον· καὶ [f] παρέστησαν αὐτῷ πᾶσαι αἱ χῆραι κλαίουσαι, καὶ [ſ] ἐπιδεικνύμεναι χιτῶνας καὶ ἱμάτια ὅσα ἐποίει μετ᾽ αὐτῶν [c] οὖσα ἡ Δορκάς.

40 Ἐκβαλὼν δὲ ἔξω πάντας ὁ Πέτρος, [n] θεὶς τὰ γόνατα [t] προσηύξατο· καὶ [h] ἐπιστρέψας πρὸς τὸ σῶμα, εἶπε, Ταβιθὰ [f] ἀνάστηθι. Ἡ δὲ [u] ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ [x] ἰδοῦσα τὸν Πέτρον, [y] ἀνεκάθισε.

41 [z] Δοὺς δὲ αὐτῇ χεῖρα, [a] ἀνέστησεν αὐτήν· φωνήσας δὲ τοὺς ἁγίους καὶ τὰς χήρας, [a] παρέστησεν αὐτὴν [b] ζῶσαν.

42 Γνωστὸν δὲ [c] ἐγένετο καθ᾽ ὅλης τῆς Ἰόππης· καὶ πολλοὶ [d] ἐπίστευσαν ἐπὶ τὸν Κύριον.

43 [c] Ἐγένετο δὲ ἡμέρας ἱκανὰς [e] μεῖναι αὐτὸν ἐν Ἰόππῃ παρά τινι Σίμωνι βυρσεῖ.

Κεφ. ι. Cap. X.

ʼ Ἀνὴρ δέ τις [a] ἦν ἐν Καισαρείᾳ ὀνόματι Κορνήλιος, ἑκατοντάρχης, ἐκ σπείρης τῆς [b] καλουμένης Ἰταλικῆς,

2 Εὐσεβὴς καὶ φοβούμενος τὸν Θεὸν, σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ· ποιῶν τε ἐλεημοσύνας πολλὰς τῷ λαῷ, καὶ δεόμενος τοῦ Θεοῦ διαπαντός.

3 Εἶδεν ἐν ὁράματι φανερῶς, ὡσεὶ ὥραν ἐννάτην τῆς ἡμέρας, ἄγγελον τοῦ Θεοῦ [c] εἰσελθόντα πρὸς αὐτὸν, καὶ εἰπόντα αὐτῷ, Κορνήλιε.

4 Ὁ

[i] ἑρμηνεύω.
[k] γίνομαι.
[l] σθένος.
[m] θνήσκω.
[n] τίθημι.
[o] στέλλω.
[p] ὄκνος.
[q] ἔρχομαι.
[r] ἄγω.
[ſ] δεικνύω.
[t] εὔχομαι.
[u] οἴγω.
[x] εἴδω.
[y] ἕζω.
[z] δίδωμι.
[a] ἵστημι.
[b] ζάω.
[c] γίνομαι.
[d] πίστις.
[e] μένω.
[a] εἰμί.
[b] καλέω.
[c] ἔρχομαι.

4 Ὁ δὲ [d] ἀτενίσας αὐτῷ, καὶ ἔμφοβος [e] γενόμενος, εἶπε, Τί ἐστι Κύριε; Εἶπε δὲ αὐτῷ, Αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου [f] ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ.

5 Καὶ νῦν [g] πέμψον εἰς Ἰόππην ἄνδρας, καὶ [g] μετάπεμψαι Σίμωνα ὃς ἐπικαλεῖται Πέτρος.

6 Οὗτος [h] ξενίζεται παρά τινι Σίμωνι βυρσεῖ, ᾧ ἐστιν οἰκία παρὰ θάλασσαν· οὗτος [i] λαλήσει σοι τί σε δεῖ ποιεῖν.

7 Ὡς δὲ [c] ἀπῆλθεν ὁ ἄγγελος ὁ λαλῶν τῷ Κορνηλίῳ, φωνήσας δύο τῶν οἰκετῶν αὐτοῦ, καὶ στρατιώτην εὐσεβῆ τῶν προσκαρτερούντων αὐτῷ·

8 Καὶ [k] ἐξηγησάμενος αὐτοῖς ἅπαντα, [l] ἀπέστειλεν αὐτοὺς εἰς τὴν Ἰόππην.

9 Τῇ δὲ ἐπαύριον [m] ὁδοιπορούντων ἐκείνων, καὶ τῇ πόλει ἐγγιζόντων, [n] ἀνέβη Πέτρος ἐπὶ τὸ δῶμα [o] προσεύξασθαι, περὶ ὥραν ἕκτην.

10 Ἐγένετο δὲ πρόσπεινος, καὶ [p] ἤθελε γεύσασθαι· παρασκευαζόντων δὲ ἐκείνων, [q] ἐπέπεσεν ἐπ' αὐτὸν ἔκστασις·

11 Καὶ θεωρεῖ τὸν οὐρανὸν [r] ἀνεῳγμένον, καὶ καταβαῖνον ἐπ' αὐτὸν σκεῦός τι ὡς ὀθόνην μεγάλην, τέσσαρσιν ἀρχαῖς [s] δεδεμένον, καὶ [t] καθιέμενον ἐπὶ τῆς γῆς.

12 Ἐν ᾧ [u] ὑπῆρχε πάντα τὰ τετράποδα τῆς γῆς, καὶ τὰ θηρία, καὶ τὰ ἑρπετὰ, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ.

13 Καὶ ἐγένετο φωνὴ πρὸς αὐτὸν, [x] Ἀναστὰς Πέτρε, [y] θῦσον καὶ [z] φάγε.

14 Ὁ δὲ Πέτρος εἶπε, Μηδαμῶς Κύριε· ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν ἢ ἀκάθαρτον.

15 Καὶ φωνὴ πάλιν ἐκ δευτέρου πρὸς αὐτὸν, Ἃ ὁ Θεὸς * ἐκαθάρισε, σὺ μὴ κοίνου.

16 Τοῦτο δὲ [a] ἐγένετο ἐπὶ τρίς· καὶ πάλιν [b] ἀνελήφθη τὸ σκεῦος εἰς τὸν οὐρανόν.

17 Ὡς

[d] τείνω.
[e] γίνομαι.
[f] βαίνω.
[g] πέμπω.
[h] ξένος.
[i] λαλέω.
[k] ἡγέομαι.
[l] στέλλω.
[m] πείρω.
[n] βαίνω.
[o] εὐχή.
[p] θέλω.
[q] πίπτω.
[r] οἴγω.
[s] δέω.
[t] ἵω.
[u] ἄρχω.
[x] ἵστημι.
[y] θύω.
[z] φάγω.
* καθαίρω.
[a] γίνομαι.
[b] λαμβάνω.

17 Ὡς δὲ ἐν ἑαυτῷ [c] διηπόρει ὁ Πέτρος τί ἂν [d] εἴη τὸ ὅραμα ὃ εἶδε, καὶ ἰδού, οἱ ἄνδρες οἱ [e] ἀπεσταλμένοι ἀπὸ τοῦ Κορνηλίου, [f] διερωτήσαντες τὴν οἰκίαν Σίμωνος, [g] ἐπέστησαν ἐπὶ τὸν πυλῶνα.

18 Καὶ φωνήσαντες [h] ἐπυνθάνοντο εἰ Σίμων ὁ ἐπικαλούμενος Πέτρος ἐνθάδε ξενίζεται.

19 Τοῦ δὲ Πέτρου [i] ἐνθυμουμένου περὶ τοῦ ὁράματος, εἶπεν αὐτῷ τὸ πνεῦμα, Ἰδού, ἄνδρες τρεῖς ζητοῦσί σε.

20 Ἀλλὰ [g] ἀναστὰς [k] κατάβηθι, καὶ [c] πορεύου σὺν αὐτοῖς, μηδὲν διακρινόμενος· διότι ἐγὼ [g] ἀπέσταλκα αὐτούς.

21 [k] Καταβὰς δὲ Πέτρος πρὸς τοὺς ἄνδρας τοὺς [g] ἀπεσταλμένους ἀπὸ τοῦ Κορνηλίου πρὸς αὐτόν, εἶπεν, Ἰδού, ἐγώ εἰμι ὃν ζητεῖτε· τίς ἡ αἰτία δι' ἣν [g] πάρεστε;

22 Οἱ δὲ εἶπον, Κορνήλιος ἑκατοντάρχης, ἀνὴρ δίκαιος, καὶ φοβούμενος τὸν Θεόν, μαρτυρούμενός τε ὑπὸ ὅλου τοῦ ἔθνους τῶν Ἰουδαίων, [l] ἐχρηματίσθη ὑπὸ ἀγγέλου ἁγίου [m] μεταπέμψασθαί σε εἰς τὸν οἶκον αὐτοῦ, καὶ [n] ἀκοῦσαι ῥήματα παρὰ σοῦ.

23 [o] Εἰσκαλεσάμενος οὖν αὐτοὺς [p] ἐξένισε. Τῇ δὲ ἐπαύριον ὁ Πέτρος [q] ἐξῆλθε σὺν αὐτοῖς, καί τινες τῶν ἀδελφῶν τῶν ἀπὸ τῆς Ἰόππης [q] συνῆλθον αὐτῷ.

24 Καὶ τῇ ἐπαύριον [q] εἰσῆλθον εἰς τὴν Καισάρειαν· ὁ δὲ Κορνήλιος ἦν προσδοκῶν αὐτούς, [r] συγκαλεσάμενος τοὺς συγγενεῖς αὐτοῦ καὶ τοὺς ἀναγκαίους φίλους.

25 Ὡς δὲ [a] ἐγένετο [q] εἰσελθεῖν τὸν Πέτρον, [ſ] συναντήσας αὐτῷ ὁ Κορνήλιος, [t] πεσὼν ἐπὶ τοὺς [u] πόδας, [x] προσεκύνησεν.

26 Ὁ δὲ Πέτρος αὐτὸν [y] ἤγειρε, λέγων, [g] Ἀνάστηθι· [z] κἀγὼ αὐτός, ἄνθρωπός εἰμι.

27 Καὶ [a] συνομιλῶν αὐτῷ, [b] εἰσῆλθε, καὶ εὑρίσκει [b] συνεληλυθότας πολλούς.

[c] πείρω.
[d] εἰμί.
[e] στέλλω.
[f] ἐρωτάω.
[g] ἵστημι.
[h] πυνθάνομαι.
[i] θυμός.
[k] βαίνω.
[l] χρῆμα.
[m] πέμπω.
[n] ἀκούω.
[o] καλέω.
[p] ξένος.
[q] ἔρχομαι.
[r] καλέω.
[ſ] ἄντα.
[t] πίπτω.
[u] πούς.
[x] κύω.
[y] ἐγείρω.
[z] καὶ ἐγώ.
[a] ὅμιλος.
[b] ἔρχομαι.

28 [c] Ἔφη

[c] φημί.
[d] ἵστημι.
[e] κόλλα.
[f] δεικνύω.

28 [c] Ἔφη τε πρὸς αὐτούς, Ὑμεῖς [d] ἐπίστασθε ὡς ἀθέμιτόν ἐστιν ἀνδρὶ Ἰουδαίῳ [e] κολλᾶσθαι ἢ προσέρχεσθαι ἀλλοφύλῳ· καὶ ἐμοὶ ὁ Θεὸς [f] ἔδειξε μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον.

[g] ῥέω.
[h] πέμπω.

29 Διὸ καὶ [g] ἀναντιῤῥήτως [b] ἦλθον [h] μεταπεμφθείς· πυνθάνομαι οὖν τίνι λόγῳ [h] μετεπέμψασθέ με.

[i] εἰμί.

30 Καὶ ὁ Κορνήλιος [c] ἔφη, Ἀπὸ τετάρτης ἡμέρας μέχρι ταύτης τῆς ὥρας [i] ἤμην νηστεύων, καὶ τὴν ἐννάτην ὥραν προσευχόμενος ἐν τῷ οἴκῳ μου· καὶ ἰδού, ἀνὴρ [d] ἔστη ἐνώπιόν μου ἐν ἐσθῆτι λαμπρᾷ.

[k] ἀκούω.
[l] μιμνήσκομαι.

31 Καί φησι, Κορνήλιε, [k] εἰσηκούσθη σου ἡ προσευχή, καὶ αἱ ἐλεημοσύναι σου [l] ἐμνήσθησαν ἐνώπιον τοῦ Θεοῦ.

[m] καλέω.
[n] ξένος.
[o] γίνομαι.

32 [h] Πέμψον οὖν εἰς Ἰόππην, καὶ [m] μετακάλεσαι Σίμωνα ὃς [m] ἐπικαλεῖται Πέτρος· οὗτος [n] ξενίζεται ἐν οἰκίᾳ Σίμωνος βυρσέως παρὰ θάλασσαν· ὃς [o] παραγενόμενος λαλήσει σοι.

[p] τάττω.

33 Ἐξαυτῆς οὖν ἔπεμψα πρός σε· σύ τε καλῶς ἐποίησας παραγενόμενος. νῦν οὖν πάντες ἡμεῖς ἐνώπιον τοῦ Θεοῦ [i] πάρεσμεν, ἀκοῦσαι πάντα τὰ [p] προστεταγμένα σοι ὑπὸ τοῦ Θεοῦ.

[q] οἴγω.

34 [q] Ἀνοίξας δὲ Πέτρος τὸ στόμα, εἶπεν, Ἐπ' ἀληθείας καταλαμβάνομαι ὅτι οὐκ [i] ἔστι προσωπολήπτης ὁ Θεός,

35 Ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτόν, καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ [i] ἐστι.

[r] στέλλω.

36 Τὸν λόγον ὃν [r] ἀπέστειλε τοῖς υἱοῖς Ἰσραήλ, εὐαγγελιζόμενος εἰρήνην διὰ Ἰησοῦ Χριστοῦ· οὗτός ἐστι πάντων Κύριος.

[s] εἴδω.
[t] ἄρχω.
[u] κήρυξ.
[x] χρίω.

37 Ὑμεῖς [s] οἴδατε τὸ γενόμενον ῥῆμα καθ' ὅλης τῆς Ἰουδαίας, [t] ἀρξάμενον ἀπὸ τῆς Γαλιλαίας, μετὰ τὸ βάπτισμα ὃ [u] ἐκήρυξεν Ἰωάννης·

38 Ἰησοῦν τὸν ἀπὸ Ναζαρέθ, ὡς [x] ἔχρισεν αὐτὸν ὁ Θεὸς πνεύματι ἁγίῳ καὶ δυνάμει· ὃς

[y] διῆλθεν εὐεργετῶν καὶ [z] ἰώμενος πάντας τοὺς [a] καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου· ὅτι ὁ Θεὸς [b] ἦν μετ' αὐτοῦ.

[y] ἔρχομαι.
[z] ἰάομαι.
[a] δύναμαι.
[b] εἰμί.

39 (Καὶ ἡμεῖς [b] ἐσμὲν μάρτυρες πάντων ὧν [c] ἐποίησεν ἔν τῇ χώρᾳ τῶν Ἰουδαίων, καὶ ἐν Ἱερουσαλήμ,) ὃν [d] ἀνεῖλον κρεμάσαντες ἐπὶ ξύλου.

[b] εἰμί.
[c] ποιέω.
[d] αἱρέω.

40 Τοῦτον ὁ Θεὸς [e] ἤγειρε τῇ τρίτῃ ἡμέρᾳ, καὶ [f] ἔδωκεν αὐτὸν ἐμφανῆ [g] γενέσθαι,

[e] ἐγείρω.
[f] δίδωμι.
[g] γίνομαι.

41 Οὐ παντὶ τῷ λαῷ, ἀλλὰ μάρτυσι τοῖς [h] προκεχειροτονημένοις ὑπὸ τοῦ Θεοῦ, ἡμῖν, οἵτινες [i] συνεφάγομεν καὶ [k] συνεπίομεν αὐτῷ, μετὰ τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν.

[h] τείνω.
[i] φάγω.
[k] πίνω.

42 Καὶ [l] παρήγγειλεν ἡμῖν [m] κηρύξαι τῷ λαῷ καὶ [n] διαμαρτύρασθαι ὅτι αὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ Θεοῦ κριτὴς ζώντων καὶ νεκρῶν.

[l] ἀγγέλλω.
[m] κήρυξ.
[n] μάρτυρ.

43 Τούτῳ πάντες οἱ προφῆται μαρτυροῦσιν, ἄφεσιν ἁμαρτιῶν [o] λαβεῖν διὰ τοῦ ὀνόματος αὐτοῦ πάντα τὸν πιστεύοντα εἰς αὐτόν.

[o] λαμβάνω.

44 Ἔτι λαλοῦντος τοῦ Πέτρου τὰ ῥήματα ταῦτα, [p] ἐπέπεσε τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ πάντας τοὺς ἀκούοντας τὸν λόγον.

[p] πίπτω.

45 Καὶ [q] ἐξέστησαν οἱ ἐκ περιτομῆς πιστοὶ, ὅσοι [r] συνῆλθον τῷ Πέτρῳ, ὅτι καὶ ἐπὶ τὰ ἔθνη ἡ δωρεὰ τοῦ ἁγίου πνεύματος [s] ἐκκέχυται.

[q] ἵστημι.
[r] ἔρχομαι.
[s] χέω.

46 [t] Ἤκουον γὰρ αὐτῶν λαλούντων γλώσσαις, καὶ μεγαλυνόντων τὸν Θεόν. Τότε [u] ἀπεκρίθη ὁ Πέτρος,

[t] ἀκούω.
[u] κρίνω.

47 Μήτι τὸ ὕδωρ κωλῦσαι δύναταί τις τοῦ μὴ βαπτισθῆναι τούτους οἵτινες τὸ πνεῦμα τὸ ἅγιον [o] ἔλαβον, καθὼς καὶ ἡμεῖς;

48 [x] Προσέταξέ τε αὐτοὺς βαπτισθῆναι ἐν τῷ ὀνόματι τοῦ Κυρίου. Τότε [y] ἠρώτησαν αὐτὸν [z] ἐπιμεῖναι ἡμέρας τινάς.

[x] τάσσω.
[y] ἐρωτάω.
[z] μένω.

Κεφ. ια΄. Cap. XI.

[a] Ἤκουσαν δὲ οἱ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ οἱ ὄντες κατὰ τὴν Ἰουδαίαν ὅτι καὶ τὰ ἔθνη [b] ἐδέξαντο τὸν λόγον τοῦ Θεοῦ.

[a] ἀκούω.
[b] δέχομαι.

2 Καὶ ὅτε [c] ἀνέβη Πέτρος εἰς Ἱεροσόλυμα [d] διεκρίνοντο πρὸς αὐτὸν οἱ ἐκ περιτομῆς,

3 Λέγοντες, Ὅτι πρὸς ἄνδρας [e] ἀκροβυστίαν ἔχοντας [f] εἰσῆλθες, ϗ [g] συνέφαγες αὐτοῖς.

4 [h] Ἀρξάμενος δὲ ὁ Πέτρος, * ἐξετίθετο αὐτοῖς καθεξῆς, λέγων,

5 Ἐγὼ [i] ἤμην ἐν πόλει Ἰόππῃ προσευχόμενος· ϗ εἶδον ἐν ἐκστάσει ὅραμα, καταβαῖνον σκεῦός τι ὡς ὀθόνην μεγάλην, τέσσαρσιν ἀρχαῖς [k] καθιεμένην ἐκ τοῦ οὐρανοῦ· ϗ [f] ἦλθεν ἄχρις ἐμοῦ.

6 Εἰς ἣν [l] ἀτενίσας [m] κατενόουν· ϗ εἶδον τὰ [n] τετράποδα τῆς γῆς, ϗ τὰ θηρία, ϗ τὰ ἑρπετὰ, ϗ τὰ πετεινὰ τοῦ οὐρανοῦ.

7 [a] Ἤκουσα δὲ φωνῆς λεγούσης μοι, [o] Ἀναστὰς Πέτρε, [p] θῦσον ϗ φάγε.

8 Εἶπον δὲ, Μηδαμῶς Κύριε· ὅτι πᾶν κοινὸν ἢ ἀκάθαρτον οὐδέποτε [f] εἰσῆλθεν εἰς τὸ στόμα μου.

9 [d] Ἀπεκρίθη δέ μοι φωνὴ ἐκ δευτέρου ἐκ τοῦ οὐρανοῦ, Ἃ ὁ Θεὸς [q] ἐκαθάρισε, σὺ μὴ κοίνου.

10 Τοῦτο δὲ [r] ἐγένετο ἐπὶ τρίς· ϗ πάλιν [s] ἀνεσπάσθη ἅπαντα εἰς τὸν οὐρανόν.

11 Καὶ ἰδοὺ, ἐξαυτῆς τρεῖς ἄνδρες [o] ἐπέστησαν ἐπὶ τὴν οἰκίαν ἐν ᾗ [i] ἤμην, [t] ἀπεσταλμένοι ἀπὸ Καισαρείας πρός με.

12 Εἶπε δέ μοι τὸ πνεῦμα [f] συνελθεῖν αὐτοῖς, μηδὲν διακρινόμενον· [f] ἦλθον δὲ σὺν ἐμοὶ ϗ οἱ ἓξ ἀδελφοὶ οὗτοι; ϗ [f] εἰσήλθομεν εἰς τὸν οἶκον τοῦ ἀνδρός·

13 [u] Ἀπήγγειλέ τε ἡμῖν πῶς εἶδε τὸν ἄγγελον ἐν τῷ οἴκῳ αὐτοῦ [o] σταθέντα, ϗ εἰπόντα αὐτῷ, [t] Ἀπόστειλον εἰς Ἰόππην ἄνδρας, ϗ [x] μετάπεμψαι Σίμωνα τὸν [y] ἐπικαλούμενον Πέτρον·

14 Ὃς λαλήσει ῥήματα πρός σε ἐν οἷς [z] σωθήσῃ σὺ ϗ πᾶς ὁ οἶκός σου.

15 Ἐν

c βαίνω.
d κρίνω.
e βύω.
f ἔρχομαι.
g φάγω.
h ἄρχω.
* τίθημι.
i εἰμί.
k ἵω.
l τείνω.
m νόος.
n πούς.
o ἵστημι.
p θύω.
q καθαίρω.
r γίνομαι.
s σπάω.
t στέλλω.
u ἀγγέλλω.
x πέμπω.
y καλέω.
z σόος.

15 Ἐν δὲ τῷ [a] ἄρξασθαί με λαλεῖν, [b] ἐπέπεσε τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐτούς, ὥσπερ καὶ ἐφ' ἡμᾶς ἐν ἀρχῇ.

[a] ἄρχω.
[b] πίπτω.

16 [c] Ἐμνήσθην δὲ τοῦ ῥήματος Κυρίου, ὡς ἔλεγεν, Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν πνεύματι ἁγίῳ.

[c] μιμνήσκομαι.

17 Εἰ οὖν τὴν ἴσην δωρεὰν [d] ἔδωκεν αὐτοῖς ὁ Θεὸς ὡς καὶ ἡμῖν, [e] πιστεύσασιν ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστόν, ἐγὼ δὲ τίς [f] ἤμην δυνατὸς [g] κωλῦσαι τὸν Θεόν;

[d] δίδωμι.
[e] πίστις.
[f] εἰμί.
[g] κωλύω.

18 Ἀκούσαντες δὲ ταῦτα [h] ἡσύχασαν, καὶ [i] ἐδόξαζον τὸν Θεόν, λέγοντες, Ἄραγε καὶ τοῖς ἔθνεσιν ὁ Θεὸς τὴν μετάνοιαν [d] ἔδωκεν εἰς ζωήν.

[h] ἥσυχος.
[i] δοκέω.

19 ¶ Οἱ μὲν οὖν [k] διασπαρέντες ἀπὸ τῆς θλίψεως τῆς γενομένης ἐπὶ Στεφάνῳ, [l] διῆλθον ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, μηδενὶ λαλοῦντες τὸν λόγον εἰ μὴ μόνον Ἰουδαίοις.

[k] σπείρω.
[l] ἔρχομαι.

20 [f] Ἦσαν δέ τινες ἐξ αὐτῶν ἄνδρες Κύπριοι καὶ Κυρηναῖοι, οἵτινες [l] εἰσελθόντες εἰς Ἀντιόχειαν, [m] ἐλάλουν πρὸς τοὺς Ἑλληνιστάς, εὐαγγελιζόμενοι τὸν Κύριον Ἰησοῦν.

[m] λαλέω.

21 Καὶ [f] ἦν χεὶρ Κυρίου μετ' αὐτῶν· πολύς τε ἀριθμὸς [e] πιστεύσας [n] ἐπέστρεψεν ἐπὶ τὸν Κύριον.

[n] στρέφω.

22 [o] Ἠκούσθη δὲ ὁ λόγος εἰς τὰ ὦτα τῆς ἐκκλησίας τῆς ἐν Ἱεροσολύμοις περὶ αὐτῶν· καὶ [p] ἐξαπέστειλαν Βαρνάβαν [l] διελθεῖν ἕως Ἀντιοχείας.

[o] ἀκούω.
[p] στέλλω.

23 Ὃς [q] παραγενόμενος καὶ [r] ἰδὼν τὴν χάριν τοῦ Θεοῦ, * ἐχάρη, καὶ παρεκάλει πάντας τῇ προθέσει τῆς καρδίας προσμένειν τῷ Κυρίῳ.

[q] γίνομαι.
[r] εἴδω.
* χαίρω.

24 Ὅτι [f] ἦν ἀνὴρ ἀγαθὸς καὶ πλήρης πνεύματος ἁγίου καὶ πίστεως· καὶ [s] προσετέθη ὄχλος ἱκανὸς τῷ Κυρίῳ.

[s] τίθημι.

25 [l] Ἐξῆλθε δὲ εἰς Ταρσὸν ὁ Βαρνάβας ἀναζητῆσαι Σαῦλον, καὶ [t] εὑρὼν αὐτὸν [u] ἤγαγεν αὐτὸν εἰς Ἀντιόχειαν.

[t] εὑρίσκω.
[u] ἄγω.

26 [q] Ἐγένετο δὲ αὐτοὺς ἐνιαυτὸν ὅλον

[u] συναχθῆναι ἐν τῇ ἐκκλησίᾳ, καὶ [x] διδάξαι
ὄχλον ἱκανόν· [y] χρηματίσαι τε πρῶτον ἐν Ἀν-
τιοχείᾳ τοὺς μαθητὰς, Χριστιανούς.

27 Ἐν ταύταις δὲ ταῖς ἡμέραις [l] κατῆλθον
ἀπὸ Ἱεροσολύμων προφῆται εἰς Ἀντιόχειαν·

28 * Ἀναστὰς δὲ εἷς ἐξ αὐτῶν ὀνόματι Ἄ-
γαβος [z] ἐσήμανε διὰ τοῦ πνεύματος, λιμὸν
μέγαν μέλλειν [a] ἔσεσθαι ἐφ᾽ ὅλην τὴν οἰκουμένην·
ὅστις καὶ [b] ἐγένετο ἐπὶ Κλαυδίου Καίσαρος.

29 Τῶν δὲ μαθητῶν καθὼς [c] ηὐπορεῖτό τις,
[d] ὥρισαν ἕκαστος αὐτῶν εἰς διακονίαν πέμψαι
τοῖς κατοικοῦσιν ἐν τῇ Ἰουδαίᾳ ἀδελφοῖς·

30 Ὃ καὶ [e] ἐποίησαν, [f] ἀποστείλαντες πρὸς
τοὺς πρεσβυτέρους διὰ χειρὸς Βαρνάβα καὶ
Σαύλου.

Κεφ. ιβ'. Cap. XII.

ΚΑΤ' ἐκεῖνον δὲ τὸν καιρὸν [a] ἐπέβαλεν Ἡρώ-
δης ὁ βασιλεὺς τὰς χεῖρας [b] κακῶσαί τι-
νας τῶν ἀπὸ τῆς ἐκκλησίας.

2 [c] Ἀνεῖλε δὲ Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάν-
νου, μαχαίρᾳ.

3 Καὶ [d] ἰδὼν ὅτι ἀρεστόν [e] ἐστι τοῖς Ἰουδαίοις,
[f] προσέθετο [g] συλλαβεῖν καὶ Πέτρον· ([e] ἦσαν δὲ
ἡμέραι τῶν Ἀζύμων)

4 Ὃν καὶ [h] πιάσας [f] ἔθετο εἰς φυλακὴν,
[i] παραδοὺς τέσσαρσι τετραδίοις στρατιωτῶν φυ-
λάσσειν, αὐτὸν βουλόμενος μετὰ τὸ πάσχα [k] ἀνα-
γαγεῖν αὐτὸν τῷ λαῷ

5 Ὁ μὲν οὖν Πέτρος [l] ἐτηρεῖτο ἐν τῇ φυλακῇ·
προσευχὴ δὲ [e] ἦν ἐκτενὴς γινομένη ὑπὸ τῆς ἐκ-
κλησίας πρὸς τὸν Θεὸν ὑπὲρ αὐτοῦ.

6 Ὅτε δὲ [m] ἔμελλεν αὐτὸν [k] προάγειν ὁ
Ἡρώδης, τῇ νυκτὶ ἐκείνῃ [e] ἦν ὁ Πέτρος κοι-
μώμενος μεταξὺ δύο στρατιωτῶν, [n] δεδεμένος
ἁλύσεσι δυσί· φυλακές τε πρὸ τῆς θύρας [o] ἐτή-
ρουν τὴν φυλακήν.

7 Καὶ ἰδοὺ, ἄγγελος Κυρίου [p] ἐπέστη, καὶ
φῶς [q] ἔλαμψεν ἐν τῷ οἰκήματι· [r] πατάξας δὲ
τὴν πλευρὰν τοῦ Πέτρου, [s] ἤγειρεν αὐτὸν, λέγων,

[p] Ἀνάστα

[u] ἄγω.
[x] διδάσκω.
[y] χρῆμα.
[*] ἵστημι.
[z] σῆμα.
[a] εἰμί.
[b] γίνομαι.
[c] πείρω.
[d] ὅρος.
[e] ποιέω.
[f] στέλλω.
[a] βάλλω.
[b] κακός.
[c] αἱρέω.
[d] εἴδω.
[e] εἰμί.
[f] τίθημι.
[g] λαμβάνω.
[h] πιάζω.
[i] δίδωμι.
[k] ἄγω.
[l] τηρέω.
[m] μέλλω.
[n] δέω.
[o] τηρέω.
[p] ἵστημι.
[q] λάμπω.
[r] πατάσσω.
[s] ἐγείρω.

[p] Ἀνάστα ἐν τάχει. Καὶ [t] ἐξέπεσον αὐτοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν.

8 Εἶπέ τε ὁ ἄγγελος πρὸς αὐτὸν, [u] Περίζωσαι, καὶ [n] ὑπόδησαι τὰ σανδάλιά σου. [x] Ἐποίησε δὲ οὕτω. Καὶ λέγει αὐτῷ, Περιβαλοῦ τὸ ἱμάτιόν σου, καὶ ἀκολούθει μοι.

9 Καὶ [y] ἐξελθὼν ἠκολούθει αὐτῷ, καὶ οὐκ [d] ᾔδει ὅτι ἀληθές [e] ἐστι τὸ γινόμενον διὰ τοῦ ἀγγέλου· [z] ἐδόκει δὲ ὅραμα βλέπειν.

10 [y] Διελθόντες δὲ πρώτην φυλακὴν καὶ δευτέραν, [y] ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν, τὴν φέρουσαν εἰς τὴν πόλιν, ἥτις αὐτομάτη * ἠνοίχθη αὐτοῖς· καὶ [y] ἐξελθόντες προῆλθον ῥύμην μίαν· καὶ εὐθέως ἀπέστη ὁ ἄγγελος ἀπ' αὐτοῦ.

11 Καὶ ὁ Πέτρος γενόμενος ἐν ἑαυτῷ, εἶπε, Νῦν [d] οἶδα ἀληθῶς ὅτι [a] ἐξαπέστειλε Κύριος τὸν ἄγγελον αὐτοῦ, καὶ [b] ἐξείλετό με ἐκ χειρὸς Ἡρώδου, καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων.

12 [c] Συνιδών τε [d] ἦλθεν ἐπὶ τὴν οἰκίαν Μαρίας τῆς μητρὸς Ἰωάννου τοῦ ἐπικαλουμένου Μάρκου, οὗ [e] ἦσαν ἱκανοὶ [f] συνηθροισμένοι καὶ [g] προσευχόμενοι.

13 [h] Κρούσαντος δὲ τοῦ Πέτρου τὴν θύραν τοῦ πυλῶνος, προσῆλθε παιδίσκη [i] ὑπακοῦσαι, ὀνόματι Ῥόδη.

14 Καὶ [k] ἐπιγνοῦσα τὴν φωνὴν τοῦ Πέτρου, ἀπὸ τῆς χαρᾶς οὐκ [l] ἤνοιξε τὸν πυλῶνα, [m] εἰσδραμοῦσα δὲ [n] ἀπήγγειλεν [o] ἑστάναι τὸν Πέτρον πρὸ τοῦ πυλῶνος.

15 Οἱ δὲ πρὸς αὐτὴν εἶπον, [p] Μαίνῃ. Ἡ δὲ [q] διϊσχυρίζετο οὕτως ἔχειν. Οἱ δ' ἔλεγον, Ὁ ἄγγελος αὐτοῦ ἐστιν.

15 Ὁ δὲ Πέτρος [r] ἐπέμενε κρούων· [i] ἀνοίξαντες δὲ εἶδον αὐτὸν, καὶ [o] ἐξέστησαν.

17 [s] Κατασείσας δὲ αὐτοῖς τῇ χειρὶ σιγᾶν, [t] διηγήσατο αὐτοῖς πῶς ὁ Κύριος αὐτὸν [u] ἐξήγαγεν ἐκ τῆς φυλακῆς. εἶπε δὲ, [u] Ἀπαγγείλατε

[t] πίπτω.
[u] ζώννυμι.
[x] ποιέω.
[y] ἔρχομαι.
[z] δοκέω.
* οἴγω.
[a] στέλλω.
[b] αἱρέω.
[c] εἴδω.
[d] ἔρχομαι.
[e] εἰμί.
[f] ἄθροος.
[g] εὔχομαι.
[h] κρούω.
[i] ἀκούω.
[k] γινώσκω.
[l] οἴγω.
[m] τρέχω.
[n] ἀγγέλλω.
[o] ἵστημι.
[p] μαίνομαι.
[q] ἰσχύω.
[r] μένω.
[s] σείω.
[t] ἡγέομαι.
[u] ἄγω.

Ἰακώβῳ καὶ τοῖς ἀδελφοῖς ταῦτα. Καὶ [d] ἐξελθὼν [x] ἐπορεύθη εἰς ἕτερον τόπον.

18 [y] Γενομένης δὲ ἡμέρας [c] ἦν τάραχος οὐκ ὀλίγος ἐν τοῖς στρατιώταις τί ἄρα ὁ Πέτρος [y] ἐγένετο.

19 Ἡρώδης δὲ [z] ἐπιζητήσας αὐτὸν, καὶ μὴ [a] εὑρὼν, [b] ἀνακρίνας τοὺς φύλακας, [c] ἐκέλευσεν [d] ἀπαχθῆναι· καὶ [e] κατελθὼν ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Καισάρειαν, [f] διέτριβεν.

20 [g] Ἦν δὲ ὁ Ἡρώδης [h] θυμομαχῶν Τυρίοις καὶ Σιδωνίοις· ὁμοθυμαδὸν δὲ [g] παρῆσαν πρὸς αὐτὸν, καὶ [i] πείσαντες Βλάστον τὸν ἐπὶ τοῦ κοιτῶνος τοῦ βασιλέως, [k] ᾐτοῦντο εἰρήνην· διὰ τὸ [l] τρέφεσθαι αὐτῶν τὴν χώραν ἀπὸ τῆς βασιλικῆς.

21 [m] Τακτῇ δὲ ἡμέρᾳ ὁ Ἡρώδης [n] ἐνδυσάμενος [o] ἐσθῆτα βασιλικὴν, καὶ [p] καθίσας ἐπὶ τοῦ βήματος, [q] ἐδημηγόρει πρὸς αὐτούς.

22 Ὁ δὲ δῆμος [r] ἐπεφώνει, Θεοῦ φωνὴ, καὶ οὐκ ἀνθρώπου.

23 [s] Παραχρῆμα δὲ [t] ἐπάταξεν αὐτὸν ἄγγελος Κυρίου, ἀνθ' ὧν οὐκ [u] ἔδωκε τὴν δόξαν τῷ Θεῷ· καὶ [x] γενόμενος [y] σκωληκόβρωτος [z] ἐξέψυξεν.

24 Ὁ δὲ λόγος τοῦ Θεοῦ [a] ηὔξανε καὶ [b] ἐπληθύνετο.

25 Βαρνάβας δὲ καὶ Σαῦλος [c] ὑπέστρεψαν ἐξ Ἱερουσαλὴμ, πληρώσαντες τὴν διακονίαν, [d] συμπαραλαβόντες καὶ Ἰωάννην, τὸν [e] ἐπικληθέντα Μάρκον.

[x] πορεύω.
[y] γίνομαι.
[z] ζητέω.
[a] εὑρίσκω.
[b] κρίνω.
[c] κελεύω.
[d] ἄγω.
[e] ἔρχομαι.
[f] τρίβω.
[g] εἰμί.
[h] μάχομαι.
[i] πείθω.
[k] αἰτέω.
[l] τρέφω.
[m] τάττω.
[n] δύω.
[o] ἕω.
[p] ἕζω.
[q] ἀγορά.
[r] φωνή.
[s] χρῆμα.
[t] πατάσσω.
[u] δίδωμι.
[x] γίνομαι.
[y] σκώληξ.
[z] ψύχω.
[a] αὐξάνω.
[b] πλέος.
[c] στρέφω.
[d] λαμβάνω.
[e] καλέω.
[a] εἰμί.

Κεφ. ιγʹ. Cap. XIII.

[a] Ἦσαν δέ τινες ἐν Ἀντιοχείᾳ κατὰ τὴν οὖσαν ἐκκλησίαν προφῆται καὶ διδάσκαλοι, ὅ, τε Βαρνάβας καὶ Συμεὼν, ὁ καλούμενος Νίγερ, καὶ Λούκιος ὁ Κυρηναῖος, Μαναήν τε Ἡρώδου τοῦ τετράρχου σύντροφος, καὶ Σαῦλος.

2 [b] Λειτουργούντων δὲ αὐτῶν τῷ Κυρίῳ, καὶ [c] νηστευόντων, εἶπε τὸ Πνεῦμα τὸ ἅγιον, [d] Ἀφορίσατε δέ μοι τόν τε Βαρνάβαν καὶ τὸν

[b] ἔργον.
[c] νηστεύω.
[d] ὅρος.

Σαῦλον εἰς τὸ ἔργον ὃ [e] προσκέκλημαι αὐτούς.

3 Τότε νηστεύσαντες καὶ [f] προσευξάμενοι, καὶ [g] ἐπιθέντες τὰς χεῖρας αὐτοῖς, [h] ἀπέλυσαν.

4 Οὗτοι μὲν οὖν [i] ἐκπεμφθέντες ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου, [k] κατῆλθον εἰς τὴν Σελεύκειαν· ἐκεῖθέν τε [l] ἀπέπλευσαν εἰς τὴν Κύπρον.

5 Καὶ [m] γενόμενοι ἐν Σαλαμῖνι, [n] κατήγγελλον τὸν λόγον τοῦ Θεοῦ ἐν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων· [o] εἶχον δὲ καὶ Ἰωάννην ὑπηρέτην.

6 [k] Διελθόντες δὲ τὴν νῆσον ἄχρι Πάφου, [p] εὗρόν τινα μάγον ψευδοπροφήτην Ἰουδαῖον, ᾧ ὄνομα Βαριησοῦς·

7 Ὃς [a] ἦν σὺν τῷ [q] ἀνθυπάτῳ Σεργίῳ Παύλῳ, ἀνδρὶ [r] συνετῷ· οὗτος [e] προσκαλεσάμενος Βαρνάβαν καὶ Σαῦλον, [s] ἐπεζήτησεν [t] ἀκοῦσαι τὸν λόγον τοῦ Θεοῦ.

8 [u] Ἀνθίστατο δὲ αὐτοῖς Ἐλύμας ὁ μάγος (οὕτω γὰρ [x] μεθερμηνεύεται τὸ ὄνομα αὐτοῦ) ζητῶν * διαστρέψαι τὸν [q] ἀνθύπατον ἀπὸ τῆς πίστεως.

9 Σαῦλος δὲ (ὁ καὶ Παῦλος) [y] πλησθεὶς πνεύματος ἁγίου, καὶ [z] ἀτενίσας εἰς αὐτὸν,

10 Εἶπεν, Ὦ πλήρης παντὸς δόλου καὶ πάσης [a] ῥᾳδιουργίας, υἱὲ διαβόλου, ἐχθρὲ πάσης δικαιοσύνης, οὐ [b] παύσῃ διαστρέφων τὰς ὁδοὺς Κυρίου τὰς εὐθείας;

11 Καὶ νῦν ἰδοὺ, χεὶρ τοῦ Κυρίου ἐπὶ σὲ· καὶ [c] ἔσῃ τυφλὸς, μὴ βλέπων τὸν ἥλιον, ἄχρι καιροῦ· [d] Παραχρῆμα δὲ [e] ἐπέπεσεν ἐπ' αὐτὸν ἀχλὺς καὶ σκότος· καὶ [f] περιάγων ἐζήτει [f] χειραγωγούς.

12 Τότε [g] ἰδὼν ὁ [h] ἀνθύπατος τὸ [i] γεγονὸς, ἐπίστευσεν, [k] ἐκπλησσόμενος ἐπὶ τῇ διδαχῇ τοῦ Κυρίου.

13 ¶ [f] Ἀναχθέντες δὲ ἀπὸ τῆς Πάφου οἱ περὶ τὸν Παῦλον, [l] ἦλθον εἰς Πέργην τῆς Παμφυλίας. Ἰωάννης δὲ [m] ἀποχωρήσας ἀπ' αὐτῶν, [n] ὑπέστρεψεν εἰς Ἱεροσόλυμα.

14 Αὐτοὶ δὲ [l] διελθόντες ἀπὸ τῆς Πέργης,

[e] καλέω.
[f] εὐχή.
[g] τίθημι.
[h] λύω.
[i] πέμπω.
[k] ἔρχομαι.
[l] πλέω.
[m] γίνομαι.
[n] ἀγγέλλω.
[o] ἔχω.
[p] εὑρίσκω.
[q] ὕπερ.
[r] ἔω.
[s] ζητέω.
[t] ἀκούω.
[u] ἵστημι.
[x] ἑρμηνεύς.
* στρέφω.
[y] πλέος.
[z] τείνω.
[a] ἔργον.
[b] παύω.
[c] εἰμί.
[d] χρῆμα.
[e] πίπτω.
[f] ἄγω.
[g] εἴδω.
[h] ὕπερ.
[i] γίνομαι.
[k] πλήσσω.
[l] ἔρχομαι.
[m] χωρίζω.
[n] στρέφω.

παρεγένοντο εἰς Ἀντιόχειαν τῆς Πισιδίας, καὶ εἰσελθόντες εἰς τὴν συναγωγὴν τῇ ἡμέρᾳ τῶν σαββάτων, [o] ἐκάθισαν.

15 Μετὰ δὲ τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν [p] ἀπέστειλαν οἱ [f] ἀρχισυνάγωγοι πρὸς αὐτοὺς, λέγοντες, Ἄνδρες ἀδελφοὶ, εἰ [c] ἔστι λόγος ἐν ὑμῖν παρακλήσεως πρὸς τὸν λαὸν, λέγετε.

16 [q] Ἀναστὰς δὲ Παῦλος καὶ [r] κατασείσας τῇ χειρὶ, εἶπεν, Ἄνδρες Ἰσραηλῖται, καὶ οἱ φοβούμενοι τὸν Θεὸν, ἀκούσατε.

17 Ὁ Θεὸς τοῦ λαοῦ τούτου Ἰσραὴλ [s] ἐξελέξατο τοὺς πατέρας ἡμῶν, καὶ τὸν λαὸν [t] ὕψωσεν ἐν τῇ παροικίᾳ ἐν γῇ Αἰγύπτου, καὶ μετὰ βραχίονος ὑψηλοῦ [s] ἐξήγαγεν αὐτοὺς ἐξ αὐτῆς.

18 Καὶ ὡς τεσσαρακονταετῆ χρόνον [u] ἐτροποφόρησεν αὐτοὺς ἐν τῇ ἐρήμῳ.

19 Καὶ [x] καθελὼν ἔθνη ἑπτὰ ἐν γῇ Χαναὰν, [y] κατεκληροδότησεν αὐτοῖς τὴν γῆν αὐτῶν.

20 Καὶ μετὰ ταῦτα ὡς [a] ἔτεσι τετρακοσίοις καὶ πεντήκοντα [b] ἔδωκε κριτὰς, ἕως Σαμουὴλ τοῦ προφήτου.

21 [c] Κἀκεῖθεν [d] ᾐτήσαντο βασιλέα· καὶ [b] ἔδωκεν αὐτοῖς ὁ Θεὸς τὸν Σαοὺλ, υἱὸν Κὶς, ἄνδρα ἐκ φυλῆς Βενιαμὶν, ἔτη τεσσαράκοντα,

22 Καὶ [e] μεταστήσας αὐτὸν, [f] ἤγειρεν αὐτοῖς τὸν Δαβὶδ εἰς βασιλέα· ᾧ καὶ εἶπε μαρτυρήσας, [g] Εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαὶ ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου.

23 Τούτου ὁ Θεὸς ἀπὸ τοῦ σπέρματος κατ᾽ ἐπαγγελίαν [f] ἤγειρε τῷ Ἰσραὴλ σωτῆρα Ἰησοῦν.

24 [h] Προκηρύξαντος Ἰωάννου πρὸ προσώπου τῆς [i] εἰσόδου αὐτοῦ βάπτισμα μετανοίας παντὶ τῷ λαῷ Ἰσραήλ.

25 Ὡς δὲ [k] ἐπλήρου ὁ Ἰωάννης τὸν δρόμον, ἔλεγε, [l] Τίνα με ὑπονοεῖτε [m] εἶναι; οὐκ εἰμὶ ἐγώ,

ἀλλ᾽

o ἕζω.
p στέλλω.
q ἵστημι.
r σείω.
s λέγω.
t ὕψος.
u φέρω.
x αἱρέω.
y δίδωμι.
a ἔτος.
b δίδωμι.
c καὶ ἐκεῖθεν.
d αἰτέω.
e ἵστημι.
f ἐγείρω.
g εὑρίσκω.
h κήρυξ.
i ὁδός.
k πλέος.
l τί.
m εἰμί.

ἀλλ' ἰδοὺ, ἔρχεται μετ' ἐμὲ, οὗ οὐκ εἰμὶ ἄξιος τὸ
ὑπόδημα τῶν [n] ποδῶν [o] λῦσαι. [n] πούς.

26 Ἄνδρες ἀδελφοὶ, υἱοὶ γένους Ἀβραὰμ, [o] λύω.
καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν Θεὸν, ὑμῖν ὁ λόγος
τῆς σωτηρίας ταύτης [p] ἀπεστάλη. [p] στέλλω.

27 Οἱ γὰρ [q] κατοικοῦντες ἐν Ἱερουσαλὴμ, καὶ [q] οἶκος.
οἱ ἄρχοντες αὐτῶν, τοῦτον [r] ἀγνοήσαντες, καὶ [r] νόος.
τὰς φωνὰς τῶν προφητῶν τὰς κατὰ πᾶν σάβ-
βατον [s] ἀναγινωσκομένας, κρίναντες, [k] ἐπλή- [s] γινώσκω.
ρωσαν.

28 Καὶ μηδεμίαν αἰτίαν θανάτου [t] εὑρόντες, [t] εὑρίσκω.
[d] ᾐτήσαντο Πιλάτον [u] ἀναιρεθῆναι αὐτόν. [u] αἱρέω.

29 Ὡς δὲ [x] ἐτέλεσαν ἅπαντα τὰ περὶ αὐτοῦ [x] τέλος.
[y] γεγραμμένα, [u] καθελόντες ἀπὸ τοῦ ξύλου, [y] γράφω.
[z] ἔθηκαν εἰς μνημεῖον. [z] τίθημι.

30 Ὁ δὲ Θεὸς [a] ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. [a] ἐγείρω.

31 Ὃς [b] ὤφθη ἐπὶ ἡμέρας πλείους τοῖς [c] συν- [b] ὄπτομαι.
αναβᾶσιν αὐτῷ ἀπὸ τῆς Γαλιλαίας εἰς Ἱερουσα- [c] βαίνω.
λὴμ, [d] οἵτινές [e] εἰσι μάρτυρες αὐτοῦ πρὸς τὸν [d] ὅστις.
λαόν. [e] εἰμί.

32 Καὶ ἡμεῖς ὑμᾶς [f] εὐαγγελιζόμεθα, τὴν [f] ἀγγέλλω.
πρὸς τοὺς πατέρας ἐπαγγελίαν [g] γενομένην· ὅτι [g] γίνομαι.
ταύτην ὁ Θεὸς [h] ἐκπεπλήρωκε τοῖς τέκνοις [h] πλέος.
αὐτῶν ἡμῖν, [i] ἀναστήσας Ἰησοῦν· [i] ἵστημι.

33 Ὡς καὶ ἐν τῷ ψαλμῷ τῷ δευτέρῳ [k] γέ- [k] γράφω.
γραπται, Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον [l] γε- [l] γεννάω.
γέννηκά σε.

34 Ὅτι δὲ [m] ἀνέστησεν αὐτὸν ἐκ νεκρῶν, μη- [m] ἵστημι.
κέτι μέλλοντα [n] ὑποστρέφειν εἰς διαφθορὰν, οὕ- [n] στρέφω.
τως [o] εἴρηκεν, Ὅτι [p] δώσω ὑμῖν τὰ ὅσια Δα- [o] εἴρω.
βὶδ τὰ πιστά. [p] δίδωμι.

35 Διὸ καὶ ἐν ἑτέρῳ λέγει, [p] Οὐ δώσεις τὸν
ὅσιόν σου [q] ἰδεῖν διαφθοράν. [q] εἴδω.

36 Δαβὶδ μὲν γὰρ ἰδίᾳ γενεᾷ ὑπηρετήσας
τῇ τοῦ Θεοῦ βουλῇ. [r] ἐκοιμήθη, καὶ [s] προσετέ- [r] κοιμάω.
θη πρὸς τοὺς πατέρας αὐτοῦ, καὶ εἶδε διαφ- [s] τίθημι.
θοράν.

37 Ὃν δὲ ὁ Θεὸς [a] ἤγειρεν, οὐκ εἶδε διαφ-
θοράν.

[t] γινώσκω. 38 [t] Γνωστὸν οὖν ἔστω ὑμῖν, ἄνδρες ἀδελφοί,
ὅτι διὰ τούτου ὑμῖν ἄφεσις ἁμαρτιῶν καταγγέλλεται.

[u] δύναμαι. 39 Καὶ ἀπὸ πάντων ὧν οὐκ [u] ἠδυνήθητε ἐν
[x] δίκη. τῷ νόμῳ Μωσέως [x] δικαιωθῆναι· ἐν τούτῳ
πᾶς ὁ πιστεύων [x] δικαιοῦται.

[y] ἔρχομαι. 40 Βλέπετε οὖν μὴ [y] ἐπέλθῃ ἐφ' ὑμᾶς τὸ
[z] ῥέω. [z] εἰρημένον ἐν τοῖς προφήταις,

[a] εἴδω. 41 [a] Ἴδετε οἱ καταφρονηταί, καὶ θαυμάσατε
[b] φαίνω. καὶ [b] ἀφανίσθητε, ὅτι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς
ἡμέραις ὑμῶν, ἔργον ᾧ οὐ μὴ πιστεύσητε ἐάν τις
[c] ἡγέομαι. [c] ἐκδιηγῆται ὑμῖν·

[d] εἶμι. 42 [d] Ἐξιόντων δὲ ἐκ τῆς συναγωγῆς τῶν
Ἰουδαίων, παρεκάλουν τὰ ἔθνη εἰς τὸ μεταξὺ
[e] λαλέω. σάββατον [e] λαληθῆναι αὐτοῖς τὰ ῥήματα
ταῦτα.

[f] λύω. 43 [f] Λυθείσης δὲ τῆς συναγωγῆς, [g] ἠκολού-
[g] ἀκόλουθος. θησαν πολλοὶ τῶν Ἰουδαίων καὶ τῶν [h] σεβομένων προσ-
[h] σέβω. ηλύτων τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ· οἵτινες
[i] πείθω. προσλαλοῦντες αὐτοῖς, [i] ἔπειθον αὐτοὺς [k] ἐπι-
[k] μένω. μένειν τῇ χάριτι τοῦ Θεοῦ.

44 Τῷ δὲ ἐρχομένῳ σαββάτῳ σχεδὸν πᾶσα ἡ
[l] ἄγω. πόλις [l] συνήχθη [m] ἀκοῦσαι τὸν λόγον τοῦ Θεοῦ.

[m] ἀκούω. 45 [a] Ἰδόντες δὲ οἱ Ἰουδαῖοι τοὺς ὄχλους, [n] ἐ-
[n] πλέος. πλήσθησαν ζήλου, καὶ [o] ἀντέλεγον τοῖς ὑπὸ τοῦ
[o] λέγω. Παύλου [o] λεγομένοις, [o] ἀντιλέγοντες καὶ βλασ-
φημοῦντες.

[p] ῥέω. 46 [p] Παρρησιασάμενοι δὲ ὁ Παῦλος καὶ ὁ
Βαρνάβας εἶπον, Ὑμῖν [u] ἦν ἀναγκαῖον πρῶ-
τον [e] λαληθῆναι τὸν λόγον τοῦ Θεοῦ· ἐπειδὴ δὲ
[q] ὠθέω. [q] ἀπωθεῖσθε αὐτόν, καὶ οὐκ ἀξίους κρίνετε ἑαυ-
[r] στρέφω. τοὺς τῆς αἰωνίου ζωῆς, ἰδού, [r] στρεφόμεθα εἰς τὰ
ἔθνη.

[s] τέλλω. 47 Οὕτω γὰρ [s] ἐντέταλται ἡμῖν ὁ Κύριος,
[t] τίθημι. [t] Τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ [d] εἶναί σε εἰς
σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς.

[u] δοκέω. 48 Ἀκούοντα δὲ τὰ ἔθνη ἔχαιρον, καὶ [u] ἐδό-
[x] πίστις. ξαζον τὸν λόγον τοῦ Κυρίου· καὶ [x] ἐπίστευσαν [c] ὅσοι
[y] τάσσω. [d] ἦσαν [y] τεταγμένοι εἰς ζωὴν αἰώνιον.

49 [z] Διεφέρετο

49 [z] Διεφέρετο δὲ ὁ λόγος τοῦ Κυρίου δι' ὅλης τῆς χώρας.

50 Οἱ δὲ Ἰουδαῖοι [a] παρώτρυναν τὰς σεβομένας [b] γυναῖκας καὶ τὰς * εὐσχήμονας, καὶ τοὺς πρώτους τῆς πόλεως· καὶ [c] ἐπήγειραν διωγμὸν ἐπὶ τὸν Παῦλον καὶ τὸν Βαρνάβαν, καὶ [d] ἐξέβαλον αὐτοὺς ἀπὸ τῶν ὁρίων αὐτῶν.

51 Οἱ δὲ [e] ἐκτιναξάμενοι τὸν [f] κονιορτὸν τῶν ποδῶν αὐτῶν ἐπ' αὐτούς, [g] ἦλθον εἰς Ἰκόνιον.

52 Οἱ δὲ μαθηταὶ [h] ἐπληροῦντο χαρᾶς καὶ πνεύματος ἁγίου.

Κεφ. ιδʹ. Cap. XIV.

[a] Ἐγένετο δὲ ἐν Ἰκονίῳ κατὰ τὸ αὐτὸ [b] εἰσελθεῖν αὐτοὺς εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων, καὶ [c] λαλῆσαι οὕτως ὥστε [d] πιστεῦσαι Ἰουδαίων τε καὶ Ἑλλήνων πολὺ πλῆθος·

2 Οἱ δὲ [e] ἀπειθοῦντες Ἰουδαῖοι [f] ἐπήγειραν καὶ [g] ἐκάκωσαν τὰς ψυχὰς τῶν ἐθνῶν κατὰ τῶν ἀδελφῶν.

3 Ἱκανὸν μὲν οὖν χρόνον [h] διέτριψαν [i] παρρησιαζόμενοι ἐπὶ τῷ Κυρίῳ, τῷ μαρτυροῦντι τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, καὶ [k] διδόντι σημεῖα καὶ τέρατα γίνεσθαι διὰ τῶν χειρῶν αὐτῶν.

4 [l] Ἐσχίσθη δὲ τὸ πλῆθος τῆς πόλεως· [illegible] οἱ μὲν [m] ἦσαν σὺν τοῖς Ἰουδαίοις, οἱ δὲ, σὺν τοῖς ἀποστόλοις.

5 Ὡς δὲ ἐγένετο ὁρμὴ τῶν ἐθνῶν τε καὶ Ἰουδαίων σὺν τοῖς ἄρχουσιν αὐτῶν, [n] ὑβρίσαι καὶ [o] λιθοβολῆσαι αὐτούς,

6 [p] Συνιδόντες [q] κατέφυγον εἰς τὰς πόλεις τῆς Λυκαονίας, Λύστραν καὶ Δέρβην, καὶ τὴν περίχωρον.

7 [r] Κἀκεῖ [ſ] ἦσαν εὐαγγελιζόμενοι.

8 ¶ Καί τις ἀνὴρ ἐν Λύστροις ἀδύνατος τοῖς [t] ποσὶν [u] ἐκάθητο, χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων· ὃς οὐδέποτε [x] περιπεπατήκει.

9 Οὗτος [y] ἤκουε τοῦ Παύλου [c] λαλοῦντος· ὃς [z] ἀτενίσας αὐτῷ, καὶ [a] ἰδὼν ὅτι πίστιν ἔχει τοῦ [b] σωθῆναι,

[z] φέρω.
[a] ὀτρύνω.
[b] γυνή.
* ἔχω.
[c] ἐγείρω.
[d] βάλλω.
[e] τινάσσω.
[f] ὄρω.
[g] ἔρχομαι.
[h] πλέως.
[a] γίνομαι.
[b] ἔρχομαι.
[c] λαλέω.
[d] πίστις.
[e] πείθω.
[f] ἐγείρω.
[g] κακός.
[h] τρίβω.
[i] ῥέω.
[k] δίδωμι.
[l] σχίζω.
[m] εἰμί.
[n] ὕβρις.
[o] βάλλω.
[p] εἴδω.
[q] φεύγω.
[r] καὶ ἐκεῖ.
[ſ] εἰμί.
[t] πούς.
[u] ἧμαι.
[x] πατέω.
[y] ἀκούω.
[z] τείνω.
[a] εἴδω.
[b] σόος.

10 Εἶπε μεγάλῃ τῇ φωνῇ, [c] Ἀνάστηθι ἐπὶ τοὺς [d] πόδας σου ὀρθός. Καὶ [e] ἥλλετο, καὶ περιεπάτει.

11 Οἱ δὲ ὄχλοι [a] ἰδόντες ὃ [f] ἐποίησεν ὁ Παῦλος, [g] ἐπῆραν τὴν φωνὴν αὐτῶν, Λυκαονιστὶ λέγοντες, Οἱ θεοὶ [h] ὁμοιωθέντες ἀνθρώποις [i] κατέβησαν πρὸς ἡμᾶς.

12 [k] Ἐκάλουν τε τὸν μὲν Βαρνάβαν, Δία· τὸν δὲ Παῦλον, Ἑρμῆν, ἐπειδὴ αὐτὸς [l] ἦν ὁ [m] ἡγούμενος τοῦ λόγου.

13 Ὁ δὲ ἱερεὺς τοῦ Διὸς τοῦ [l] ὄντος πρὸ τῆς πόλεως αὐτῶν, ταύρους καὶ στέμματα ἐπὶ τοὺς πυλῶνας [n] ἐνέγκας, σὺν τοῖς ὄχλοις [o] ἤθελε θύειν.

14 [p] Ἀκούσαντες δὲ οἱ ἀπόστολοι Βαρνάβας καὶ Παῦλος, [q] διαῤῥήξαντες τὰ ἱμάτια αὐτῶν [r] εἰσεπήδησαν εἰς τὸν ὄχλον, κράζοντες,

15 Καὶ λέγοντες, Ἄνδρες, τί ταῦτα ποιεῖτε; καὶ ἡμεῖς [s] ὁμοιοπαθεῖς ἐσμεν ὑμῖν ἄνθρωποι, εὐαγγελιζόμενοι ὑμᾶς ἀπὸ τούτων τῶν ματαίων ἐπιστρέφειν ἐπὶ τὸν Θεὸν τὸν ζῶντα, ὃς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς·

16 Ὃς ἐν ταῖς [t] παρῳχημέναις γενεαῖς [u] εἴασε πάντα τὰ ἔθνη [x] πορεύεσθαι ταῖς ὁδοῖς αὐτῶν.

17 Καί τοιγε οὐκ ἀμάρτυρον ἑαυτὸν [y] ἀφῆκεν, [f] ἀγαθοποιῶν, οὐρανόθεν ἡμῖν ὑετοὺς [z] διδοὺς καὶ καιροὺς [n] καρποφόρους, [a] ἐμπιπλῶν τροφῆς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν.

18 Καὶ ταῦτα λέγοντες, μόλις [b] κατέπαυσαν τοὺς ὄχλους τοῦ μὴ θύειν αὐτοῖς.

19 ¶ [c] Ἐπῆλθον δὲ ἀπὸ Ἀντιοχείας καὶ Ἰκονίου Ἰουδαῖοι· καὶ [d] πείσαντες τοὺς ὄχλους, καὶ [e] λιθάσαντες τὸν Παῦλον, [f] ἔσυρον ἔξω τῆς πόλεως, [g] νομίσαντες αὐτὸν [h] τεθνάναι.

20 [i] Κυκλωσάντων δὲ αὐτὸν τῶν μαθητῶν, [k] ἀναστὰς [c] εἰσῆλθεν εἰς τὴν πόλιν· καὶ τῇ ἐπαύριον [c] ἐξῆλθε σὺν τῷ Βαρνάβᾳ εἰς Δέρβην.

21 [l] Εὐαγγελισάμενοι τε τὴν πόλιν ἐκείνην, καὶ [m] μαθητεύσαντες ἱκανοὺς, [n] ὑπέστρεψαν εἰς Λύστραν καὶ Ἰκόνιον καὶ Ἀντιόχειαν.

22 [o] Ἐ-

[c] ἵστημι.
[d] πούς.
[e] ἅλλομαι.
[f] ποιέω.
[g] αἴρω.
[h] ὁμός.
[i] βαίνω.
[k] καλέω.
[l] εἰμί.
[m] ἡγέομαι.
[n] φέρω.
[o] θέλω.
[p] ἀκούω.
[q] ῥήσσω.
[r] πηδάω.
[s] πάσχω.
[t] οἴχομαι.
[u] ἐάω.
[x] πορεύω.
[y] ἕω.
[z] δίδωμι.
[a] πλέω.
[b] παύω.
[c] ἔρχομαι.
[d] πείθω.
[e] λίθος.
[f] σύρω.
[g] νέμω.
[h] θνήσκω.
[i] κύκλος.
[k] ἵστημι.
[l] ἀγγέλλω.
[m] μανθάνω.
[n] στρέφω.

22 o Ἐπιστηρίζοντες τὰς ψυχὰς τῶν μαθητῶν, p παρακαλοῦντες q ἐμμένειν τῇ πίστει, καὶ ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς c εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

23 r Χειροτονήσαντες δὲ αὐτοῖς πρεσβυτέρους κατ' ἐκκλησίαν, s προσευξάμενοι μετὰ νηστειῶν, t παρέθεντο αὐτοὺς τῷ Κυρίῳ εἰς ὃν u πεπιστεύκεισαν.

24 Καὶ c διελθόντες τὴν Πισιδίαν, c ἦλθον εἰς Παμφυλίαν.

25 Καὶ x λαλήσαντες ἐν Πέργῃ τὸν λόγον, y κατέβησαν εἰς Ἀττάλειαν.

26 z Κἀκεῖθεν a ἀπέπλευσαν εἰς Ἀντιόχειαν· ὅθεν b ἦσαν c παραδεδομένοι τῇ χάριτι τοῦ Θεοῦ εἰς τὸ ἔργον ὃ a ἐπλήρωσαν.

27 d Παραγενόμενοι δὲ καὶ c συναγαγόντες τὴν ἐκκλησίαν, f ἀνήγγειλαν ὅσα g ἐποίησεν ὁ Θεὸς μετ' αὐτῶν, καὶ ὅτι h ἤνοιξε τοῖς ἔθνεσι θύραν πίστεως.

28 i Διέτριβον δὲ ἐκεῖ χρόνον οὐκ ὀλίγον σὺν τοῖς μαθηταῖς.

Κεφ. ιέ. Cap. XV.

ΚΑί τινες a κατελθόντες ἀπὸ τῆς Ἰουδαίας, b ἐδίδασκον τοὺς ἀδελφοὺς, Ὅτι ἐὰν μὴ c περιτέμνησθε τῷ ἔθει Μωϋσέως, οὐ δύνασθε d σωθῆναι.

2 e Γενομένης οὖν f στάσεως καὶ g συζητήσεως οὐκ ὀλίγης τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ πρὸς αὐτοὺς, h ἔταξαν ἀναβαίνειν Παῦλον καὶ Βαρνάβαν καί τινας ἄλλους ἐξ αὐτῶν πρὸς τοὺς ἀποστόλους καὶ πρεσβυτέρους εἰς Ἱερουσαλὴμ, περὶ τοῦ ζητήματος τούτου.

3 Οἱ μὲν οὖν i προπεμφθέντες ὑπὸ τῆς ἐκκλησίας, a διήρχοντο τὴν Φοινίκην καὶ Σαμάρειαν, k ἐκδιηγούμενοι τὴν ἐπιστροφὴν τῶν ἐθνῶν· καὶ l ἐποίουν χαρὰν μεγάλην πᾶσι τοῖς ἀδελφοῖς.

4 e Παραγενόμενοι δὲ εἰς Ἱερουσαλὴμ, m ἀπεδέχθησαν ὑπὸ τῆς ἐκκλησίας, καὶ τῶν ἀποστόλων

o στηρίζω.
p καλέω.
q μένω.
r τείνω.
s εὐχή.
t τίθημι.
u πίστις.
x λαλέω.
y βαίνω.
z καὶ ἐκεῖθεν.
a πλέω.
b εἰμί.
c δίδωμι.
d γίνομαι.
e ἄγω.
f ἀγγέλλω.
g ποιέω.
h οἴγω.
i τρίβω.
a ἔρχομαι.
b διδάσκω.
c τέμνω.
d σόος.
e γίνομαι.
f ἵστημι.
g ζητέω.
h τάττω.
i πέμπω.
k ἡγέομαι.
l ποιέω.
m δέχομαι.

καὶ τῶν πρεσβυτέρων· [n] ἀνήγγειλάν τε ὅσα ὁ Θεὸς [o] ἐποίησε μετ᾽ αὐτῶν.

5 [f] Ἐξανέστησαν δέ τινες τῶν ἀπὸ τῆς αἱρέσεως τῶν φαρισαίων [p] πεπιστευκότες, λέγοντες, Ὅτι δεῖ περιτέμνειν αὐτοὺς, παραγγέλλειν τε τηρεῖν τὸν νόμον Μωϋσέως.

6 [q] Συνήχθησαν δὲ οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι [r] ἰδεῖν περὶ τοῦ λόγου τούτου.

7 Πολλῆς δὲ [f] συζητήσεως [e] γενομένης, [f] ἀναστὰς Πέτρος εἶπε πρὸς αὐτοὺς, Ἄνδρες ἀδελφοὶ, ὑμεῖς *ἐπίστασθε ὅτι ἀφ᾽ ἡμερῶν ἀρχαίων ὁ Θεὸς ἐν ἡμῖν [f] ἐξελέξατο διὰ τοῦ στόματός μου ἀκοῦσαι τὰ ἔθνη τὸν λόγον τοῦ εὐαγγελίου, καὶ [p] πιστεῦσαι.

8 Καὶ ὁ [u] καρδιογνώστης Θεὸς [x] ἐμαρτύρησεν αὐτοῖς, [y] δοὺς αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον, καθὼς καὶ ἡμῖν·

9 Καὶ οὐδὲν [z] διέκρινε μεταξὺ ἡμῶν τε καὶ αὐτῶν, τῇ πίστει [a] καθαρίσας τὰς καρδίας αὐτῶν.

10 Νῦν οὖν τί πειράζετε τὸν Θεὸν [b] ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πατέρες ἡμῶν οὔτε ἡμεῖς [c] ἰσχύσαμεν βαστάσαι;

11 Ἀλλὰ διὰ τῆς χάριτος Κυρίου Ἰησοῦ Χριστοῦ πιστεύομεν [d] σωθῆναι, καθ᾽ ὃν τρόπον [e] κἀκεῖνοι.

12 [f] Ἐσίγησε δὲ πᾶν τὸ πλῆθος· καὶ [g] ἤκουον Βαρνάβα καὶ Παύλου [h] ἐξηγουμένων ὅσα [i] ἐποίησεν ὁ Θεὸς σημεῖα καὶ τέρατα ἐν τοῖς ἔθνεσι δι᾽ αὐτῶν.

13 Μετὰ δὲ τὸ [f] σιγῆσαι αὐτοὺς, [k] ἀπεκρίθη Ἰάκωβος, λέγων, Ἄνδρες ἀδελφοὶ, [g] ἀκούσατέ μου·

14 Συμεὼν [l] ἐξηγήσατο καθὼς πρῶτον ὁ Θεὸς [m] ἐπεσκέψατο [n] λαβεῖν ἐξ ἐθνῶν λαὸν ἐπὶ τῷ ὀνόματι αὐτοῦ.

15 Καὶ τούτῳ [o] συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν, καθὼς [p] γέγραπται,

16 Μετὰ

[n] ἀγγέλλω.
[o] ποιέω.
[p] πίστις.
[q] ἄγω.
[r] εἴδω.
* ἵστημι.
[f] λέγω.
[u] γινώσκω.
[x] μαρτυρ.
[y] δίδωμι.
[z] κρίνω.
[a] καθαίρω.
[b] τίθημι.
[c] ἰσχύς.
[d] σῶος.
[e] καὶ ἐκεῖνος.
[f] σιγάω.
[g] ἀκούω.
[h] ἡγέομαι.
[i] ποιέω.
[k] κρίνω.
[l] ἡγέομαι.
[m] σκέπτομαι.
[n] λαμβάνω.
[o] φωνή.
[p] γράφω.

16 Μετὰ ταῦτα [q] ἀναστρέψω, καὶ [r] ἀνοικοδομήσω τὴν σκηνὴν Δαβὶδ τὴν [s] πεπτωκυῖαν, καὶ τὰ [t] κατεσκαμμένα αὐτῆς [r] ἀνοικοδομήσω, καὶ [u] ἀνορθώσω αὐτήν·

[q] στρέφω.
[r] δέμω.
[s] πίπτω.
[t] σκάπτω.

17 Ὅπως ἂν [x] ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων τὸν Κύριον, καὶ πάντα τὰ ἔθνη ἐφ' οὓς [y] ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτούς· λέγει Κύριος ὁ ποιῶν ταῦτα πάντα.

[u] ὀρθός.
[x] ζητέω.
[y] καλέω.

18 [z] Γνωστὰ ἀπ' αἰῶνός [a] ἐστι τῷ Θεῷ πάντα τὰ ἔργα αὐτοῦ.

[z] γινώσκω.
[a] εἰμί.

19 Διὸ ἐγὼ κρίνω μὴ [b] παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν [c] ἐπιστρέφουσιν ἐπὶ τὸν Θεόν.

[b] ὄχλος.
[c] στρέφω.

20 Ἀλλὰ [d] ἐπιστεῖλαι αὐτοῖς τοῦ [e] ἀπέχεσθαι ἀπὸ τῶν ἀλισγημάτων τῶν εἰδώλων, καὶ τῆς πορνείας, καὶ τοῦ πνικτοῦ, καὶ τοῦ αἵματος.

[d] στέλλω.
[e] ἔχω.

21 Μωσῆς γὰρ ἐκ γενεῶν ἀρχαίων κατὰ πόλιν τοὺς κηρύσσοντας αὐτὸν ἔχει, ἐν ταῖς συναγωγαῖς κατὰ πᾶν σάββατον [f] ἀναγινωσκόμενος.

[f] γινώσκω.

22 Τότε [g] ἔδοξε τοῖς ἀποστόλοις καὶ τοῖς πρεσβυτέροις σὺν ὅλῃ τῇ ἐκκλησίᾳ, [h] ἐκλεξαμένους ἄνδρας ἐξ αὐτῶν [i] πέμψαι εἰς Ἀντιόχειαν σὺν τῷ Παύλῳ καὶ Βαρνάβᾳ· Ἰούδαν τὸν [k] ἐπικαλούμενον Βαρσαβᾶν, καὶ Σίλαν, ἄνδρας [l] ἡγουμένους ἐν τοῖς ἀδελφοῖς·

[g] δοκέω.
[h] λέγω.
[i] πέμπω.
[k] καλέω.
[l] ἡγέομαι.

23 [m] Γράψαντες διὰ χειρὸς αὐτῶν τάδε. Οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι καὶ οἱ ἀδελφοὶ, τοῖς κατὰ τὴν Ἀντιόχειαν καὶ Συρίαν, καὶ Κιλικίαν ἀδελφοῖς τοῖς ἐξ ἐθνῶν, χαίρειν.

[m] γράφω.

24 Ἐπειδὴ [n] ἠκούσαμεν ὅτι τινὲς ἐξ ἡμῶν [o] ἐξελθόντες [p] ἐτάραξαν ὑμᾶς λόγοις, ἀνασκευάζοντες τὰς ψυχὰς ὑμῶν, λέγοντες [q] περιτέμνεσθαι, καὶ τηρεῖν τὸν νόμον· οἷς οὐ [d] διεστειλάμεθα.

[n] ἀκούω.
[o] ἔρχομαι.
[p] ταράττω.
[q] τέμνω.

25 [g] Ἔδοξεν ἡμῖν γενομένοις [r] ὁμοθυμαδὸν, [h] ἐκλεξαμένους ἄνδρας [i] πέμψαι πρὸς ὑμᾶς, σὺν τοῖς ἀγαπητοῖς ἡμῶν Βαρνάβᾳ καὶ Παύλῳ,

[r] θυμός.

26 Ἀνθρώποις [s] παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

[s] δίδωμι.

27 Ἀπεστάλκαμεν οὖν Ἰούδαν καὶ Σίλαν, καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας τὰ αὐτά.

28 [s] Ἔδοξε γὰρ τῷ ἁγίῳ πνεύματι καὶ ἡμῖν, μηδὲν πλέον [t] ἐπιτίθεσθαι ὑμῖν βάρος πλὴν τῶν [u] ἐπάναγκες τούτων·

29 [x] Ἀπέχεσθαι εἰδωλοθύτων καὶ αἵματος καὶ πνικτοῦ καὶ πορνείας· ἐξ ὧν [y] διατηροῦντες ἑαυτούς, εὖ πράξετε. [z] Ἔρρωσθε.

30 Οἱ μὲν οὖν [a] ἀπολυθέντες [b] ἦλθον εἰς Ἀντιόχειαν· καὶ [c] συναγαγόντες τὸ πλῆθος, [d] ἐπέδωκαν τὴν ἐπιστολήν.

31 [e] Ἀναγνόντες δὲ, [f] ἐχάρησαν ἐπὶ τῇ παρακλήσει.

32 Ἰούδας δὲ καὶ Σίλας, καὶ αὐτοὶ προφῆται [g] ὄντες, διὰ λόγου πολλοῦ [h] παρεκάλεσαν τοὺς ἀδελφούς, καὶ [i] ἐπεστήριξαν.

33 [k] Ποιήσαντες δὲ χρόνον, [l] ἀπελύθησαν μετ᾽ εἰρήνης ἀπὸ τῶν ἀδελφῶν πρὸς τοὺς ἀποστόλους.

34 [l] Ἔδοξε δὲ τῷ Σίλᾳ [m] ἐπιμεῖναι αὐτοῦ.

35 Παῦλος δὲ καὶ Βαρνάβας [n] διέτριβον ἐν Ἀντιοχείᾳ, διδάσκοντες καὶ εὐαγγελιζόμενοι, μετὰ καὶ ἑτέρων πολλῶν, τὸν λόγον τοῦ Κυρίου.

36 Μετὰ δέ τινας ἡμέρας εἶπε Παῦλος πρὸς Βαρνάβαν, [o] Ἐπιστρέψαντες δὴ [p] ἐπισκεψώμεθα τοὺς ἀδελφοὺς ἡμῶν κατὰ πᾶσαν πόλιν ἐν αἷς [q] κατηγγείλαμεν τὸν λόγον τοῦ Κυρίου, πῶς ἔχουσι.

37 Βαρνάβας δὲ [r] ἐβουλεύσατο [s] συμπαραλαβεῖν τὸν Ἰωάννην τὸν καλούμενον Μάρκον·

38 Παῦλος δὲ [t] ἠξίου τὸν [u] ἀποστάντα ἀπ᾽ αὐτῶν ἀπὸ Παμφυλίας, καὶ μὴ [b] συνελθόντα αὐτοῖς εἰς τὸ ἔργον, μὴ [s] συμπαραλαβεῖν τοῦτον.

39 [x] Ἐγένετο οὖν παροξυσμός, ὥστε [y] ἀποχωρισθῆναι αὐτοὺς ἀπ᾽ ἀλλήλων, τόν τε Βαρνάβαν [s] παραλαβόντα τὸν Μάρκον, ἐκπλεῦσαι εἰς Κύπρον·

40 Παῦλος δὲ [z] ἐπιλεξάμενος Σίλαν [b] ἐξῆλθε

[t] τίθημι.
[u] ἀνάγκη.
[x] ἔχω.
[y] τηρέω.
[z] ῥωννύω.
[a] λύω.
[b] ἔρχομαι.
[c] ἄγω.
[d] δίδωμι.
[e] γινώσκω.
[f] χάρις.
[g] εἰμί.
[h] καλέω.
[i] στηρίζω.
[k] ποιέω.
[l] δοκέω.
[m] μένω.
[n] τρίβω.
[o] στρέφω.
[p] σκέπτομαι.
[q] ἀγγέλλω.
[r] βουλή.
[s] λαμβάνω.
[t] ἄξιος.
[u] ἵστημι.
[x] γίνομαι.
[y] χῶρος.
[z] λέγω.

ἦλθε [d] παραδοθεὶς τῇ χάριτι τοῦ Θεοῦ ὑπὸ τῶν ἀδελφῶν.

41 Διήρχετο δὲ τὴν Συρίαν καὶ Κιλικίαν, [i] ἐπιστηρίζων τὰς ἐκκλησίας.

Κεφ. ιϛ΄. Cap. XVI.

[a] ΚΑτήντησε δὲ εἰς Δέρβην καὶ Λύστραν· καὶ ἰδοὺ μαθητής τις [b] ἦν ἐκεῖ, ὀνόματι Τιμόθεος, υἱὸς γυναικός τινος Ἰουδαίας πιστῆς, πατρὸς δὲ Ἕλληνος.

[a] ἀντάω.
[b] εἰμί.

2 Ὃς [c] ἐμαρτυρεῖτο ὑπὸ τῶν ἐν Λύστροις καὶ Ἰκονίῳ ἀδελφῶν.

[c] μάρτυρ.

3 Τοῦτον [d] ἠθέλησεν ὁ Παῦλος σὺν αὐτῷ [e] ἐξελθεῖν· καὶ [f] λαβὼν [g] περιέτεμεν αὐτὸν διὰ τοὺς Ἰουδαίους τοὺς [b] ὄντας ἐν τοῖς τόποις ἐκείνοις· [h] ᾔδεισαν γὰρ ἅπαντες τὸν πατέρα αὐτοῦ ὅτι [i] Ἕλλην [i] ὑπῆρχεν.

[d] θέλω.
[e] ἔρχομαι.
[f] λαμβάνω.
[g] τέμνω.
[h] εἴδω.
[i] ἄρχω.

4 Ὡς δὲ [k] διεπορεύοντο τὰς πόλεις, * παρεδίδουν αὐτοῖς φυλάσσειν τὰ δόγματα τὰ [m] κεκριμένα ὑπὸ τῶν ἀποστόλων καὶ τῶν πρεσβυτέρων τῶν ἐν Ἱερουσαλήμ.

[k] πείρω.
* δίδωμι.
[m] κρίνω.

5 Αἱ μὲν οὖν ἐκκλησίαι [n] ἐστερεοῦντο τῇ πίστει, καὶ [o] ἐπερίσσευον τῷ ἀριθμῷ καθ᾽ ἡμέραν.

[n] στερεός.
[o] περί.

6 [e] Διελθόντες δὲ τὴν Φρυγίαν καὶ τὴν Γαλατικὴν χώραν, [p] κωλυθέντες ὑπὸ τοῦ ἁγίου πνεύματος [q] λαλῆσαι τὸν λόγον ἐν τῇ Ἀσίᾳ,

[p] κωλύω.
[q] λαλέω.

7 [e] Ἐλθόντες κατὰ τὴν Μυσίαν, [r] ἐπείραζον κατὰ τὴν Βιθυνίαν [s] πορεύεσθαι· καὶ οὐκ [t] εἴασεν αὐτοὺς τὸ πνεῦμα.

[r] πεῖρα.
[s] πείρω.
[t] ἐάω.

8 [e] Παρελθόντες δὲ τὴν Μυσίαν, [u] κατέβησαν εἰς Τρῳάδα.

[u] βαίνω.

9 Καὶ [x] ὅραμα διὰ τῆς νυκτὸς [y] ὤφθη τῷ Παύλῳ· Ἀνήρ τις [b] ἦν Μακεδὼν [z] ἑστώς, παρακαλῶν αὐτὸν, καὶ λέγων, [a] Διαβὰς εἰς Μακεδονίαν [b] βοήθησον ἡμῖν.

[x] ὁράω.
[y] ὄπτομαι.
[z] ἵστημι.
[a] βαίνω.
[b] βοηθός.

10 Ὡς δὲ τὸ ὅραμα εἶδεν, εὐθέως [c] ἐζητήσαμεν [d] ἐξελθεῖν εἰς τὴν Μακεδονίαν, [a] συμβιβάζοντες ὅτι [e] προσκέκληται ἡμᾶς ὁ Κύριος εὐαγγελίσασθαι αὐτούς.

[c] ζητέω.
[d] ἔρχομαι.
[e] καλέω.

11 [f] Ἀνα-

11 [f] Ἀναχθέντες οὖν ἀπὸ τῆς Τρωάδος, [g] εὐθυδρομήσαμεν εἰς Σαμοθρᾴκην, τῇ τε [h] ἐπιούσῃ εἰς Νεάπολιν·

12 Ἐκεῖθέν τε εἰς Φιλίππους, ἥτις [h] ἐστὶ πρώτη τῆς μερίδος τῆς Μακεδονίας πόλις, κολώνια· [h] ἦμεν δὲ ἐν ταύτῃ τῇ πόλει διατρίβοντες ἡμέρας τινάς.

13 Τῇ τε ἡμέρᾳ τῶν σαββάτων [d] ἐξήλθομεν ἔξω τῆς πόλεως παρὰ ποταμόν, οὗ [i] ἐνομίζετο προσευχὴ [h] εἶναι· καὶ [k] καθίσαντες [l] ἐλαλοῦμεν ταῖς [d] συνελθούσαις [m] γυναιξί.

14 Καί τις γυνὴ ὀνόματι Λυδία, πορφυρόπωλις πόλεως Θυατείρων [n] σεβομένη τὸν Θεὸν [o] ἤκουεν· ἧς ὁ Κύριος [p] διήνοιξε τὴν καρδίαν, προσέχειν τοῖς [q] λαλουμένοις ὑπὸ τοῦ Παύλου.

15 Ὡς δὲ [r] ἐβαπτίσθη, καὶ ὁ οἶκος αὐτῆς, [s] παρεκάλεσε, λέγουσα, Εἰ [t] κεκρίκατέ με πιστὴν τῷ Κυρίῳ [h] εἶναι, εἰσελθόντες εἰς τὸν οἶκόν μου, μείνατε. Καὶ [u] παρεβιάσατο ἡμᾶς·

16 [x] Ἐγένετο δὲ [y] πορευομένων ἡμῶν εἰς προσευχήν, παιδίσκην τινὰ ἔχουσαν πνεῦμα Πύθωνος, [z] ἀπαντῆσαι ἡμῖν, ἥτις ἐργασίαν πολλὴν [a] παρεῖχε τοῖς κυρίοις αὐτῆς, μαντευομένη.

17 Αὕτη [b] κατακολουθήσασα τῷ Παύλῳ καὶ ἡμῖν, [c] ἔκραζε λέγουσα, Οὗτοι οἱ ἄνθρωποι, δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου [d] εἰσίν, οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας.

18 Τοῦτο δὲ ἐποίει ἐπὶ πολλὰς ἡμέρας· [e] διαπονηθεὶς δὲ ὁ Παῦλος, καὶ [f] ἐπιστρέψας, τῷ πνεύματι εἶπε, Παραγγέλλω σοι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, [g] ἐξελθεῖν ἀπ᾽ αὐτῆς. Καὶ ἐξῆλθεν αὐτῇ τῇ ὥρᾳ.

19 [h] Ἰδόντες δὲ οἱ κύριοι αὐτῆς ὅτι [i] ἐξῆλθεν ἡ ἐλπὶς τῆς ἐργασίας αὐτῶν, [k] ἐπιλαβόμενοι τὸν Παῦλον καὶ τὸν Σίλαν, [l] εἵλκυσαν εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας·

20 Καὶ [m] προσαγαγόντες αὐτοὺς τοῖς στρατηγοῖς, εἶπον, Οὗτοι οἱ ἄνθρωποι [n] ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν, Ἰουδαῖοι ὑπάρχοντες.

21 Καὶ

[f] ἄγω.
[g] τρέχω.
[h] εἰμί.
[i] νέμω.
[k] ἕζω.
[l] λαλέω.
[m] γυνή.
[n] σέβω.
[o] ἀκούω.
[p] οἴγω.
[q] λαλέω.
[r] βαπτίζω.
[s] καλέω.
[t] κρίνω.
[u] βία.
[x] γίνομαι.
[y] πείρω.
[z] ἄντα.
[a] ἔχω.
[b] ἀκόλουθος.
[c] κράζω.
[d] εἰμί.
[e] πένομαι.
[f] στρέφω.
[g] ἔρχομαι.
[h] εἴδω.
[i] ἔρχομαι.
[k] λαμβάνω.
[l] ἑλκύω.
[m] ἄγω.
[n] ταράττω.

21 Καὶ καταγγέλουσιν ἔθη ἃ οὐκ [d] ἔξεστιν ἡμῖν [o] παραδέχεσθαι, οὐδὲ ποιεῖν, Ῥωμαίοις [d] οὖσι.

22 Καὶ [p] συνεπέστη ὁ ὄχλος κατ' αὐτῶν· καὶ οἱ στρατηγοὶ [q] περιῤῥήξαντες αὐτῶν τὰ ἱμάτια, [r] ἐκέλευον ῥαβδίζειν.

23 Πολλάς τε [s] ἐπιθέντες αὐτοῖς πληγὰς, [t] ἔβαλον εἰς φυλακήν· [u] παραγγείλαντες τῷ [x] δεσμοφύλακι [y] ἀσφαλῶς τηρεῖν αὐτούς.

24 Ὁς [u] παραγγελίαν τοιαύτην [a] εἰληφὼς, [b] ἔβαλεν αὐτοὺς εἰς τὴν ἐσωτέραν φυλακὴν, καὶ τοὺς [c] πόδας αὐτῶν [d] ἠσφαλίσατο εἰς τὸ ξύλον.

25 Κατὰ δὲ τὸ μεσονύκτιον Παῦλος καὶ Σίλας [e] προσευχόμενοι [f] ὕμνουν τὸν Θεόν· [g] ἐπηκροῶντο δὲ αὐτῶν οἱ δέσμιοι.

26 Ἄφνω δὲ σεισμὸς ἐγένετο μέγας, ὥστε [h] σαλευθῆναι τὰ θεμέλια τοῦ δεσμωτηρίου· [i] ἀνεώχθησάν τε [k] παραχρῆμα αἱ θύραι πᾶσαι, καὶ πάντων τὰ δεσμὰ [l] ἀνέθη.

27 Ἔξυπνος δὲ γενόμενος ὁ δεσμοφύλαξ, καὶ [m] ἰδὼν [i] ἀνεῳγμένας τὰς θύρας τῆς φυλακῆς, [n] σπασάμενος μάχαιραν [o] ἔμελλεν ἑαυτὸν ἀναιρεῖν, νομίζων [p] ἐκπεφευγέναι τοὺς δεσμίους·

28 [q] Ἐφώνησε δὲ φωνῇ μεγάλῃ ὁ Παῦλος, λέγων, Μηδὲν [r] πράξῃς σεαυτῷ κακόν· ἅπαντες γάρ [s] ἐσμεν ἐνθάδε.

29 [t] Αἰτήσας δὲ φῶτα [u] εἰσεπήδησε, καὶ ἔντρομος [g] γενόμενος [x] προσέπεσε τῷ Παύλῳ καὶ τῷ Σίλᾳ·

30 Καὶ [y] προαγαγὼν αὐτοὺς ἔξω, [z] ἔφη, Κύριοι, τί με δεῖ ποιεῖν ἵνα [a] σωθῶ;

31 Οἱ δὲ εἶπον, [b] Πίστευσον ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστὸν, καὶ [a] σωθήσῃ σὺ καὶ ὁ οἶκός σου.

32 Καὶ [c] ἐλάλησαν αὐτῷ τὸν λόγον τοῦ Κυρίου, καὶ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ.

33 Καὶ [d] παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτὸς, [e] ἔλουσεν ἀπὸ τῶν πληγῶν· καὶ [f] ἐβαπτίσθη αὐτὸς καὶ οἱ αὐτοῦ πάντες [g] παραχρῆμα.

[o] δέχομαι.
[p] ἵστημι.
[q] ῥήσσω.
[r] κελεύω.
[s] τίθημι.
[t] βάλλω.
[u] ἀγγέλλω.
[x] φύλαξ.
[y] σφάλλω.
[a] λαμβάνω.
[b] βάλλω.
[c] πούς.
[d] σφάλλω.
[e] εὐχή.
[f] ὑμνέω.
[g] ἀκροάομαι.
[h] σάλος.
[i] οἴγω.
[k] χρῆμα.
[l] ἕω.
[m] εἴδω.
[n] σπάω.
[o] μέλλω.
[p] φεύγω.
[q] φωνή.
[r] πράττω.
[s] εἰμί.
[t] αἰτέω.
[u] πηδάω.
[x] πίπτω.
[y] ἄγω.
[z] φάω.
[a] σῶος.
[b] πίστις.
[c] λαλέω.
[d] λαμβάνω.
[e] λύω.
[f] βαπτίζω.
[g] χρῆμα.

34 * Ἀνα-

* ἄγω.
h τίθημι.
i ἀγάλλω.
k πίστις.
l γίνομαι.
m στέλλω.
n ἔχω.
o λύω.
p ἀγγέλλω.
q φύλαξ.
r ἔρχομαι.
ſ πείρω.
t φάω.
u δῆμος.
x κρίνω.
y βάλλω.
z ἀγγέλλω.
a φέβομαι.
b εἰμί.
c ἔρχομαι.
d ἄγω.
e ἐρωτάω.
f εἴδω.
g καλέω.

34 * Ἀναγαγών τε αὐτοὺς εἰς τὸν οἶκον αὐτοῦ, [h] παρέθηκε τράπεζαν, καὶ [i] ἠγαλλιάσατο πανοικὶ [k] πεπιστευκὼς τῷ Θεῷ.

35 Ἡμέρας δὲ [l] γενομένης [m] ἀπέστειλαν οἱ στρατηγοὶ τοὺς [n] ῥαβδούχους, λέγοντες, [o] Ἀπόλυσον τοὺς ἀνθρώπους ἐκείνους.

36 [p] Ἀπήγγειλε δὲ ὁ [q] δεσμοφύλαξ τοὺς λόγους τούτους πρὸς τὸν Παῦλον, Ὅτι [m] ἀπεστάλκασιν οἱ στρατηγοὶ ἵνα [o] ἀπολυθῆτε· νῦν οὖν [r] ἐξελθόντες, [ſ] πορεύεσθε ἐν εἰρήνῃ.

37 Ὁ δὲ Παῦλος [t] ἔφη πρὸς αὐτούς, Δείραντες ἡμᾶς [u] δημοσίᾳ, [x] ἀκατακρίτους, ἀνθρώπους Ῥωμαίους ὑπάρχοντας, [y] ἔβαλον εἰς φυλακήν, καὶ νῦν λάθρᾳ ἡμᾶς ἐκβάλλουσιν; Οὐ γάρ· ἀλλὰ [r] ἐλθόντες αὐτοὶ ἡμᾶς * ἐξαγαγέτωσαν.

38 [z] Ἀνήγγειλαν δὲ τοῖς στρατηγοῖς οἱ ῥαβδοῦχοι τὰ ῥήματα ταῦτα· καὶ [a] ἐφοβήθησαν, ἀκούσαντες ὅτι Ῥωμαῖοί [b] εἰσι.

39 Καὶ [c] ἐλθόντες παρεκάλεσαν αὐτούς, καὶ [d] ἐξαγαγόντες [e] ἠρώτων [c] ἐξελθεῖν τῆς πόλεως.

40 [c] Ἐξελθόντες δὲ ἐκ τῆς φυλακῆς [c] εἰσῆλθον εἰς τὴν Λυδίαν· καὶ [f] ἰδόντες τοὺς ἀδελφούς, [g] παρεκάλεσαν αὐτούς, καὶ [c] ἐξῆλθον.

Κεφ. ιζ'. Cap. XVII.

a ὁδός.
b ἔρχομαι.
c εἰμί.
d ἔθω.
e λέγω.
f τίθημι.
g δέω.
h πάσχω.
i ἵστημι.
l πείθω.
m κλῆρος.
n σέβω.

[a] Διοδεύσαντες δὲ τὴν Ἀμφίπολιν καὶ Ἀπολλωνίαν, [b] ἦλθον εἰς Θεσσαλονίκην, ὅπου [c] ἦν ἡ συναγωγὴ τῶν Ἰουδαίων·

2 Κατὰ δὲ τὸ [d] εἰωθὸς τῷ Παύλῳ [b] εἰσῆλθε πρὸς αὐτούς, καὶ ἐπὶ σάββατα τρία [c] διελέγετο αὐτοῖς ἀπὸ τῶν γραφῶν.

3 Διανοίγων καὶ [f] παρατιθέμενος ὅτι τὸν Χριστὸν [g] ἔδει [h] παθεῖν, καὶ [i] ἀναστῆναι ἐκ νεκρῶν· καὶ ὅτι οὗτός [c] ἐστιν ὁ Χριστὸς Ἰησοῦς, ὃν ἐγὼ καταγγέλλω ὑμῖν.

4 Καί τινες ἐξ αὐτῶν [l] ἐπείσθησαν, καὶ [m] προσεκληρώθησαν τῷ Παύλῳ καὶ τῷ Σίλᾳ, τῶν τε [n] σεβομένων Ἑλλήνων πολὺ πλῆθος, γυναικῶν τε τῶν πρώτων οὐκ ὀλίγαι.

5 [o] Ζη-

5 [o] Ζηλώσαντες δὲ οἱ [l] ἀπειθοῦντες Ἰουδαῖοι,	[o] ζῆλος.
καὶ [p] προσλαβόμενοι τῶν ἀγοραίων τινὰς ἄνδρας	[p] λαμβάνω.
πονηρούς, καὶ * ὀχλοποιήσαντες, [q] ἐθορύβουν τὴν	* ποιέω.
πόλιν [i] ἐπιστάντες τε τῇ οἰκίᾳ Ἰάσονος, [r] ἐ-	[q] θόρυβος.
ζήτουν αὐτοὺς ἀγαγεῖν εἰς τὸν δῆμον·	[r] ζητέω.
6 Μὴ [s] εὑρόντες δὲ αὐτούς, [t] ἔσυρον τὸν Ἰά-	[s] εὑρίσκω.
σονα καί τινας ἀδελφοὺς ἐπὶ τοὺς πολιτάρχας·	[t] σύρω.
[u] βοῶντες, Ὅτι οἱ τὴν οἰκουμένην [i] ἀναστατώ-	[u] βοάω.
σαντες, οὗτοι καὶ ἐνθάδε * πάρεισιν.	* εἰμί.
7 Οὓς [g] ὑποδέδεκται Ἰάσων· καὶ οὗτοι πάν-	[g] δέχομαι.
τες ἀπέναντι τῶν δογμάτων Καίσαρος πράττουσι,	
βασιλέα λέγοντες ἕτερον [c] εἶναι, Ἰησοῦν.	
8 [x] Ἐτάραξαν δὲ τὸν ὄχλον καὶ τοὺς πολιτάρ-	[x] ταράττω.
χας [c] ἀκούοντας ταῦτα.	
9 Καὶ λαβόντες τὸ ἱκανὸν παρὰ τοῦ Ἰάσονος	
καὶ τῶν λοιπῶν, [y] ἀπέλυσαν αὐτούς.	[y] λύω.
10 Οἱ δὲ ἀδελφοὶ εὐθέως διὰ τῆς νυκτὸς	
[z] ἐξέπεμψαν τόν τε Παῦλον καὶ τὸν Σίλαν εἰς	[z] πέμπω.
Βέρροιαν· οἵτινες [a] παραγενόμενοι, εἰς τὴν συ-	[a] γίνομαι.
ναγωγὴν τῶν Ἰουδαίων [b] ἀπῄεσαν.	[b] εἶμι.
11 Οὗτοι δὲ * ἦσαν εὐγενέστεροι τῶν ἐν Θεσσα-	* εἰμί.
λονίκῃ, οἵτινες [c] ἐδέξαντο τὸν λόγον μετὰ πάσης	[c] δέχομαι.
προθυμίας, τὸ καθ' ἡμέραν [d] ἀνακρίνοντες τὰς	[d] κρίνω.
γραφάς, εἰ ἔχοι ταῦτα οὕτως.	
12 Πολλοὶ μὲν οὖν ἐξ αὐτῶν [e] ἐπίστευσαν, καὶ	[e] πίστις.
τῶν Ἑλληνίδων γυναικῶν τῶν εὐσχημόνων, καὶ ἀν-	
δρῶν οὐκ ὀλίγοι.	
13 Ὡς δὲ [f] ἔγνωσαν οἱ ἀπὸ τῆς Θεσσαλονίκης	[f] γινώσκω.
Ἰουδαῖοι ὅτι καὶ ἐν τῇ Βερροίᾳ [g] κατηγγέλη ὑπὸ	[g] ἀγγέλλω.
τοῦ Παύλου ὁ λόγος τοῦ Θεοῦ, [h] ἦλθον κἀκεῖ,	[h] ἔρχομαι.
[i] σαλεύοντες τοὺς ὄχλους.	[i] σαλεύω.
14 ¶ Εὐθέως δὲ τότε τὸν Παῦλον [k] ἐξαπέ-	[k] στέλλω.
στειλαν οἱ ἀδελφοὶ [l] πορεύεσθαι ὡς ἐπὶ τὴν θά-	[l] πείρω.
λασσαν· [m] ὑπέμενον δὲ ὅ, τε Σίλας καὶ ὁ Τιμό-	[m] μένω.
θεος ἐκεῖ.	
15 Οἱ δὲ [n] καθιστῶντες τὸν Παῦλον, [o] ἤγαγον	[n] ἵστημι.
αὐτὸν ἕως Ἀθηνῶν· καὶ [p] λαβόντες ἐντολὴν	[o] ἄγω.
πρὸς τὸν Σίλαν καὶ Τιμόθεον, ἵνα ὡς τάχιστα	[p] λαμβάνω.
[h] ἔλθωσι πρὸς αὐτόν, [b] ἐξῄεσαν.	

16 Ἐν δὲ ταῖς Ἀθήναις [c] ἐκδεχομένου αὐτοὺς τοῦ Παύλου, [q] παρωξύνετο τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ θεωροῦντι κατείδωλον [b] οὖσαν τὴν πόλιν.

[q] ὀξύς.

17 [r] Διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ τοῖς Ἰουδαίοις καὶ τοῖς σεβομένοις, καὶ ἐν τῇ ἀγορᾷ κατὰ πᾶσαν ἡμέραν πρὸς τοὺς [s] παρατυγχάνοντας.

[r] λέγω.
[s] τυγχάνω.

18 Τινὲς δὲ τῶν Ἐπικουρείων καὶ τῶν Στωϊκῶν φιλοσόφων συνέβαλλον αὐτῷ· καί τινες ἔλεγον, Τί ἂν θέλοι ὁ σπερμολόγος οὗτος λέγειν; Οἱ δὲ, Ξένων δαιμονίων δοκεῖ καταγγελεὺς [b] εἶναι· ὅτι τὸν Ἰησοῦν καὶ τὴν ἀνάστασιν αὐτοῖς [g] εὐηγγελίζετο.

19 Ἐπιλαβόμενοί τε αὐτοῦ, ἐπὶ τὸν Ἄρειον πάγον [o] ἤγαγον· λέγοντες, [t] Δυνάμεθα [u] γνῶναι τίς ἡ καινὴ αὕτη ἡ ὑπὸ σοῦ [x] λαλουμένη διδαχή;

[t] δύναμαι.
[u] γινώσκω.
[x] λαλέω.

20 Ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν· βουλόμεθα οὖν [u] γνῶναι τί ἂν θέλοι ταῦτα [b] εἶναι.

21 (Ἀθηναῖοι δὲ πάντες καὶ οἱ [y] ἐπιδημοῦντες ξένοι εἰς οὐδὲν ἕτερον εὐκαίρουν ἢ λέγειν τι καὶ ἀκούειν καινότερον)

[y] δῆμος.

22 Σταθεὶς δὲ ὁ Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου πάγου, [z] ἔφη, Ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς [a] δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ.

[z] φάω.
[a] δαίμων.

23 Διερχόμενος γὰρ καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν, [b] εὗρον καὶ βωμὸν ἐν ᾧ [c] ἐπεγέγραπτο, [d] Ἀγνώστῳ Θεῷ. Ὃν οὖν [e] ἀγνοοῦντες [f] εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν.

[b] εὑρίσκω.
[c] γράφω.
[d] γινώσκω.
[e] νόος.
[f] σέβω.

24 Ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς Κύριος ὑπάρχων, οὐκ ἐν [g] χειροποιήτοις ναοῖς κατοικεῖ·

[g] ποιέω.

25 Οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται, [h] προσδεόμενός τινος· αὐτὸς [i] διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα.

[h] δέω.
[i] δίδωμι.

26 [k] Ἐποίησέ τε ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς·

[k] ποιέω.

γῆς ὁρίσας [l] προστεταγμένους καιροὺς, καὶ τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν.

[l] τάττω.

27 Ζητεῖν τὸν Κύριον, εἰ ἄρα γε [m] ψηλαφήσειαν αὐτὸν καὶ [n] εὕροιεν· καίτοιγε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα.

[m] ἅπτω.
[n] εὑρίσκω.

28 Ἐν αὐτῷ γὰρ [o] ζῶμεν, καὶ κινούμεθα, καὶ [p] ἐσμέν· ὡς καί τινες τῶν καθ' ὑμᾶς ποιητῶν [q] εἰρήκασι, Τοῦ γὰρ καὶ γένος [p] ἐσμέν.

[o] ζάω.
[p] εἰμί.
[q] εἴρω.

29 Γένος οὖν ὑπάρχοντες τοῦ Θεοῦ, οὐκ ὀφείλομεν νομίζειν χρυσῷ ἢ ἀργύρῳ ἢ λίθῳ, χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπου, τὸ θεῖον εἶναι ὅμοιον.

30 Τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας [r] ὑπεριδὼν ὁ Θεὸς, τανῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν.

[r] εἴδω. //

31 Διότι [s] ἔστησεν ἡμέραν ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ [t] ὥρισε· πίστιν [u] παρασχὼν πᾶσιν, [s] ἀναστήσας αὐτὸν ἐκ νεκρῶν.

[s] ἵστημι.
[t] ὅρος.
[u] ἔχω.

32 Ἀκούσαντες δὲ ἀνάστασιν νεκρῶν, οἱ μὲν [x] ἐχλεύαζον· οἱ δὲ εἶπον, Ἀκουσόμεθά σου πάλιν περὶ τούτου.

[x] χλευάω.

33 Καὶ οὕτως ὁ Παῦλος [y] ἐξῆλθεν ἐκ μέσου αὐτῶν.

[y] ἔρχομαι.

34 Τινὲς δὲ ἄνδρες [z] κολληθέντες αὐτῷ [a] ἐπίστευσαν· ἐν οἷς καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης, καὶ γυνὴ ὀνόματι Δάμαρις, καὶ ἕτεροι σὺν αὐτοῖς.

[z] κολλάω.
[a] πίστις.

Κεφ. ιη΄. Cap. XVIII.

Μετὰ δὲ ταῦτα [a] χωρισθεὶς ὁ Παῦλος ἐκ τῶν Ἀθηνῶν, [b] ἦλθεν εἰς Κόρινθον.

[a] χῶρος.
[b] ἔρχομαι.

2 Καὶ [c] εὑρών τινα Ἰουδαῖον ὀνόματι Ἀκύλαν, Ποντικὸν τῷ γένει, προσφάτως [b] ἐληλυθότα ἀπὸ τῆς Ἰταλίας, καὶ Πρίσκιλλαν γυναῖκα αὐτοῦ, (διὰ τὸ [d] διατεταχέναι Κλαύδιον χωρίζεσθαι πάντας τοὺς Ἰουδαίους ἐκ τῆς Ῥώμης) [b] προσῆλθεν αὐτοῖς·

[c] εὑρίσκω. //
[d] τάττω.

3 Καὶ διὰ τὸ ὁμότεχνον [e] εἶναι, [f] ἔμενε παρ' αὐτοῖς, καὶ εἰργάζετο· [e] ἦσαν γὰρ σκηνοποιοὶ τὴν τέχνην.

[e] εἰμί. //
[f] μένω.

4 Διε-

4 [g] Διελέγετο δὲ ἐν τῇ συναγωγῇ κατὰ πᾶν σάββατον, [h] ἔπειθέ τε Ἰουδαίους καὶ Ἕλληνας.

5 Ὡς δὲ [h] κατῆλθον ἀπὸ τῆς Μακεδονίας ὅ, τε Σίλας καὶ ὁ Τιμόθεος, [i] συνείχετο τῷ πνεύματι ὁ Παῦλος. [k] διαμαρτυρόμενος τοῖς Ἰουδαίοις τὸν Χριστὸν Ἰησοῦν.

6 [l] Ἀντιτασσομένων δὲ αὐτῶν, καὶ βλασφημούντων, [l] ἐκτιναξάμενος τὰ ἱμάτια, εἶπε πρὸς αὐτούς, Τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν· καθαρὸς ἐγώ, ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη * πορεύσομαι.

7 Καὶ [m] μεταβὰς ἐκεῖθεν, [h] ἦλθεν εἰς οἰκίαν τινὸς ὀνόματι Ἰούστου, [n] σεβομένου τὸν Θεόν, οὗ ἡ οἰκία [c] ἦν [o] συνομοροῦσα τῇ συναγωγῇ.

8 Κρίσπος δὲ ὁ ἀρχισυνάγωγος [p] ἐπίστευσε τῷ Κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ· καὶ πολλοὶ τῶν Κορινθίων ἀκούοντες [p] ἐπίστευον, καὶ [q] ἐβαπτίζοντο.

9 Εἶπε δὲ ὁ Κύριος δι' ὁράματος ἐν νυκτὶ τῷ Παύλῳ, Μὴ [r] φοβοῦ, ἀλλὰ λάλει, καὶ μὴ σιωπήσῃς.

10 Διότι ἐγώ εἰμι μετὰ σοῦ, καὶ οὐδεὶς [s] ἐπιθήσεταί σοι τοῦ † κακῶσαί σε· διότι λαός ἐστί μοι πολὺς ἐν τῇ πόλει ταύτῃ.

11 [t] Ἐκάθισέ τε ἐνιαυτὸν καὶ μῆνας ἕξ, διδάσκων ἐν αὐτοῖς τὸν λόγον τοῦ Θεοῦ.

12 Γαλλίωνος δὲ [u] ἀνθυπατεύοντος τῆς Ἀχαΐας, [x] κατεπέστησαν [y] ὁμοθυμαδὸν οἱ Ἰουδαῖοι τῷ Παύλῳ, καὶ [z] ἤγαγον αὐτὸν ἐπὶ τὸ βῆμα·

13 Λέγοντες, Ὅτι παρὰ τὸν νόμον οὗτος ἀναπείθει τοὺς ἀνθρώπους [n] σέβεσθαι τὸν Θεόν.

14 Μέλλοντος δὲ τοῦ Παύλου ἀνοίγειν τὸ στόμα, εἶπεν ὁ Γαλλίων πρὸς τοὺς Ἰουδαίους, Εἰ μὲν οὖν [c] ἦν * ἀδίκημά τι ἢ [a] ῥᾳδιούργημα πονηρόν, ὦ Ἰουδαῖοι, κατὰ λόγον ἂν [b] ἠνεσχόμην ὑμῶν.

15 Εἰ δὲ ζήτημά ἐστι περὶ λόγου καὶ ὀνομάτων καὶ νόμου τοῦ καθ' ὑμᾶς, [d] ὄψεσθε αὐτοί· κριτὴς γὰρ ἐγὼ τούτων οὐ βούλομαι [c] εἶναι.

16 Καὶ [e] ἀπήλασεν αὐτοὺς ἀπὸ τοῦ βήματος.

17 [f] Ἐπι-

[g] λέγω.
[h] πείθω.
[i] ἔχω.
[k] μάρτυρ.
[l] τινάσσω.
* πορεύομαι.
[m] βαίνω.
[n] σέβω.
[o] ὅρος.
[p] πίστις.
[q] βαπτίζω.
[r] φέβομαι.
[s] τίθημι.
† κακός.
[t] ἕζω.
[u] ὕπατ.
[x] ἵστημι.
[y] θυμός.
[z] ἄγω.
* δίκη.
[a] ἔργον.
[b] ἔχω.
[c] εἰμί.
[d] ὄπτομαι.
[e] ἐλαύνω.

17 [f] Ἐπιλαβόμενοι δὲ πάντες οἱ Ἕλληνες Σωσθένην τὸν [g] ἀρχισυνάγωγον ἔτυπτον ἔμπροσθεν τοῦ βήματος· καὶ οὐδὲν τούτων τῷ Γαλλίωνι [h] ἔμελεν.

18 Ὁ δὲ Παῦλος ἔτι [i] προσμείνας ἡμέρας ἱκανάς, τοῖς ἀδελφοῖς [k] ἀποταξάμενος [l] ἐξέπλει εἰς τὴν Συρίαν· καὶ σὺν αὐτῷ Πρίσκιλλα καὶ Ἀκύλας, [m] κειράμενος τὴν κεφαλὴν ἐν Κεγχρεαῖς· [b] εἶχε γὰρ εὐχήν.

19 [n] Κατήντησε δὲ εἰς Ἔφεσον, [o] κἀκείνους [p] κατέλιπεν αὐτοῦ· αὐτὸς δὲ [q] εἰσελθὼν εἰς τὴν συναγωγήν, [r] διελέχθη τοῖς Ἰουδαίοις.

20 [ſ] Ἐρωτώντων δὲ αὐτῶν ἐπὶ πλείονα χρόνον μεῖναι παρ' αὐτοῖς, οὐκ [t] ἐπένευσεν·

21 Ἀλλ' [k] ἀπετάξατο αὐτοῖς, εἰπών, Δεῖ με πάντως τὴν ἑορτὴν τὴν [q] ἐρχομένην ποιῆσαι εἰς Ἱεροσόλυμα· πάλιν δὲ [u] ἀνακάμψω πρὸς ὑμᾶς, τοῦ Θεοῦ θέλοντος. Καὶ [g] ἀνήχθη ἀπὸ τῆς Ἐφέσου.

22 Καὶ [q] κατελθὼν εἰς Καισάρειαν, [x] ἀναβάς, καὶ [y] ἀσπασάμενος τὴν ἐκκλησίαν, [x] κατέβη εἰς Ἀντιόχειαν.

23 Καὶ ποιήσας χρόνον τινά, [q] ἐξῆλθε, διερχόμενος καθεξῆς τὴν Γαλατικὴν χώραν καὶ Φρυγίαν, [z] ἐπιστηρίζων πάντας τοὺς μαθητάς.

24 Ἰουδαῖος δέ τις Ἀπολλῶς ὀνόματι, Ἀλεξανδρεὺς τῷ γένει, ἀνὴρ λόγιος, [a] κατήντησεν εἰς Ἔφεσον, δυνατὸς [b] ὢν ἐν ταῖς γραφαῖς.

25 Οὗτος [b] ἦν [c] κατηχημένος τὴν ὁδὸν τοῦ Κυρίου· καὶ ζέων τῷ πνεύματι, [d] ἐλάλει καὶ [e] ἐδίδασκεν ἀκριβῶς τὰ περὶ τοῦ Κυρίου, [f] ἐπιστάμενος μόνον τὸ βάπτισμα Ἰωάννου.

26 Οὗτός τε [g] ἤρξατο [h] παῤῥησιάζεσθαι ἐν τῇ συναγωγῇ. Ἀκούσαντες δὲ αὐτοῦ Ἀκύλας καὶ Πρίσκιλλα [i] προσελάβοντο αὐτόν, καὶ ἀκριβέστερον αὐτῷ [k] ἐξέθεντο τὴν τοῦ Θεοῦ ὁδόν.

27 [l] Βουλομένου δὲ αὐτοῦ [m] διελθεῖν εἰς τὴν Ἀχαΐαν, [n] προτρεψάμενοι οἱ ἀδελφοὶ [o] ἔγραψαν τοῖς μαθηταῖς [p] ἀποδέξασθαι αὐτόν· ὃς

[q] παρα-

[f] λαμβάνω.
[g] ἄγω.
[h] μέλλω.
[i] μένω.
[k] τάσσω.
[l] πλέω.
[m] κείρω.
[n] ἄντα.
[o] καὶ ἐκεῖνος.
[p] λείπω.
[q] ἔρχομαι.
[r] ἐλέγχω.
[ſ] ἐρωτάω.
[t] νεύω.
[u] κάμπτω.
[x] βαίνω.
[y] ἀσπάζομαι
[z] στηρίζω.
[a] ἄντα.
[b] εἰμί.
[c] ἦχος.
[d] λαλέω.
[e] διδάσκω.
[f] ἵστημι.
[g] ἄρχω.
[h] ῥέω.
[i] λαμβάνω.
[k] τίθημι.
[l] βουλή.
[m] ἔρχομαι.
[n] τρέπω.
[o] γράφω.
[p] δέχομαι.

[q] γίνομαι. [r] βάλλω. [s] πίστις. [t] ἐλέγχω. [u] δεικνύω.

[q] παραγενόμενος [r] συνεβάλετο πολὺ τοῖς [s] πεπιστευκόσι διὰ τῆς χάριτος.

28 Εὐτόνως γὰρ τοῖς Ἰουδαίοις [t] διακατηλέγχετο δημοσίᾳ, [u] ἐπιδεικνὺς διὰ τῶν γραφῶν [b] εἶναι τὸν Χριστὸν, Ἰησοῦν.

Κεφ. ιθʹ. Cap. XIX.

[a] γίνομαι. [b] εἰμί. [c] ἔρχομαι. [d] ἄνω. [e] εὑρίσκω. [f] λαμβάνω. [g] πίστις. [h] ἀκούω.

[a] Ἐγένετο δὲ ἐν τῷ τὸν Ἀπολλὼ [b] εἶναι ἐν Κορίνθῳ, Παῦλον [c] διελθόντα τὰ [d] ἀνωτερικὰ μέρη, [c] ἐλθεῖν εἰς Ἔφεσον· καὶ [e] εὑρών τινας μαθητὰς,

2 Εἶπε πρὸς αὐτοὺς, Εἰ πνεῦμα ἅγιον [f] ἐλάβετε [g] πιστεύσαντες; Οἱ δὲ εἶπον πρὸς αὐτὸν, Ἀλλ᾽ οὐδὲ εἰ πνεῦμα ἅγιόν [b] ἐστιν [h] ἠκούσαμεν.

3 Εἶπέ τε πρὸς αὐτοὺς, Εἰς τί οὖν ἐβαπτίσθητε; Οἱ δὲ εἶπον, Εἰς τὸ Ἰωάννου βάπτισμα.

[i] βαπτίζω.

4 Εἶπε δὲ Παῦλος, Ἰωάννης μὲν [i] ἐβάπτισε βάπτισμα μετανοίας, τῷ λαῷ λέγων, εἰς τὸν ἐρχόμενον μετ᾽ αὐτὸν ἵνα [g] πιστεύσωσι, [b] τουτέστιν εἰς τὸν Χριστὸν Ἰησοῦν.

5 [h] Ἀκούσαντες δὲ [i] ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ.

[k] τίθημι. [l] λαλέω.

6 Καὶ [k] ἐπιθέντος αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας, [c] ἦλθε τὸ πνεῦμα τὸ ἅγιον ἐπ᾽ αὐτούς· [l] ἐλάλουν τε γλώσσαις καὶ προεφήτευον.

7 [b] Ἦσαν δὲ οἱ πάντες ἄνδρες ὡσεὶ δεκαδύο.

[m] ῥέω. [n] λέγω.

8 [c] Εἰσελθὼν δὲ εἰς τὴν συναγωγὴν, [m] ἐπαῤῥησιάζετο ἐπὶ μῆνας τρεῖς [n] διαλεγόμενος καὶ πείθων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ.

[o] σκληρός. [p] πείθω. [q] ἵστημι. [r] ὅρος.

9 Ὡς δέ τινες [o] ἐσκληρύνοντο καὶ [p] ἠπείθουν, [n] κακολογοῦντες τὴν ὁδὸν ἐνώπιον τοῦ πλήθους, [q] ἀποστὰς ἀπ᾽ αὐτῶν, [r] ἀφώρισε τοὺς μαθητὰς, καθ᾽ ἡμέραν [n] διαλεγόμενος ἐν τῇ σχολῇ Τυράννου τινός.

[s] οἶκος.

10 Τοῦτο δὲ [a] ἐγένετο ἐπὶ ἔτη δύο· ὥστε πάντας τοὺς [s] κατοικοῦντας τὴν Ἀσίαν ἀκοῦσαι τὸν λόγον τοῦ Κυρίου Ἰησοῦ, Ἰουδαίους τε καὶ Ἕλληνας.

11 Δυνάμεις τε οὐ τὰς τυχούσας ἐποίει ὁ Θεὸς διὰ τῶν χειρῶν Παύλου·

12 Ὥστε καὶ ἐπὶ τοὺς ἀσθενοῦντας [t] ἐπιφέρεσθαι ἀπὸ τοῦ χρωτὸς αὐτοῦ σουδάρια ἢ σιμικίνθια, καὶ [u] ἀπαλλάσσεσθαι ἀπ' αὐτῶν τὰς νόσους, τά τε πνεύματα τὰ πονηρὰ [c] ἐξέρχεσθαι ἀπ' αὐτῶν.

[t] φέρω. [u] ἀλλάσσω.

13 [x] Ἐπεχείρησαν δέ τινες ἀπὸ τῶν [c] περιερχομένων Ἰουδαίων ἐξορκιστῶν ὀνομάζειν ἐπὶ τοὺς ἔχοντας τὰ πνεύματα τὰ πονηρὰ, τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ λέγοντες, Ὁρκίζομεν ὑμᾶς τὸν Ἰησοῦν ὃν ὁ Παῦλος κηρύσσει

[x] χείρ.

14 [b] Ἦσαν δέ τινες υἱοὶ Σκευᾶ Ἰουδαίου ἀρχιερέως ἑπτὰ, οἱ τοῦτο ποιοῦντες.

15 [y] Ἀποκριθὲν δὲ τὸ πνεῦμα τὸ πονηρὸν εἶπε, Τὸν Ἰησοῦν γινώσκω, καὶ τὸν Παῦλον ἐπίσταμαι· ὑμεῖς δὲ τίνες [b] ἐστέ;

[y] κρίνω.

16 Καὶ [z] ἐφαλλόμενος ἐπ' αὐτοὺς ὁ ἄνθρωπος ἐν ᾧ τὸ πνεῦμα τὸ πονηρὸν, καὶ [a] κατακυριεύσας αὐτῶν [b] ἴσχυσε κατ' αὐτῶν, ὥστε γυμνοὺς καὶ [c] τετραυματισμένους [d] ἐκφυγεῖν ἐκ τοῦ οἴκου ἐκείνου.

[z] ἅλλομαι. [a] κύριος. [b] ἰσχύς. [c] τιτρώσκω. [d] φεύγω.

17 Τοῦτο δὲ [e] ἐγένετο γνωστὸν πᾶσιν Ἰουδαίοις τε καὶ Ἕλλησι τοῖς κατοικοῦσι τὴν Ἔφεσον· καὶ [f] ἐπέπεσε φόβος ἐπὶ πάντας αὐτοὺς, καὶ [g] ἐμεγαλύνετο τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ.

[e] γίνομαι. [f] πίπτω. [g] μέγας.

18 Πολλοί τε τῶν [h] πεπιστευκότων [i] ἤρχοντο, [k] ἐξομολογούμενοι καὶ ἀναγγέλλοντες τὰς πράξεις αὐτῶν.

[h] πίστις. [i] ἄρχω. [k] λέγω.

19 Ἱκανοὶ δὲ τῶν τὰ περίεργα πραξάντων, [l] συνενέγκαντες τὰς βίβλους, [m] κατέκαιον ἐνώπιον πάντων· καὶ [n] συνεψήφισαν τὰς τιμὰς αὐτῶν, καὶ [o] εὗρον ἀργυρίου μυριάδας πέντε·

[l] φέρω. [m] καίω. [n] ψῆφος. [o] εὑρίσκω.

20 Οὕτω κατὰ κράτος ὁ λόγος τοῦ Κυρίου, [p] ηὔξανε καὶ [b] ἴσχυεν·

[p] αὐξάνω.

21 ¶ Ὡς δὲ [q] ἐπληρώθη ταῦτα, [r] ἔθετο ὁ Παῦλος ἐν τῷ πνεύματι [s] διελθὼν τὴν Μακεδονίαν καὶ Ἀχαΐαν, * πορεύεσθαι εἰς Ἱερουσαλὴμ εἰπὼν, Ὅτι μετὰ τὸ [c] γενέσθαι με ἐκεῖ, δεῖ με καὶ Ῥώμην [t] ἰδεῖν.

[q] πλέος. [r] τίθημι. [s] ἔρχομαι. * πόρος. [t] εἴδω.

22 [u] Ἀποστείλας δὲ εἰς τὴν Μακεδονίαν δύο

[u] στέλλω.

τῶν διακονούντων αὐτῷ, Τιμόθεον καὶ Ἔραστον,
[x] ἔχω. αὐτὸς [x] ἐπέσχε χρόνον εἰς τὴν Ἀσίαν.
23 [c] Ἐγένετο δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον τά-
ραχος οὐκ ὀλίγος περὶ τῆς ὁδοῦ.
[y] κόπτω. 24 Δημήτριος γάρ τις ὀνόματι, [y] ἀργυρο-
κόπος, ποιῶν ναοὺς ἀργυροῦς Ἀρτέμιδος,
[x] παρείχετο τοῖς τεχνίταις ἐργασίαν οὐκ ὀλίγην.
[z] ἄθροος. 25 Οὓς [z] συναθροίσας καὶ τοὺς περὶ τὰ τοι-
[a] ἵστημι. αῦτα ἐργάτας, εἶπεν, Ἄνδρες, [a] ἐπίστασθε ὅτι
[b] εἰμί. ἐκ ταύτης τῆς ἐργασίας ἡ εὐπορία ἡμῶν [b] ἐστι.
26 Καὶ θεωρεῖτε καὶ ἀκούετε ὅτι οὐ μόνον Ἐ-
φέσου, ἀλλὰ σχεδὸν πάσης τῆς Ἀσίας ὁ Παῦλος
[c] πείθω. οὗτος [c] πείσας [a] μετέστησεν ἱκανὸν ὄχλον· λέγων
ὅτι οὐκ [b] εἰσὶ θεοὶ οἱ διὰ χειρῶν γινόμενοι.
27 Οὐ μόνον δὲ τοῦτο κινδυνεύει ἡμῖν τὸ
[d] ἔρχομαι. μέρος εἰς ἀπελεγμὸν [d] ἐλθεῖν, ἀλλὰ καὶ τὸ τῆς
[e] λέγω. μεγάλης θεᾶς Ἀρτέμιδος ἱερὸν εἰς οὐδὲν [e] λο-
[f] καθαιρέω. γισθῆναι, μέλλειν τε καὶ [f] καθαιρεῖσθαι τὴν
[g] μέγας. [g] μεγαλιότητα αὐτῆς, ἣν ὅλη ἡ Ἀσία καὶ ἡ οἰ-
κουμένη σέβεται.
[h] γίνομαι. 28 Ἀκούσαντες δὲ, καὶ [h] γενόμενοι πλήρεις
[i] κράζω. θυμοῦ, [i] ἔκραζον λέγοντες, Μεγάλη ἡ Ἄρτε-
μις Ἐφεσίων.
[k] πλέος. 29 Καὶ [k] ἐπλήσθη ἡ πόλις ὅλη συγχύσεως·
[l] ὁρμή. [l] ὥρμησάν τε [m] ὁμοθυμαδὸν εἰς τὸ θέατρον,
[m] θυμός. [n] συναρπάσαντες Γάϊον καὶ Ἀρίσταρχον Μακεδό-
[n] ἁρπάζω. νας, [o] συνεκδήμους τοῦ Παύλου.
[o] δῆμος. 30 Τοῦ δὲ Παύλου βουλομένου [d] εἰσελθεῖν εἰς
[p] ἐάω. τὸν δῆμον, οὐκ [p] εἴων αὐτὸν οἱ μαθηταί.
[q] πέμπω. 31 Τινὲς δὲ καὶ τῶν Ἀσιαρχῶν [b] ὄντες αὐτῷ
[r] καλέω. φίλοι, [q] πέμψαντες πρὸς αὐτὸν, [r] παρεκάλουν
[s] δίδωμι. μὴ [s] δοῦναι ἑαυτὸν εἰς τὸ θέατρον.
[t] χέω. 32 Ἄλλοι μὲν οὖν ἄλλο τι ἔκραζον· [b] ἦν γὰρ
[u] εἴδω. ἡ ἐκκλησία [t] συγκεχυμένη, καὶ οἱ πλείους οὐκ
[x] βαίνω. [u] ᾔδεισαν τίνος ἕνεκεν [d] συνεληλύθεισαν.
[y] βάλλω. 33 Ἐκ δὲ τοῦ ὄχλου [x] προεβίβασαν Ἀλέξ-
[z] σείω. ανδρον, [y] προβαλλόντων αὐτὸν τῶν Ἰουδαίων·
[a] θέλω. ὁ δὲ Ἀλέξανδρος [z] κατασείσας τὴν χεῖρα,
[b] λέγω. [a] ἤθελεν [b] ἀπολογεῖσθαι τῷ δήμῳ.

34 Ἐπι-

34 [c] Ἐπιγνόντων δὲ ὅτι Ἰουδαῖός [d] ἐστι, φωνὴ [e] ἐγένετο [f] μία ἐκ πάντων, ὡς ἐπὶ ὥρας δύο κραζόντων, Μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων.

[c] γινώσκω. [d] εἰμί. [e] γίνομαι. [f] εἷς.

35 [g] Καταστείλας δὲ ὁ γραμματεὺς τὸν ὄχλον, [h] φησίν, Ἄνδρες Ἐφέσιοι, τίς γάρ [d] ἐστιν ἄνθρωπος ὃς οὐ γινώσκει τὴν Ἐφεσίων πόλιν νεωκόρον [d] οὖσαν τῆς μεγάλης θεᾶς Ἀρτέμιδος, καὶ τοῦ Διοπετοῦς;

[g] στέλλω. [h] φάω.

36 [i] Ἀναντιῤῥήτων οὖν [d] ὄντων τούτων, δέον [d] ἐστὶν ὑμᾶς [g] κατεσταλμένους ὑπάρχειν, καὶ μηδὲν [k] προπετὲς πράττειν.

[i] ῥέω. [k] πίπτω.

37 [l] Ἠγάγετε γὰρ τοὺς ἄνδρας τούτους οὔτε ἱεροσύλους, οὔτε βλασφημοῦντας τὴν θεὰν ὑμῶν.

[l] ἄγω.

38 Εἰ μὲν οὖν Δημήτριος καὶ οἱ σὺν αὐτῷ τεχνῖται πρός τινα λόγον ἔχουσιν, ἀγοραῖοι ἄγονται, καὶ ἀνθύπατοί [d] εἰσιν, [m] ἐγκαλείτωσαν ἀλλήλοις.

[m] καλέω.

39 Εἰ δέ τι περὶ ἑτέρων [n] ἐπιζητεῖτε, ἐν τῇ ἐννόμῳ ἐκκλησίᾳ [o] ἐπιλυθήσεται.

[n] ζητέω. [o] λύω.

40 Καὶ γὰρ κινδυνεύομεν [p] ἐγκαλεῖσθαι στάσεως περὶ τῆς σήμερον, μηδενὸς αἰτίου ὑπάρχοντος περὶ οὗ [q] δυνησόμεθα [r] ἀποδοῦναι λόγον τῆς συστροφῆς ταύτης. Καὶ ταῦτα εἰπὼν, [s] ἀπέλυσε τὴν ἐκκλησίαν.

[p] καλέω. [q] δύναμαι. [r] δίδωμι. [s] λύω.

Κεφ. κ'. Cap. XX.

Μετὰ δὲ τὸ [a] παύσασθαι τὸν θόρυβον [b] προσκαλεσάμενος ὁ Παῦλος τοὺς μαθητὰς καὶ ἀσπασάμενος, [c] ἐξῆλθε [d] πορευθῆναι εἰς τὴν Μακεδονίαν.

[a] παύω. [b] καλέω. [c] ἔρχομαι. [d] πείρω.

2 [c] Διελθὼν δὲ τὰ μέρη ἐκεῖνα, καὶ παρακαλέσας αὐτοὺς λόγῳ πολλῷ, [c] ἦλθεν εἰς τὴν Ἑλλάδα.

3 [e] Ποιήσας τε μῆνας τρεῖς, [f] γενομένης αὐτῷ ἐπιβουλῆς ὑπὸ τῶν Ἰουδαίων μέλλοντι [g] ἀνάγεσθαι εἰς τὴν Συρίαν, [f] ἐγένετο γνώμη τοῦ ὑποστρέφειν διὰ Μακεδονίας.

[e] ποιέω. [f] γίνομαι. [g] ἄγω.

4 Συνείπετο δὲ αὐτῷ ἄχρι τῆς Ἀσίας Σώπατρος Βεροιαῖος· Θεσσαλονικέων δὲ, Ἀρίσταρχος καὶ Σεκοῦνδος, καὶ Γάϊος Δερβαῖος, καὶ Τιμόθεος· Ἀσιανοὶ δὲ, Τυχικὸς καὶ Τρόφιμος.

h μένω. 5 Οὗτοι c προελθόντες h ἔμενον ἡμᾶς ἐν
Τρωάδι.

i πλέω. 6 Ἡμεῖς δὲ i ἐξεπλεύσαμεν μετὰ τὰς ἡμέρας
τῶν Ἀζύμων ἀπὸ Φιλίππων, καὶ c ἤλθομεν πρὸς
αὐτοὺς εἰς τὴν Τρωάδα, ἄχρις ἡμερῶν πέντε, οὗ
k τρίβω. k διετρίψαμεν ἡμέρας ἑπτά.

l ἄγω. 7 Ἐν δὲ τῇ μιᾷ τῶν σαββάτων, l συνηγ-
m κλάω. μένων τῶν μαθητῶν τοῦ m κλάσαι ἄρτον, ὁ Παῦ-
n λέγω. λος n διελέγετο αὐτοῖς, μέλλων o ἐξιέναι τῇ
o εἶμι. ἐπαύριον· p παρέτεινέ τε τὸν λόγον μέχρι με-
p τείνω. σονυκτίου.

q εἰμί. 8 q Ἦσαν δὲ λαμπάδες ἱκαναὶ ἐν τῷ ὑπερ-
ῴῳ οὗ q ἦσαν l συνηγμένοι.

r ἧμαι. 9 r Καθήμενος δέ τις νεανίας ὀνόματι Εὔ-
τυχος ἐπὶ τῆς θυρίδος, s καταφερόμενος ὕπνῳ
βαθεῖ, n διαλεγομένου τοῦ Παύλου ἐπὶ πλεῖον,
s φέρω. s κατενεχθεὶς ἀπὸ τοῦ ὕπνου, u ἔπεσεν ἀπὸ τοῦ
u πίπτω. τριστέγου κάτω· καὶ x ἤρθη νεκρός.

x αἴρω. 10 y Καταβὰς δὲ ὁ Παῦλος, z ἐπέπεσεν
y βαίνω. αὐτῷ, καὶ a συμπεριλαβὼν, εἶπε, Μὴ b θορυ-
z πίπτω. βεῖσθε· ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ c ἐστιν.

a λαμβάνω. 11 d Ἀναβὰς δὲ, καὶ κλάσας ἄρτον καὶ γευ-
b θόρυβος. σάμενος, ἐφ' ἱκανόν τε ὁμιλήσας ἄχρις αὐγῆς,
c εἰμί. οὕτως i ἐξῆλθεν.

d βαίνω. 12 e Ἤγαγον δὲ τὸν παῖδα ζῶντα, καὶ f παρε-
e ἄγω. κλήθησαν οὐ μετρίως.

f καλέω. 13 ¶ Ἡμεῖς δὲ i προελθόντες ἐπὶ τὸ πλοῖ-
ον, c ἀνήχθημεν εἰς τὴν Ἄσσον, ἐκεῖθεν μέλ-
λοντες ἀναλαμβάνειν τὸν Παῦλον· οὕτω γὰρ c ἦν
g τάσσω. g διατεταγμένος, μέλλων αὐτὸς πεζεύειν.

h βάλλω. 14 Ὡς δὲ h συνέβαλεν ἡμῖν εἰς τὴν Ἄσσον,
i ἔρχομαι. a ἀναλαβόντες αὐτὸν i ἤλθομεν εἰς Μιτυλή-
νην.

k πλέω. 15 Κἀκεῖθεν k ἀποπλεύσαντες, τῇ l ἐπιούσῃ
l εἰμί. m κατηντήσαμεν ἀντικρὺ Χίου· τῇ δὲ ἑτέρᾳ
m ἀντάω. n παρεβάλομεν εἰς Σάμον· καὶ μείναντες ἐν
Τρωγυλλίῳ, τῇ ἐχομένῃ i ἤλθομεν εἰς Μίλη-
τον.

o κρίνω. 16 o Ἔκρινε γὰρ ὁ Παῦλος k παραπλεῦσαι
τὴν

τὴν Ἔφεσον, ὅπως μὴ [p] γένηται αὐτῷ [q] χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ· [r] ἔσπευδε γὰρ εἰ δυνατὸν [s] ἦν αὐτῷ, τὴν ἡμέραν τῆς Πεντεκοστῆς [q] γενέσθαι εἰς Ἱεροσόλυμα.

[p] γίνομαι. [q] τρίβω. [r] σπεύδω. [s] εἰμί.

17 Ἀπὸ δὲ τῆς Μιλήτου [t] πέμψας εἰς Ἔφεσον, [u] μετεκαλέσατο τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας.

[t] πέμπω. [u] καλέω.

18 Ὡς δὲ [p] παρεγένοντο πρὸς αὐτὸν, εἶπεν αὐτοῖς, Ὑμεῖς [x] ἐπίστασθε, ἀπὸ πρώτης ἡμέρας ἀφ᾽ ἧς [y] ἐπέβην εἰς τὴν Ἀσίαν, πῶς μεθ᾽ ὑμῶν τὸν πάντα χρόνον [p] ἐγενόμην.

[x] ἵστημι. [y] βαίνω.

19 Δουλεύων τῷ Κυρίῳ μετὰ πάσης ταπεινοφροσύνης, καὶ πολλῶν δακρύων καὶ πειρασμῶν, τῶν [y] συμβάντων μοι ἐν ταῖς ἐπιβουλαῖς τῶν Ἰουδαίων.

20 Ὡς οὐδὲν [z] ὑπεστειλάμην τῶν συμφερόντων, τοῦ μὴ [a] ἀναγγεῖλαι ὑμῖν, καὶ [b] διδάξαι ὑμᾶς δημοσίᾳ καὶ κατ᾽ οἴκους·

[z] στέλλω. [a] ἀγγέλλω. [b] διδάσκω.

21 [c] Διαμαρτυρόμενος Ἰουδαίοις τε καὶ Ἕλλησι τὴν εἰς τὸν Θεὸν μετάνοιαν, καὶ πίστιν τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

[c] μαρτυρ.

22 Καὶ νῦν ἰδοὺ, ἐγὼ [d] δεδεμένος τῷ πνεύματι, [e] πορεύομαι εἰς Ἱερουσαλὴμ, τὰ ἐν αὐτῇ [f] συναντήσοντά μοι μὴ [g] εἰδώς·

[d] δέω. [e] πείρω. [f] ἄντα. [g] εἴδω.

23 Πλὴν ὅτι τὸ πνεῦμα τὸ ἅγιον κατὰ πόλιν [c] διαμαρτύρεται, λέγον ὅτι δεσμά με καὶ θλίψεις [h] μένουσιν.

[h] μένω.

24 Ἀλλ᾽ οὐδενὸς λόγον ποιοῦμαι, οὐδὲ ἔχω τὴν ψυχήν μου τιμίαν ἐμαυτῷ, ὡς [i] τελειῶσαι τὸν δρόμον μου μετὰ χαρᾶς, καὶ τὴν διακονίαν ἣν [k] ἔλαβον παρὰ τοῦ Κυρίου Ἰησοῦ, [c] διαμαρτύρασθαι τὸ εὐαγγέλιον τῆς χάριτος τοῦ Θεοῦ.

[i] τέλος. [k] λαμβάνω.

25 Καὶ νῦν ἰδοὺ, ἐγὼ [g] οἶδα ὅτι οὐκέτι [m] ὄψεσθε τὸ πρόσωπόν μου ὑμεῖς πάντες, ἐν οἷς [n] διῆλθον κηρύσσων τὴν βασιλείαν τοῦ Θεοῦ.

[m] ὄπτομαι. [n] ἔρχομαι.

26 Διὸ μαρτύρομαι ὑμῖν ἐν τῇ σήμερον ἡμέρᾳ ὅτι καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων.

27 Οὐ γὰρ [o] ὑπεστειλάμην τοῦ μὴ [a] ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ.

28 Προσέχετε οὖν ἑαυτοῖς, καὶ παντὶ τῷ ποιμνίῳ ἐν ᾧ ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον [p] ἔθετο ἐπισκόπους, ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ Θεοῦ, ἣν [q] περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος.

29 Ἐγὼ γὰρ [g] οἶδα τοῦτο, ὅτι [n] εἰσελεύσονται μετὰ τὴν [i] ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς, μὴ φειδόμενοι τοῦ ποιμνίου.

30 Καὶ ἐξ ὑμῶν αὐτῶν [s] ἀναστήσονται ἄνδρες [t] λαλοῦντες [u] διεστραμμένα, τοῦ [x] ἀποσπᾷν τοὺς μαθητὰς ὀπίσω αὐτῶν.

31 Διὸ γρηγορεῖτε, μνημονεύοντες ὅτι τριετίαν νύκτα καὶ ἡμέραν οὐκ [y] ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον.

32 Καὶ τανῦν [z] παρατίθεμαι ὑμᾶς, ἀδελφοί, τῷ Θεῷ, καὶ τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, τῷ δυναμένῳ [a] ἐποικοδομῆσαι καὶ [b] δοῦναι ὑμῖν κληρονομίαν ἐν τοῖς ἡγιασμένοις πᾶσιν.

33 Ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ οὐδενὸς [c] ἐπεθύμησα.

34 Αὐτοὶ δὲ γινώσκετε ὅτι ταῖς χρείαις μου, καὶ τοῖς οὖσι μετ' ἐμοῦ [d] ὑπηρέτησαν αἱ χεῖρες αὗται.

35 Πάντα [e] ὑπέδειξα ὑμῖν ὅτι οὕτω κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων· μνημονεύειν τε τῶν λόγων τοῦ Κυρίου Ἰησοῦ, ὅτι αὐτὸς εἶπε, Μακάριόν [f] ἐστι [h] διδόναι μᾶλλον ἢ λαμβάνειν.

36 Καὶ ταῦτα εἰπὼν, * θεὶς τὰ γόνατα αὐτοῦ, σὺν πᾶσιν αὐτοῖς [g] προσηύξατο.

37 Ἱκανὸς δὲ [h] ἐγένετο κλαυθμὸς πάντων· καὶ [i] ἐπιπεσόντες ἐπὶ τὸν τράχηλον τοῦ Παύλου, [k] κατεφίλουν αὐτόν·

38 [l] Ὀδυνώμενοι μάλιστα ἐπὶ τῷ λόγῳ ᾧ [m] εἰρήκει, ὅτι οὐκέτι μέλλουσι τὸ πρόσωπον αὐτοῦ θεωρεῖν· προέπεμπον δὲ αὐτὸν εἰς τὸ πλοῖον.

o στέλλω.
p τίθημι.
q ποιέω.
r ἱκνέομαι.
s ἵστημι.
t λαλέω.
u στρέφω.
x σπάω.
y παύω.
z τίθημι.
a δέμω.
b δίδωμι.
c θυμός.
d ἐρέσσω.
e δεικνύω.
f εἰμί.
* τίθημι.
g εὐχή.
h γίνομαι.
i πίπτω.
k φίλος.
l ὀδύνη.
m εἴρω.

Κεφ. κα΄. Cap. XXI.

[e] ΩΣ δὲ [a] ἐγένετο [b] ἀναχθῆναι ἡμᾶς [c] ἀποσπασθέντας ἀπ' αὐτῶν [d] εὐθυδρομήσαντες [e] ἤλθομεν εἰς τὴν Κῶν· Τῇ δὲ ἑξῆς εἰς τὴν Ῥόδον, [f] κἀκεῖθεν εἰς Πάταρα.

2 Καὶ [g] εὑρόντες πλοῖον [h] διαπερῶν εἰς Φοινίκην, [i] ἐπιβάντες [b] ἀνήχθημεν.

3 [k] Ἀναφανέντες δὲ τὴν Κύπρον, καὶ [*] καταλιπόντες αὐτὴν εὐώνυμον, [l] ἐπλέομεν εἰς Συρίαν, καὶ κατήχθημεν εἰς Τύρον· ἐκεῖσε γὰρ [m] ἦν τὸ πλοῖον [n] ἀποφορτιζόμενον τὸν γόμον.

4 Καὶ [g] ἀνευρόντες τοὺς μαθητὰς, [p] ἐπεμείναμεν αὐτοῦ ἡμέρας ἑπτά· οἵτινες τῷ Παύλῳ [q] ἔλεγον διὰ τοῦ πνεύματος, μὴ ἀναβαίνειν εἰς Ἱερουσαλήμ.

5 Ὅτε δὲ [r] ἐγένετο ἡμᾶς [s] ἐξαρτίσαι τὰς ἡμέρας, [e] ἐξελθόντες [t] ἐπορευόμεθα, προπεμπόντων ἡμᾶς πάντων σὺν γυναιξὶ καὶ τέκνοις, ἕως ἔξω τῆς πόλεως· καὶ [u] θέντες τὰ γόνατα ἐπὶ τὸν αἰγιαλὸν [x] προσηυξάμεθα.

6 Καὶ [y] ἀσπασάμενοι ἀλλήλους, [z] ἐπέβημεν εἰς τὸ πλοῖον· ἐκεῖνοι δὲ [a] ὑπέστρεψαν εἰς τὰ ἴδια.

7 Ἡμεῖς δὲ τὸν πλοῦν [b] διανύσαντες, ἀπὸ Τύρου [c] κατηντήσαμεν εἰς Πτολεμαΐδα καὶ [d] ἀσπασάμενοι τοὺς ἀδελφοὺς, [e] ἐμείναμεν ἡμέραν μίαν παρ' αὐτοῖς.

8 Τῇ δὲ ἐπαύριον [f] ἐξελθόντες οἱ περὶ τὸν Παῦλον [f] ἤλθομεν εἰς Καισάρειαν· Καὶ [f] εἰσελθόντες εἰς τὸν οἶκον Φιλίππου τοῦ εὐαγγελιστοῦ, (τοῦ ὄντος ἐκ τῶν ἑπτὰ) [e] ἐμείναμεν παρ' αὐτῷ.

9 Τούτῳ δὲ [g] ἦσαν θυγατέρες παρθένοι τέσσαρες [h] προφητεύουσαι.

10 [i] Ἐπιμενόντων δὲ ἡμῶν ἡμέρας πλείους, [f] κατῆλθέ τις ἀπὸ τῆς Ἰουδαίας προφήτης ὀνόματι Ἄγαβος·

11 Καὶ [f] ἐλθὼν πρὸς ἡμᾶς, καὶ [k] ἄρας τὴν ζώνην τοῦ Παύλου, [l] δήσας τε αὐτοῦ τὰς χεῖρας καὶ

a	γίνομαι.
b	ἄγω.
c	σπάω.
d	τρέχω.
e	ἔρχομαι.
f	καὶ ἐκεῖθεν.
g	εὑρίσκω.
i	βαίνω.
k	φαίνω.
*	λείπω.
l	πλέω.
m	εἰμί.
n	φέρω.
p	μένω.
q	λέγω.
r	γίνομαι.
s	ἄρτιος.
t	πείρω.
u	τίθημι.
x	εὐχή.
y	ἀσπάζω.
z	βαίνω.
a	στρέφω.
b	ἀνύω.
c	ἄντα.
d	ἀσπάζω.
e	μένω.
f	ἔρχομαι.
g	εἰμί.
h	φάω.
i	μένω.
k	αἴρω.
l	δέω.

[m] πούς. [o] δίδωμι.

τοὺς [m] πόδας, εἶπε, Τάδε λέγει τὸ πνεῦμα τὸ ἅγιον, Τὸν ἄνδρα οὗ ἐστιν ἡ ζώνη αὕτη, οὕτω [l] δήσουσιν ἐν Ἱερουσαλὴμ οἱ Ἰουδαῖοι, καὶ [o] παραδώσουσιν εἰς χεῖρας ἐθνῶν.

[p] ἀκούω.

12 Ὡς δὲ [p] ἠκούσαμεν ταῦτα, παρεκαλοῦμεν ἡμεῖς τε καὶ οἱ ἐντόπιοι τοῦ μὴ ἀναβαίνειν αὐτὸν εἰς Ἱερουσαλήμ.

[q] κρίνω. [r] θνήσκω.

13 [q] Ἀπεκρίθη δὲ ὁ Παῦλος, Τί ποιεῖτε, κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρδίαν; ἐγὼ γὰρ οὐ μόνον [l] δεθῆναι, ἀλλὰ καὶ [r] ἀποθανεῖν εἰς Ἱερουσαλὴμ ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου Ἰησοῦ.

[s] ἥσυχος. [t] γίνομαι.

14 Μὴ πειθομένου δὲ αὐτοῦ, [s] ἡσυχάσαμεν, εἰπόντες, Τὸ θέλημα τοῦ Κυρίου [t] γενέσθω.

15 Μετὰ δὲ τὰς ἡμέρας ταύτας ἀποσκευασάμενοι ἀνεβαίνομεν εἰς Ἱερουσαλήμ.

[u] ξένος.

16 [l] Συνῆλθον δὲ καὶ τῶν μαθητῶν ἀπὸ Καισαρείας σὺν ἡμῖν, ἄγοντες παρ' ᾧ [u] ξενισθῶμεν, Μνάσωνί τινι Κυπρίῳ ἀρχαίῳ μαθητῇ.

[x] δέχομαι.

17 [t] Γενομένων δὲ ἡμῶν εἰς Ἱεροσόλυμα, ἀσμένως [x] ἐδέξαντο ἡμᾶς οἱ ἀδελφοί.

* εἰμί.

18 Τῇ δὲ * ἐπιούσῃ * εἰσῄει ὁ Παῦλος σὺν ἡμῖν πρὸς Ἰάκωβον· πάντες τε [t] παρεγένοντο οἱ πρεσβύτεροι.

[y] ἡγέομαι. [z] ποιέω.

19 Καὶ ἀσπασάμενος αὐτοὺς, [y] ἐξηγεῖτο καθ' ἓν ἕκαστον ὧν [z] ἐποίησεν ὁ Θεὸς ἐν τοῖς ἔθνεσι διὰ τῆς διακονίας αὐτοῦ.

[a] δοκέω. [b] εἰμί. [c] πίστις.

20 Οἱ δὲ ἀκούσαντες [a] ἐδόξαζον τὸν Κύριον· εἶπόν τε αὐτῷ, Θεωρεῖς ἀδελφὲ, πόσαι μυριάδες [b] εἰσὶν Ἰουδαίων τῶν [c] πεπιστευκότων· καὶ πάντες ζηλωταὶ τοῦ νόμου ὑπάρχουσι.

[d] ἦχος.

21 [d] Κατηχήθησαν δὲ περὶ σοῦ, ὅτι ἀποστασίαν διδάσκεις ἀπὸ Μωσέως τοὺς κατὰ τὰ ἔθνη πάντας Ἰουδαίους, λέγων μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα, μηδὲ τοῖς ἔθεσι περιπατεῖν.

[e] ἔρχομαι. [f] ποιέω.

22 Τί οὖν ἐστι; πάντως δεῖ πλῆθος [e] συνελθεῖν· ἀκούσονται γὰρ ὅτι [e] ἐλήλυθας.

23 Τοῦτο οὖν [f] ποίησον ὅ σοι λέγομεν. Εἰσὶν ἡμῖν ἄνδρες τέσσαρες εὐχὴν ἔχοντες ἐφ' ἑαυτῶν.

24 Τούτους [g] παραλαβὼν [h] ἁγνίσθητι σὺν αὐτοῖς, καὶ [i] δαπάνησον ἐπ᾽ αὐτοῖς, ἵνα [k] ξυρήσωνται τὴν κεφαλήν· καὶ [l] γνῶσι πάντες ὅτι ὧν [d] κατήχηνται περὶ σοῦ οὐδέν [b] ἐστιν, ἀλλὰ στοιχεῖς καὶ αὐτὸς τὸν νόμον φυλάσσων.

[g] λαμβάνω.
[h] ἁγνός.
[i] δαπανάω.
[k] ξύω.
[l] γινώσκω.

25 Περὶ δὲ τῶν [m] πεπιστευκότων ἐθνῶν ἡμεῖς [n] ἐπεστείλαμεν, κρίναντες μηδὲν τοιοῦτον τηρεῖν αὐτούς, εἰ μὴ φυλάσσεσθαι αὐτοὺς τό, τε εἰδωλόθυτον, καὶ τὸ αἷμα, καὶ πνικτὸν, καὶ πορνείαν.

[m] πιστεύω.
[n] στέλλω.

26 Τότε ὁ Παῦλος [g] παραλαβὼν τοὺς ἄνδρας, τῇ ἐχομένῃ ἡμέρᾳ σὺν αὐτοῖς ἁγνισθεὶς [n] εἰσῄει εἰς τὸ ἱερὸν, διαγγέλλων τὴν ἐκπλήρωσιν τῶν ἡμερῶν τοῦ ἁγνισμοῦ· ἕως οὗ [o] προσηνέχθη ὑπὲρ ἑνὸς ἑκάστου αὐτῶν ἡ προσφορά.

[o] φέρω.

27 Ὡς δὲ ἔμελλον αἱ ἑπτὰ ἡμέραι συντελεῖσθαι, οἱ ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι θεασάμενοι αὐτὸν ἐν τῷ ἱερῷ, [p] συνέχεον πάντα τὸν ὄχλον, καὶ [q] ἐπέβαλον τὰς χεῖρας ἐπ᾽ αὐτόν·

[p] χέω.
[q] βάλλω.

28 [r] Κράζοντες, Ἄνδρες Ἰσραηλῖται, [s] βοηθεῖτε· οὗτός [b] ἐστιν ὁ ἄνθρωπος ὁ κατὰ τοῦ λαοῦ καὶ τοῦ νόμου καὶ τοῦ τόπου τούτου πάντας πανταχοῦ, διδάσκων· ἔτι τε καὶ Ἕλληνας [t] εἰσήγαγεν εἰς τὸ ἱερὸν καὶ [u] κεκοίνωκε τὸν ἅγιον τόπον τοῦτον.

[r] κράζω.
[s] βοηθός.
[t] ἄγω.
[u] κοινός.

29 ([b] Ἦσαν γὰρ [x] προεωρακότες Τρόφιμον τὸν Ἐφέσιον ἐν τῇ πόλει σὺν αὐτῷ, ὃν [y] ἐνόμιζον ὅτι εἰς τὸ ἱερὸν [t] εἰσήγαγεν ὁ Παῦλος.)

[x] ὁράω.
[y] νέμω.

30 [z] Ἐκινήθη τε ἡ πόλις ὅλη, καὶ [a] ἐγένετο συνδρομὴ τοῦ λαοῦ· καὶ [b] ἐπιλαβόμενοι τοῦ Παύλου, [c] εἷλκον αὐτὸν ἔξω τοῦ ἱεροῦ· καὶ εὐθέως [d] ἐκλείσθησαν αἱ θύραι.

[z] κινέω.
[a] γίνομαι.
[b] λαμβάνω.
[c] ἕλκω.
[d] κλείω.

31 Ζητούντων δὲ αὐτὸν ἀποκτεῖναι, [e] ἀνέβη φάσις τῷ Χιλιάρχῳ τῆς σπείρας ὅτι ὅλη [f] συγκέχυται Ἰερουσαλήμ·

[e] βαίνω.
[f] χέω.

32 Ὃς ἐξαυτῆς [b] παραλαβὼν στρατιώτας καὶ ἑκατοντάρχους, [g] κατέδραμεν ἐπ᾽ αὐτούς· οἱ δὲ [h] ἰδόντες τὸν χιλίαρχον καὶ τοὺς στρατιώτας, ἐπαύ-

[g] τρέχω.
[h] εἴδω.

[i] παύω. [i] ἐπαύσαντο τύπτοντες τὸν Παῦλον.
[k] ἐγγύς. 33 Τότε [k] ἐγγίσας ὁ χιλίαρχος [b] ἐπελά-
[l] κελεύω. βετο αὐτοῦ, καὶ [l] ἐκέλευσε [m] δεθῆναι ἁλύσεσι
[m] δέω. δυσί· καὶ [n] ἐπυνθάνετο τίς ἂν [o] εἴη· καὶ τί [o] ἐστι
[n] πυνθάνομαι. [p] πεποιηκώς·
[o] εἰμί. 34 Ἄλλοι δὲ ἄλλο τι [q] ἐβόων ἐν τῷ ὄχλῳ·
[p] ποιέω. μὴ δυνάμενος δὲ [r] γνῶναι τὸ ἀσφαλὲς διὰ τὸν
[q] βοάω. θόρυβον, ἐκέλευσεν [s] ἄγεσθαι αὐτὸν εἰς τὴν
[r] γινώσκω. παρεμβολήν·
[s] ἄγω. 35 Ὅτε δὲ ἐγένετο ἐπὶ τοὺς ἀναβαθμοὺς,
[c] συνέβη βαστάζεσθαι αὐτὸν ὑπὸ τῶν στρατιω-
τῶν, διὰ τὴν βίαν τοῦ ὄχλου.
[t] ἀκόλουθος. 36 [t] Ἠκολούθει γὰρ τὸ πλῆθος τοῦ λαοῦ,
[u] αἴρω. κρᾶζον, [u] Αἶρε αὐτόν.
37 Μέλλων τε [ſ] εἰσάγεσθαι εἰς τὴν παρεμ-
βολὴν ὁ Παῦλος, λέγει τῷ χιλιάρχῳ, Εἰ
[x] φάω. [o] ἔξεστί μοι εἰπεῖν τι πρός σε; Ὁ δὲ [x] ἔφη,
Ἑλληνιστὶ γινώσκεις;
38 Οὐκ ἄρα σὺ [o] εἶ ὁ Αἰγύπτιος ὁ πρὸ
[y] ἵστημι. τούτων τῶν ἡμερῶν [y] ἀναστατώσας, καὶ [ſ] ἐξαγα-
γὼν εἰς τὴν ἔρημον τοὺς τετρακισχιλίους ἄνδρας
τῶν σικαρείων;
39 Εἶπε δὲ ὁ Παῦλος, Ἐγὼ ἄνθρωπος
μέν εἰμι Ἰουδαῖος, Ταρσεὺς, καὶ Κιλικίας οὐκ
[z] τρέπω. ἀσήμου πόλεως πολίτης· δέομαι δέ σου, [z] ἐπί-
[a] λαλέω. τρεψόν μοι [a] λαλῆσαι πρὸς τὸν λαόν.
[b] τρέπω. 40 [b] Ἐπιτρέψαντος δὲ αὐτοῦ, ὁ Παῦλος
[c] ἵστημι. [c] ἑστὼς ἐπὶ τῶν ἀναβαθμῶν, [d] κατέσεισε τῇ χειρὶ
[d] σείω. τῷ λαῷ· πολλῆς δὲ σιγῆς [e] γενομένης, [f] προσε-
[e] γίνομαι. φώνησε τῇ Ἑβραΐδι διαλέκτῳ, λέγων,

Κεφ. κβ'. Cap. XXII.

Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατέ μου
τῆς πρὸς ὑμᾶς νῦν ἀπολογίας.

2 (Ἀκούσαντες δὲ ὅτι τῇ Ἑβραΐδι διαλέκ-
[a] ἔχω. τῳ προσεφώνει αὐτοῖς, μᾶλλον [a] παρέσχον ἡ-
[b] φάω. συχίαν· καί [b] φησιν,)
[c] γεννάω. 3 Ἐγὼ μέν εἰμι ἀνὴρ Ἰουδαῖος, [c] γεγεννη-
[d] τρέφω. μένος ἐν Ταρσῷ τῆς Κιλικίας, [d] ἀνατεθραμμέ-
νος δὲ ἐν τῇ πόλει ταύτῃ παρὰ τοὺς πόδας Γα-
μαλιήλ,

μαλιήλ, [c] πεπαιδευμένος κατὰ ἀκρίβειαν τοῦ πατρῴου νόμου, ζηλωτὴς ὑπάρχων τοῦ Θεοῦ, καθὼς πάντες ὑμεῖς [f] ἐστε σήμερον.

4 Ὃς ταύτην τὴν ὁδὸν [g] ἐδίωξα ἄχρι θανάτου, δεσμεύων καὶ [h] παραδιδοὺς εἰς φυλακὰς ἄνδρας τε καὶ [i] γυναῖκας.

5 Ὡς καὶ ὁ ἀρχιερεὺς μαρτυρεῖ μοι, καὶ πᾶν τὸ πρεσβυτέριον· παρ᾽ ὧν καὶ ἐπιστολὰς [k] δεξάμενος πρὸς τοὺς ἀδελφοὺς, εἰς Δαμασκὸν [l] ἐπορευόμην, ἄξων καὶ τοὺς ἐκεῖσε [f] ὄντας, [m] δεδεμένους εἰς Ἱερουσαλὴμ, ἵνα [n] τιμωρηθῶσιν.

6 [o] Ἐγένετο δέ μοι πορευομένῳ καὶ [q] ἐγγίζοντι τῇ Δαμασκῷ περὶ μεσημβρίαν, ἐξαίφνης ἐκ τοῦ οὐρανοῦ [r] περιαστράψαι φῶς ἱκανὸν περὶ ἐμέ.

7 [s] Ἔπεσόν τε εἰς τὸ ἔδαφος· καὶ [t] ἤκουσα φωνῆς λεγούσης μοι, Σαοὺλ, Σαοὺλ, τί με διώκεις;

8 Ἐγὼ δὲ [u] ἀπεκρίθην, Τίς εἶ Κύριε; Εἶπέ τε πρός με, Ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος, ὃν σὺ διώκεις.

9 Οἱ δὲ σὺν ἐμοὶ [f] ὄντες τὸ μὲν φῶς [x] ἐθεάσαντο, καὶ ἔμφοβοι [c] ἐγένοντο· τὴν δὲ φωνὴν οὐκ [t] ἤκουσαν τοῦ λαλοῦντός μοι.

10 Εἶπον δὲ, Τί ποιήσω Κύριε; Ὁ δὲ Κύριος εἶπε πρός με, [y] Ἀναστὰς πορεύου εἰς Δαμασκόν· [z] κἀκεῖ σοι [a] λαληθήσεται περὶ πάντων ὧν [b] τέτακταί σοι ποιῆσαι.

11 Ὡς δὲ οὐκ ἐνέβλεπον, ἀπὸ τῆς δόξης τοῦ φωτὸς ἐκείνου, [c] χειραγωγούμενος ὑπὸ τῶν [d] συνόντων μοι, [e] ἦλθον εἰς Δαμασκόν.

12 Ἀνανίας δέ τις, ἀνὴρ εὐσεβὴς κατὰ τὸν νόμον, μαρτυρούμενος ὑπὸ πάντων τῶν κατοικούντων Ἰουδαίων,

13 [e] Ἐλθὼν πρός με καὶ [f] ἐπιστὰς εἶπέ μοι, Σαοὺλ ἀδελφὲ [g] ἀνάβλεψον. [h] Κἀγὼ αὐτῇ τῇ ὥρᾳ ἀνέβλεψα εἰς αὐτόν.

14 Ὁ δὲ εἶπε, Ὁ Θεὸς τῶν πατέρων ἡμῶν [i] προεχειρίσατό σε * γνῶναι τὸ θέλημα αὐτοῦ, καὶ [k] ἰδεῖν τὸν δίκαιον, καὶ ἀκοῦσαι φωνὴν ἐκ τοῦ στόματος αὐτοῦ.

[c] παῖς.
[f] εἰμί.
[g] διώκω.
[h] δίδωμι.
[i] γυνή.
[k] δέχομαι.
[l] πορεύω.
[m] δέω.
[n] τίω.
[o] γίνομαι.
[q] ἐγγύς.
[r] ἀστράπτω.
[s] πίπτω.
[t] ἀκούω.
[u] κρίνω.
[x] θεάομαι.
[y] ἵστημι.
[z] καὶ ἐκεῖ.
[a] λαλέω.
[b] τάσσω.
[c] ἄγω.
[d] εἰμί.
[e] ἔρχομαι.
[f] ἵστημι.
[g] βλέπω.
[h] καὶ ἐγώ.
[i] χείρ.
* γινώσκω.
[k] εἴδω.

15 Ὅτι [d] ἔσῃ μάρτυς αὐτῷ πρὸς πάντας
[l] ὁράω. ἀνθρώπους, ὧν [l] ἑώρακας καὶ [m] ἤκουσας.

[m] ἀκούω. 16 Καὶ νῦν τί μέλλεις; [f] ἀναστὰς βάπτισαι,
[o] λούω. καὶ [o] ἀπόλουσαι τὰς ἁμαρτίας σου, [p] ἐπικαλεσάμενος
[p] καλέω. τὸ ὄνομα τοῦ Κυρίου.

[q] γίνομαι. 17 [q] Ἐγένετο δέ μοι [r] ὑποστρέψαντι εἰς Ἱερουσαλὴμ,
[r] στρέφω. καὶ προσευχομένου μου ἐν τῷ ἱερῷ,
γενέσθαι με ἐν ἐκστάσει·

[f] σπεύδω. 18 Καὶ [k] ἰδεῖν αὐτὸν λέγοντά μοι, [f] Σπεῦσον
καὶ [e] ἔξελθε ἐν τάχει ἐξ Ἱερουσαλήμ· διότι
[t] δέχομαι. οὐ [t] παραδέξονταί σου τὴν μαρτυρίαν περὶ ἐμοῦ.

19 [h] Κἀγὼ εἶπον, Κύριε, αὐτοὶ [f] ἐπίστανται
ὅτι ἐγὼ [d] ἤμην φυλακίζων καὶ δέρων κατὰ τὰς
συναγωγὰς τοὺς πιστεύοντας ἐπὶ σέ.

[u] χέω. 20 Καὶ ὅτε [u] ἐξεχεῖτο τὸ αἷμα τοῦ Στεφάνου
τοῦ μάρτυρός σου, καὶ αὐτὸς [d] ἤμην ἐφεστὼς, καὶ
συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ, καὶ φυλάσσων τὰ
ἱμάτια τῶν ἀναιρούντων αὐτόν.

[x] πορεύο. 21 Καὶ εἶπε πρός με, [x] Πορεύου· ὅτι ἐγὼ
[y] στέλλω. εἰς ἔθνη μακρὰν [y] ἐξαποστελῶ σε.

22 [m] Ἤκουον δὲ αὐτοῦ ἄχρι τούτου τοῦ λόγου, καὶ
[z] αἴρω. [z] ἐπῆραν τὴν φωνὴν αὐτῶν, λέγοντες, Αἶρε
[a] ἥκω. ἀπὸ τῆς γῆς τὸν τοιοῦτον· οὐ γὰρ [a] καθῆκον αὐτὸν
[b] ζάω. [b] ζῆν.

23 Κραυγαζόντων δὲ αὐτῶν, καὶ ῥιπτούντων
τὰ ἱμάτια, καὶ κονιορτὸν βαλλόντων εἰς τὸν
ἀέρα,

[c] κελεύω. 24 [c] Ἐκέλευσεν αὐτὸν ὁ χιλίαρχος ἄγεσθαι
[d] ἐτάζω. εἰς τὴν παρεμβολὴν, εἰπὼν μάστιξιν [d] ἀνετάζεσθαι
[e] γινώσκω. αὐτόν· ἵνα [e] ἐπιγνῷ δι' ἣν αἰτίαν οὕτως
[f] φωνέω. [f] ἐπεφώνουν αὐτῷ.

25 Ὡς δὲ προέτεινεν αὐτὸν τοῖς ἱμᾶσιν,
[g] ἵστημι. εἶπε πρὸς τὸν [g] ἑστῶτα ἑκατόνταρχον ὁ Παῦλος,
[h] εἰμί. Εἰ ἄνθρωπον Ῥωμαῖον καὶ ἀκατάκριτον [h] ἔξεστιν
ὑμῖν μαστίζειν.

[i] ἔρχομαι. 26 Ἀκούσας δὲ ὁ ἑκατόνταρχος, [i] προσελθὼν
[k] ἀγγέλλω. [k] ἀπήγγειλε τῷ χιλιάρχῳ, λέγων, Ὅρα
τί μέλλεις ποιεῖν· ὁ γὰρ ἄνθρωπος οὗτος Ῥωμαῖός
ἐστιν.

27 Προσ-

27 [i] Προσελθὼν δὲ ὁ χιλίαρχος εἶπεν αὐτῷ, Λέγε μοι, εἰ σὺ Ῥωμαῖος [h] εἶ; Ὁ δὲ [l] ἔφη, Ναί.

[l] φάω.

28 [m] Ἀπεκρίθη τε ὁ χιλίαρχος, Ἐγὼ πολλοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην [n] ἐκτησάμην. Ὁ δὲ Παῦλος [l] ἔφη, Ἐγὼ δὲ, καὶ [p] γεγέννημαι.

[m] κρίνω.
[n] κτάομαι.
[p] γεννάω.

29 Εὐθέως οὖν [s] ἀπέστησαν ἀπ' αὐτοῦ οἱ μέλλοντες αὐτὸν ἀνετάζειν· καὶ ὁ χιλίαρχος δὲ [q] ἐφοβήθη, [c] ἐπιγνοὺς ὅτι Ῥωμαῖός ἐστι, καὶ ὅτι [h] ἦν αὐτὸν [r] δεδεκώς.

[q] φέβομαι.
[r] δέω.

30 Τῇ δὲ ἐπαύριον βουλόμενος [c] γνῶναι τὸ ἀσφαλὲς, τὸ, τί [f] κατηγορεῖται παρὰ τῶν Ἰουδαίων, [t] ἔλυσεν αὐτὸν ἀπὸ τῶν δεσμῶν, καὶ [c] ἐκέλευσεν [i] ἐλθεῖν τοὺς ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον αὐτῶν· καὶ [u] καταγαγὼν τὸν Παῦλον, [x] ἔστησεν εἰς αὐτούς.

[f] ἀγορά.
[t] λύω.
[u] ἄγω.
[x] ἵστημι.

Κεφ. κγ'. Cap. XXIII.

[a] Ἀτενίσας δὲ ὁ Παῦλος τῷ συνεδρίῳ, εἶπεν, Ἄνδρες ἀδελφοὶ, ἐγὼ πάσῃ συνειδήσει ἀγαθῇ [b] πεπολίτευμαι τῷ Θεῷ ἄχρι ταύτης τῆς ἡμέρας.

[a] τείνω.
[b] πόλις.

2 Ὁ δὲ ἀρχιερεὺς Ἀνανίας [c] ἐπέταξε τοῖς [d] παρεστῶσιν αὐτῷ τύπτειν αὐτοῦ τὸ στόμα.

[c] τάσσω.
[d] ἵστημι.

3 Τότε ὁ Παῦλος πρὸς αὐτὸν εἶπε, Τύπτειν σε μέλλει ὁ Θεὸς, τοῖχε [c] κεκονιαμένε· καὶ σὺ [f] κάθῃ κρίνων με κατὰ τὸν νόμον, καὶ παρανομῶν κελεύεις με τύπτεσθαι;

[c] κόνις.
[f] ἧμαι.

4 Οἱ δὲ [d] παρεστῶτες εἶπον, Τὸν ἀρχιερέα τοῦ Θεοῦ λοιδορεῖς;

5 [g] Ἔφη τε ὁ Παῦλος, Οὐκ * ᾔδειν, ἀδελφοὶ, ὅτι [h] ἐστὶν ἀρχιερεύς· [i] γέγραπται γὰρ, Ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς.

[g] φάω.
* εἴδω.
[h] εἰμί.
[i] γράφω.

6 [k] Γνοὺς δὲ ὁ Παῦλος ὅτι τὸ ἓν μέρος ἐστὶ Σαδδουκαίων, τὸ δὲ ἕτερον Φαρισαίων, [l] ἔκραξεν ἐν τῷ συνεδρίῳ, Ἄνδρες ἀδελφοὶ, ἐγὼ φαρισαῖός εἰμι υἱὸς φαρισαίου· περὶ ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι.

[k] γινώσκω.
[l] κράζω.

7 Τοῦτο δὲ αὐτοῦ [m] λαλήσαντος, [n] ἐγένετο στά-

[m] λαλέω.
[n] γίνομαι.

σις

θ σχίζω. σις τῶν Φαρισαίων καὶ τῶν Σαδδουκαίων· καὶ θ ἐσχίσθη
τὸ πλῆθος.

8 Σαδδουκαῖοι μὲν γὰρ λέγουσι μὴ h εἶναι ἀνά-
στασιν, μηδὲ ἄγγελον, μήτε πνεῦμα· Φαρι-
p λέγω. σαῖοι δὲ p ὁμολογοῦσι τὰ ἀμφότερα.

9 n Ἐγένετο δὲ κραυγὴ μεγάλη· καὶ d ἀνα-
στάντες οἱ γραμματεῖς τοῦ μέρους τῶν Φαρισαίων,
q μάχομαι. q διεμάχοντο, λέγοντες, Οὐδὲν κακὸν εὑρί-
σκομεν ἐν τῷ ἀνθρώπῳ τούτῳ· εἰ δὲ πνεῦμα
m ἐλάλησεν αὐτῷ, ἢ ἄγγελος, μὴ q θεομα-
χῶμεν.

r λαμβάνω. 10 Πολλῆς δὲ u γενομένης στάσεως, r εὐλα-
s σπάω. βηθεὶς ὁ χιλίαρχος μὴ s διασπασθῇ ὁ Παῦλος
t κελεύω. ὑπ' αὐτῶν, t ἐκέλευσε τὸ στράτευμα u κατα-
u βαίνω. βὰν ἁρπάσαι αὐτὸν ἐκ μέσου αὐτῶν, ἄγειν τε εἰς
τὴν παρεμβολήν.

x εἰμί. 11 Τῇ δὲ x ἐπιούσῃ νυκτὶ d ἐπιστὰς αὐτῷ ὁ
y μάρτυρ. Κύριος εἶπε, Θάρσει Παῦλε· ὡς γὰρ y διεμαρ-
τύρω τὰ περὶ ἐμοῦ εἰς Ἱερουσαλήμ, οὕτω σε δεῖ
καὶ εἰς Ῥώμην y μαρτυρῆσαι.

12 n Γενομένης δὲ ἡμέρας, ποιήσαντές τινες
z τίθημι. τῶν Ἰουδαίων συστροφήν, z ἀνεθεμάτισαν ἑαυτούς,
a πίνω. λέγοντες μήτε φαγεῖν μήτε a πιεῖν ἕως οὗ ἀποκ-
τείνωσι τὸν Παῦλον.

b εἰμί. 13 b Ἦσαν δὲ πλείους τεσσαράκοντα οἱ ταύ-
c ποιέω. την τὴν συνωμοσίαν c πεποιηκότες.

d ἔρχομαι. 14 Οἵτινες d προσελθόντες τοῖς ἀρχιερεῦσι
* τίθημι. καὶ τοῖς πρεσβυτέροις, εἶπον, * Ἀναθέματι
* ἀνεθεματίσαμεν ἑαυτούς, μηδενὸς γεύσασθαι
e κτείνω. ἕως οὗ e ἀποκτείνωμεν τὸν Παῦλον.

f φαίνω. 15 Νῦν οὖν ὑμεῖς f ἐμφανίσατε τῷ χιλιάρ-
g ἄγω. χῳ σὺν τῷ συνεδρίῳ ὅπως αὔριον αὐτὸν g κα-
ταγάγῃ πρὸς ὑμᾶς, ὡς μέλλοντας διαγινώ-
σκειν ἀκριβέστερον τὰ περὶ αὐτοῦ· ἡμεῖς δὲ, πρὸ
h ἐγγύς. τοῦ h ἐγγίσαι αὐτόν, ἕτοιμοί b ἐσμεν τοῦ i ἀ-
i αἱρέω. νελεῖν αὐτόν.

16 Ἀκούσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς Παύλου τὴν
k γίνομαι. ἐνέδραν, k παραγενόμενος καὶ d εἰσελθὼν εἰς
l ἀγγέλλω. τὴν παρεμβολήν, l ἀπήγγειλε τῷ Παύλῳ.

17 Προσκαλεσάμενος δὲ ὁ Παῦλος ἕνα τῶν ἑκατοντάρχων, [m] ἔφη, Τὸν νεανίαν τοῦτον [g] ἀπάγαγε πρὸς τὸν χιλίαρχον· ἔχει γάρ τι [l] ἀπαγγεῖλαι αὐτῷ.

[m] φάω.

18 Ὁ μὲν οὖν [n] παραλαβὼν αὐτὸν [g] ἤγαγε πρὸς τὸν χιλίαρχον, καί [m] φησιν, Ὁ δέσμιος Παῦλος [p] προσκαλεσάμενός με [q] ἠρώτησε τοῦτον τὸν νεανίαν [g] ἀγαγεῖν πρός σε, ἔχοντά τι [r] λαλῆσαί σοι.

[n] λαμβάνω.
[p] καλέω.
[q] ἐρωτάω.
[r] λαλέω.

19 [n] Ἐπιλαβόμενος δὲ τῆς χειρὸς αὐτοῦ ὁ χιλίαρχος, καὶ [s] ἀναχωρήσας κατ᾽ ἰδίαν, [t] ἐπυνθάνετο, Τί [b] ἐστιν ὃ ἔχεις [l] ἀπαγγεῖλαί μοι;

[s] χώρεις.
[t] πυνθάνομαι.

20 Εἶπε δὲ, Ὅτι οἱ Ἰουδαῖοι [*] συνέθεντο τοῦ [q] ἐρωτῆσαί σε ὅπως αὔριον εἰς τὸ συνέδριον [g] καταγάγῃς τὸν Παῦλον, ὡς μέλλοντές τι ἀκριβέστερον πυνθάνεσθαι περὶ αὐτοῦ.

[*] τίθημι.

21 Σὺ οὖν μὴ [u] πεισθῇς αὐτοῖς· [x] ἐνεδρεύουσι γὰρ αὐτὸν ἐξ αὐτῶν ἄνδρες πλείους τεσσαράκοντα, οἵτινες ἀνεθεμάτισαν ἑαυτοὺς, μήτε φαγεῖν μήτε [y] πιεῖν ἕως οὗ [i] ἀνέλωσιν αὐτόν· καὶ νῦν ἕτοιμοί εἰσι, προσδεχόμενοι τὴν ἀπὸ σοῦ ἐπαγγελίαν.

[u] πείθω.
[x] ἕζω.
[y] πίω.

22 Ὁ μὲν οὖν χιλίαρχος [z] ἀπέλυσε τὸν νεανίαν, [a] παραγγείλας μηδενὶ [b] ἐκλαλῆσαι, ὅτι ταῦτα [c] ἐνεφάνισας πρός με.

[z] λύω.
[a] ἀγγέλλω.
[b] λαλέω.
[c] φαίνω.

23 Καὶ [d] προσκαλεσάμενος δύο τινὰς τῶν ἑκατοντάρχων, εἶπεν, [e] Ἑτοιμάσατε στρατιώτας διακοσίους, ὅπως [f] πορευθῶσιν ἕως Καισαρείας, καὶ ἱππεῖς ἑβδομήκοντα, καὶ δεξιολάβους διακοσίους, ἀπὸ τρίτης ὥρας τῆς νυκτός.

[d] καλέω.
[e] ἕτοιμος.
[f] πείρω.

24 [g] Κτήνη τε [h] παραστῆσαι, ἵνα [i] ἐπιβάσαντες τὸν Παῦλον [k] διασώσωσι πρὸς Φήλικα τὸν ἡγεμόνα.

[g] κτῆνος.
[i] βαίνω.
[k] σόος.

25 [l] Γράψας ἐπιστολὴν [m] περιέχουσαν τὸν τύπον τοῦτον·

[l] γράφω.
[m] ἔχω.

26 Κλαύδιος Λυσίας τῷ κρατίστῳ ἡγεμόνι Φήλικι χαίρειν.

27 Τὸν ἄνδρα τοῦτον [n] συλληφθέντα ὑπὸ τῶν Ἰουδαίων, καὶ μέλλοντα ἀναιρεῖσθαι ὑπ᾽ αὐτῶν,

[n] λαμβάνω.

ἐπιστὰς σὺν τῷ στρατεύματι [o] ἐξειλόμην αὐτόν, [p] μαθὼν ὅτι Ῥωμαῖός [q] ἐστι.

28 Βουλόμενος δὲ [r] γνῶναι τὴν αἰτίαν δι᾽ ἣν [s] ἐνεκάλουν αὐτῷ, [t] κατήγαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν.

29 Ὃν [u] εὗρον [s] ἐγκαλούμενον περὶ ζητημάτων τοῦ νόμου αὐτῶν, μηδὲν δὲ ἄξιον θανάτου ἢ δεσμῶν [s] ἔγκλημα ἔχοντα.

30 [y] Μηνυθείσης δέ μοι ἐπιβουλῆς εἰς τὸν ἄνδρα μέλλειν [q] ἔσεσθαι ὑπὸ τῶν Ἰουδαίων, ἐξαυτῆς [z] ἔπεμψα πρός σε· [a] παραγγείλας καὶ τοῖς κατηγόροις λέγειν τὰ πρὸς αὐτὸν ἐπὶ σοῦ. [b] Ἔρρωσο.

31 Οἱ μὲν οὖν στρατιῶται κατὰ τὸ [c] διατεταγμένον αὐτοῖς, [d] ἀναλαβόντες τὸν Παῦλον, [e] ἤγαγον διὰ τῆς νυκτὸς εἰς τὴν Ἀντιπατρίδα.

32 Τῇ δὲ ἐπαύριον [f] ἐάσαντες τοὺς ἱππεῖς [g] πορεύεσθαι σὺν αὐτῷ, [h] ὑπέστρεψαν εἰς τὴν παρεμβολήν.

33 Οἵτινες [i] εἰσελθόντες εἰς τὴν Καισάρειαν, καὶ [k] ἀναδόντες τὴν ἐπιστολὴν τῷ ἡγεμόνι, [l] παρέστησαν καὶ τὸν Παῦλον αὐτῷ.

34 [m] Ἀναγνοὺς δὲ ὁ ἡγεμών, καὶ [n] ἐπερωτήσας ἐκ ποίας ἐπαρχίας [o] ἐστί, καὶ [p] πυθόμενος ὅτι ἀπὸ Κιλικίας·

35 [q] Διακούσομαί σου, [r] ἔφη, ὅταν καὶ οἱ κατήγοροί σου [s] παραγένωνται. [t] Ἐκέλευσέ τε αὐτὸν ἐν τῷ πραιτωρίῳ τοῦ Ἡρώδου [u] φυλάσσεσθαι.

Κεφ. κδ'. Cap. XXIV.

Μετὰ δὲ πέντε ἡμέρας [a] κατέβη ὁ ἀρχιερεὺς Ἀνανίας μετὰ τῶν πρεσβυτέρων, καὶ ῥήτορος Τερτύλλου τινός, οἵτινες [b] ἐνεφάνισαν τῷ ἡγεμόνι κατὰ τοῦ Παύλου.

2 [c] Κληθέντος δὲ αὐτοῦ, [d] ἤρξατο [e] κατηγορεῖν ὁ Τέρτυλλος, λέγων,

3 Πολλῆς εἰρήνης τυγχάνοντες διὰ σοῦ, καὶ [f] κατορθωμάτων [g] γινομένων τῷ ἔθνει τούτῳ διὰ τῆς σῆς προνοίας, πάντῃ τε καὶ πανταχοῦ [h] ἀποδεχόμεθα, κράτιστε Φῆλιξ, μετὰ πάσης εὐχαριστίας.

4 Ἵνα

[o] αἱρέω.
[p] μανθάνω.
[q] εἰμί.
[r] γινώσκω.
[s] καλέω.
[t] ἄγω.
[u] εὑρίσκω.
[y] μηνύω.
[z] πέμπω.
[a] ἀγγέλλω.
[b] ῥωννύω.
[c] τάσσω.
[d] λαμβάνω.
[e] ἄγω.
[f] ἐάω.
[g] πείρω.
[h] στρέφω.
[i] ἔρχομαι.
[k] δίδωμι.
[l] ἵστημι.
[m] γινώσκω.
[n] ἐρωτάω.
[o] εἰμί.
[p] πυνθάνομαι.
[q] ἀκούω.
[r] φάω.
[s] γίνομαι.
[t] κελεύω.
[u] φύλαξ.
[a] βαίνω.
[b] φαίνω.
[c] καλέω.
[d] ἄρχω.
[e] ἀγορά.
[f] ὀρθός.
[g] γίνομαι.
[h] δέχομαι.

4 Ἵνα δὲ μὴ ἐπὶ πλεῖόν σε ἐγκόπτω, παρακαλῶ ἀκοῦσαί σε ἡμῶν συντόμως, τῇ σῇ ἐπιεικείᾳ.

5 [i] Εὑρόντες γὰρ τὸν ἄνδρα τοῦτον λοιμὸν, καὶ κινοῦντα στάσιν πᾶσι τοῖς Ἰουδαίοις τοῖς κατὰ τὴν οἰκουμένην, [k] πρωτοστάτην τε τῆς τῶν Ναζωραίων αἱρέσεως·

[i] εὑρίσκω.
[k] ἵστημι.

6 Ὃς καὶ τὸ ἱερὸν [l] ἐπείρασε [m] βεβηλῶσαι· ὃν καὶ [n] ἐκρατήσαμεν, καὶ κατὰ τὸν ἡμέτερον νόμον [o] ἠθελήσαμεν κρίνειν.

[l] πειράω.
[m] βέβηλος.
[n] κράτος.
[o] θέλω.

7 [p] Παρελθὼν δὲ Λυσίας ὁ χιλίαρχος, μετὰ πολλῆς βίας ἐκ τῶν χειρῶν ἡμῶν [q] ἀπήγαγε·

[p] ἔρχομαι.
[q] ἄγω.

8 [r] Κελεύσας τοὺς κατηγόρους αὐτοῦ ἔρχεσθαι ἐπί σε· παρ' οὗ [ſ] δυνήσῃ αὐτὸς ἀνακρίνας περὶ πάντων τούτων [t] ἐπιγνῶναι ὧν ἡμεῖς [u] κατηγοροῦμεν αὐτοῦ.

[r] κελεύω.
[ſ] δύναμαι.
[t] γινώσκω.
[u] ἀγορά.

9 [x] Συνέθεντο δὲ καὶ οἱ Ἰουδαῖοι, φάσκοντες ταῦτα οὕτως ἔχειν·

[x] τίθημι.

10 [y] Ἀπεκρίθη δὲ ὁ Παῦλος, νεύσαντος αὐτῷ τοῦ ἡγεμόνος λέγειν, Ἐκ πολλῶν ἐτῶν [z] ὄντα σε κριτὴν τῷ ἔθνει τούτῳ [a] ἐπιστάμενος, [b] εὐθυμότερον τὰ περὶ ἐμαυτοῦ [c] ἀπολογοῦμαι·

[y] κρίνω.
[z] εἰμί.
[a] ἵστημι.
[b] θυμός.
[c] λέγω.

11 [d] Δυναμένου σου [e] γνῶναι ὅτι οὐ πλείους [f] εἰσί μοι ἡμέραι ἢ δεκαδύο, ἀφ' ἧς [g] ἀνέβην [h] προσκυνήσων ἐν Ἱερουσαλήμ.

[d] δύναμαι.
[e] γινώσκω.
[f] εἰμί.
[g] βαίνω.
[h] κύω.

12 Καὶ οὔτε ἐν τῷ ἱερῷ [i] εὗρόν με πρός τινα [k] διαλεγόμενον, ἢ [l] ἐπισύστασιν ποιοῦντα ὄχλου, οὔτε ἐν ταῖς συναγωγαῖς, οὔτε κατὰ τὴν πόλιν·

[i] εὑρίσκω.
[k] λέγω.
[l] ἵστημι.

13 Οὔτε [l] παραστῆσαι δύνανται περὶ ὧν νῦν [m] κατηγοροῦσί μου.

[m] ἀγορά.

14 Ὁμολογῶ δὲ τοῦτό σοι, ὅτι κατὰ τὴν ὁδὸν ἣν λέγουσιν αἵρεσιν, οὕτω λατρεύω τῷ πατρῴῳ Θεῷ, πιστεύων πᾶσι τοῖς κατὰ τὸν νόμον καὶ ἐν τοῖς προφήταις [n] γεγραμμένοις·

[n] γράφω.

15 Ἐλπίδα ἔχων εἰς τὸν Θεὸν, ἣν καὶ αὐτοὶ οὗτοι προσδέχονται, ἀνάστασιν μέλλειν [ſ] ἔσεσθαι νεκρῶν, δικαίων τε καὶ ἀδίκων.

// 16 Ἐν τούτῳ δὲ αὐτὸς ἀσκῶ ἀπρόσκοπον συνείδησιν ἔχειν πρὸς τὸν Θεὸν καὶ τοὺς ἀνθρώπους διαπαντός·

[o] γίνομαι. 17 Δι᾽ ἐτῶν δὲ πλειόνων [o] παρεγενόμην ἐλεημοσύνας ποιήσων, εἰς τὸ ἔθνος μου καὶ προσφοράς.

[p] ἁγνίζω. 18 Ἐν οἷς [i] εὗρόν με [p] ἡγνισμένον ἐν τῷ ἱερῷ, οὐ μετὰ ὄχλου, οὐδὲ μετὰ θορύβου, τινὲς ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι.

[q] ἔχω. 19 Οὓς ἔδει ἐπὶ σοῦ [f] παρεῖναι, καὶ [m] κατηγορεῖν εἴ τι [q] ἔχοιεν πρός με.

[r] ἔπω. 20 Ἢ αὐτοὶ οὗτοι [r] εἰπάτωσαν εἴ τι [i] εὗρον ἐν ἐμοὶ ἀδίκημα, [l] στάντος μου ἐπὶ τοῦ συνεδρίου·

[s] κράζω. 21 Ἢ περὶ μιᾶς ταύτης φωνῆς, ἧς [s] ἐκέκραξα [f] ἑστὼς ἐν αὐτοῖς, Ὅτι περὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι σήμερον ὑφ᾽ ὑμῶν.

[t] βάλλω. 22 Ἀκούσας δὲ ταῦτα ὁ Φῆλιξ [t] ἀνεβάλετο αὐτούς, ἀκριβέστερον εἰδὼς τὰ περὶ τῆς ὁδοῦ· εἰπών, Ὅταν Λυσίας ὁ χιλίαρχος καταβῇ, [p] διαγνώσομαι τὰ καθ᾽ ὑμᾶς.

[u] τάσσω. 23 [u] Διαταξάμενός τε τῷ ἑκατοντάρχῃ τηρεῖσθαι τὸν Παῦλον, ἔχειν τε ἄνεσιν, καὶ μηδένα κωλύειν τῶν ἰδίων αὐτοῦ ὑπηρετεῖν, ἢ προσέρχεσθαι αὐτῷ.

[x] γυνή. [y] πέμπω. [z] ἀκούω. 24 Μετὰ δὲ ἡμέρας τινὰς [o] παραγενόμενος ὁ Φῆλιξ σὺν Δρουσίλλῃ τῇ [x] γυναικὶ αὐτοῦ οὔσῃ Ἰουδαίᾳ, [y] μετεπέμψατο τὸν Παῦλον, καὶ [z] ἤκουσεν αὐτοῦ περὶ τῆς εἰς Χριστὸν πίστεως.

[a] λέγω. [b] εἰμί. [c] γίνομαι. [d] κρίνω. [e] πείρω. [f] λαμβάνω. [g] καλέω. 25 [a] Διαλεγομένου δὲ αὐτοῦ περὶ δικαιοσύνης καὶ ἐγκρατείας, καὶ τοῦ κρίματος τοῦ μέλλοντος [b] ἔσεσθαι, ἔμφοβος [c] γενόμενος ὁ Φῆλιξ [d] ἀπεκρίθη, Τὸ νῦν ἔχον [e] πορεύου· καιρὸν δὲ [f] μεταλαβὼν [g] μετακαλέσομαί σε·

[h] δίδωμι. [i] λύω. [k] πέμπω. 26 Ἅμα δὲ καὶ ἐλπίζων ὅτι χρήματα [h] δοθήσεται αὐτῷ ὑπὸ τοῦ Παύλου, ὅπως [i] λύσῃ αὐτόν· διὸ καὶ πυκνότερον αὐτὸν [k] μεταπεμπόμενος, ὡμίλει αὐτῷ.

[l] δέχομαι. // 27 Διετίας δὲ πληρωθείσης [f] ἔλαβε [l]

διάδοχον ὁ Φῆλιξ Πόρκιον Φῆστον· θέλων τε χάριν [m] καταθέσθαι τοῖς Ἰουδαίοις ὁ Φῆλιξ, [n] κατέλιπε τὸν Παῦλον [o] δεδεμένον.

Κεφ. κέ. Cap. XXV.

Φῆστος οὖν [a] ἐπιβὰς τῇ ἐπαρχίᾳ, μετὰ τρεῖς ἡμέρας [a] ἀνέβη εἰς Ἱεροσόλυμα ἀπὸ Καισαρείας.

2 [b] Ἐνεφάνισαν δὲ αὐτῷ ὁ ἀρχιερεὺς καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων κατὰ τοῦ Παύλου, καὶ [c] παρεκάλουν αὐτόν.

3 Αἰτούμενοι χάριν κατ᾽ αὐτοῦ, ὅπως [d] μεταπέμψηται αὐτὸν εἰς Ἱερουσαλήμ· [e] ἐνέδραν ποιοῦντες [f] ἀνελεῖν αὐτὸν κατὰ τὴν ὁδόν.

4 Ὁ μὲν οὖν Φῆστος [g] ἀπεκρίθη τηρεῖσθαι τὸν Παῦλον ἐν Καισαρείᾳ, ἑαυτὸν δὲ μέλλειν ἐν τάχει [h] ἐκπορεύεσθαι.

5 Οἱ οὖν δυνατοὶ ἐν ὑμῖν, [i] φησί, [a] συγκαταβάντες, εἴ τι [k] ἐστιν ἐν τῷ ἀνδρὶ τούτῳ, [l] κατηγορείτωσαν αὐτοῦ.

6 [m] Διατρίψας δὲ ἐν αὐτοῖς ἡμέρας πλείους ἢ δέκα, [a] καταβὰς εἰς Καισάρειαν, τῇ ἐπαύριον [e] καθίσας ἐπὶ τοῦ βήματος, [n] ἐκέλευσε τὸν Παῦλον [o] ἀχθῆναι.

7 [p] Παραγενομένου δὲ αὐτοῦ, [q] περιέστησαν οἱ ἀπὸ Ἱεροσολύμων [a] καταβεβηκότες Ἰουδαῖοι, πολλὰ καὶ βαρέα [r] αἰτιάματα φέροντες κατὰ τοῦ Παύλου, ἃ οὐκ [s] ἴσχυον [t] ἀποδεῖξαι.

8 [u] Ἀπολογουμένου αὐτοῦ, Ὅτι οὔτε εἰς τὸν νόμον τῶν Ἰουδαίων, οὔτε εἰς τὸ ἱερὸν, οὔτε εἰς Καίσαρά τι [x] ἥμαρτον.

9 Ὁ Φῆστος δὲ τοῖς Ἰουδαίοις θέλων χάριν [y] καταθέσθαι, [g] ἀποκριθεὶς τῷ Παύλῳ εἶπε, Θέλεις εἰς Ἱεροσόλυμα [a] ἀναβὰς, ἐκεῖ περὶ τούτων κρίνεσθαι ἐπ᾽ ἐμοῦ;

10 Εἶπε δὲ ὁ Παῦλος, Ἐπὶ τοῦ βήματος Καίσαρος [q] ἑστώς εἰμι, οὗ με δεῖ κρίνεσθαι. Ἰουδαίους οὐδὲν [z] ἠδίκησα, ὡς καὶ σὺ κάλλιον ἐπιγινώσκεις.

11 Εἰ μὲν γὰρ ἀδικῶ, καὶ ἄξιον θανάτου

[a] πέπραχά

[m] τίθημι.
[n] λείπω.
[o] δέω.
[a] βαίνω.
[b] φαίνω.
[c] καλέω.
[d] πέμπω.
[e] ἕζω.
[f] αἱρέω.
[g] κρίνω.
[h] πείρω.
[i] φάω.
[k] εἰμί.
[l] ἀγορά.
[m] τρίβω.
[n] κελεύω.
[o] ἄγω.
[p] γίνομαι.
[q] ἵστημι.
[r] αἰτία.
[s] ἰσχύς.
[t] δεικνύω.
[u] λέγω.
[x] ἁμαρτάνω.
[y] τίθημι.
[z] δίκη.

[a] πέπραχά τι, οὐ [b] παραιτοῦμαι τὸ [c] ἀποθανεῖν· εἰ δὲ οὐδέν * ἐστιν ὧν οὗτοι [d] κατηγοροῦσί μου, οὐδείς με δύναται αὐτοῖς [e] χαρίσασθαι· Καίσαρα [f] ἐπικαλοῦμαι.

12 Τότε ὁ Φῆστος [g] συλλαλήσας μετὰ τοῦ συμβουλίου, [h] ἀπεκρίθη, Καίσαρα [f] ἐπικέκλησαι; ἐπὶ Καίσαρα [i] πορεύσῃ.

13 Ἡμερῶν δὲ [k] διαγενομένων τινῶν, Ἀγρίππας ὁ βασιλεὺς καὶ Βερνίκη [l] κατήντησαν εἰς Καισάρειαν, [m] ἀσπασόμενοι τὸν Φῆστον.

14 Ὡς δὲ πλείους ἡμέρας [n] διέτριβον ἐκεῖ, ὁ Φῆστος τῷ βασιλεῖ [o] ἀνέθετο τὰ κατὰ τὸν Παῦλον, λέγων, Ἀνήρ τις ἐστὶ [p] καταλελειμμένος ὑπὸ Φήλικος δέσμιος.

15 Περὶ οὗ, [k] γενομένου μου εἰς Ἱεροσόλυμα, [q] ἐνεφάνισαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων, αἰτούμενοι κατ᾽ αὐτοῦ δίκην.

16 Πρὸς οὓς [h] ἀπεκρίθην ὅτι οὐκ ἔστιν ἔθος Ῥωμαίοις [r] χαρίζεσθαι τινὰ ἄνθρωπον εἰς ἀπώλειαν πρὶν ἢ ὁ [s] κατηγορούμενος κατὰ πρόσωπον ἔχοι τοὺς [s] κατηγόρους, τόπον τε ἀπολογίας [t] λάβοι περὶ τοῦ [s] ἐγκλήματος.

17 [u] Συνελθόντων οὖν αὐτῶν ἐνθάδε [x] ἀναβολὴν [y] μηδεμίαν [z] ποιησάμενος, τῇ ἑξῆς [a] καθίσας ἐπὶ τοῦ βήματος, ἐκέλευσα [b] ἀχθῆναι τὸν ἄνδρα.

18 Περὶ οὗ [c] σταθέντες οἱ κατήγοροι οὐδεμίαν αἰτίαν ἐπέφερον ὧν [d] ὑπενόουν ἐγώ·

19 [e] Ζητήματα δέ τινα περὶ τῆς ἰδίας [f] δεισιδαιμονίας [g] εἶχον πρὸς αὐτὸν, καὶ περί τινος Ἰησοῦ [h] τεθνηκότος, ὃν [i] ἔφασκεν ὁ Παῦλος [k] ζῆν.

20 Ἀπορούμενος δὲ ἐγὼ εἰς τὴν περὶ τούτου ζήτησιν, ἔλεγον εἰ [m] βούλοιτο [n] πορεύεσθαι εἰς Ἱερουσαλὴμ, [o] κἀκεῖ κρίνεσθαι περὶ τούτων.

21 Τοῦ δὲ Παύλου [p] ἐπικαλεσαμένου [q] τηρηθῆναι αὐτὸν εἰς τὴν τοῦ Σεβαστοῦ διάγνωσιν, [r] ἐκέλευσα τηρεῖσθαι αὐτὸν, ἕως οὗ πέμψω αὐτὸν πρὸς Καίσαρα.

22 Ἀγρίππας

[a] πράττω.
[b] αἰτέω.
[c] θνήσκω.
[d] ἀγορά.
[e] χάρις.
[f] καλέω.
[g] λαλέω.
[h] κρίνω.
[i] πορεύω.
[k] γίνομαι.
[l] ἄντα.
[m] ἀσπάζομαι.
[n] τρίβω.
[o] τίθημι.
[p] λείπω.
[q] φαίνω.
[r] χάρις.
[s] ἀγορά.
[t] λαμβάνω.
[u] ἔρχομαι.
[x] βάλλω.
[y] εἷς.
[z] ποιέω.
[a] ἕζω.
[b] ἄγω.
[c] ἵστημι.
[d] νόος.
[e] ζητέω.
[f] δαίμων.
[g] ἔχω.
[h] θνήσκω.
[i] φάω.
[k] ζάω.
[m] βούλομαι.
[n] πορεύω.
[o] καὶ ἐκεῖ.
[p] καλέω.
[q] τηρέω.
[r] κελεύω.

22 Ἀγρίππας δὲ πρὸς τὸν Φῆστον ἔφη, [m] Ἐβουλόμην καὶ αὐτὸς τοῦ ἀνθρώπου ἀκοῦσαι. Ὁ δὲ, Αὔριον, φησὶν, ἀκούσῃ αὐτοῦ.

23 Τῇ οὖν ἐπαύριον [f] ἐλθόντος τοῦ Ἀγρίππα καὶ τῆς Βερνίκης μετὰ πολλῆς φαντασίας, καὶ [f] εἰσελθόντων εἰς τὸ ἀκροατήριον σύν τε τοῖς χιλιάρχοις καὶ ἀνδράσι τοῖς κατ' ἐξοχὴν [t] οὖσι τῆς πόλεως, καὶ [r] κελεύσαντος τοῦ Φήστου, * ἤχθη ὁ Παῦλος.

[f] ἔρχομαι. [t] εἰμί. * ἄγω.

24 Καί φησιν ὁ Φῆστος, Ἀγρίππα βασιλεῦ, καὶ πάντες οἱ [t] συμπαρόντες ἡμῖν ἄνδρες, θεωρεῖτε τοῦτον περὶ οὗ πᾶν τὸ πλῆθος τῶν Ἰουδαίων [u] ἐνέτυχόν μοι ἔν τε Ἱεροσολύμοις καὶ ἐνθάδε, [x] ἐπιβοῶντες μὴ δεῖν [k] ζῆν αὐτὸν μηκέτι.

[u] τυγχάνω. [x] βοή.

25 Ἐγὼ δὲ [y] καταλαβόμενος μηδὲν ἄξιον θανάτου αὐτὸν [z] πεπραχέναι, καὶ αὐτοῦ δὲ τούτου [a] ἐπικαλεσαμένου τὸν Σεβαστὸν, [b] ἔκρινα πέμπειν αὐτόν·

[y] λαμβάνω. [z] πράττω. [a] καλέω. [b] κρίνω.

26 Περὶ οὗ ἀσφαλές τι [c] γράψαι τῷ κυρίῳ οὐκ ἔχω· διὸ [d] προήγαγον αὐτὸν ἐφ' ὑμῶν, καὶ μάλιστα ἐπὶ σοῦ, βασιλεῦ Ἀγρίππα, ὅπως τῆς ἀνακρίσεως [e] γενομένης [f] σχῶ τι [g] γράψαι.

[c] γράφω. [d] ἄγω. [e] γίνομαι. [f] ἔχω. [g] γράφω.

27 Ἄλογον γάρ μοι δοκεῖ, πέμποντα δέσμιον, μὴ καὶ τὰς κατ' αὐτοῦ αἰτίας [h] σημᾶναι.

[h] σῆμα.

Κεφ. κϛ'. Cap. XXVI.

Ἀγρίππας δὲ πρὸς τὸν Παῦλον [a] ἔφη, [b] Ἐπιτρέπεταί σοι ὑπὲρ σεαυτοῦ λέγειν. Τότε ὁ Παῦλος [c] ἀπελογεῖτο, [d] ἐκτείνας τὴν χεῖρα,

[a] φάω. [b] τρέπω. [c] λέγω. [d] τείνω.

2 Περὶ πάντων ὧν ἐγκαλοῦμαι ὑπὸ Ἰουδαίων, βασιλεῦ Ἀγρίππα, [e] ἥγημαι ἐμαυτὸν μακάριον, μέλλων ἀπολογεῖσθαι ἐπὶ σοῦ σήμερον

[e] ἡγέομαι.

3 Μάλιστα γνώστην [f] ὄντα σε εἰδὼς πάντων τῶν κατὰ Ἰουδαίους ἐθῶν τε καὶ ζητημάτων· διὸ δέομαί σου, μακροθύμως ἀκοῦσαί μου.

[f] εἰμί.

4 Τὴν μὲν οὖν βίωσίν μου τὴν ἐκ νεότητος, τὴν ἀπ' ἀρχῆς γενομένην ἐν τῷ ἔθνει μου

g ἴσημι. ἐν Ἱεροσολύμοις, [g] ἴσασι πάντες οἱ Ἰουδαῖοι.

5 Προγινώσκοντές με ἄνωθεν (ἐὰν θέλωσι
μαρτυρεῖν) ὅτι κατὰ τὴν ἀκριβεστάτην αἵρεσιν
h ζάω. τῆς ἡμετέρας θρησκείας [h] ἔζησα φαρισαῖος·

6 Καὶ νῦν ἐπ' ἐλπίδι τῆς πρὸς τοὺς πατέρας
i γίνομαι. ἐπαγγελίας [i] γενομένης ὑπὸ τοῦ Θεοῦ, [k] ἕστηκα
k ἵστημι. κρινόμενος·

7 Εἰς ἣν τὸ δωδεκάφυλον ἡμῶν ἐν ἐκτενείᾳ
l ἄντα. νύκτα καὶ ἡμέραν λατρεῦον ἐλπίζει [l] καταντῆσαι·
περὶ ἧς ἐλπίδος ἐγκαλοῦμαι, βασιλεῦ Ἀγρίππα,
ὑπὸ τῶν Ἰουδαίων.

8 Τί; ἄπιστον κρίνεται παρ' ὑμῖν εἰ ὁ Θεὸς
νεκροὺς ἐγείρει;

m δοκέω. 9 Ἐγὼ μὲν οὖν [m] ἔδοξα ἐμαυτῷ πρὸς τὸ ὄνομα
Ἰησοῦ τοῦ Ναζωραίου δεῖν πολλὰ ἐναντία
n πράττω. [n] πρᾶξαι.

o ποιέω. 10 Ὃ καὶ [o] ἐποίησα ἐν Ἱεροσολύμοις· καὶ
p κλείω. πολλοὺς τῶν ἁγίων ἐγὼ φυλακαῖς [p] κατέκλεισα,
q λαμβάνω. τὴν παρὰ τῶν ἀρχιερέων ἐξουσίαν [q] λαβών· ἀναιρουμένων
r φέρω. τε αὐτῶν [r] κατήνεγκα ψῆφον.

11 Καὶ κατὰ πάσας τὰς συναγωγὰς πολλάκις
s ἀνάγκη. τιμωρῶν αὐτοὺς, [s] ἠνάγκαζον βλασφημεῖν· περισσῶς
t μαίνομαι. τε [t] ἐμμαινόμενος αὐτοῖς, ἐδίωκον ἕως
καὶ εἰς τὰς ἔξω πόλεις.

u πορεύω. 12 Ἐν οἷς καὶ [u] πορευόμενος εἰς τὴν Δαμασκὸν
μετ' ἐξουσίας καὶ ἐπιτροπῆς τῆς παρὰ τῶν ἀρχιερέων,

13 Ἡμέρας μέσης, κατὰ τὴν ὁδὸν εἶδον, βασιλεῦ,
οὐρανόθεν ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου,
περιλάμψαν με φῶς καὶ τοὺς σὺν ἐμοὶ πορευομένους.

x πίπτω. 14 Πάντων δὲ [x] καταπεσόντων ἡμῶν εἰς τὴν
y ἀκούω. γῆν, [y] ἤκουσα φωνὴν λαλοῦσαν πρός με, καὶ λέγουσαν
τῇ Ἑβραΐδι διαλέκτῳ. Σαοὺλ, Σαοὺλ,
τί με διώκεις; σκληρόν σοι πρὸς κέντρα λακτίζειν.

z εἰμί. 15 Ἐγὼ δὲ εἶπον, Τίς [z] εἶ Κύριε; Ὁ δὲ εἶπεν,
Ἐγώ εἰμι Ἰησοῦς ὃν σὺ διώκεις.

16 Ἀλλὰ [a] ἀνάστηθι, καὶ [a] στῆθι ἐπὶ τοὺς πόδας σου· εἰς τοῦτο γὰρ [b] ὤφθην σοι, [c] προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα ὧν τε εἶδες, ὧν τε [b] ὀφθήσομαί σοι·

[a] ἵστημι.
[b] ὄπτομαι.
[c] χείρ.

17 Ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν, εἰς οὓς νῦν σε ἀποστέλλω,

18 [d] Ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν, καὶ [e] ἐπιστρέψαι ἀπὸ σκότους εἰς φῶς, καὶ τῆς ἐξουσίας τοῦ σατανᾶ ἐπὶ τὸν Θεόν· τοῦ [f] λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν, καὶ κλῆρον ἐν τοῖς [g] ἡγιασμένοις, πίστει τῇ εἰς ἐμέ.

[d] οἴγω.
[e] στρέφω.
[f] λαμβάνω.
[g] ἅγιος.

19 Ὅθεν, βασιλεῦ Ἀγρίππα, οὐκ [h] ἐγενόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ.

[h] γίνομαι.

20 Ἀλλὰ τοῖς ἐν Δαμασκῷ πρῶτον καὶ Ἱεροσολύμοις, εἰς πᾶσάν τε τὴν χώραν τῆς Ἰουδαίας, καὶ τοῖς ἔθνεσιν [i] ἀπήγγελλον [k] μετανοεῖν, καὶ ἐπιστρέφειν ἐπὶ τὸν Θεὸν, ἄξια τῆς μετανοίας ἔργα πράσσοντας.

[i] ἀγγέλλω.
[k] νόος.

21 Ἕνεκα τούτων με οἱ Ἰουδαῖοι [f] συλλαβόμενοι ἐν τῷ ἱερῷ, [l] ἐπειρῶντο [c] διαχειρίσασθαι.

[l] πεῖρα.

22 Ἐπικουρίας οὖν τυχὼν τῆς παρὰ τοῦ Θεοῦ, ἄχρι τῆς ἡμέρας ταύτης [a] ἕστηκα, μαρτυρούμενος μικρῷ τε καὶ μεγάλῳ, οὐδὲν ἐκτὸς λέγων ὧν τε οἱ προφῆται [m] ἐλάλησαν μελλόντων γίνεσθαι, καὶ Μωσῆς·

[m] λαλέω.

23 Εἰ [n] παθητὸς ὁ Χριστὸς, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν φῶς μέλλει καταγγέλλειν τῷ λαῷ καὶ τοῖς ἔθνεσι.

[n] πάσχω.

24 Ταῦτα δὲ αὐτοῦ [o] ἀπολογουμένου, ὁ Φῆστος μεγάλῃ τῇ φωνῇ [p] ἔφη, Μαίνῃ Παῦλε· τὰ πολλά σε γράμματα εἰς μανίαν περιτρέπει.

[o] λέγω.
[p] φάω.

25 Ὁ δὲ, Οὐ μαίνομαι, φησὶ, κράτιστε Φῆστε, ἀλλ' ἀληθείας καὶ σωφροσύνης ῥήματα ἀποφθέγγομαι.

26 [q] Ἐπίσταται γὰρ περὶ τούτων ὁ βασιλεὺς, πρὸς ὃν καὶ [r] παῤῥησιαζόμενος λαλῶ· λανθάνειν γὰρ αὐτόν τι τούτων οὐ πείθομαι οὐδέν· οὐ γάρ ἐστιν ἐν γωνίᾳ [s] πεπραγμένον τοῦτο.

[q] ἵστημι.
[r] ῥέω.
[s] πράττω.

27 Πιστεύεις βασιλεῦ Ἀγρίππα τοῖς προ-
[t] εἴδω. φήταις; [t] οἶδα ὅτι πιστεύεις.

28 Ὁ δὲ Ἀγρίππας πρὸς τὸν Παῦλον [p] ἔφη,
[u] γίνομαι. Ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν [u] γενέσθαι.

[x] εὔχω. 29 Ὁ δὲ Παῦλος εἶπεν, [x] Εὐξαίμην ἂν
τῷ Θεῷ, καὶ ἐν ὀλίγῳ καὶ ἐν πολλῷ οὐ μόνον σε,
ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντάς μου σήμερον, [y] γε-
[z] καὶ ἐγώ. νέσθαι τοιούτους ὁποῖος [z] κἀγώ εἰμι παρεκτὸς τῶν
δεσμῶν τούτων.

[a] ἵστημι. 30 Καὶ ταῦτα εἰπόντος αὐτοῦ, [a] ἀνέστη ὁ
βασιλεὺς καὶ ὁ ἡγεμὼν, ἥ τε Βερνίκη, καὶ οἱ
συγκαθήμενοι αὐτοῖς.

[b] χῶρος. 31 Καὶ [b] ἀναχωρήσαντες ἐλάλουν πρὸς ἀλ-
λήλους, λέγοντες, Ὅτι οὐδὲν θανάτου ἄξιον ἢ
[c] πράω. δεσμῶν πράσσει ὁ ἄνθρωπος οὗτος.

[d] λύω. 32 Ἀγρίππας δὲ τῷ Φήστῳ [c] ἔφη, [d] Ἀπολε-
[e] δύναμαι. λύσθαι [e] ἐδύνατο ὁ ἄνθρωπος οὗτος εἰ μὴ [f] ἐπε-
[f] καλέω. κέκλητο Καίσαρα.

Κεφ. κζ΄. Cap. XXVII.

[a] κρίνω. Ὡς δὲ [a] ἐκρίθη τοῦ ἀποπλεῖν ἡμᾶς εἰς τὴν
[b] δίδωμι. Ἰταλίαν, [b] παρεδίδουν τόν τε Παῦλον
καί τινας ἑτέρους δεσμώτας ἑκατοντάρχῃ, ὀνό-
ματι Ἰουλίῳ, σπείρης Σεβαστῆς.

[c] βαίνω. 2 [c] Ἐπιβάντες δὲ πλοίῳ Ἀδραμυττηνῷ,
[d] ἄγω. μέλλοντες πλεῖν τοὺς κατὰ τὴν Ἀσίαν τόπους, [d] ἀ-
νήχθημεν, ὄντος σὺν ἡμῖν Ἀριστάρχου Μακε-
δόνος Θεσσαλονικέως.

3 Τῇ τε ἑτέρᾳ [d] κατήχθημεν εἰς Σιδῶνα· φι-
λανθρώπως τε ὁ Ἰούλιος τῷ Παύλῳ χρησά-
[e] τρέπω. μενος, [e] ἐπέτρεψε πρὸς τοὺς φίλους [f] πορευ-
[f] πείρω. θέντα ἐπιμελείας τυχεῖν.

[g] καὶ ἐκεῖθεν 4 [g] Κἀκεῖθεν [d] ἀναχθέντες [h] ὑπεπλεύσαμεν
[h] πλέω. τὴν Κύπρον, διὰ τὸ τοὺς ἀνέμους [i] εἶναι ἐναντίους.

[i] εἰμί. 5 Τό τε πέλαγος τὸ κατὰ τὴν Κιλικίαν καὶ
[k] ἔρχομαι. Παμφυλίαν [h] διαπλεύσαντες, [k] κατήλθομεν
εἰς Μύρα τῆς Λυκίας.

[l] εὑρίσκω. 6 Κἀκεῖ [l] εὑρὼν ὁ ἑκατόνταρχος πλοῖον
Ἀλεξανδρῖνον πλέον εἰς τὴν Ἰταλίαν, [c] ἐνεβί-
βασεν ἡμᾶς εἰς αὐτό.

7 Ἐν ἱκαναῖς δὲ ἡμέραις [h] βραδυπλοῦντες, καὶ μόλις [m] γινόμενοι κατὰ τὴν Κνίδον, μὴ [n] προσεῶντος ἡμᾶς τοῦ ἀνέμου, [h] ὑπεπλεύσαμεν τὴν Κρήτην κατὰ Σαλμώνην.

[m] γίνομαι.
[n] ἐάω.

8 Μόλις τε [o] παραλεγόμενοι αὐτὴν, [k] ἤλθομεν εἰς τόπον τινὰ καλούμενον Καλοὺς λιμένας· ᾧ ἐγγὺς ἦν πόλις Λασαία.

[o] λέγω.

9 Ἱκανοῦ δὲ χρόνου [m] διαγενομένου, καὶ [i] ὄντος ἤδη ἐπισφαλοῦς τοῦ πλοὸς, διὰ τὸ καὶ τὴν νηστείαν ἤδη [k] παρεληλυθέναι, * παρῄνει ὁ Παῦλος,

* αἰνέω.

10 Λέγων αὐτοῖς, Ἄνδρες, θεωρῶ ὅτι μετὰ ὕβρεως καὶ πολλῆς ζημίας οὐ μόνον τοῦ φόρτου καὶ τοῦ πλοίου, ἀλλὰ καὶ τῶν ψυχῶν ἡμῶν μέλλειν ἔσεσθαι τὸν πλοῦν.

11 Ὁ δὲ ἑκατόνταρχος τῷ κυβερνήτῃ καὶ τῷ ναυκλήρῳ [p] ἐπείθετο μᾶλλον ἢ τοῖς ὑπὸ τοῦ Παύλου λεγομένοις.

[p] πείθω.

12 [q] Ἀνευθέτου δὲ τοῦ λιμένος ὑπάρχοντος πρὸς παραχειμασίαν, οἱ πλείους [q] ἔθεντο βουλὴν [r] ἀναχθῆναι κἀκεῖθεν, εἴ πως [f] δύναιντο [t] καταντήσαντες εἰς Φοίνικα [u] παραχειμάσαι, λιμένα τῆς Κρήτης βλέποντα κατὰ Λίβα καὶ κατὰ Χῶρον.

[q] τίθημι.
[r] ἄγω.
[f] δύναμαι.
[t] ἄντα.
[u] χεῖμα.

13 [x] Ὑποπνεύσαντος δὲ Νότου, [y] δόξαντες τῆς προθέσεως [z] κεκρατηκέναι, [a] ἄραντες, ἆσσον παρελέγοντο τὴν Κρήτην.

[x] πνέω
[y] δοκέω.
[z] κράτος.
[a] αἴρω.

14 Μετ' οὐ πολὺ δὲ [b] ἔβαλε κατ' αὐτῆς ἄνεμος τυφωνικὸς, ὁ καλούμενος Εὐροκλύδων.

[b] βάλλω.

15 [c] Συναρπασθέντος δὲ τοῦ πλοίου, καὶ μὴ δυναμένου [d] ἀντοφθαλμεῖν τῷ ἀνέμῳ, [e] ἐπιδόντες [f] ἐφερόμεθα.

[c] ἁρπάζω.
[d] ὄπτομαι.
[e] δίδωμι.
[f] φέρω.

16 Νησίον δέ τι [g] ὑποδραμόντες καλούμενον Κλαύδην, μόλις [h] ἰσχύσαμεν περικρατεῖς [i] γενέσθαι τῆς σκάφης·

[g] τρέχω.
[h] ἰσχύς.
[i] γίνομαι.

17 Ἣν [a] ἄραντες, βοηθείαις [k] ἐχρῶντο, [l] ὑποζωννύντες τὸ πλοῖον· [m] φοβούμενοί τε μὴ εἰς τὴν Σύρτιν [n] ἐκπέσωσι, χαλάσαντες τὸ σκεῦος, οὕτως [f] ἐφέροντο.

[k] χράω.
[l] ζώννυμι.
[m] φοβέομαι.
[n] πίπτω.

18 Σφοδρῶς δὲ [o] χειμαζομένων ἡμῶν, τῇ ἑξῆς ἐκβολὴν ἐποιοῦντο·

19 Καὶ τῇ τρίτῃ αὐτόχειρες τὴν σκευὴν τοῦ πλοίου [p] ἐῤῥίψαμεν.

20 Μήτε δὲ ἡλίου, μήτε ἄστρων ἐπιφαινόντων ἐπὶ πλείονας ἡμέρας, χειμῶνός τε οὐκ ὀλίγου ἐπικειμένου, λοιπὸν [a] περιῃρεῖτο πᾶσα ἐλπὶς τοῦ [q] σώζεσθαι ἡμᾶς.

21 Πολλῆς δὲ ἀσιτίας ὑπαρχούσης, τότε [r] σταθεὶς ὁ Παῦλος ἐν μέσῳ αὐτῶν, εἶπεν, [s] Ἔδει μὲν, ὦ ἄνδρες, [t] πειθαρχήσαντάς μοι, μὴ [u] ἀνάγεσθαι ἀπὸ τῆς Κρήτης, * κερδῆσαί τε τὴν ὕβριν ταύτην καὶ τὴν ζημίαν·

22 Καὶ τανῦν παραινῶ ὑμᾶς [x] εὐθυμεῖν. ἀποβολὴ γὰρ ψυχῆς οὐδεμία [y] ἔσται ἐξ ὑμῶν, πλὴν τοῦ πλοίου.

23 [r] Παρέστη γάρ μοι τῇ νυκτὶ ταύτῃ ἄγγελος τοῦ Θεοῦ οὗ εἰμι, ᾧ καὶ λατρεύω·

24 Λέγων, Μὴ [m] φοβοῦ Παῦλε· Καίσαρί σε δεῖ [t] παραστῆναι· καὶ ἰδοὺ, [z] κεχάρισταί σοι ὁ Θεὸς πάντας τοὺς πλέοντας μετὰ σοῦ.

25 Διὸ εὐθυμεῖτε ἄνδρες· πιστεύω γὰρ τῷ Θεῷ ὅτι οὕτως [y] ἔσται καθ᾽ ὃν τρόπον [a] λελάληταί μοι.

26 Εἰς νῆσον δέ τινα δεῖ ἡμᾶς [b] ἐκπεσεῖν·

27 Ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ [c] ἐγένετο, [d] διαφερομένων ἡμῶν ἐν τῷ Ἀδρίᾳ, κατὰ μέσον τῆς νυκτὸς [c] ὑπενόουν οἱ ναῦται προσάγειν τινὰ αὐτοῖς χώραν.

28 Καὶ [f] βολίσαντες, [g] εὗρον ὀργυιὰς εἴκοσι· βραχὺ δὲ [h] διαστήσαντες, καὶ πάλιν [f] βολίσαντες, εὗρον ὀργυιὰς δεκαπέντε.

29 [i] Φοβούμενοί τε μή πως εἰς τραχεῖς τόπους [k] ἐκπέσωμεν, ἐκ πρύμνης [l] ῥίψαντες ἀγκύρας τέσσαρας, [m] ηὔχοντο ἡμέραν [c] γενέσθαι.

30 Τῶν δὲ ναυτῶν ζητούντων [n] φυγεῖν ἐκ τοῦ πλοίου, καὶ χαλασάντων τὴν σκάφην εἰς τὴν θάλασσαν, [o] προφάσει ὡς ἐκ πρώρας μελλόντων ἀγκύρας ἐκτείνειν·

[o] χεῖμαι.
[p] ῥίπτω.
[q] ζόος.
[r] ἵστημι.
[s] δεῖ.
[t] ἄρχω.
* κέρδος.
[u] ἄγω.
[x] θυμός.
[y] εἰμί.
[z] χάρις.
[a] λαλέω.
[b] πίπτω.
[c] γίνομαι.
[d] φέρω.
[e] νόος.
[f] βάλλω.
[g] εὑρίσκω.
[h] ἵστημι.
[k] φέβομαι.
[i] πίπτω.
[l] ῥίπτω.
[m] εὐχή.
[n] φεύγω.
[o] φαίω.

31 Εἶπεν ὁ Παῦλος τῷ ἑκατοντάρχῃ καὶ τοῖς στρατιώταις, Ἐὰν μὴ οὗτοι μείνωσιν ἐν τῷ πλοίῳ, ὑμεῖς [p] σωθῆναι οὐ [q] δύνασθε.

32 Τότε οἱ στρατιῶται [r] ἀπέκοψαν τὰ σχοινία τῆς σκάφης, καὶ [s] εἴασαν αὐτὴν [b] ἐκπεσεῖν.

33 Ἄχρι δὲ οὗ [t] ἔμελλεν ἡμέρα [c] γίνεσθαι, παρεκάλει ὁ Παῦλος ἅπαντας [u] μεταλαβεῖν τροφῆς, λέγων, Τεσσαρεσκαιδεκάτην σήμερον ἡμέραν προσδοκῶντες, ἄσιτοι [x] διατελεῖτε, μηδὲν [u] προσλαβόμενοι.

34 Διὸ παρακαλῶ ὑμᾶς [u] προσλαβεῖν τροφῆς· τοῦτο γὰρ πρὸς τῆς ὑμετέρας σωτηρίας ὑπάρχει· οὐδενὸς γὰρ ὑμῶν θρὶξ ἐκ τῆς κεφαλῆς [b] πεσεῖται.

35 Εἰπὼν δὲ ταῦτα, καὶ [u] λαβὼν ἄρτον, * εὐχαρίστησε τῷ Θεῷ ἐνώπιον πάντων, καὶ κλάσας [y] ἤρξατο ἐσθίειν.

36 Εὔθυμοι δὲ [c] γενόμενοι πάντες, καὶ αὐτοὶ [u] προσελάβοντο τροφῆς.

37 [z] Ἦμεν δὲ ἐν τῷ πλοίῳ αἱ πᾶσαι ψυχαὶ, διακόσιαι ἑβδομηκονταέξ.

38 [a] Κορεσθέντες δὲ τροφῆς, [b] ἐκούφιζον τὸ πλοῖον, ἐκβαλλόμενοι τὸν σῖτον εἰς τὴν θάλασσαν.

39 Ὅτε δὲ ἡμέρα [c] ἐγένετο, τὴν γῆν οὐκ ἐπεγίνωσκον· κόλπον δέ τινα [d] κατενόουν ἔχοντα αἰγιαλὸν, εἰς ὃν [e] ἐβουλεύσαντο, εἰ [f] δύναιντο [g] ἐξῶσαι τὸ πλοῖον.

40 Καὶ τὰς ἀγκύρας [h] περιελόντες [i] εἴων εἰς τὴν θάλασσαν, ἅμα [k] ἀνέντες τὰς [l] ζευκτηρίας τῶν πηδαλίων· καὶ [h] ἐπάραντες τὸν ἀρτέμονα τῇ πνεούσῃ, [m] κατεῖχον εἰς τὸν αἰγιαλόν.

41 [n] Περιπεσόντες δὲ εἰς τόπον διθάλασσον, [o] ἐπώκειλαν τὴν ναῦν· καὶ ἡ μὲν πρῷρα [p] ἐρείσασα [q] ἔμεινεν ἀσάλευτος, ἡ δὲ πρύμνα [r] ἐλύετο ὑπὸ τῆς βίας τῶν κυμάτων.

42 Τῶν δὲ στρατιωτῶν βουλὴ [c] ἐγένετο ἵνα τοὺς δεσμώτας ἀποκτείνωσι, μή τις [s] ἐκκολυμβήσας [t] διαφύγοι.

[p] σόος.
[q] δύναμαι.
[r] κόπτω.
[s] ἐάω.
[t] μέλλω.
[u] λαμβάνω.
[x] τέλος.
* χάρις.
[y] ἄρχω.
[z] εἰμί.
[a] κορέννυω.
[b] κοῦφος.
[c] γίνομαι.
[d] νόος.
[e] βούλομαι.
[f] δύναμαι.
[g] ὠθέω.
[h] αἱρέω.
[i] ἐάω.
[k] ἕω.
[l] ζευγνύω.
[m] ἔχω.
[n] πίπτω.
[o] ὀκέλλω.
[p] ἐρείδω.
[q] μένω.
[r] λύω.
[s] κολυμβάω.
[t] φεύγω.

43 Ὁ δὲ ἑκατόνταρχος, βουλόμενος [u] διασῶσαι τὸν Παῦλον, [x] ἐκώλυσεν αὐτοὺς τοῦ βουλήματος, [y] ἐκέλευσέ τε τοὺς δυναμένους κολυμβᾷν, [z] ἀποῤῥίψαντας πρώτους ἐπὶ τὴν γῆν [a] ἐξιέναι·

44 Καὶ τοὺς λοιποὺς, οὓς μὲν ἐπὶ σανίσιν, οὓς δὲ ἐπί τινων τῶν ἀπὸ τοῦ πλοίου· καὶ οὕτως [b] ἐγένετο πάντας [c] διασωθῆναι ἐπὶ τὴν γῆν.

Κεφ. κή. Cap. XXVIII.

ΚΑὶ [a] διασωθέντες, τότε [b] ἐπέγνωσαν ὅτι Μελίτη ἡ νῆσος καλεῖται.

2 Οἱ δὲ βάρβαροι [c] παρεῖχον οὐ τὴν τυχοῦσαν φιλανθρωπίαν ἡμῖν· [d] ἀνάψαντες γὰρ πυρὰν, [e] προσελάβοντο πάντας ἡμᾶς, διὰ τὸν ὑετὸν τὸν [f] ἐφεστῶτα, καὶ διὰ τὸ ψῦχος.

3 [g] Συστρέψαντος δὲ τοῦ Παύλου φρυγάνων πλῆθος, καὶ [h] ἐπιθέντος ἐπὶ τὴν πυρὰν, ἔχιδνα ἐκ τῆς θέρμης [i] ἐξελθοῦσα [k] καθῆψε τῆς χειρὸς αὐτοῦ.

4 Ὡς δὲ εἶδον οἱ βάρβαροι [l] κρεμάμενον τὸ θηρίον ἐκ τῆς χειρὸς αὐτοῦ, [m] ἔλεγον πρὸς ἀλλήλους, Πάντως φονεύς [n] ἐστιν ὁ ἄνθρωπος οὗτος, ὃν [o] διασωθέντα ἐκ τῆς θαλάσσης ἡ δίκη [p] ζῆν οὐκ [q] εἴασεν.

5 Ὁ μὲν οὖν, [r] ἀποτινάξας τὸ θηρίον εἰς τὸ πῦρ, [s] ἔπαθεν οὐδὲν κακόν·

6 Οἱ δὲ [t] προσεδόκων αὐτὸν μέλλειν [u] πίμπρασθαι, ἢ καταπίπτειν ἄφνω νεκρόν. Ἐπὶ πολὺ δὲ αὐτῶν προσδοκώντων, καὶ θεωρούντων μηδὲν ἄτοπον εἰς αὐτὸν [x] γινόμενον, μεταβαλλόμενοι [m] ἔλεγον Θεὸν αὐτὸν [n] εἶναι.

7 Ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον [y] ὑπῆρχε χωρία τῷ πρώτῳ τῆς νήσου, ὀνόματι Ποπλίῳ, ὃς [z] ἀναδεξάμενος ἡμᾶς, τρεῖς ἡμέρας φιλοφρόνως [a] ἐξένισεν.

8 [b] Ἐγένετο δὲ τὸν πατέρα τοῦ Ποπλίου πυρετοῖς καὶ δυσεντερίᾳ [c] συνεχόμενον [d] κατακεῖσθαι· πρὸς ὃν ὁ Παῦλος [e] εἰσελθὼν, καὶ [f] προσευξάμενος, [g] ἐπιθεὶς τὰς χεῖρας αὐτῷ, [h] ἰάσατο αὐτόν.

9 Τούτου

[u] σόος.
[x] κωλύω.
[y] κελεύω.
[z] ῥίπτω.
[a] ἴω.
[b] γίνομαι.
[c] σόος.
[a] σόος.
[b] γινώσκω.
[c] ἔχω.
[d] ἅπτω.
[e] λαμβάνω.
[f] ἵστημι.
[g] στρέφω.
[h] τίθημι.
[i] ἔρχομαι.
[k] ἅπτω.
[l] κρεμάω.
[m] λέγω.
[n] εἰμί.
[o] σόος.
[p] ζάω.
[q] ἐάω.
[r] τινάσσω.
[s] πάσχω.
[t] δοκάω.
[u] πρήθω.
[x] γίνομαι.
[y] ἄρχω.
[z] δέχομαι.
[a] ξένος.
[b] γίνομαι.
[c] ἔχω.
[d] κεῖμαι.
[e] ἔρχομαι.
[f] εὐχῶ.
[g] τίθημι.
[h] ἰάομαι.

9 Τούτου οὖν [b] γενομένου, καὶ οἱ λοιποὶ οἱ ἔχοντες ἀσθενείας ἐν τῇ νήσῳ, * προσήρχοντο καὶ [i] ἐθεραπεύοντο.

* ἄρχω.
i θεραπεύω.

10 Οἳ καὶ πολλαῖς τιμαῖς * ἐτίμησαν ἡμᾶς καὶ [k] ἀναγομένοις [g] ἐπέθεντο τὰ πρὸς τὴν χρείαν.

* τίω.
k ἄγω.

11 Μετὰ δὲ τρεῖς μῆνας [k] ἀνήχθημεν ἐν πλοίῳ [l] παρακεχειμακότι ἐν τῇ νήσῳ, Ἀλεξανδρίνῳ, παρασήμῳ Διοσκούροις.

l χεῖμαι.

12 Καὶ [k] καταχθέντες εἰς Συρακούσας, [m] ἐπεμείναμεν ἡμέρας τρεῖς.

m μένω.

13 Ὅθεν [c] περιελθόντες [n] κατηντήσαμεν εἰς Ῥήγιον· καὶ μετὰ μίαν ἡμέραν [b] ἐπιγενομένου νότου, δευτεραῖοι [c] ἤλθομεν εἰς Ποτιόλους.

n ἄντα.

14 Οὗ [o] εὑρόντες ἀδελφοὺς, [p] παρεκλήθημεν ἐπ' αὐτοῖς [m] ἐπιμεῖναι ἡμέρας ἑπτά. καὶ οὕτως εἰς τὴν Ῥώμην ἤλθομεν.

o εὑρίσκω.
p καλέω.

15 [c] Κἀκεῖθεν οἱ ἀδελφοὶ ἀκούσαντες τὰ περὶ ἡμῶν ἐξῆλθον εἰς ἀπάντησιν ἡμῖν ἄχρις Ἀππίου φόρου καὶ Τριῶν ταβερνῶν· οὓς [r] ἰδὼν ὁ Παῦλος, [s] εὐχαριστήσας τῷ Θεῷ, [t] ἔλαβε θάρσος.

r εἴδω.
s χάρις.
t λαμβάνω.

16 Ὅτε δὲ [c] ἤλθομεν εἰς Ῥώμην, ὁ ἑκατόνταρχος [u] παρέδωκε τοὺς δεσμίους τῷ στρατοπεδάρχῃ· τῷ δὲ Παύλῳ, [x] ἐπετράπη μένειν καθ' ἑαυτὸν, σὺν τῷ φυλάσσοντι αὐτὸν στρατιώτῃ.

u δίδωμι.
x τρέπω.

17 [b] Ἐγένετο δὲ μετὰ ἡμέρας τρεῖς [y] συγκαλέσασθαι τὸν Παῦλον τοὺς [z] ὄντας τῶν Ἰουδαίων πρώτους· [a] συνελθόντων δὲ αὐτῶν, [b] ἔλεγε πρὸς αὐτοὺς, Ἄνδρες ἀδελφοὶ, ἐγὼ οὐδὲν ἐναντίον [c] ποιήσας τῷ λαῷ ἢ τοῖς ἔθεσι τοῖς πατρῴοις, δέσμιος ἐξ Ἱεροσολύμων [d] παρεδόθην εἰς τὰς χεῖρας τῶν Ῥωμαίων·

y καλέω.
z εἰμί.
a ἔρχομαι.
b λέγω.
c ποιέω.
d δίδωμι.

18 Οἵτινες [e] ἀνακρίναντές με [f] ἐβούλοντο [g] ἀπολῦσαι, διὰ τὸ μηδεμίαν αἰτίαν θανάτου ὑπάρχειν ἐν ἐμοί·

e κρίνω.
f βούλομαι.
g λύω.

19 [b] Ἀντιλεγόντων δὲ τῶν Ἰουδαίων, [i] ἠναγκάσθην [k] ἐπικαλέσασθαι Καίσαρα· οὐχ ὡς τοῦ ἔθνους μου ἔχων τι [l] κατηγορῆσαι.

i ἀνάγκη.
k καλέω.
l ἀγορεύ.

20 Διὰ ταύτην οὖν τὴν αἰτίαν παρεκάλεσα ὑμᾶς [m] ἰδεῖν καὶ [n] προσλαλῆσαι· ἕνεκεν γὰρ τῆς ἐλπίδος τοῦ Ἰσραὴλ τὴν ἅλυσιν ταύτην περίκειμαι.

21 Οἱ δὲ πρὸς αὐτὸν εἶπον, Ἡμεῖς οὔτε γράμματα περὶ σοῦ [o] ἐδεξάμεθα ἀπὸ τῆς Ἰουδαίας· οὔτε [p] παραγενόμενός τις τῶν ἀδελφῶν [q] ἀπήγγειλεν ἢ [n] ἐλάλησέ τι περὶ σοῦ πονηρόν.

22 [s] Ἀξιοῦμεν δὲ παρὰ σοῦ ἀκοῦσαι ἃ φρονεῖς· περὶ μὲν γὰρ τῆς αἱρέσεως ταύτης [t] γνωστόν [u] ἐστιν ἡμῖν ὅτι πανταχοῦ ἀντιλέγεται.

23 [x] Ταξάμενοι δὲ αὐτῷ ἡμέραν, [y] ἧκον πρὸς αὐτὸν εἰς τὴν ξενίαν πλείονες· οἷς [z] ἐξετίθετο [a] διαμαρτυρόμενος τὴν βασιλείαν τοῦ Θεοῦ, πείθων τε αὐτοὺς τὰ περὶ τοῦ Ἰησοῦ, ἀπό τε τοῦ νόμου Μωσέως καὶ τῶν προφητῶν, ἀπὸ πρωῒ ἕως ἑσπέρας.

24 Καὶ οἱ μὲν [b] ἐπείθοντο τοῖς λεγομένοις, οἱ δὲ [c] ἠπίστουν.

25 Ἀσύμφωνοι δὲ [d] ὄντες πρὸς ἀλλήλους [e] ἀπελύοντο, εἰπόντος τοῦ Παύλου ῥῆμα ἕν, ὅτι καλῶς τὸ πνεῦμα τὸ ἅγιον [f] ἐλάλησε διὰ Ἡσαΐου τοῦ προφήτου πρὸς τοὺς πατέρας ἡμῶν,

26 Λέγων, [g] Πορεύθητι πρὸς τὸν λαὸν τοῦτον, καὶ εἰπέ, Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ [h] συνῆτε· καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ [i] ἴδητε.

27 [k] Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου· καὶ τοῖς [l] ὠσὶ βαρέως [m] ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν [n] ἐκάμμυσαν· μήποτε [o] ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς [l] ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ [p] συνῶσι, καὶ [q] ἐπιστρέψωσι, καὶ [r] ἰάσωμαι αὐτούς.

28 [s] Γνωστὸν οὖν [d] ἔστω ὑμῖν ὅτι τοῖς ἔθνεσιν [t] ἀπεστάλη τὸ σωτήριον τοῦ Θεοῦ, αὐτοὶ καὶ ἀκούσονται.

29 Καὶ ταῦτα αὐτοῦ εἰπόντος, [u] ἀπῆλθον οἱ Ἰουδαῖοι, πολλὴν ἔχοντες ἐν ἑαυτοῖς [x] συζήτησιν.

30 [y] Ἔμεινε δὲ ὁ Παῦλος διετίαν ὅλην ἐν

ἰδίῳ

[m] εἴδω.
[n] λαλέω.
[o] δέχομαι.
[p] γίνομαι.
[q] ἀγγέλλω.
[s] ἄξιος.
[t] γινώσκω.
[u] εἰμί.
[x] τάσσω.
[y] ἥκω.
[z] τίθημι.
[a] μάρτυρ.
[b] πείθω.
[c] πίστις.
[d] εἰμί.
[e] λύω.
[f] λαλέω.
[g] πείρω.
[h] ἕω.
[i] εἴδω.
[k] παχύς.
[l] οὖς.
[m] ἀκούω.
[n] μύω.
[o] εἴδω.
[p] ἕω.
[q] στρέφω.
[r] ἰάομαι.
[s] γινώσκω.
[t] στέλλω.
[u] ἔρχομαι.
[x] ζητέω.
[y] μένω.

ἰδίῳ μισθώματι· καὶ [z] ἀπεδέχετο πάντας τοὺς εἰσπορευομένους πρὸς αὐτόν. [z] δέχομαι.

31 Κηρύσσων τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ διδάσκων τὰ περὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ μετὰ πάσης παῤῥησίας, ἀκωλύτως.

ΠΑΥΛΟΣ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
Η ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ
ΕΠΙΣΤΟΛΗ.

BRITISH MUSEUM

Κεφάλαιον α. Caput I.

Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπέστολος, [a] ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ. [a] ὅρος.

2 (Ὃ [b] προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις) [b] ἀγγέλλω.

3 Περὶ τοῦ υἱοῦ αὐτοῦ, (τοῦ [c] γενομένου ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα· [c] γίνομαι.

4 Τοῦ [a] ὁρισθέντος υἱοῦ Θεοῦ ἐν δυνάμει, κατὰ πνεῦμα ἁγιωσύνης, ἐξ ἀναστάσεως νεκρῶν) Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

5 (Δι᾽ οὗ [d] ἐλάβομεν χάριν καὶ ἀποστολὴν εἰς ὑπακοὴν πίστεως, ἐν πᾶσι τοῖς ἔθνεσιν, ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ· [d] λαμβάνω.

6 Ἐν οἷς [e] ἐστὲ καὶ ὑμεῖς, κλητοὶ Ἰησοῦ Χριστοῦ.) [e] εἰμί.

7 Πᾶσι τοῖς [e] οὖσιν ἐν Ῥώμῃ, ἀγαπητοῖς Θεοῦ, κλητοῖς ἁγίοις· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Κριστοῦ.

8 Πρῶτον μὲν εὐχαριστῶ τῷ Θεῷ μου διὰ Ἰησοῦ Χριστοῦ ὑπὲρ πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ.

9 Μάρτυς γάρ μοι [e] ἐστὶν ὁ Θεὸς, ᾧ λατρεύω ἐν τῷ πνεύματί μου ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ, ὡς [f] ἀδιαλείπτως μνείαν ὑμῶν ποιοῦμαι. [f] λείπω.

10 Πάντοτε ἐπὶ τῶν προσευχῶν μου δεό-
g ὁδός. μενος, εἴ πως ἤδη ποτὲ [g] εὐοδωθήσομαι ἐν τῷ
h ἔρχομαι. θελήματι τοῦ Θεοῦ [h] ἐλθεῖν πρὸς ὑμᾶς.

i πόθος. 11 [i] Ἐπιποθῶ γὰρ [k] ἰδεῖν ὑμᾶς, ἵνα τι [l] με-
k εἴδω. ταδῶ χάρισμα ὑμῖν πνευματικὸν, εἰς τὸ [m] στη-
l δίδωμι. ριχθῆναι ὑμᾶς·

m στηρίζω. 12 Τοῦτο δέ ἐστι, [n] συμπαρακληθῆναι ἐν
n καλέω. ὑμῖν διὰ τῆς ἐν ἀλλήλοις πίστεως ὑμῶν τε καὶ ἐμοῦ.

o νόος. 13 Οὐ θέλω δὲ ὑμᾶς [o] ἀγνοεῖν, ἀδελφοὶ,
p τίθημι. ὅτι πολλάκις [p] προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς,
q κωλύω. (καὶ [q] ἐκωλύθην ἄχρι τοῦ δεῦρο) ἵνα καρπόν
r ἔχω. τινα [r] σχῶ καὶ ἐν ὑμῖν καθὼς καὶ ἐν τοῖς λοιποῖς
ἔθνεσιν.

14 Ἕλλησί τε καὶ Βαρβάροις, σοφοῖς τε καὶ
ἀνοήτοις ὀφειλέτης εἰμί.

15 Οὕτω τὸ κατ' ἐμὲ πρόθυμον καὶ ὑμῖν τοῖς
s ἀγγέλλω. ἐν Ῥώμῃ [s] εὐαγγελίσασθαι.

16 Οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον τοῦ Χρι-
στοῦ· δύναμις γὰρ Θεοῦ [a] ἐστιν εἰς σωτηρίαν παντὶ
τῷ πιστεύοντι, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι.

17 Δικαιοσύνη γὰρ Θεοῦ ἐν αὐτῷ ἀποκα-
t γράφω. λύπτεται ἐκ πίστεως εἰς πίστιν· καθὼς [t] γέγρα-
u ζάω. πται, Ὁ δὲ δίκαιος ἐκ πίστεως [u] ζήσεται.

18 Ἀποκαλύπτεται γὰρ ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ
ἐπὶ πᾶσαν ἀσέβειαν, καὶ ἀδικίαν ἀνθρώπων τῶν τὴν
ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων·

x γινώσκω. 19 Διότι τὸ [x] γνωστὸν τοῦ Θεοῦ, φανερόν ἐστιν
y φαίνω. ἐν αὐτοῖς· ὁ γὰρ Θεὸς αὐτοῖς [y] ἐφανέρωσε.

z ὁράω. 20 Τὰ γὰρ [z] ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσ-
μου, τοῖς ποιήμασι νοούμενα [z] καθορᾶται, ἥ τε
ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης· εἰς τὸ [c] εἶναι
a λέγω. αὐτοὺς [a] ἀναπολογήτους.

b γινώσκω. 21 Διότι [b] γνόντες τὸν Θεὸν, οὐχ ὡς Θεὸν
c δοκέω. [c] ἐδόξασαν, ἢ [d] εὐχαρίστησαν· ἀλλ' [e] ἐματαιώθησαν
d χάρις. ἐν τοῖς [a] διαλογισμοῖς αὐτῶν, καὶ [f] ἐσκοτίσθη ἡ ἀ-
e μάτην. σύνετος αὐτῶν καρδία.

f σκότος. 22 Φάσκοντες εἶναι σοφοὶ, * ἐμωράνθησαν.

* μωρός. 23 Καὶ [g] ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου
g ἀλλάσσω. Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου,

καὶ πετεινῶν καὶ [h] τετραπόδων καὶ ἑρπετῶν.

24 Διὸ καὶ [i] παρέδωκεν αὐτοὺς ὁ Θεὸς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν εἰς ἀκαθαρσίαν, τοῦ [k] ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν ἑαυτοῖς.

25 Οἵτινες [l] μετήλλαξαν τὴν ἀλήθειαν τοῦ Θεοῦ ἐν τῷ ψεύδει, καὶ [m] ἐσεβάσθησαν καὶ [n] ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, ὅς [o] ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας· ἀμήν.

26 Διὰ τοῦτο παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς πάθη ἀτιμίας· αἵ τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν·

27 Ὁμοίως τε καὶ οἱ ἄρσενες [p] ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας, [q] ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους, ἄρσενες ἐν ἄρσεσι τὴν ἀσχημοσύνην κατεργαζόμενοι· καὶ τὴν ἀντιμισθίαν ἣν ἔδει τῆς πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες.

28 Καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα·

29 [r] Πεπληρωμένους πάσῃ ἀδικίᾳ, πορνείᾳ, πονηρίᾳ, πλεονεξίᾳ, κακίᾳ· μεστοὺς φθόνου, φόνου, ἔριδος, δόλου, κακοηθείας·

30 Ψιθυριστάς, καταλάλους, θεοστυγεῖς, ὑβριστάς, ὑπερηφάνους, ἀλαζόνας, ἐφευρετὰς κακῶν, γονεῦσιν ἀπειθεῖς·

31 Ἀσυνέτους, ἀσυνθέτους, ἀστόργους, ἀσπόνδους, ἀνελεήμονας.

32 Οἵτινες τὸ δικαίωμα τοῦ Θεοῦ [b] ἐπιγνόντες (ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου [o] εἰσίν) οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ [c] συνευδοκοῦσι τοῖς πράσσουσι.

[h] πούς.
[i] δίδωμι.
[k] τίω.
[l] ἀλλάσσω. //
[m] σέβω.
[n] λάτρις.
[o] εἰμί.
[p] ἵω.
[q] καύω.
[r] πλέος.

Κεφ. β'. Cap. II.

Διὸ [a] ἀναπολόγητος [b] εἶ ὦ ἄνθρωπε πᾶς ὁ κρίνων· ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις· τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων.

2 [c] Οἴδαμεν ὅτι τὸ κρίμα τοῦ Θεοῦ [b] ἐστὶ κατὰ ἀλήθειαν ἐπὶ τοὺς τὰ τοιαῦτα πράσσοντας.

[a] λέγω.
[b] εἰμί.
[c] εἴδω.

[d] φεύγω.

3 Λογίζῃ δὲ τοῦτο ὦ ἄνθρωπε ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας, καὶ ποιῶν αὐτά, ὅτι σὺ [d] ἐκφεύξῃ τὸ κρίμα τοῦ Θεοῦ;

[e] ἔχω.

4 Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς [e] ἀνοχῆς καὶ τῆς μακροθυμίας καταφρονεῖς, [f] ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει;

[f] νόος.

5 Κατὰ δὲ τὴν σκληρότητά σου καὶ [f] ἀμετανόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως δικαιοκρισίας τοῦ Θεοῦ.

[g] δίδωμι.

6 Ὃς [g] ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

7 Τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσι, ζωὴν αἰώνιον·

[h] πείθω.

8 Τοῖς δὲ ἐξ ἐριθείας, καὶ ἀπειθοῦσι μὲν τῇ ἀληθείᾳ, [h] πειθομένοις δὲ τῇ ἀδικίᾳ, θυμὸς καὶ ὀργή·

9 Θλίψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν, Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος.

10 Δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι.

[i] λαμβάνω.

11 Οὐ γάρ [b] ἐστι [i] προσωποληψία παρὰ τῷ Θεῷ.

[k] ἁμαρτάνω
[l] ὀλλύω.
[m] κρίνω.

12 Ὅσοι γὰρ ἀνόμως [k] ἥμαρτον, ἀνόμως καὶ [l] ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ [k] ἥμαρτον, διὰ νόμου [m] κριθήσονται,

[n] δικη.

13 (Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου, δίκαιοι παρὰ τῷ Θεῷ· ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου [n] δικαιωθήσονται.

14 Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς [h] εἰσι νόμος·

[o] δεικνύω.
[p] γράφω.
[q] μαρτυρ.
[r] ἀγορ.

15 Οἵτινες [o] ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου [p] γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, [q] συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως, καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν [r] κατηγορούντων, ἢ καὶ [a] ἀπολογουμένων)

16 Ἐν ἡμέρᾳ ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων, κατὰ τὸ εὐαγγέλιόν μου, διὰ Ἰησοῦ Χριστοῦ.

17 [o] Ἴδε σὺ Ἰουδαῖος [r] ἐπονομάζῃ, καὶ [t] ἐπαναπαύῃ τῷ νόμῳ, καὶ [u] καυχᾶσαι ἐν Θεῷ, — [r] ὄνομα. [t] παύω.

18 Καὶ γινώσκεις τὸ θέλημα, καὶ δοκιμάζεις τὰ διαφέροντα, [x] κατηχούμενος ἐκ τοῦ νόμου. — [u] καυχάομαι. [x] ἦχος.

19 Πέποιθάς τε σεαυτὸν ὁδηγὸν [m] εἶναι τυφλῶν, φῶς τῶν ἐν σκότει·

20 Παιδευτὴν ἀφρόνων, διδάσκαλον νηπίων· ἔχοντα τὴν μόρφωσιν τῆς γνώσεως καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ.

21 Ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; ὁ κηρύσσων μὴ κλέπτειν, κλέπτεις;

22 Ὁ λέγων μὴ μοιχεύειν, μοιχεύεις; ὁ βδελυσσόμενος τὰ εἴδωλα, ἱεροσυλεῖς;

23 Ὃς ἐν νόμῳ [u] καυχᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν [z] ἀτιμάζεις; — [z] τίω.

24 Τὸ γὰρ ὄνομα τοῦ Θεοῦ δι᾽ ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσι, καθὼς [a] γέγραπται. — [a] γράφω.

25 Περιτομὴ μὲν γὰρ ὠφελεῖ, ἐὰν νόμον πράσσῃς· ἐὰν δὲ παραβάτης νόμου [b] ᾖς, ἡ περιτομή σου ἀκροβυστία [c] γέγονεν. — [b] εἰμί. [c] γίνομαι.

26 Ἐὰν οὖν ἡ ἀκροβυστία τὰ δικαιώματα τοῦ νόμου φυλάσσῃ, οὐχὶ ἡ ἀκροβυστία αὐτοῦ εἰς περιτομὴν [d] λογισθήσεται; — [d] λέγω.

27 Καὶ κρινεῖ ἡ ἐκ φύσεως ἀκροβυστία τὸν νόμον τελοῦσα, σὲ τὸν διὰ γράμματος καὶ περιτομῆς παραβάτην νόμου;

28 Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ, Ἰουδαῖός [e] ἐστι· οὐδὲ ἡ ἐν τῷ φανερῷ, ἐν σαρκὶ, περιτομή. — [e] εἰμί.

29 Ἀλλ᾽ ὁ ἐν τῷ κρυπτῷ, Ἰουδαῖος, καὶ περιτομὴ καρδίας, ἐν πνεύματι, οὐ γράμματι· οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ᾽ ἐκ τοῦ Θεοῦ.

Κεφ. γ΄. Cap. III.

Τί οὖν τὸ [a] περισσὸν τοῦ Ἰουδαίου; ἢ τίς ἡ ὠφέλεια τῆς περιτομῆς; — [a] περί.

2 Πολὺ κατὰ πάντα τρόπον. Πρῶτον μὲν γὰρ ὅτι [b] ἐπιστεύθησαν τὰ λόγια τοῦ Θεοῦ. — [b] πίστις.

3 Τί γὰρ εἰ [b] ἠπίστησάν τινες; μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ Θεοῦ [c] καταργήσει;

4 Μὴ [d] γένοιτο· γινέσθω δὲ ὁ Θεὸς ἀληθής, πᾶς δὲ ἄνθρωπος ψεύστης· καθὼς [e] γέγραπται· Ὅπως ἂν [f] δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ [g] κρίνεσθαί σε.

5 Εἰ δὲ ἡ ἀδικία ἡμῶν Θεοῦ δικαιοσύνην [h] συνίστησι, τί [i] ἐροῦμεν; μὴ ἄδικος ὁ Θεὸς ὁ ἐπιφέρων τὴν ὀργήν; (κατὰ ἄνθρωπον λέγω.)

6 Μὴ γένοιτο· ἐπεὶ πῶς κρινεῖ ὁ Θεὸς τὸν κόσμον;

7 Εἰ γὰρ ἡ ἀλήθεια τοῦ Θεοῦ ἐν τῷ ἐμῷ ψεύσματι [k] ἐπερίσσευσεν εἰς τὴν δόξαν αὐτοῦ, τί ἔτι [l] κἀγὼ ὡς ἁμαρτωλὸς κρίνομαι;

8 Καὶ μή, καθὼς βλασφημούμεθα, καὶ καθὼς [m] φασί τινες ἡμᾶς λέγειν, ὅτι ποιήσωμεν τὰ κακὰ ἵνα [n] ἔλθῃ τὰ ἀγαθά; ὧν τὸ κρίμα ἔνδικόν [o] ἐστι.

9 Τί οὖν; προεχόμεθα; οὐ πάντως· [p] προῃτιασάμεθα γὰρ Ἰουδαίους τε καὶ Ἕλληνας πάντας ὑφ' ἁμαρτίαν [o] εἶναι.

10 Καθὼς γέγραπται, Ὅτι οὐκ [o] ἔστι δίκαιος οὐδὲ εἷς·

11 Οὐκ [o] ἔστιν ὁ [q] συνιῶν, οὐκ [o] ἔστιν ὁ ἐκζητῶν τὸν Θεόν.

12 Πάντες ἐξέκλιναν, ἅμα [r] ἠχρειώθησαν· οὐκ [o] ἔστι ποιῶν χρηστότητα, οὐκ [o] ἔστιν ἕως ἑνός.

13 Τάφος [s] ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν· ταῖς γλώσσαις αὐτῶν [t] ἐδολιοῦσαν· ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν.

14 Ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει·

15 Ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα.

16 Σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν·

17 Καὶ ὁδὸν εἰρήνης οὐκ [u] ἔγνωσαν.

18 Οὐκ [o] ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν.

19 [x] Οἴδαμεν δὲ ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ· ἵνα πᾶν στόμα φραγῇ, καὶ

ὑπόδι-

[c] ἔργον.
[d] γίνομαι.
[e] γράφω.
[f] δίκη.
[g] κρίνω.
[h] ἵστημι.
[i] εἴρω.
[k] περί.
[l] καὶ ἐγώ.
[m] φάω.
[n] ἔρχομαι.
[o] εἰμί.
[p] αἴτιος.
[q] ἴω.
[r] χρεία.
[s] οἴγω.
[t] δόλος.
[u] γινώσκω.
[x] εἴδω.

ὑπόδικος [d] γένηται πᾶς ὁ κόσμος τῷ Θεῷ.

20 Διότι ἐξ ἔργων νόμου οὐ [e] δικαιωθήσεται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ· διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας.

21 Νυνὶ δὲ χωρὶς νόμου δικαιοσύνη Θεοῦ [y] πεφανέρωται, μαρτυρουμένη ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν.

[y] φαίνω.

22 Δικαιοσύνη δὲ Θεοῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς πιστεύοντας· οὐ γάρ [o] ἐστι διαστολή.

23 Πάντες γὰρ [z] ἥμαρτον, καὶ [a] ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ.

[z] ἁμαρτάνω.
[a] ὕστερος.

24 [b] Δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι, διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ.

[b] δίκη.

25 Ὃν [c] προέθετο ὁ Θεὸς ἱλαστήριον διὰ τῆς πίστεως ἐν τῷ αὐτοῦ αἵματι, εἰς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ, διὰ τὴν πάρεσιν τῶν [d] προγεγονότων ἁμαρτημάτων·

[c] τίθημι. //
[d] γίνομαι.

26 Ἐν τῇ ἀνοχῇ τοῦ Θεοῦ, πρὸς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ, ἐν τῷ νῦν καιρῷ εἰς τὸ [e] εἶναι αὐτὸν δίκαιον, καὶ δικαιοῦντα τὸν ἐκ πίστεως Ἰησοῦ.

[e] εἰμί.

27 Ποῦ οὖν ἡ καύχησις; [f] ἐξεκλείσθη. Διὰ ποίου νόμου; τῶν ἔργων; οὐχί· ἀλλὰ διὰ νόμου πίστεως.

[f] κλείω.

28 [g] Λογιζόμεθα οὖν πίστει [b] δικαιοῦσθαι ἄνθρωπον, χωρὶς ἔργων νόμου.

[g] λέγω.

29 Ἢ Ἰουδαίων ὁ Θεὸς μόνον; οὐχὶ δὲ καὶ ἐθνῶν; ναὶ καὶ ἐθνῶν.

30 Ἐπείπερ εἷς ὁ Θεὸς, ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως, καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως. //

31 Νόμον οὖν [h] καταργοῦμεν διὰ τῆς πίστεως; μὴ [d] γένοιτο· ἀλλὰ νόμον [i] ἱστῶμεν.

[h] ἔργον.
[i] ἵστημι.

Κεφ. δ. Cap. IV.

Τί οὖν [a] ἐροῦμεν Ἀβραὰμ τὸν πατέρα ἡμῶν [b] εὑρηκέναι κατὰ σάρκα;

[a] εἴρω.
[b] εὑρίσκω.

2 Εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων [c] ἐδικαιώθη, ἔχει καύχημα, ἀλλ᾽ οὐ πρὸς τὸν Θεόν.

[c] δίκη.

3 Τί γὰρ ἡ γραφὴ λέγει; [d] ἐπίστευσε δὲ Ἀβραὰμ

[d] πίστις.

c λέγω. βραὰμ τῷ Θεῷ, καὶ [c] ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.

4 Τῷ δὲ ἐργαζομένῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν, ἀλλὰ κατὰ τὸ ὀφείλημα.

5 Τῷ δὲ μὴ ἐργαζομένῳ, πιστεύοντι δὲ ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ, λογίζεται ἡ πίστις αὐτοῦ εἰς δικαιοσύνην.

6 Καθάπερ καὶ Δαβὶδ λέγει τὸν μακαρισμὸν τοῦ ἀνθρώπου ᾧ ὁ Θεὸς λογίζεται δικαιοσύνην χωρὶς ἔργων·

f ἔω. 7 Μακάριοι ὧν [f] ἀφέθησαν αἱ ἀνομίαι, καὶ
g καλύπτω. ὧν [g] ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι.

8 Μακάριος ἀνὴρ ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν.

9 Ὁ μακαρισμὸς οὖν οὗτος, ἐπὶ τὴν περιτομὴν, ἢ καὶ ἐπὶ τὴν ἀκροβυστίαν; Λέγομεν γὰρ ὅτι [c] ἐλογίσθη τῷ Ἀβραὰμ ἡ πίστις εἰς δικαιοσύνην.

h εἰμί. 10 Πῶς οὖν [c] ἐλογίσθη; ἐν περιτομῇ [h] ὄντι, ἢ ἐν ἀκροβυστίᾳ; οὐκ ἐν περιτομῇ, ἀλλ᾽ ἐν ἀκροβυστίᾳ.

i λαμβάνω. 12 Καὶ σημεῖον [i] ἔλαβε περιτομῆς, σφραγῖδα τῆς δικαιοσύνης τῆς πίστεως τῆς ἐν τῇ ἀκροβυστίᾳ· εἰς τὸ [h] εἶναι αὐτὸν πατέρα πάντων τῶν πιστευόντων δι᾽ ἀκροβυστίας, εἰς τὸ [c] λογισθῆναι καὶ αὐτοῖς τὴν δικαιοσύνην.

12 Καὶ πατέρα περιτομῆς, τοῖς οὐκ ἐκ περιτομῆς μόνον, ἀλλὰ καὶ τοῖς στοιχοῦσι τοῖς ἴχνεσι τῆς ἐν τῇ ἀκροβυστίᾳ πίστεως τοῦ πατρὸς ἡμῶν Ἀβραάμ.

13 Οὐ γὰρ διὰ νόμου ἡ ἐπαγγελία τῷ Ἀβραὰμ, ἢ τῷ σπέρματι αὐτοῦ, τὸ κληρονόμον αὐτὸν εἶναι τοῦ κόσμου, ἀλλὰ διὰ δικαιοσύνης πίστεως.

k κενός. 14 Εἰ γὰρ οἱ ἐκ νόμου, κληρονόμοι, [k] κεκέ-
l ἔργον. νωται ἡ πίστις, καὶ [l] κατήργηται ἡ ἐπαγγελία.

15 Ὁ γὰρ νόμος ὀργὴν κατεργάζεται· οὗ γὰρ οὐκ [h] ἔστι νόμος, οὐδὲ παράβασις.

16 Διὰ τοῦτο ἐκ πίστεως, ἵνα κατὰ χάριν εἰς

τὸ [h] εἶναι βεβαίαν τὴν ἐπαγγελίαν παντὶ τῷ σπέρματι, οὐ τῷ ἐκ τοῦ νόμου μόνον, ἀλλὰ καὶ τῷ ἐκ πίστεως Ἀβραάμ, ὅς [h] ἐστι πατὴρ πάντων ἡμῶν.

17 (Καθὼς [m] γέγραπται, Ὅτι πατέρα πολλῶν ἐθνῶν [n] τέθεικά σε) κατέναντι οὗ [d] ἐπίστευσε, Θεοῦ τοῦ [o] ζωοποιοῦντος τοὺς νεκροὺς, καὶ καλοῦντος τὰ μὴ [h] ὄντα ὡς [h] ὄντα.

18 Ὃς παρ' ἐλπίδα ἐπ' ἐλπίδι [d] ἐπίστευσεν, εἰς τὸ [p] γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν· κατὰ τὸ [q] εἰρημένον, Οὕτως [h] ἔσται τὸ σπέρμα σου.

19 Καὶ μὴ [r] ἀσθενήσας τῇ πίστει, οὐ [ſ] κατανόησε τὸ ἑαυτοῦ σῶμα ἤδη [t] νενεκρωμένον, ἑκατονταέτης που ὑπάρχων, καὶ τὴν [t] νέκρωσιν τῆς μήτρας Σάῤῥας.

20 Εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ οὐ [u] διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' [x] ἐνεδυναμώθη τῇ πίστει, [y] δοὺς δόξαν τῷ Θεῷ·

21 Καὶ [z] πληροφορηθεὶς ὅτι ὃ [a] ἐπήγγελται, δυνατός [b] ἐστι καὶ ποιῆσαι.

22 Διὸ καὶ [c] ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.

23 Οὐκ [d] ἐγράφη δὲ δι' αὐτὸν μόνον, ὅτι [c] ἐλογίσθη αὐτῷ·

24 Ἀλλὰ καὶ δι' ἡμᾶς, οἷς μέλλει λογίζεσθαι, τοῖς πιστεύουσιν ἐπὶ τὸν [e] ἐγείραντα Ἰησοῦν τὸν Κύριον ἡμῶν ἐκ νεκρῶν,

25 Ὃς [f] παρεδόθη διὰ τὰ παραπτώματα ἡμῶν, καὶ [g] ἠγέρθη διὰ τὴν δικαίωσιν ἡμῶν.

Κεφ. ε. Cap. V.

[a] ΔΙκαιωθέντες οὖν ἐκ πίστεως εἰρήνην ἔχομεν πρὸς τὸν Θεὸν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

2 Δι' οὗ καὶ τὴν [b] προσαγωγὴν [c] ἐσχήκαμεν τῇ πίστει εἰς τὴν χάριν ταύτην ἐν ᾗ [d] ἑστήκαμεν, καὶ [e] καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ.

3 Οὐ μόνον δὲ, ἀλλὰ καὶ [e] καυχώμεθα ἐν ταῖς θλίψεσιν· [f] εἰδότες ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται.

4 Ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα.

[m] γράφω.
[n] τίθημι.
[o] ποιέω.
[p] γίνομαι.
[q] εἴρω.
[r] ἀσθενός.
[ſ] νόος.
[t] νεκρός.
[u] κρίνω.
[x] δύναμαι.
[y] δίδωμι.
[z] φέρω.
[a] ἀγγέλλω.
[b] εἰμί.
[c] λέγω.
[d] γράφω.
[e] ἐγείρω.
[f] δίδωμι.
[g] ἐγείρω.

[a] δίκη.
[b] ἄγω.
[c] ἔχω.
[d] ἵστημι.
[e] καυχάομαι.
[f] εἴδω.

5 Ἡ δὲ ἐλπὶς οὐ καταισχύνει, ὅτι ἡ ἀγάπη τοῦ
[g] χύω. Θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν, διὰ πνεύ-
[h] δίδωμι. ματος ἁγίου τοῦ [h] δοθέντος ἡμῖν.

[i] εἰμί. 6 Ἔτι γὰρ Χριστὸς, [i] ὄντων ἡμῶν ἀσθενῶν, κατὰ
[k] θνήσκω. καιρὸν ὑπὲρ ἀσεβῶν [k] ἀπέθανε.

7 Μόλις γὰρ ὑπὲρ δικαίου τις [k] ἀποθανεῖται·
ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα τις καὶ τολμᾷ [k] ἀπο-
θανεῖν.

8 [d] Συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς
ὁ Θεὸς, ὅτι ἔτι ἁμαρτωλῶν [i] ὄντων ἡμῶν Χρι-
στὸς ὑπὲρ ἡμῶν [k] ἀπέθανε.

9 Πολλῷ οὖν μᾶλλον, δικαιωθέντες νῦν ἐν
[l] σόω. τῷ αἵματι αὐτοῦ, [l] σωθησόμεθα δι' αὐτοῦ ἀπὸ τῆς
ὀργῆς.

[m] ἀλλάσσω. 10 Εἰ γὰρ ἐχθροὶ [i] ὄντες [m] κατηλλάγημεν
// τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, πολλῷ
[n] σόω. μᾶλλον [m] καταλλαγέντες [n] σωθησόμεθα ἐν τῇ
ζωῇ αὐτοῦ.

11 Οὐ μόνον δὲ, ἀλλὰ καὶ [c] καυχώμενοι ἐν
τῷ Θεῷ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι'
[o] λαμβάνω. οὗ νῦν τὴν καταλλαγὴν [o] ἐλάβομεν.

12 Διὰ τοῦτο ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁ-
[p] ἔρχομαι. μαρτία εἰς τὸν κόσμον [p] εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρ-
τίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους
[q] ἁμαρτάνω. ὁ θάνατος [p] διῆλθεν, ἐφ' ᾧ πάντες [q] ἥμαρτον.

13 Ἄχρι γὰρ νόμου ἁμαρτία [i] ἦν ἐν κόσμῳ·
[r] λέγω. ἁμαρτία δὲ οὐκ [r] ἐλλογεῖται μὴ [i] ὄντος νόμου.

14 Ἀλλ' ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ
μέχρι Μωσέως, καὶ ἐπὶ τοὺς μὴ [p] ἁμαρτήσαν-
τας ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδὰμ,
ὅς ἐστι τύπος τοῦ μέλλοντος.

15 Ἀλλ' οὐχ ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ
χάρισμα· εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι οἱ
πολλοὶ [k] ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ
Θεοῦ καὶ ἡ δωρεὰ ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου
[s] περί. Ἰησοῦ Χριστοῦ εἰς τοὺς πολλοὺς [s] ἐπερίσσευσε.

// 16 Καὶ οὐχ ὡς δι' ἑνὸς [p] ἁμαρτήσαντος, τὸ
δώρημα· τὸ μὲν γὰρ κρίμα, ἐξ ἑνὸς εἰς κατάκρι-
μα· τὸ δὲ χάρισμα, ἐκ πολλῶν παραπτωμάτων
εἰς δικαίωμα. 17 Εἰ

17 Εἰ γὰρ τῷ τοῦ ἑνὸς [r] παραπτώματι ὁ θάνατος ἐβασίλευσε διὰ τοῦ ἑνός, πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος καὶ τῆς δωρεᾶς τῆς δικαιοσύνης λαμβάνοντες, ἐν ζωῇ βασιλεύσουσι διὰ τοῦ ἑνὸς Ἰησοῦ Χριστοῦ.

[r] πίπτω.

18 Ἄρα οὖν ὡς δι' ἑνὸς παραπτώματος, εἰς πάντας ἀνθρώπους, εἰς κατάκριμα· οὕτω καὶ δι' ἑνὸς δικαιώματος εἰς πάντας ἀνθρώπους εἰς δικαίωσιν ζωῆς.

19 Ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ [d] κατεστάθησαν οἱ πολλοί· οὕτω καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι [a] κατασταθήσονται οἱ πολλοί.

20 Νόμος δὲ παρεισῆλθεν ἵνα [u] πλεονάσῃ τὸ παράπτωμα· οὗ δὲ [u] ἐπλεόνασεν ἡ ἁμαρτία, [x] ὑπερεπερίσσευσεν ἡ χάρις·

[u] πλέος.

[x] περί.

21 Ἵνα ὥσπερ ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θανάτῳ, οὕτω καὶ ἡ χάρις βασιλεύσῃ διὰ δικαιοσύνης εἰς ζωὴν αἰώνιον, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

Κεφ. ϛ'. Cap. VI.

ΤΙ οὖν [a] ἐροῦμεν; [b] ἐπιμενοῦμεν τῇ ἁμαρτίᾳ, ἵνα ἡ χάρις [c] πλεονάσῃ;

2 Μὴ [d] γένοιτο· οἵτινες [e] ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς ἔτι [f] ζήσομεν ἐν αὐτῇ;

3 Ἢ [g] ἀγνοεῖτε ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν.

[a] εἴρω.
[b] μένω.
[c] πλέος.
[d] γίνομαι.
[e] θνήσκω.
[f] ζάω.
[g] νόος.

4 [h] Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον· ἵνα ὥσπερ [i] ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ πατρός, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς [k] περιπατήσωμεν.

[h] θάπτω.
[i] ἐγείρω.
[k] πατέω.

5 Εἰ γὰρ σύμφυτοι [l] γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως [m] ἐσόμεθα.

[l] γίνομαι.
[m] εἰμί.

6 Τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος [n] συνεσταυρώθη, ἵνα [o] καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ.

[n] σταυρό-.
[o] ἔργον.

p δίκη.

7 Ὁ γὰρ [e] ἀποθανὼν [p] δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας.

8 Εἰ δὲ [e] ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν ὅτι καὶ [f] συζήσομεν αὐτῷ.

q εἴδω.

9 [q] Εἰδότες ὅτι Χριστὸς [i] ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει, θάνατος αὐτοῦ οὐκ ἔτι κυριεύει.

10 Ὃ γὰρ [e] ἀπέθανε, τῇ ἁμαρτίᾳ [e] ἀπέθανεν ἐφάπαξ· ὃ δὲ [f] ζῇ, ζῇ τῷ Θεῷ.

r λέγω.

11 Οὕτω καὶ ὑμεῖς [r] λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν [m] εἶναι τῇ ἁμαρτίᾳ, [f] ζῶντας δὲ τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

12 Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι, εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ.

s ἵστημι.

13 Μηδὲ [s] παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ· ἀλλὰ [s] παραστήσατε ἑαυτοὺς τῷ Θεῷ ὡς ἐκ νεκρῶν [f] ζῶντας· καὶ τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ Θεῷ.

14 Ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει· οὐ γάρ ἐστε ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν.

15 Τί οὖν; ἁμαρτήσομεν, ὅτι οὐκ [m] ἐσμὲν ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν; μὴ [i] γένοιτο.

16 Οὐκ [q] οἴδατε ὅτι ᾧ [s] παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοήν, δοῦλοί [m] ἐστε ᾧ ὑπακούετε· ἤτοι ἁμαρτίας εἰς θάνατον, ἢ ὑπακοῆς εἰς δικαιοσύνην;

t ἀκούω.
u δίδωμι.
x ἐλεύθερος.
y δοῦλος.

17 Χάρις δὲ τῷ Θεῷ ὅτι [m] ἦτε δοῦλοι τῆς ἁμαρτίας, [t] ὑπηκούσατε δὲ ἐκ καρδίας εἰς ὃν [u] παρεδόθητε τύπον διδαχῆς.

18 [x] Ἐλευθερωθέντες δὲ ἀπὸ τῆς ἁμαρτίας, [y] ἐδουλώθητε τῇ δικαιοσύνῃ.

19 Ἀνθρώπινον λέγω, διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν· ὥσπερ γὰρ [s] παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ, καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν· οὕτω νῦν [s] παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν.

20 Ὅτε γὰρ δοῦλοι [m] ἦτε τῆς ἁμαρτίας, ἐλεύθεροι [m] ἦτε τῇ δικαιοσύνῃ.

21 Τίνα οὖν καρπὸν εἴχετε τότε ἐφ' οἷς νῦν [z] ἐπαισχύνεσθε; τὸ γὰρ τέλος ἐκείνων, θάνατος.

[z] αἶσχος.

22 Νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, [y] δουλωθέντες δὲ τῷ Θεῷ, ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν· τὸ δὲ τέλος, ζωὴν αἰώνιον.

23 Τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας, θάνατος· τὸ δὲ χάρισμα τοῦ Θεοῦ, ζωὴ αἰώνιος ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Κεφ. ζ'. Cap. VII.

Η [a] Ἀγνοεῖτε ἀδελφοὶ (γινώσκουσι γὰρ νόμον λαλῶ) ὅτι ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου ἐφ' ὅσον χρόνον [b] ζῇ.

[a] νόος. [b] ζάω.

2 Ἡ γὰρ ὕπανδρος γυνὴ τῷ ζῶντι ἀνδρὶ [c] δέδεται νόμῳ· ἐὰν δὲ [d] ἀποθάνῃ ὁ ἀνήρ, [e] κατήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρός.

[c] δέω. [d] θνήσκω. [e] ἔργον.

3 Ἄρα οὖν ζῶντος τοῦ ἀνδρὸς μοιχαλὶς χρηματίσει, ἐὰν [f] γένηται ἀνδρὶ ἑτέρῳ· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ, ἐλευθέρα [g] ἐστὶν ἀπὸ τοῦ νόμου, τοῦ μὴ [g] εἶναι αὐτὴν μοιχαλίδα, [f] γενομένην ἀνδρὶ ἑτέρῳ.

[f] γίνομαι. [g] εἰμί.

4 Ὥστε ἀδελφοί μου, καὶ ὑμεῖς [d] ἐθανατώθητε τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ Χριστοῦ· εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ, τῷ ἐκ νεκρῶν [h] ἐγερθέντι, ἵνα [i] καρποφορήσωμεν τῷ Θεῷ.

[h] ἐγείρω. [i] φέρω.

5 Ὅτε γὰρ [g] ἦμεν ἐν τῇ σαρκί, τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου [e] ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν, εἰς τὸ καρποφορῆσαι τῷ θανάτῳ.

6 Νυνὶ δὲ [e] κατηργήθημεν ἀπὸ τοῦ νόμου, ἀποθανόντος ἐν ᾧ [k] κατειχόμεθα· ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι πνεύματος, καὶ οὐ παλαιότητι γράμματος.

[k] ἔχω.

7 Τί οὖν [l] ἐροῦμεν; ὁ νόμος ἁμαρτία; Μὴ [f] γένοιτο· ἀλλὰ τὴν ἁμαρτίαν οὐκ [m] ἔγνων εἰ μὴ διὰ νόμου· τήν τε γὰρ ἐπιθυμίαν οὐκ [n] ᾔδειν εἰ μὴ ὁ νόμος [o] ἔλεγεν, Οὐκ [p] ἐπιθυμήσεις.

[l] εἴρω. [m] γινώσκω. [n] εἴδω. [o] λέγω. [p] θυμός.

[q] ὁρμή.
[r] λαμβάνω.
[f] ἐξ. γυν.
[t] ἔρχομαι.

8 [q] Ἀφορμὴν δὲ [r] λαβοῦσα ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς, [f] κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν· χωρὶς γὰρ νόμου ἁμαρτία νεκρά.

9 Ἐγὼ δὲ [b] ἔζων χωρὶς νόμου ποτέ· [t] ἐλθούσης δὲ τῆς [f] ἐντολῆς, ἡ ἁμαρτία [b] ἀνέζησεν.

[u] εὑρίσκω.

10 Ἐγὼ δὲ [d] ἀπέθανον· καὶ [u] εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωήν, αὕτη εἰς θάνατον.

[x] ἀπατάω.
[y] κτείνω.

11 Ἡ γὰρ ἁμαρτία [q] ἀφορμὴν [r] λαβοῦσα διὰ τῆς ἐντολῆς [x] ἐξεπάτησέ με, καὶ δι' αὐτῆς [y] ἀπέκτεινεν.

12 Ὥστε ὁ μὲν νόμος, ἅγιος· καὶ ἡ ἐντολή, ἁγία καὶ δικαία καὶ ἀγαθή.

[z] φαίνω.

13 Τὸ οὖν ἀγαθὸν ἐμοὶ [f] γέγονε θάνατος; Μὴ [f] γένοιτο· ἀλλὰ ἡ ἁμαρτία, ἵνα [z] φανῇ ἁμαρτία, διὰ τοῦ ἀγαθοῦ μοι κατεργαζομένη θάνατον· ἵνα [f] γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς.

[a] εἴδω.
[b] περάω.

14 [a] Οἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστιν· ἐγὼ δὲ σαρκικός εἰμι, [b] πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν.

15 Ὃ γὰρ κατεργάζομαι, οὐ γινώσκω· οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω, ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ.

16 Εἰ δὲ ὃ οὐ θέλω, τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ ὅτι καλός.

17 Νυνὶ δὲ οὐκ ἔτι ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία.

[c] ἔργον.

18 [a] Οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ (τουτέστιν ἐν τῇ σαρκί μου) ἀγαθόν· τὸ γὰρ θέλειν παράκειταί μοι, τὸ δὲ [c] κατεργάζεσθαι τὸ καλὸν, οὐχ εὑρίσκω.

19 Οὐ γὰρ ὃ θέλω ποιῶ ἀγαθόν· ἀλλ' ὃ οὐ θέλω κακὸν, τοῦτο πράσσω.

20 Εἰ δὲ ὃ οὐ θέλω ἐγὼ τοῦτο ποιῶ, οὐκ ἔτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλὰ ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία.

21 Εὑρίσκω ἄρα τὸν νόμον τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλὸν, ὅτι ἐμοὶ τὸ κακὸν παράκειται.

[d] ἡδύς.

22 [d] Συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον·

23 Βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου [e] ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ [f] αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ [g] ὄντι ἐν τοῖς μέλεσί μου.

[e] στρατός. [f] ἁλίσκω. [g] εἰμί.

24 Ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;

25 [h] Εὐχαριστῶ τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν· ἄρα οὖν αὐτὸς ἐγὼ τῷ μὲν νοῒ δουλεύω νόμῳ Θεοῦ, τῇ δὲ σαρκί, νόμῳ ἁμαρτίας.

[h] χάρις.

Κεφ. η΄. Cap. VIII.

Οὐδὲν ἄρα νῦν κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ, μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα.

2 Ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ, [a] ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου.

[a] ἐλεύθερος.

3 Τὸ γὰρ ἀδύνατον τοῦ νόμου ἐν ᾧ [b] ἠσθένει διὰ τῆς σαρκός, ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί.

[b] σθένος.

4 Ἵνα τὸ δικαίωμα τοῦ νόμου [c] πληρωθῇ ἐν ἡμῖν, τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα.

[c] πλέος.

5 Οἱ γὰρ κατὰ σάρκα [d] ὄντες, τὰ τῆς σαρκὸς φρονοῦσιν· οἱ δὲ κατὰ πνεῦμα τὰ τοῦ πνεύματος.

[d] εἰμί.

6 Τὸ γὰρ φρόνημα, τῆς σαρκός, θάνατος· τὸ δὲ φρόνημα τοῦ πνεύματος, ζωὴ καὶ εἰρήνη.

7 Διότι τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς Θεόν· τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ δύναται.

8 Οἱ δὲ ἐν σαρκὶ [d] ὄντες Θεῷ [e] ἀρέσαι οὐ δύνανται.

[e] ἀρέσκω.

9 Ὑμεῖς δὲ οὐκ [d] ἐστὲ ἐν σαρκί, ἀλλ᾽ ἐν πνεύματι, εἴπερ πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν· εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ [d] ἔστιν αὐτοῦ.

10 Εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν, δι᾽ ἁμαρτίαν· τὸ δὲ πνεῦμα, ζωὴ, διὰ δικαιοσύνην.

[f] ἐγείρω.
[g] ποιέω.
[h] οἶκος.

11 Εἰ δὲ τὸ πνεῦμα τοῦ [f] ἐγείραντος Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ [f] ἐγείρας τὸν Χριστὸν ἐκ νεκρῶν [g] ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν, διὰ τοῦ [h] ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ὑμῖν.

[i] ζάω.

12 Ἄρα οὖν, ἀδελφοί, ὀφειλέται [d] ἐσμὲν οὐ τῇ σαρκί, τοῦ κατὰ σάρκα [i] ζῆν.

[k] θνήσκω.

13 Εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνήσκειν· εἰ δὲ πνεύματι τὰς πράξεις τοῦ σώματος [k] θανατοῦτε, [l] ζήσεσθε.

14 Ὅσοι γὰρ πνεύματι Θεοῦ ἄγονται, οὗτοί [d] εἰσιν υἱοὶ Θεοῦ.

[l] λαμβάνω.
[m] τίθημι.

15 Οὐ γὰρ [l] ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' [l] ἐλάβετε πνεῦμα [m] υἱοθεσίας, ἐν ᾧ κράζομεν, Ἀββᾶ ὁ πατήρ.

[n] μάρτυρ.

16 Αὐτὸ τὸ πνεῦμα [n] συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν ὅτι [d] ἐσμὲν τέκνα Θεοῦ.

[o] δοκέω.

17 Εἰ δὲ τέκνα, καὶ κληρονόμοι· κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ· εἴπερ συμπάσχομεν ἵνα καὶ [o] συνδοξασθῶμεν.

[p] καλύπτω.

18 Λογίζομαι γὰρ ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν [p] ἀποκαλυφθῆναι εἰς ἡμᾶς.

[q] δέχομαι.

19 Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ [q] ἀπεκδέχεται.

[r] τάσσω.

20 Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα· ἀλλὰ διὰ τὸν [r] ὑποτάξαντα.

21 Ἐπ' ἐλπίδι ὅτι καὶ αὐτὴ ἡ κτίσις [a] ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ.

[s] εἴδω.
[t] στενός.

22 [s] Οἴδαμεν γὰρ ὅτι πᾶσα ἡ κτίσις [t] συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν.

[u] δέχομαι.

23 Οὐ μόνον δέ, ἀλλὰ καὶ αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες, καὶ ἡμεῖς αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν, υἱοθεσίαν [u] ἀπεκδεχόμενοι, τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν.

[x] σώζω.

24 Τῇ γὰρ ἐλπίδι [x] ἐσώθημεν· ἐλπὶς δὲ βλεπομένη, οὐκ [d] ἔστιν ἐλπίς· ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει;

25 Εἰ δὲ ὃ οὐ βλέπομεν, ἐλπίζομεν, δι᾽ ὑπομονῆς [y] ἀπεκδεχόμεθα.

[y] δέχομαι.

26 Ὡσαύτως δὲ καὶ τὸ πνεῦμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις ἡμῶν· τὸ γὰρ τί [z] προσευξώμεθα καθὸ δεῖ, οὐκ [a] οἴδαμεν· ἀλλ᾽ αὐτὸ τὸ πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις.

[z] εὐχή.

27 Ὁ δὲ ἐρευνῶν τὰς καρδίας, [a] οἶδε τί τὸ φρόνημα τοῦ πνεύματος, ὅτι κατὰ Θεὸν ἐντυγχάνει ὑπὲρ ἁγίων.

[a] εἴδω.

28 [a] Οἴδαμεν δὲ ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν, πάντα συνεργεῖ εἰς ἀγαθὸν, τοῖς κατὰ πρόθεσιν κλητοῖς [b] οὖσιν.

[b] εἰμί.

29 Ὅτι οὓς [c] προέγνω, καὶ [d] προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ, εἰς τὸ [b] εἶναι αὐτὸν [e] πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς.

[c] γινώσκω.
[d] ὅρος.
[e] τίκτω.

30 Οὓς δὲ [f] προώρισε, τούτους καὶ [g] ἐκάλεσε· καὶ οὓς [g] ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν· οὓς δὲ [h] ἐδικαίωσε, τούτους καὶ [i] ἐδόξασε.

[f] ὅρος.
[g] καλέω.
[h] δίκη.
[i] δοκέω.

31 Τί οὖν [k] ἐροῦμεν πρὸς ταῦτα; εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ᾽ ἡμῶν.

[k] εἴρω.

32 Ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ [l] ἐφείσατο, ἀλλ᾽ ὑπὲρ ἡμῶν πάντων [m] παρέδωκεν αὐτὸν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν [n] χαρίσεται.

[l] φείδομαι.
[m] δίδωμι.
[n] χάρις.

33 Τίς [o] ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ; Θεὸς ὁ δικαιῶν.

[o] καλέω.

34 Τίς ὁ κατακρίνων; Χριστὸς ὁ [p] ἀποθανὼν, μᾶλλον δὲ καὶ [q] ἐγερθεὶς· ὃς καὶ [b] ἔστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν.

[p] θνήσκω.
[q] ἐγείρω.

35 Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα;

36 (Καθὼς [r] γέγραπται, Ὅτι ἕνεκά σου [p] θανατούμεθα ὅλην τὴν ἡμέραν· [s] ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς)

[r] γράφω.
[s] λέγω.

37 Ἀλλ᾽ ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς.

38 [t] Πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος, οὔτε

[t] πείθω.

ζωὴ,

ζωή, οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε δυνάμεις,
[u] ἵστημι. οὔτε [u] ἐνεστῶτα, οὔτε μέλλοντα,
39 Οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτί-
[x] δύναμαι. σις ἑτέρα [x] δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀ-
γάπης τοῦ Θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ
ἡμῶν.

Κεφ. θ'. Cap. IX.

ἈΛήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι,
[a] μάρτυρ. ([a] συμμαρτυρούσης μοι τῆς συνειδήσεώς μου
ἐν πνεύματι ἁγίῳ)
[b] εἰμί. 2 Ὅτι λύπη μοι [b] ἐστὶ μεγάλη, καὶ [c] ἀδιάλει-
[c] λείπω. πτος ὀδύνη τῇ καρδίᾳ μου.
[d] εὐχή. 3 [d] Ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα
[b] εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν
συγγενῶν μου κατὰ σάρκα·
4 Οἵτινές [b] εἰσιν Ἰσραηλῖται· ὧν ἡ υἱοθε-
σία, καὶ ἡ δόξα, καὶ αἱ διαθῆκαι, καὶ ἡ νομοθε-
σία, καὶ ἡ λατρεία, καὶ αἱ ἐπαγγελίαι·
5 Ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ
σάρκα, ὁ [h] ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς
τοὺς αἰῶνας· ἀμήν.
[e] πίπτω. 6 Οὐχ οἷον δὲ ὅτι [e] ἐκπέπτωκεν ὁ λόγος τοῦ
Θεοῦ· οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσ-
ραήλ.
7 Οὐδ' ὅτι [b] εἰσὶ σπέρμα Ἀβραάμ, πάντες
[f] καλέω. τέκνα· ἀλλ' ἐν Ἰσαὰκ [f] κληθήσεταί σοι σπέρ-
μα.
8 Τουτέστιν, οὐ τὰ τέκνα τῆς σαρκὸς, ταῦτα
τέκνα τοῦ Θεοῦ· ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας
λογίζεται εἰς σπέρμα.
9 Ἐπαγγελίας γὰρ ὁ λόγος οὗτος, Κατὰ τὸν
[g] ἔρχομαι. καιρὸν τοῦτον [g] ἐλεύσομαι, καὶ [b] ἔσται τῇ Σάῤῥᾳ
υἱός.
10 Οὐ μόνον δὲ, ἀλλὰ καὶ Ῥεβέκκα, ἐξ ἑνὸς
κοίτην ἔχουσα, Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν.
[h] γεννάω. 11 Μήπω γὰρ [h] γεννηθέντων, μηδὲ πρα-
ξάντων τι ἀγαθὸν ἢ κακὸν, ἵνα ἡ κατ' ἐκλογὴν
[i] μένω. τοῦ Θεοῦ πρόθεσις [i] μένῃ οὐκ ἐξ ἔργων, ἀλλ' ἐκ
τοῦ καλοῦντος,

12 [k] Ἐῤῥήθη αὐτῇ, Ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι.

13 Καθὼς [l] γέγραπται, Τὸν Ἰακὼβ [m] ἠγάπησα, τὸν δὲ Ἡσαῦ [n] ἐμίσησα.

14 Τί οὖν [o] ἐροῦμεν; μὴ ἀδικία παρὰ τῷ Θεῷ; Μὴ [p] γένοιτο.

15 Τῷ γὰρ Μωσῇ λέγει, [q] Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν [q] οἰκτείρω.

16 Ἄρα οὖν οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ [q] ἐλεοῦντος Θεοῦ.

17 Λέγει γὰρ ἡ γραφὴ τῷ Φαραὼ, Ὅτι εἰς αὐτὸ τοῦτο [r] ἐξέγειρά σε, ὅπως [s] ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, καὶ ὅπως [t] διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ.

18 Ἄρα οὖν ὃν θέλει ἐλεεῖ, ὃν δὲ θέλει σκληρύνει.

19 [u] Ἐρεῖς οὖν μοι, Τί ἔτι μέμφεται; τῷ γὰρ [x] βουλήματι αὐτοῦ τίς [y] ἀνθέστηκε;

20 Μενοῦν γε, ὦ ἄνθρωπε, σὺ τίς [b] εἶ ὁ [z] ἀνταποκρινόμενος τῷ Θεῷ; μὴ [a] ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, Τί με [b] ἐποίησας οὕτως;

21 Ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ, ἐκ τοῦ αὐτοῦ φυράματος [b] ποιῆσαι ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν;

22 Εἰ δὲ θέλων ὁ Θεὸς [c] ἐνδείξασθαι τὴν ὀργὴν, καὶ [d] γνωρίσαι τὸ δυνατὸν αὐτοῦ, [e] ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς [f] κατηρτισμένα εἰς ἀπώλειαν·

23 Καὶ ἵνα γνωρίσῃ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ ἐπὶ σκεύη ἐλέους, ἃ [g] προητοίμασεν εἰς δόξαν;

24 Οὓς καὶ [h] ἐκάλεσεν ἡμᾶς, οὐ μόνον ἐξ Ἰουδαίων, ἀλλὰ καὶ ἐξ ἐθνῶν.

25 Ὡς καὶ ἐν τῷ Ὡσηὲ λέγει, Καλέσω τὸν οὐ λαόν μου, λαόν μου· καὶ τὴν οὐκ [i] ἠγαπημένην, [i] ἠγαπημένην.

26 Καὶ [k] ἔσται ἐν τῷ τόπῳ οὗ [l] ἐῤῥέθη αὐτοῖς, Οὐ λαός μου ὑμεῖς, ἐκεῖ [h] κληθήσονται υἱοὶ Θεοῦ ζῶντος.

27 Ἠσαΐας

[k] ῥέω.
[l] γράφω.
[m] ἀγαπάω.
[n] μῖσος.
[o] εἴρω.
[p] γίνομαι.
[q] ἔλεος.
[r] ἐγείρω.
[s] δεικνύω.
[t] ἀγγέλλω.
[u] εἴρω.
[x] βουλή.
[y] ἵστημι.
[z] κρίνω.
[a] εἴρω.
[b] ποιέω.
[c] δεικνύω.
[d] γνωρίζω.
[e] φέρω.
[f] ἄρτιος.
[g] ἕτοιμος.
[h] καλέω.
[i] ἀγαπάω.
[k] εἰμί.
[l] ῥέω.

27 Ἡσαΐας δὲ κράζει ὑπὲρ τοῦ Ἰσραήλ, Ἐὰν [l] ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ [m] κατάλειμμα [n] σωθήσεται.

28 Λόγον γὰρ συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ, ὅτι λόγον [o] συντετμημένον ποιήσει Κύριος ἐπὶ τῆς γῆς.

29 Καὶ καθὼς [a] προείρηκεν Ἡσαΐας, Εἰ μὴ Κύριος Σαβαὼθ [p] ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν [q] ἐγενήθημεν, καὶ ὡς Γόμορρα ἂν [r] ὡμοιώθημεν.

30 Τί οὖν [a] ἐροῦμεν; Ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην, [s] κατέλαβε δικαιοσύνην, δικαιοσύνην δὲ τὴν ἐκ πίστεως.

31 Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ [t] ἔφθασε.

32 Διατί; Ὅτι οὐκ ἐκ πίστεως, ἀλλ᾽ ὡς ἐξ ἔργων νόμου· [u] προσέκοψον γὰρ τῷ λίθῳ τοῦ προσκόμματος.

33 Καθὼς [x] γέγραπται, Ἰδοὺ, τίθημι ἐν Σιὼν λίθον προσκόμματος, καὶ πέτραν σκανδάλου· καὶ πᾶς ὁ πιστεύων ἐπ᾽ αὐτῷ οὐ [y] καταισχυνθήσεται.

Κεφ. ι. Cap. X.

Ἀδελφοί, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας, καὶ ἡ δέησις ἡ πρὸς τὸν Θεὸν, ὑπὲρ τοῦ Ἰσραήλ [a] ἐστιν εἰς σωτηρίαν.

2 Μαρτυρῶ γὰρ αὐτοῖς ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ᾽ οὐ κατ᾽ ἐπίγνωσιν.

3 [b] Ἀγνοοῦντες γὰρ τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες [c] στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ [d] ὑπετάγησαν.

4 Τέλος γὰρ νόμου Χριστὸς, εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι.

5 Μωσῆς γὰρ γράφει τὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου, Ὅτι ὁ ποιήσας αὐτὰ ἄνθρωπος, [e] ζήσεται ἐν αὐτοῖς.

6 Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτω λέγει, Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, Τίς [f] ἀναβήσεται εἰς τὸν οὐρανόν; τοῦτ᾽ [a] ἔστι Χριστὸν [g] καταγαγεῖν.

7 Ἤ,

[m] λείπω.
[n] σῶος.
[o] τέμνω.
[p] λείπω.
[q] γίνομαι.
[r] ὁμός.
[s] λαμβάνω.
[t] φθάνω.
[u] κόπτω.
[x] γράφω.
[y] αἶσχος.
[a] εἰμί.
[b] νόος.
[c] ἵστημι.
[d] τάττω.
[e] ζάω.
[f] βαίνω.
[g] ἄγω.

7 Ἤ, Τίς [h] καταβήσεται εἰς τὴν ἄβυσσον; τοῦτ' [a] ἔστι Χριστὸν ἐκ νεκρῶν [g] ἀναγαγεῖν.

[h] βαίνω.

8 Ἀλλὰ τί λέγει; Ἐγγύς σου τὸ ῥῆμά [a] ἐστιν ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σου· τοῦτ' [a] ἔστι τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν.

9 Ὅτι ἐὰν [i] ὁμολογήσῃς ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ Θεὸς αὐτὸν [k] ἤγειρεν ἐκ νεκρῶν, [l] σωθήσῃ.

[i] λέγω.
[k] ἐγείρω.

10 Καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην· στόματι δὲ [i] ὁμολογεῖται εἰς σωτηρίαν.

[l] σώζω.

11 Λέγει γὰρ ἡ γραφή, Πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ [m] οὐ καταισχυνθήσεται.

[m] αἶσχος.

12 Οὐ γάρ ἐστι διαστολὴ Ἰουδαίου τε καὶ Ἕλληνος· ὁ γὰρ αὐτὸς Κύριος πάντων, πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν.

13 Πᾶς γὰρ ὃς ἂν [n] ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, [l] σωθήσεται.

[n] καλέω.

14 Πῶς οὖν [n] ἐπικαλέσονται εἰς ὃν οὐκ [o] ἐπίστευσαν; πῶς δὲ πιστεύσουσιν οὗ οὐκ [p] ἤκουσαν; πῶς δὲ ἀκούσουσι χωρὶς κηρύσσοντος;

[o] πίστις.
[p] ἀκούω.

15 Πῶς δὲ κηρύξουσιν, ἐὰν μὴ [q] ἀποσταλῶσι, καθὼς [r] γέγραπται, Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά.

[q] στέλλω.
[r] γράφω.

16 Ἀλλ' οὐ πάντες [p] ὑπήκουσαν τῷ εὐαγγελίῳ. Ἠσαΐας γὰρ λέγει, Κύριε, τίς [s] ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν.

[s] πίστις.

17 Ἄρα ἡ πίστις ἐξ ἀκοῆς· ἡ δὲ ἀκοὴ, διὰ ῥήματος Θεοῦ.

18 Ἀλλὰ λέγω, μὴ οὐκ [p] ἤκουσαν; μενοῦνγε εἰς πᾶσαν τὴν γῆν [t] ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

[t] ἔρχομαι.

19 Ἀλλὰ λέγω, Μὴ οὐκ [u] ἔγνω Ἰσραήλ; πρῶτος Μωσῆς λέγει, Ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς.

[u] γινώσκω.

20 Ἠσαΐας δὲ ἀποτολμᾷ, καὶ λέγει, [x] Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς [y] ἐγενόμην τοῖς ἐμὲ μὴ [z] ἐπερωτῶσι.

[x] εὑρίσκω.
[y] γίνομαι.
[z] ἐρωτάω.

21 Πρὸς δὲ τὸν Ἰσραὴλ λέγει, Ὅλην τὴν ἡμέραν [a] ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν [b] ἀπειθοῦντα καὶ [c] ἀντιλέγοντα.

a πετάω.
b πείθω.
c λέγω.

Κεφ. ια. Cap. XI.

ΛΕγω οὖν, μὴ [a] ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ; Μὴ [b] γένοιτο· καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμὶ, ἐκ σπέρματος Ἀβραὰμ, φυλῆς Βενιαμίν.

a ὠθέω.
b γίνομαι.

2 Οὐκ [a] ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ ὃν * προέγνω. Ἢ οὐκ [c] οἴδατε ἐν Ἠλίᾳ τί λέγει ἡ γραφή; ὡς ἐντυγχάνει τῷ Θεῷ κατὰ τοῦ Ἰσραὴλ, λέγων,

* γινώσκω.
c εἴδω.

3 Κύριε, τοὺς προφήτας σου [d] ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου [e] κατέσκαψαν· κἀγὼ [f] ὑπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου.

d κτείνω.
e σκάπτω.
f λείπω.

4 Ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματισμός; [f] Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας οἵτινες οὐκ [g] ἔκαμψαν γόνυ τῇ Βάαλ.

g κάμπτω.

5 Οὕτως οὖν καὶ ἐν τῷ νῦν καιρῷ [f] λεῖμμα κατ' ἐκλογὴν χάριτος [h] γέγονεν.

h γίνομαι.

6 Εἰ δὲ χάριτι, οὐκ ἔτι ἐξ ἔργων· ἐπεὶ ἡ χάρις οὐκ ἔτι γίνεται χάρις· εἰ δὲ ἐξ ἔργων, οὐκ ἔτι [i] ἐστὶ χάρις· ἐπεὶ τὸ ἔργον, οὐκ ἔτι [i] ἐστὶν ἔργον.

i εἰμί.

7 Τί οὖν; ὃ ἐπιζητεῖ Ἰσραὴλ, τούτου οὐκ [k] ἐπέτυχεν· ἡ δὲ ἐκλογὴ [k] ἐπέτυχεν, οἱ δὲ λοιποὶ [l] ἐπωρώθησαν.

k τυγχάνω.
l πωρός.

8 (Καθὼς [m] γέγραπται, [n] Ἔδωκεν αὐτοῖς ὁ Θεὸς πνεῦμα κατανύξεως, ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν) ἕως τῆς σήμερον ἡμέρας.

m γράφω.
n δίδωμι.

9 Καὶ Δαβὶδ λέγει, [o] Γενηθήτω ἡ τράπεζα αὐτῶν εἰς παγίδα; καὶ εἰς θήραν, καὶ εἰς σκάνδαλον, καὶ εἰς [n] ἀνταπόδομα αὐτοῖς.

o γίνομαι.

10 [p] Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς [q] σύγκαμψον.

p σκότος.
q κάμπτω.

11 Λέγω οὖν, μὴ [r] ἔπταισαν ἵνα [s] πέσωσι; Μὴ [o] γένοιτο· ἀλλὰ τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνεσιν, εἰς τὸ [t] παραζηλῶσαι αὐτούς.

r πταίω.
s πίπτω.
t ζῆλος.

12 Εἰ δὲ τὸ παράπτωμα αὐτῶν, πλοῦτος κόσμου, καὶ τὸ ἥττημα αὐτῶν, πλοῦτος ἐθνῶν, πόσῳ μᾶλλον τὸ πλήρωμα αὐτῶν;

13 Ὑμῖν γὰρ λέγω τοῖς ἔθνεσιν, ἐφ᾽ ὅσον μέν εἰμι ἐγὼ ἐθνῶν ἀπόστολος, τὴν διακονίαν μου [u] δοξάζω·

[u] δοκέω.

14 Εἴπως παραζηλώσω μου τὴν σάρκα, καὶ σώσω τινὰς ἐξ αὐτῶν.

15 Εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν, καταλλαγὴ κόσμου, τίς ἡ πρόσληψις, εἰ μὴ ζωὴ ἐκ νεκρῶν;

16 Εἰ δὲ ἡ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα· καὶ εἰ ἡ ῥίζα ἁγία, καὶ οἱ κλάδοι.

17 Εἰ δέ τινες τῶν κλάδων [x] ἐξεκλάσθησαν, σὺ δὲ ἀγριέλαιος ὢν [y] ἐνεκεντρίσθης ἐν αὐτοῖς, καὶ συγκοινωνὸς τῆς ῥίζης καὶ τῆς πιότητος τῆς ἐλαίας ἐγένου.

[x] κλάω.
[y] κεντρίζω.

18 Μὴ [z] κατακαυχῶ τῶν κλάδων· εἰ δὲ [z] κατακαυχᾶσαι, οὐ σὺ τὴν ῥίζαν βαστάζεις, ἀλλ᾽ ἡ ῥίζα σέ.

[z] καυχάομαι.

19 [a] Ἐρεῖς οὖν, [b] Ἐξεκλάσθησαν οἱ κλάδοι, ἵνα ἐγὼ [c] ἐγκεντρισθῶ.

[a] εἴρω.
[b] κλάω.

20 Καλῶς· τῇ ἀπιστίᾳ [b] ἐξεκλάσθησαν, σὺ δὲ τῇ πίστει * ἕστηκας· μὴ ὑψηλοφρόνει, ἀλλὰ φοβοῦ.

[c] κεντρίζω.
* ἵστημι.

21 Εἰ γὰρ ὁ Θεὸς τῶν κατὰ φύσιν κλάδων οὐκ [d] ἐφείσατο, μήπως οὐδὲ σοῦ φείσηται.

[d] φείδομαι.

22 [e] Ἴδε οὖν χρηστότητα καὶ ἀποτομίαν Θεοῦ· ἐπὶ μὲν τοὺς [f] πεσόντας, ἀποτομίαν· ἐπὶ δὲ σέ, χρηστότητα, ἐὰν [g] ἐπιμείνῃς τῇ χρηστότητι· ἐπεὶ καὶ σὺ [h] ἐκκοπήσῃ.

[e] εἴδω.
[f] πίπτω.
[g] μένω.
[h] κόπτω.

23 Καὶ ἐκεῖνοι δέ, ἐὰν μὴ [i] ἐπιμείνωσι τῇ ἀπιστίᾳ, [c] ἐγκεντρισθήσονται· δυνατὸς γὰρ [l] ἐστὶν ὁ Θεὸς πάλιν [c] ἐγκεντρίσαι αὐτούς.

[i] μένω.
[l] εἰμί.

24 Εἰ γὰρ σὺ ἐκ τῆς κατὰ φύσιν [h] ἐξεκόπης ἀγριελαίου, καὶ παρὰ φύσιν [c] ἐνεκεντρίσθης εἰς καλλιέλαιον, πόσῳ μᾶλλον οὗτοι οἱ κατὰ φύσιν [c] ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ;

25 Οὐ γὰρ θέλω ὑμᾶς [m] ἀγνοεῖν, ἀδελφοί, τὸ μυστήριον τοῦτο (ἵνα μὴ [l] ἦτε παρ᾽ ἑαυτοῖς φρόνιμοι) ὅτι πώρωσις ἀπὸ μέρους τῷ Ἰσραὴλ

[m] [illegible]

[n] γέγονεν.

[n] γίνομαι. [o] ἔρχομαι.

[n] γέγονεν, ἄχρις οὗ τὸ πλήρωμα τῶν ἐθνῶν [o] εἰσέλθῃ.

[p] σόος. [q] γράφω. [r] ἥκω. [s] στρέφω.

26 Καὶ οὕτω πᾶς Ἰσραὴλ [p] σωθήσεται· καθὼς [q] γέγραπται, [r] Ἥξει ἐκ Σιὼν ὁ ῥυόμενος, καὶ [s] ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ.

[t] αἱρέω.

27 Καὶ αὕτη αὐτοῖς ἡ παρ᾽ ἐμοῦ διαθήκη, ὅταν [t] ἀφέλομαι τὰς ἁμαρτίας αὐτῶν.

28 Κατὰ μὲν τὸ εὐαγγέλιον, ἐχθροὶ δι᾽ ὑμᾶς· κατὰ δὲ τὴν ἐκλογὴν, ἀγαπητοὶ διὰ τοὺς πατέρας.

[u] μέλει.

29 [u] Ἀμεταμέλητα γὰρ τὰ χαρίσματα καὶ ἡ κλῆσις τοῦ Θεοῦ.

[x] πείθω. [y] ἔλεος.

30 Ὥσπερ γὰρ καὶ ὑμεῖς ποτὲ [x] ἠπειθήσατε τῷ Θεῷ, νῦν δὲ [y] ἠλεήθητε τῇ τούτων ἀπειθείᾳ·

31 Οὕτω καὶ οὗτοι νῦν [x] ἠπείθησαν, τῷ ὑμετέρῳ ἐλέει ἵνα καὶ αὐτοὶ ἐλεηθῶσι.

[z] κλείω. [a] ἔλεος.

32 [z] Συνέκλεισε γὰρ ὁ Θεὸς τοὺς πάντας εἰς ἀπείθειαν, ἵνα τοὺς πάντας [a] ἐλεήσῃ·

[b] ἔρευνα. [c] ἴχνος.

33 Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· ὡς [b] ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ [c] ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ.

[d] γινώσκω. [e] γίνομαι.

34 Τίς γὰρ [d] ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ [e] ἐγένετο.

[f] δίδωμι.

35 Ἢ τίς [f] προέδωκεν αὐτῷ, καὶ [f] ἀνταποδοθήσεται αὐτῷ;

36 Ὅτι ἐξ αὐτοῦ, καὶ δι᾽ αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

Κεφ. ιβ΄. Cap. XII.

[a] ἵστημι.

ΠΑρακαλῶ οὖν ὑμᾶς, ἀδελφοὶ, διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, [a] παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ἁγίαν, ζῶσαν εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν.

[b] ἔχω. [c] μορφή.

2 Καὶ μὴ [b] συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ· ἀλλὰ [c] μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν, εἰς τὸ δοκιμάζειν ὑμᾶς τί τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον.

[d] δίδωμι. [e] εἰμί.

3 Λέγω γὰρ διὰ τῆς χάριτος τῆς [d] δοθείσης μοι, παντὶ τῷ [e] ὄντι ἐν ὑμῖν, μὴ ὑπερφρονεῖν παρ᾽ ὃ δεῖ φρονεῖν· ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν,

φρονεῖν, ἑκάστῳ ὡς ὁ Θεὸς [f] ἐμέρισε μέτρον πίστεως.

[f] μείρω.

4 Καθάπερ γὰρ ἐν ἑνὶ σώματι μέλη πολλὰ ἔχομεν, τὰ δὲ μέλη πάντα οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν.

5 Οὕτως οἱ πολλοὶ ἓν σῶμά [c] ἐσμεν ἐν Χριστῷ· ὁ δὲ καθ' εἷς, ἀλλήλων μέλη.

6 Ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν [c] ἡμῖν διάφορα, εἴτε προφητείαν, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως·

7 Εἴτε διακονίαν, ἐν τῇ διακονίᾳ· εἴτε ὁ διδάσκων, ἐν τῇ διδασκαλίᾳ·

8 Εἴτε ὁ παρακαλῶν, ἐν τῇ παρακλήσει· ὁ [d] μεταδιδοὺς, ἐν ἁπλότητι· ὁ [a] προϊστάμενος, ἐν σπουδῇ· ὁ ἐλεῶν, ἐν ἱλαρότητι.

9 Ἡ ἀγάπη, ἀνυπόκριτος. [g] Ἀποστυγοῦντες τὸ πονηρὸν, κολλώμενοι τῷ ἀγαθῷ.

[g] στύξ.

10 Τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι. Τῇ τιμῇ ἀλλήλους προηγούμενοι.

11 Τῇ σπουδῇ μὴ ὀκνηροί. Τῷ πνεύματι ζέοντες. Τῷ καιρῷ δουλεύοντες.

12 Τῇ ἐλπίδι χαίροντες. Τῇ θλίψει ὑπομένοντες. Τῇ προσευχῇ [h] προσκαρτεροῦντες.

[h] κρᾶτος.

13 Ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες. Τὴν φιλοξενίαν διώκοντες.

14 Εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς· εὐλογεῖτε, καὶ μὴ [i] καταρᾶσθε.

[i] ἀρά.

15 Χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων.

16 Τὸ αὐτὸ εἰς ἀλλήλους φρονοῦντες. Μὴ τὰ [k] ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς [l] συναπαγόμενοι. Μὴ [m] γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς.

[k] φρήν.
[l] ἄγω.
[m] γίνομαι.

17 Μηδενὶ κακὸν ἀντὶ κακοῦ [n] ἀποδιδόντες. [o] Προνοούμενοι καλὰ ἐνώπιον πάντων ἀνθρώπων.

[n] δίδωμι.
[o] νόος.

18 Εἰ δυνατὸν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων [p] εἰρηνεύοντες.

[p] εἰρήνη.

19 Μὴ ἑαυτοὺς ἐκδικοῦντες, ἀγαπητοί· ἀλλὰ

[q] γράφω. [n] δότε τόπον τῇ ὀργῇ· [q] γέγραπται γάρ, Ἐμοὶ
ἐκδίκησις· ἐγὼ [n] ἀνταποδώσω, λέγει Κύριος.

20 Ἐὰν οὖν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐ-
τόν· ἐὰν διψᾷ, πότιζε αὐτόν· τοῦτο γὰρ ποιῶν,
ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν
αὐτοῦ.

21 Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ· ἀλλὰ νίκα ἐν
τῷ ἀγαθῷ τὸ κακόν.

Κεφ. ιγ'. Cap. XIII.

[a] τάσσω. ΠΑ͂ΣΑ ψυχὴ ἐξουσίαις ὑπερεχούσαις [a] ὑπο-
[b] εἰμί. τασσέσθω· οὐ γὰρ [b] ἔστιν ἐξουσία εἰ μὴ ἀπὸ
Θεοῦ· αἱ δὲ [b] οὖσαι ἐξουσίαι, ὑπὸ τοῦ Θεοῦ [c] τε-
ταγμέναι [b] εἰσίν.

2 Ὥστε ὁ [a] ἀντιτασσόμενος τῇ ἐξουσίᾳ τῇ
[c] ἵστημι. τοῦ Θεοῦ διαταγῇ [c] ἀνθέστηκεν· οἱ δὲ [c] ἀνθεστηκό-
[d] λαμβάνω. τες, ἑαυτοῖς κρίμα [d] λήψονται.

3 Οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν ἀγα-
θῶν ἔργων, ἀλλὰ τῶν κακῶν. Θέλεις δὲ μὴ
[e] ἔχω. φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει, καὶ [e] ἕξεις
ἔπαινον ἐξ αὐτῆς.

4 Θεοῦ γὰρ διάκονός [b] ἐστί σοι εἰς τὸ ἀγαθόν·
ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ· οὐ γὰρ εἰκῇ τὴν μά-
[f] φέρω. χαιραν [f] φορεῖ. Θεοῦ γὰρ διάκονός ἐστιν, ἔκδι-
κος εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι.

5 Διὸ ἀνάγκη ὑποτάσσεσθαι, οὐ μόνον διὰ τὴν
ὀργήν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν·

6 Διὰ τοῦτο γὰρ καὶ φόρους τελεῖτε· λειτουρ-
[g] καρτερός. γοὶ γὰρ Θεοῦ [b] εἰσὶν εἰς αὐτὸ τοῦτο [g] προσκαρ-
τεροῦντες.

[h] δίδωμι. 7 [h] Ἀπόδοτε οὖν πᾶσι τὰς ὀφειλάς· τῷ τὸν
φόρον, τὸν φόρον· τῷ τὸ τέλος, τὸ τέλος· τῷ
τὸν φόβον, τὸν φόβον· τῷ τὴν τιμήν, τὴν τιμήν.

[i] ὀφείλω. 8 Μηδενὶ μηδὲν [i] ὀφείλετε, εἰ μὴ τὸ ἀγα-
πᾷν ἀλλήλους· ὁ γὰρ ἀγαπῶν τὸν ἕτερον, νόμον
[k] πλέος. [k] πεπλήρωκε.

9 Τὸ γάρ, Οὐ μοιχεύσεις, Οὐ φονεύσεις, Οὐ
κλέψεις, Οὐ ψευδομαρτυρήσεις, Οὐκ ἐπιθυμή-
σεις, καὶ εἴ τις ἑτέρα ἐντολή, ἐν τούτῳ τῷ λόγῳ
[l] κεφαλή. [l] ἀνακεφαλαιοῦται, ἐν τῷ, Ἀγαπήσεις τὸν πλησίον
σου ὡς ἑαυτόν.

10 Ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται,
πλήρωμα οὖν νόμου ἡ ἀγάπη.

11 Καὶ τοῦτο, [m] εἰδότες τὸν καιρὸν, ὅτι ὥρα [m] εἴδω.
ἡμᾶς ἤδη ἐξ ὕπνου [n] ἐγερθῆναι· νῦν γὰρ ἐγγύτερον [n] ἐγείρω.
ἡμῶν ἡ σωτηρία ἢ ὅτε [o] ἐπιστεύσαμεν. [o] πίστις.

12 Ἡ νὺξ [p] προέκοψεν, ἡ δὲ ἡμέρα [q] ἤγγικεν· [p] κόπτω.
[r] ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ [q] ἐγγύς.
[s] ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός. [r] τίθημι.

13 Ὡς ἐν ἡμέρᾳ, [t] εὐσχημόνως [u] περιπατήσωμεν· [s] δύω.
μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ [t] ἔχω.
ἀσελγείαις, μὴ ἔριδι καὶ ζήλῳ. [u] πατέω.

14 Ἀλλ᾽ [x] ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν Χριστὸν, [x] δύω.
καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας.

Κεφ. ιδʹ. Cap. XIV.

ΤΟ'Ν δὲ [a] ἀσθενοῦντα τῇ πίστει, [b] προσλαμβάνεσθε, [a] σθένος.
μὴ εἰς διακρίσεις διαλογισμῶν. [b] λαμβάνω

2 Ὃς μὲν πιστεύει φαγεῖν πάντα, ὁ δὲ ἀσθενῶν
λάχανα ἐσθίει.

3 Ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ [c] ἐξουθενείτω· [c] εἷς.
καὶ ὁ μὴ ἐσθίων, τὸν ἐσθίοντα μὴ κρινέτω· ὁ Θεὸς
γὰρ αὐτὸν προσελάβετο.

4 Σὺ τίς [d] εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; [d] εἰμί.
τῷ ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει. [e] σταθήσεται δέ· [e] ἵστημι.
δυνατὸς γάρ ἐστιν ὁ Θεὸς [e] στῆσαι αὐτόν.

5 Ὃς μὲν κρίνει ἡμέραν παρ᾽ ἡμέραν, ὃς δὲ
κρίνει πᾶσαν ἡμέραν· ἕκαστος ἐν τῷ ἰδίῳ νοῒ
[f] πληροφορείσθω. [f] φέρω.

6 Ὁ φρονῶν τὴν ἡμέραν, Κυρίῳ φρονεῖ· καὶ ὁ
μὴ φρονῶν τὴν ἡμέραν, Κυρίῳ οὐ φρονεῖ· ὁ ἐσθίων,
Κυρίῳ ἐσθίει· εὐχαριστεῖ γὰρ τῷ Θεῷ· καὶ ὁ μὴ
ἐσθίων, Κυρίῳ οὐκ ἐσθίει, καὶ εὐχαριστεῖ τῷ Θεῷ.

7 Οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ [g] ζῇ, καὶ οὐδεὶς ἑαυτῷ
ἀποθνήσκει·

8 Ἐάν τε γὰρ [g] ζῶμεν, τῷ Κυρίῳ ζῶμεν· [g] ζάω.
ἐάν τε ἀποθνήσκωμεν, τῷ Κυρίῳ ἀποθνήσκομεν·
ἐάν τε οὖν ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν,
τοῦ Κυρίου ἐσμέν.

9 Εἰς τοῦτο γὰρ Χριστὸς καὶ [h] ἀπέθανε καὶ [h] θνήσκω.

[i] ἀνέστη καὶ [g] ἀνέζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων
[i] κύριος. [i] κυριεύσῃ.

10 Σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου, ἢ καὶ σὺ
τί [c] ἐξουθενεῖς τὸν ἀδελφόν σου; πάντες γὰρ [c] πα-
ραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ.

[k] γράφω. 11 [k] Γέγραπται γὰρ, Ζῶ ἐγὼ, λέγει Κύριος·
ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα
[l] λέγω. [l] ἐξομολογήσεται τῷ Θεῷ.

12 Ἄρα οὖν ἕκαστος ἡμῶν περὶ ἑαυτοῦ λόγον
[m] δίδωμι. [m] δώσει τῷ Θεῷ.

13 Μηκέτι οὖν ἀλλήλους κρίνωμεν· ἀλλὰ τοῦ-
[n] τίθημι. το κρίνατε μᾶλλον, τὸ μὴ [n] τιθέναι πρόσκομ-
μα τῷ ἀδελφῷ, ἢ σκάνδαλον·

[o] εἴδω. 14 [o] Οἶδα καὶ [p] πέπεισμαι ἐν Κυρίῳ Ἰησοῦ,
[p] πείθω. ὅτι οὐδὲν κοινὸν δι' ἑαυτοῦ· εἰ μὴ τῷ [l] λογιζομένῳ
τι κοινὸν [d] εἶναι, ἐκείνῳ κοινόν.

15 Εἰ δὲ διὰ βρῶμα ὁ ἀδελφός σου λυπεῖ-
ται, οὐκ ἔτι κατὰ ἀγάπην περιπατεῖς· μὴ τῷ
[q] ὀλλύω. βρώματί σου ἐκεῖνον [q] ἀπόλυε, ὑπὲρ οὗ Χριστὸς
[h] ἀπέθανε.

[r] φάω. 16 Μὴ [r] βλασφημείσθω οὖν ὑμῶν τὸ ἀγα-
θόν·

17 Οὐ γάρ [d] ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ βρῶσις
καὶ πόσις, ἀλλὰ δικαιοσύνη, καὶ εἰρήνη, καὶ χαρὰ
ἐν πνεύματι ἁγίῳ.

18 Ὁ γὰρ ἐν τούτοις δουλεύων τῷ Χριστῷ,
εὐάρεστος τῷ Θεῷ, καὶ δόκιμος τοῖς ἀνθρώ-
ποις.

19 Ἄρα οὖν τὰ τῆς εἰρήνης διώκωμεν, καὶ τὰ
τῆς οἰκοδομῆς τῆς εἰς ἀλλήλους.

[r] λύω. 20 Μὴ ἕνεκεν βρώματος [r] κατάλυε τὸ ἔργον
τοῦ Θεοῦ· πάντα μὲν καθαρά· ἀλλὰ κακὸν τῷ
ἀνθρώπῳ τῷ διὰ προσκόμματος ἐσθίοντι.

21 Καλὸν τὸ μὴ φαγεῖν κρέα, μηδὲ πιεῖν
οἶνον, μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει, ἢ
σκανδαλίζεται, ἢ ἀσθενεῖ.

22 Σὺ πίστιν ἔχεις· κατὰ σαυτὸν ἔχε ἐνώπιον
τοῦ Θεοῦ· μακάριος ὁ μὴ κρίνων ἑαυτὸν ἐν ᾧ
δοκιμάζει.

23 Ὁ δὲ διακρινόμενος ἐὰν φάγῃ, [t] κατακέκριται· ὅτι οὐκ ἐκ πίστεως· πᾶν δὲ ὃ οὐκ ἐκ πίστεως, ἁμαρτία [d] ἐστίν.

[t] κρίνω.

Κεφ. ιε'. Cap. XV.

Ὀφείλομεν δὲ ἡμεῖς οἱ δυνατοὶ τὰ [a] ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν, καὶ μὴ ἑαυτοῖς ἀρέσκειν.

[a] σθένος.

2 Ἕκαστος γὰρ ἡμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν, πρὸς οἰκοδομήν.

3 Καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ [b] ἤρεσεν, ἀλλὰ, καθὼς [c] γέγραπται, Οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε, [d] ἐπέπεσον ἐπ' ἐμέ.

[b] ἀρέσκω.
[c] γράφω.
[d] πίπτω.

4 Ὅσα γὰρ [c] προεγράφη, εἰς τὴν ἡμετέραν διδασκαλίαν [c] προεγράφη· ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν γραφῶν, τὴν ἐλπίδα ἔχωμεν.

5 Ὁ δὲ Θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως [e] δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις, κατὰ Χριστὸν Ἰησοῦν.

[e] δίδωμι.

6 Ἵνα [f] ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι [g] δοξάζητε τὸν Θεὸν καὶ πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

[f] θυμός.
[g] δοκέω.

7 Διὸ [h] προσλαμβάνεσθε ἀλλήλους, καθὼς καὶ ὁ Χριστὸς [h] προσελάβετο ἡμᾶς εἰς δόξαν Θεοῦ.

[h] λαμβάνω.

8 Λέγω δὲ Ἰησοῦν Χριστὸν διάκονον [i] γεγενῆσθαι περιτομῆς ὑπὲρ ἀληθείας Θεοῦ, εἰς τὸ [k] βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων.

[i] γίνομαι.
[k] βέβαιος.

9 Τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους [g] δοξάσαι τὸν Θεόν· καθὼς [c] γέγραπται, Διὰ τοῦτο [l] ἐξομολογήσομαί σοι ἐν ἔθνεσι, καὶ τῷ ὀνόματί σου ψαλῶ.

[l] λέγω.

10 Καὶ πάλιν λέγει, [m] Εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ.

[m] φρήν.

11 Καὶ πάλιν, Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, καὶ ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί.

12 Καὶ πάλιν Ἡσαΐας λέγει, [n] Ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ [o] ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ' αὐτῷ ἔθνη [p] ἐλπιοῦσιν.

[n] εἰμί.
[o] ἵστημι.
[p] ἐλπίς.

13 Ὁ δὲ Θεὸς τῆς ἐλπίδος [q] πληρώσαι ὑμᾶς

[q] πλέος.

πάσης χαρᾶς καὶ εἰρήνης ἐν τῷ πιστεύειν, εἰς τὸ περισσεύειν ὑμᾶς ἐν τῇ ἐλπίδι, ἐν δυνάμει πνεύματος ἁγίου.

[r] πείθω.

14 [r] Πέπεισμαι δὲ ἀδελφοί μου, καὶ αὐτὸς ἐγὼ περὶ ὑμῶν, ὅτι καὶ αὐτοὶ μεστοί [u] ἐστε ἀγαθωσύνης, [q] πεπληρωμένοι πάσης γνώσεως, δυνάμενοι καὶ ἀλλήλους νουθετεῖν.

[s] τόλμα.
[t] μιμνήσκομαι.

15 [s] Τολμηρότερον δὲ [c] ἔγραψα ὑμῖν, ἀδελφοί, ἀπὸ μέρους, ὡς [t] ἐπαναμιμνήσκων ὑμᾶς διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ὑπὸ τοῦ Θεοῦ·

[u] ἔργον.
[x] δέχομαι.

16 Εἰς τὸ [n] εἶναί με λειτουργὸν Ἰησοῦ Χριστοῦ εἰς τὰ ἔθνη, [u] ἱερουργοῦντα τὸ εὐαγγέλιον τοῦ Θεοῦ ἵνα [i] γένηται ἡ προσφορὰ τῶν ἐθνῶν [x] εὐπρόσδεκτος, ἡγιασμένη ἐν πνεύματι ἁγίῳ.

17 Ἔχω οὖν καύχησιν ἐν Χριστῷ Ἰησοῦ τὰ πρὸς Θεόν.

18 Οὐ γὰρ τολμήσω λαλεῖν τι ὧν οὐ κατειργάσατο Χριστὸς δι' ἐμοῦ, εἰς ὑπακοὴν ἐθνῶν λόγῳ καὶ ἔργῳ.

19 Ἐν δυνάμει σημείων καὶ τεράτων, ἐν δυνάμει πνεύματος Θεοῦ· ὥστε με ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ, μέχρι τοῦ Ἰλλυρικοῦ, [q] πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ.

[y] τίω.
[z] ὄνομα.

20 Οὕτω δὲ [y] φιλοτιμούμενον εὐαγγελίζεσθαι, οὐχ ὅπου [z] ὠνομάσθη Χριστὸς, ἵνα μὴ ἐπ' ἀλλότριον θεμέλιον οἰκοδομῶ·

[a] γράφω.
[b] ἀγγέλλω.
[c] ὄπτομαι.
[d] ἀκούω.
[e] ἵω.

21 Ἀλλὰ, καθὼς [a] γέγραπται, Οἷς οὐκ [b] ἀνηγγέλη περὶ αὐτοῦ, [c] ὄψονται· καὶ οἳ οὐκ [d] ἀκηκόασι, [e] συνήσουσι.

[f] ἔρχομαι.

22 Διὸ καὶ ἐνεκοπτόμην τὰ πολλὰ τοῦ [f] ἐλθεῖν πρὸς ὑμᾶς.

23 Νυνὶ δὲ μηκέτι τόπον ἔχων ἐν τοῖς κλίμασι τούτοις, ἐπιποθίαν δὲ ἔχων τοῦ [i] ἐλθεῖν πρὸς ὑμᾶς ἀπὸ πολλῶν ἐτῶν,

[g] πείρω.
[h] πέμπω.
[i] πλέθω.

24 Ὡς ἐὰν [g] πορεύομαι εἰς τὴν Σπανίαν, [f] ἐλεύσομαι πρὸς ὑμᾶς· ἐλπίζω γὰρ [g] διαπορευόμενος θεάσασθαι ὑμᾶς, καὶ ὑφ' ὑμῶν [h] προπεμφθῆναι ἐκεῖ· ἐὰν ὑμῶν πρῶτον ἀπὸ μέρους [i] ἐμπλησθῶ.

25 Νυνὶ δὲ [g] πορεύομαι εἰς Ἱερουσαλὴμ, διακονῶν τοῖς ἁγίοις.

26 [k] Εὐδόκησαν γὰρ Μακεδονία καὶ Ἀχαΐα κοινωνίαν τινὰ [l] ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων τῶν ἐν Ἱερουσαλήμ.

[k] δοκέω.
[l] ποιέω.

27 [k] Εὐδόκησαν γὰρ, καὶ ὀφειλέται αὐτῶν [m] εἰσίν· εἰ γὰρ τοῖς πνευματικοῖς αὐτῶν [n] ἐκοινώνησαν τὰ ἔθνη, ὀφείλουσι καὶ ἐν τοῖς σαρκικοῖς [o] λειτουργῆσαι αὐτοῖς.

[m] εἰμί.
[n] κοινός.
[o] ἔργον.

28 Τοῦτο οὖν [p] ἐπιτελέσας, καὶ [q] σφραγισάμενος αὐτοῖς τὸν καρπὸν τοῦτον, [r] ἀπελεύσομαι δι' ὑμῶν εἰς τὴν Σπανίαν.

[p] τέλος.
[q] σφραγίς.
[r] ἔρχομαι.

29 [ſ] Οἶδα δὲ ὅτι ἐρχόμενος πρὸς ὑμᾶς, ἐν πληρώματι εὐλογίας τοῦ εὐαγγελίου τοῦ Χριστοῦ [ſ] ἐλεύσομαι.

[ſ] εἴδω.

30 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοὶ, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ διὰ τῆς ἀγάπης τοῦ Πνεύματος, [t] συναγωνίσασθαί μοι ἐν ταῖς προσευχαῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν Θεόν.

[t] ἀγών.

31 Ἵνα [u] ῥυσθῶ ἀπὸ τῶν [x] ἀπειθούντων ἐν τῇ Ἰουδαίᾳ, καὶ ἵνα ἡ διακονία μου ἡ εἰς Ἱερουσαλὴμ [y] εὐπρόσδεκτος * γένηται τοῖς ἁγίοις·

[u] ῥύω.
[x] πείθω.
[y] δέχομαι.

32 Ἵνα ἐν χαρᾷ [r] ἔλθω πρὸς ὑμᾶς διὰ θελήματος Θεοῦ, καὶ [z] συναναπαύσωμαι ὑμῖν.

[z] παύω.

33 Ὁ δὲ Θεὸς τῆς εἰρήνης μετὰ πάντων ὑμῶν. ἀμήν.

Κεφ. ις'. Cap. XVI.

Συνίστημι δὲ ὑμῖν Φοίβην τὴν ἀδελφὴν ἡμῶν, [a] οὖσαν διάκονον τῆς ἐκκλησίας τῆς ἐν Κεγχρεαῖς·

[a] εἰμί.

2 Ἵνα αὐτὴν [b] προσδέξησθε ἐν Κυρίῳ ἀξίως τῶν ἁγίων, καὶ [c] παραστῆτε αὐτῇ ἐν ᾧ ἂν ὑμῶν [d] χρῄζῃ πράγματι· καὶ γὰρ αὕτη προστάτις πολλῶν [e] ἐγενήθη, καὶ αὐτοῦ ἐμοῦ·

[b] δέχομαι.
[c] ἵστημι.
[d] χρή.
[e] γίνομαι.

3 [f] Ἀσπάσασθε Πρίσκιλλαν καὶ Ἀκύλαν, τοὺς συνεργούς μου ἐν Χριστῷ Ἰησοῦ.

[f] ἀσπάζομαι

4 (Οἵτινες ὑπὲρ τῆς ψυχῆς μου τὸν ἑαυτῶν τράχηλον [g] ὑπέθηκαν· οἷς οὐκ ἐγὼ μόνος εὐχαριστῶ, ἀλλὰ καὶ πᾶσαι αἱ ἐκκλησίαι τῶν ἐθνῶν)

[g] τίθημι.

5 Καὶ τὴν κατ' οἶκον αὐτῶν ἐκκλησίαν. Ἀσπάσασθε Ἐπαίνετον τὸν ἀγαπητόν μου, ὅς [a] ἐστιν ἀπαρχὴ τῆς Ἀχαΐας εἰς Χριστόν·

[i] κόπτω. 6 Ἀσπάσασθε Μαριάμ, ἥτις πολλὰ [i] ἐκοπίασεν εἰς ἡμᾶς.

7 Ἀσπάσασθε Ἀνδρόνικον καὶ Ἰουνίαν, τοὺς
[k] ἁλίσκω. συγγενεῖς μου καὶ [k] συναιχμαλώτους μου· οἵτινές [a] εἰσιν ἐπίσημοι ἐν τοῖς ἀποστόλοις, οἳ καὶ πρὸ ἐμοῦ [c] γεγόνασιν ἐν Χριστῷ.

8 Ἀσπάσασθε Ἀμπλίαν τὸν ἀγαπητόν μου ἐν Κυρίῳ.

9 Ἀσπάσασθε Οὐρβανὸν τὸν συνεργὸν ἡμῶν ἐν Χριστῷ, καὶ Στάχυν τὸν ἀγαπητόν μου.

10 Ἀσπάσασθε Ἀπελλῆν, τὸν δόκιμον ἐν Χριστῷ. Ἀσπάσασθε τοὺς ἐκ τῶν Ἀριστοβούλου.

11 Ἀσπάσασθε Ἡρωδίωνα τὸν συγγενῆ μου. Ἀσπάσασθε τοὺς ἐκ τῶν Ναρκίσσου, τοὺς [a] ὄντας ἐν Κυρίῳ.

12 Ἀσπάσασθε Τρύφαιναν καὶ Τρυφῶσαν[c], τὰς [i] κοπιώσας ἐν Κυρίῳ. Ἀσπάσασθε Περσίδα τὴν ἀγαπητήν, ἥτις πολλὰ [i] ἐκοπίασεν ἐν Κυρίῳ.

13 Ἀσπάσασθε Ῥοῦφον τὸν ἐκλεκτὸν ἐν Κυρίῳ, καὶ τὴν μητέρα αὐτοῦ καὶ ἐμοῦ.

14 Ἀσπάσασθε Ἀσύγκριτον, Φλέγοντα, Ἑρμᾶν, Πατρόβαν, Ἑρμῆν, καὶ τοὺς σὺν αὐτοῖς ἀδελφούς.

15 Ἀσπάσασθε Φιλόλογον καὶ Ἰουλίαν, Νηρέα καὶ τὴν ἀδελφὴν αὐτοῦ, καὶ Ὀλυμπᾶν, καὶ τοὺς σὺν αὐτοῖς πάντας ἁγίους.

16 Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. Ἀσπάσονται ὑμᾶς αἱ ἐκκλησίαι τοῦ Χριστοῦ.

17 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, σκοπεῖν τοὺς τὰς [c] διχοστασίας καὶ τὰ σκάνδαλα παρὰ τὴν
[l] μανθάνω. διδαχὴν ἣν ὑμεῖς [l] ἐμάθετε ποιοῦντας· καὶ ἐκκλίνατε ἀπ' αὐτῶν.

18 Οἱ γὰρ τοιοῦτοι τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ οὐ δουλεύουσιν, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ· καὶ διὰ
[m] λέγω. τῆς [m] χρηστολογίας καὶ εὐλογίας [n] ἐξαπατῶσι τὰς
[n] ἀπατάω. καρδίας τῶν ἀκάκων.

19 Ἡ γὰρ ὑμῶν ὑπακοὴ εἰς πάντας [o] ἀφίκετο. Χαίρω οὖν τὸ ἐφ' ὑμῖν· θέλω δὲ ὑμᾶς σοφοὺς μὲν εἶναι εἰς τὸ ἀγαθὸν, [p] ἀκεραίους δὲ εἰς τὸ κακόν.

20 Ὁ δὲ Θεὸς τῆς εἰρήνης [q] συντρίψει τὸν σατανᾶν ὑπὸ τοὺς [r] πόδας ὑμῶν ἐν τάχει· Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν· ἀμήν.

21 Ἀσπάζονται ὑμᾶς Τιμόθεος ὁ συνεργός μου καὶ Λούκιος, καὶ Ἰάσων καὶ Σωσίπατρος, οἱ συγγενεῖς μου.

22 Ἀσπάζομαι ὑμᾶς ἐγὼ Τέρτιος ὁ [s] γράψας τὴν ἐπιστολὴν, ἐν Κυρίῳ.

23 Ἀσπάζεται ὑμᾶς Ἔραστος ὁ οἰκονόμος τῆς πόλεως, καὶ Κούαρτος ὁ ἀδελφός.

24 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Ἀμήν.

25 Τῷ δὲ δυναμένῳ ὑμᾶς [t] στηρίξαι κατὰ τὸ εὐαγγέλιόν μου καὶ τὸ [u] κήρυγμα Ἰησοῦ Χριστοῦ, κατὰ ἀποκάλυψιν μυστηρίου χρόνοις αἰωνίοις [x] σεσιγημένου·

26 [y] Φανερωθέντος δὲ νῦν διά τε γραφῶν προφητικῶν, κατ' ἐπιταγὴν τοῦ αἰωνίου Θεοῦ, εἰς ὑπακοὴν πίστεως, εἰς πάντα τὰ ἔθνη [z] γνωρισθέντος·

27 Μόνῳ σοφῷ Θεῷ, διὰ Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Πρὸς Ῥωμαίους [a] ἐγράφη ἀπὸ Κορίνθου, διὰ Φοίβης τῆς διακόνου τῆς ἐν Κεγχρεαῖς ἐκκλησίας.

[o] ἱκνέομαι.

[p] κέρας.

[q] τρίβω.

[r] πούς.

[s] γράφω.

[t] στηρίζω.

[u] κήρυξ.

[x] σιγάω.

[y] φαίνω.

[z] γνωρίζω.

[a] γράφω.

ΠΑΥ-

60

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
Ἡ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ
ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ.

Κεφάλαιον α΄. Caput I.

ΠΑῦλος, κλητὸς ἀπόστολος Ἰησοῦ Χριστοῦ, διὰ θελήματος Θεοῦ, καὶ Σωσθένης ὁ ἀδελφὸς,

2 Τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ [a] οὔσῃ ἐν Κορίνθῳ, [b] ἡγιασμένοις ἐν Χριστῷ Ἰησοῦ, [c] κλητοῖς ἁγίοις, σὺν πᾶσι τοῖς [c] ἐπικαλουμένοις τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν παντὶ τόπῳ, αὐτῶν τε καὶ ἡμῶν.

3 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

4 Εὐχαριστῶ τῷ Θεῷ μου πάντοτε περὶ ὑμῶν, ἐπὶ τῇ χάριτι τοῦ Θεοῦ τῇ [d] δοθείσῃ ὑμῖν ἐν Χριστῷ Ἰησοῦ·

5 Ὅτι ἐν παντὶ [e] ἐπλουτίσθητε ἐν αὐτῷ, ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει.

6 Καθὼς τὸ μαρτύριον τοῦ Χριστοῦ [f] ἐβεβαιώθη ἐν ὑμῖν.

7 Ὥστε ὑμᾶς μὴ [g] ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι, [h] ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ·

8 Ὃς καὶ βεβαιώσει ὑμᾶς ἕως τέλους [c] ἀνεγκλήτους ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

9 Πιστὸς ὁ Θεὸς, δι᾽ οὗ [c] ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

10 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοὶ, διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα,

[a] εἰμί.
[b] ἅγιος.
[c] καλέω.
[d] δίδωμι.
[e] πλοῦτος.
[f] βέβαιος.
[g] ὕστερος.
[h] δέχομαι.

τα, [a] ἦτε δὲ [i] κατηρτισμένοι ἐν τῷ αὐτῷ νοῒ καὶ ἐν τῇ αὐτῇ γνώμῃ.

[i] ἄρτος.

11 [k] Ἐδηλώθη γάρ μοι περὶ ὑμῶν, ἀδελφοί μου, ὑπὸ τῶν Χλόης, ὅτι ἔριδες ἐν ὑμῖν [a] εἰσι.

[k] δῆλος.

12 Λέγω δὲ τοῦτο, ὅτι ἕκαστος ὑμῶν λέγει, Ἐγὼ μέν εἰμι Παύλου· ἐγὼ δὲ, Ἀπολλῶ· ἐγὼ δὲ, Κηφᾶ· ἐγὼ δὲ, Χριστοῦ.

13 [l] Μεμέρισται ὁ Χριστός; μὴ Παῦλος [m] ἐσταυρώθη ὑπὲρ ὑμῶν; ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε;

[l] μείρω.
[m] σταυρός.

14 Εὐχαριστῶ τῷ Θεῷ ὅτι οὐδένα ὑμῶν ἐβάπτισα, εἰ μὴ Κρίσπον καὶ Γάϊον·

15 Ἵνα μή τις εἴπῃ ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβάπτισα.

16 Ἐβάπτισα δὲ καὶ τὸν Στεφανᾶ οἶκον· λοιπὸν οὐκ [n] οἶδα εἴ τινα ἄλλον ἐβάπτισα.

[n] εἴδω.

17 Οὐ γὰρ [o] ἀπέστειλέ με Χριστὸς βαπτίζειν, ἀλλ' εὐαγγελίζεσθαι· οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ [p] κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ.

[o] στέλλω.
[p] κενός.

18 Ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ τοῖς μὲν [q] ἀπολλυμένοις μωρεία [a] ἐστὶ, τοῖς δὲ [r] σωζομένοις ἡμῖν δύναμις Θεοῦ [a] ἐστι.

[q] ὀλλύω.
[r] σόος.

19 [s] Γέγραπται γὰρ, [t] Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν [u] ἀθετήσω.

[s] γράφω.
[t] ὀλλύω.

20 Ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; οὐχὶ [x] ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου;

[u] τίθημι. //
[x] μωρός.

21 Ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ [y] ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν Θεὸν, [z] εὐδόκησεν ὁ Θεὸς διὰ τῆς μωρείας τοῦ κηρύγματος [*] σῶσαι τοὺς πιστεύοντας.

[y] γινώσκω.
[z] δοκέω.
[*] σόος.

22 Ἐπειδὴ καὶ Ἰουδαῖοι σημεῖον αἰτοῦσι, καὶ Ἕλληνες σοφίαν ζητοῦσιν·

23 Ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν [a] ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρείαν·

[a] σταυρός.

24 Αὐτοῖς δὲ τοῖς κλητοῖς Ἰουδαίοις τε καὶ Ἕλλησι Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν.

[b] εἰμί. 25 Ὅτι τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων [b] ἐστί· καὶ τὸ ἀσθενὲς τοῦ Θεοῦ, ἰσχυρότερον τῶν ἀνθρώπων [b] ἐστί.

26 Βλέπετε γὰρ τὴν κλῆσιν ὑμῶν, ἀδελφοί, ὅτι οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα, οὐ πολλοὶ δυνατοί, οὐ πολλοὶ εὐγενεῖς.

[c] λέγω. [d] αἶσχος. 27 Ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου [c] ἐξελέξατο ὁ Θεὸς ἵνα τοὺς σοφοὺς καταισχύνῃ, καὶ τὰ ἀσθενῆ τοῦ κόσμου [c] ἐξελέξατο ὁ Θεὸς ἵνα [d] καταισχύνῃ τὰ ἰσχυρά.

[e] γίνομαι. [f] εἷς. 28 Καὶ τὰ [e] ἀγενῆ τοῦ κόσμου καὶ τὰ [f] ἐξουθενημένα [c] ἐξελέξατο ὁ Θεὸς, καὶ τὰ μὴ [b] ὄντα, ἵνα τὰ [b] ὄντα καταργήσῃ·

[g] καυχάομαι. 29 Ὅπως μὴ [g] καυχήσεται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ.

30 Ἐξ αὐτοῦ δὲ ὑμεῖς [b] ἐστὲ ἐν Χριστῷ Ἰησοῦ, ὃς [e] ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις·

[h] γράφω. 31 Ἵνα, καθὼς [h] γέγραπται, Ὁ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω.

Κεφ. β'. Cap. II.

[a] ἔρχομαι. Κἀγὼ [a] ἐλθὼν πρὸς ὑμᾶς, ἀδελφοί, [a] ἦλθον οὐ καθ' ὑπεροχὴν λόγου ἢ σοφίας, καταγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ Θεοῦ.

[b] κρίνω. [c] σταυρός. 2 Οὐ γὰρ [b] ἔκρινα εἰδέναι τι ἐν ὑμῖν εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον [c] ἐσταυρωμένον.

[d] γίνομαι. 3 Καὶ ἐγὼ ἐν ἀσθενείᾳ, καὶ ἐν φόβῳ, καὶ ἐν τρόμῳ πολλῷ [d] ἐγενόμην πρὸς ὑμᾶς·

[e] δεικνύω. 4 Καὶ ὁ λόγος μου καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν [e] ἀποδείξει πνεύματος καὶ δυνάμεως·

5 Ἵνα ἡ πίστις ὑμῶν μὴ [h] ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυνάμει Θεοῦ.

[f] ἔργον. 6 Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις· σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου, οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν [f] καταργουμένων·

[g] κρύπτω. [i] ὅρος. 7 Ἀλλὰ λαλοῦμεν σοφίαν Θεοῦ ἐν μυστηρίῳ, τὴν [g] ἀποκεκρυμμένην, ἣν [i] προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν.

8 [d]

8 Ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου [k] ἔγνωκεν. εἰ γὰρ [k] ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν.

9 Ἀλλὰ καθὼς [l] γέγραπται, Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ [m] ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ [n] ἀνέβη, ἃ [o] ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.

10 Ἡμῖν δὲ ὁ Θεὸς [p] ἀπεκάλυψε διὰ τοῦ πνεύματος αὐτοῦ· τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ.

11 Τίς γὰρ [q] οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς [q] οἶδεν εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ.

12 Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου [r] ἐλάβομεν, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ· ἵνα [q] εἰδῶμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν.

13 Ἃ καὶ λαλοῦμεν, οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν διδακτοῖς πνεύματος ἁγίου· πνευματικοῖς πνευματικὰ συγκρίνοντες.

14 Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ Θεοῦ· μωρία γὰρ αὐτῷ [h] ἐστι, καὶ οὐ δύναται [k] γνῶναι, ὅτι πνευματικῶς ἀνακρίνεται.

15 Ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν πάντα, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται.

16 Τίς γὰρ [k] ἔγνω νοῦν Κυρίου, ὃς [n] συμβιβάσει αὐτόν; ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν.

Κεφ. γʹ. Cap. III.

Καὶ ἐγώ, ἀδελφοί, οὐκ [a] ἠδυνήθην [b] λαλῆσαι ὑμῖν ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκικοῖς, ὡς νηπίοις ἐν Χριστῷ.

2 Γάλα ὑμᾶς [c] ἐπότισα, καὶ οὐ βρῶμα· οὔπω γὰρ ἠδύνασθε· ἀλλ' οὔτε ἔτι νῦν [a] δύνασθε.

3 Ἔτι γὰρ σαρκικοί [d] ἐστε· ὅπου γὰρ ἐν ὑμῖν ζῆλος καὶ ἔρις καὶ διχοστασίαι, οὐχὶ σαρκικοί [d] ἐστε, καὶ κατὰ ἄνθρωπον περιπατεῖτε;

4 Ὅταν γὰρ λέγῃ τις, Ἐγὼ μέν εἰμι Παύλου,

[k] γινώσκω.
[l] γράφω.
[m] ἀκούω.
[n] βαίνω.
[o] ἕτοιμος.
[p] καλύπτω.
[q] εἴδω.
[r] λαμβάνω.
[a] δύναμαι.
[b] λαλέω.
[c] ποτίζω.
[d] εἰμί.

λου, ἕτερος δὲ, Ἐγὼ Ἀπολλὼ, οὐχὶ σαρκικοί
[d] ἐστε;

5 Τίς οὖν [d] ἐστι Παῦλος, τίς δὲ Ἀπολλὼς,
[e] πίστε. ἀλλ' ἢ διάκονοι δι' ὧν [e] ἐπιστεύσατε, καὶ ἑκάστῳ
[f] δίδωμι. ὡς ὁ Κύριος [f] ἔδωκεν.

[g] φυω. 6 Ἐγὼ [g] ἐφύτευσα, Ἀπολλὼς [c] ἐπότισεν·
[h] αὐξάνω. ἀλλ' ὁ Θεὸς [h] ηὔξανεν.

7 Ὥστε οὔτε ὁ φυτεύων [d] ἐστί τι, οὔτε ὁ ποτίζων,
ἀλλ' ὁ αὐξάνων Θεός.

8 Ὁ φυτεύων δὲ καὶ ὁ ποτίζων ἕν [d] εἰσιν· ἕκαστος
[i] λαμβάνω. δὲ τὸν ἴδιον μισθὸν [i] λήψεται κατὰ τὸν ἴδιον
κόπον.

9 Θεοῦ γάρ [d] ἐσμεν συνεργοί· Θεοῦ γεώργιον,
Θεοῦ οἰκοδομή [d] ἐστε.

10 Κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν [f] δοθεῖσάν
μοι, ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον [k] τέθεικα,
ἄλλος δὲ ἐποικοδομεῖ· ἕκαστος δὲ βλεπέτω
πῶς ἐποικοδομεῖ.

* τίθημι. 11 Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται * θεῖναι
παρὰ τὸν κείμενον, ὅς [d] ἐστιν Ἰησοῦς ὁ Χριστός.

12 Εἰ δέ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον,
χρυσὸν, ἄργυρον, λίθους τιμίους, ξύλα,
χόρτον, καλάμην·

[l] γίνομαι. 13 Ἑκάστου τὸ ἔργον φανερὸν [l] γενήσεται· ἡ
γὰρ ἡμέρα δηλώσει· ὅτι ἐν πυρὶ ἀποκαλύπτεται·
καὶ ἑκάστου τὸ ἔργον ὁποῖόν [d] ἐστι, τὸ πῦρ δοκιμάσει.

[m] δέμω. 14 Εἴ τινος τὸ ἔργον μένει ὃ [m] ἐπῳκοδόμησε,
μισθὸν [i] λήψεται·

[n] καίω. 15 Εἴ τινος τὸ ἔργον [n] κατακαήσεται, [o] ζη-
[o] ζημία. μιωθήσεται· αὐτὸς δὲ [p] σωθήσεται, οὕτως δὲ ὡς
[p] σόος. διὰ πυρός.

[q] εἴδω. 16 Οὐκ [q] οἴδατε ὅτι ναὸς Θεοῦ [d] ἐστε, καὶ τὸ
πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν;

17 Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον
ὁ Θεός· ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός [d] ἐστιν, οἵτινές
[d] ἐστε ὑμεῖς.

[t] ἀπατάω. 18 Μηδεὶς ἑαυτὸν [t] ἐξαπατάτω· εἴ τις δοκεῖ
σοφὸς

σοφὸς [d] εἶναι ἐν ὑμῖν ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς [l] γενέσθω, ἵνα [l] γένηται σοφός.

19 Ἡ γὰρ σοφία τοῦ κόσμου τούτου μωρία παρὰ τῷ Θεῷ [d] ἐστι· [s] γέγραπται γὰρ, Ὁ [t] δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν.

[s] γράφω.
[t] δράσσω.

20 Καὶ πάλιν, Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν σοφῶν ὅτι εἰσὶ μάταιοι.

21 Ὥστε μηδεὶς [u] καυχάσθω ἐν ἀνθρώποις· πάντα γὰρ ὑμῶν [d] ἐστιν·

[u] καυχάομαι.

22 Εἴτε Παῦλος, εἴτε Ἀπολλῶς, εἴτε Κηφᾶς· εἴτε κόσμος, εἴτε ζωὴ, εἴτε θάνατος, εἴτε [x] ἐνεστῶτα, εἴτε μέλλοντα· πάντα ὑμῶν [d] ἐστιν·

[x] ἵστημι.

23 Ὑμεῖς δὲ, Χριστοῦ· Χριστὸς δὲ, Θεοῦ.

Κεφ. δʹ. Cap. IV.

Οὕτως ἡμᾶς [a] λογιζέσθω ἄνθρωπος ὡς ὑπηρέτας Χριστοῦ, καὶ οἰκονόμους μυστηρίων Θεοῦ.

[a] λέγω.

2 Ὃ δὲ λοιπὸν, ζητεῖται ἐν τοῖς οἰκονόμοις ἵνα πιστός τις [b] εὑρεθῇ.

[b] εὑρίσκω.

3 Ἐμοὶ δὲ εἰς [c] ἐλάχιστόν [d] ἐστιν ἵνα ὑφ' ὑμῶν [e] ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας· ἀλλ' οὐδὲ ἐμαυτὸν ἀνακρίνω.

[c] ἐλαχύς.
[d] εἰμί.
[e] κρίνω.

4 Οὐδὲν γὰρ ἐμαυτῷ [f] σύνοιδα· ἀλλ' οὐκ ἐν τούτῳ [g] δεδικαίωμαι· ὁ δὲ ἀνακρίνων με, Κύριός ἐστιν.

[f] εἴδω.
[g] δ.κη.

5 Ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν [h] ἔλθῃ ὁ Κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν· καὶ τότε ὁ ἔπαινος [i] γενήσεται ἑκάστῳ ἀπὸ τοῦ Θεοῦ.

[h] ἔρχομαι.
[i] γίνομαι.

6 Ταῦτα δὲ, ἀδελφοὶ, [k] μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλῶ δι' ὑμᾶς· ἵνα ἐν ἡμῖν [l] μάθητε τὸ μὴ ὑπὲρ ὃ [m] γέγραπται φρονεῖν, ἵνα μὴ εἷς ὑπὲρ τοῦ ἑνὸς [n] φυσιοῦσθε κατὰ τοῦ ἑτέρου.

[k] ἔχω.
[l] μανθάνω.
[m] γράφω.
[n] φῦσα.

7 Τίς γάρ σε διακρίνει; τί δὲ ἔχεις ὃ οὐκ [o] ἔλαβες; εἰ δὲ καὶ [o] ἔλαβες, τί καυχᾶσαι ὡς μὴ [o] λαβών;

[o] λαμβάνω.

8 Ἤδη [p] κεκορεσμένοι [d] ἐστὲ, ἤδη [q] ἐπλουτήσατε,

[p] κορεννύω.
[q] πλοῦτος.

τήσατε, χωρὶς ἡμῶν ἐβασιλεύσατε· καὶ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν.

9 Δοκῶ γὰρ ὅτι ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους [r] ἀπέδειξεν ὡς [s] ἐπιθανατίους, ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ, καὶ ἀγγέλοις καὶ ἀνθρώποις.

[r] δεικνύω.
[s] θνήσκω.

10 Ἡμεῖς μωροὶ διὰ Χριστὸν, ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ· ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί· ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι.

11 Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν, καὶ [t] γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ [u] ἀστατοῦμεν.

[t] γυμνός.
[u] ἵστημι.

12 Καὶ κοπιῶμεν, ἐργαζόμενοι ταῖς ἰδίαις χερσί· λοιδορούμενοι, εὐλογοῦμεν· διωκόμενοι, ἀνεχόμεθα·

13 Βλασφημούμενοι, παρακαλοῦμεν· ὡς [x] περικαθάρματα τοῦ κόσμου [i] ἐγενήθημεν, πάντων [y] περίψημα ἕως ἄρτι.

[x] καθαίρω.
[y] ψάω.

14 Οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα, ἀλλ' ὡς τέκνα μου ἀγαπητὰ [z] νουθετῶ.

[z] τίθημι.

15 Ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ' οὐ πολλοὺς πατέρας· ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς * ἐγέννησα.

* γεννάω.

16 Παρακαλῶ οὖν ὑμᾶς, μιμηταί μου [i] γίνεσθε.

17 Διὰ τοῦτο [a] ἔπεμψα ὑμῖν Τιμόθεον, ὅς ἐστι τέκνον μου ἀγαπητὸν καὶ πιστὸν ἐν Κυρίῳ, ὃς ὑμᾶς [b] ἀναμνήσει τὰς ὁδούς μου τὰς ἐν Χριστῷ, καθὼς πανταχοῦ ἐν πάσῃ ἐκκλησίᾳ διδάσκω.

[a] πέμπω.
[b] μιμνήσκομαι.

18 Ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς, [c] ἐφυσιώθησάν τινες.

[c] φυσάω.

19 [d] Ἐλεύσομαι δὲ ταχέως πρὸς ὑμᾶς, ἐὰν ὁ Κύριος θελήσῃ, καὶ [e] γνώσομαι οὐ τὸν λόγον τῶν [f] πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν.

[d] ἔρχομαι.
[e] γινώσκω.
[f] φυσάω.

20 Οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ, ἀλλ' ἐν δυνάμει.

21 Τί θέλετε; ἐν ῥάβδῳ [d] ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ, πνεύματί τε πρᾳότητος;

Κεφ. έ. Cap. V.

Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται, ὥστε γυναῖκά τινα τοῦ πατρὸς ἔχειν.

2 Καὶ ὑμεῖς [a] πεφυσιωμένοι [d] ἐστὲ, καὶ οὐχὶ μᾶλλον [b] ἐπενθήσατε, ἵνα [c] ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας;

3 Ἐγὼ μὲν γὰρ ὡς [d] ἀπὼν τῷ σώματι, παρὼν δὲ τῷ πνεύματι, ἤδη [e] κέκρικα ὡς παρὼν τὸν οὕτω τοῦτο [f] κατεργασάμενον,

4 Ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ [g] συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος, σὺν τῇ δυνάμει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

5 [h] Παραδοῦναι τὸν τοιοῦτον τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα [i] σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ.

6 Οὐ καλὸν τὸ καύχημα ὑμῶν· οὐκ [k] οἴδατε ὅτι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ;

7 [l] Ἐκκαθάρατε οὖν τὴν παλαιὰν ζύμην, ἵνα [d] ἦτε νέον φύραμα, καθὼς [d] ἐστε ἄζυμοι· καὶ γὰρ τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν [m] ἐθύθη, Χριστός.

8 Ὥστε [n] ἑορτάζωμεν μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας.

9 [o] Ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ, μὴ [p] συναναμίγνυσθαι πόρνοις.

10 Καὶ οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου, ἢ τοῖς πλεονέκταις, ἢ ἅρπαξιν, ἢ εἰδωλολάτραις· ἐπεὶ ὀφείλετε ἄρα ἐκ τοῦ κόσμου [q] ἐξελθεῖν.

11 Νυνὶ δὲ [o] ἔγραψα ὑμῖν μὴ [p] συναναμίγνυσθαι, ἐάν τις ἀδελφὸς ὀνομαζόμενος, ἢ πόρνος, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ λοίδορος, ἢ μέθυσος, ἢ ἅρπαξ· τῷ τοιούτῳ μηδὲ [r] συνεσθίειν.

12 Τί γάρ μοι καὶ τοὺς ἔξω κρίνειν; οὐχὶ τοὺς ἔσω ὑμεῖς κρίνετε;

13 Τοὺς

[a] φυσιω.
[b] πένθος.
[c] αἴρω.
[d] εἰμί.
[e] κρίνω.
[f] ἔργον.
[g] ἄγω.
[h] δίδωμι.
[i] σόος.
[k] εἴδω.
[l] καθαίρω.
[m] θύω.
[n] ἑορτή.
[o] γράφω.
[p] μίγνυμι.
[q] ἔρχομαι.
[r] ἐσθίω.

13 Τοὺς δὲ ἔξω ὁ Θεὸς κρίνει· καὶ [c] ἐξαρεῖτε
τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν.

Κεφ. ϛʹ. Cap. VI.

ΤΟλμᾷ τις ὑμῶν, πρᾶγμα ἔχων πρὸς τὸν ἕτερον, κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ
ἐπὶ τῶν ἁγίων;

a εἴδω. 2 Οὐκ [a] οἴδατε ὅτι οἱ ἅγιοι τὸν κόσμον κρινοῦσι; καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος, ἀνάξιοί
b εἰμί. [b] ἐστε κριτηρίων [c] ἐλαχίστων;
c λαχύς. 3 Οὐκ [a] οἴδατε ὅτι ἀγγέλους κρινοῦμεν, μήτιγε βιωτικά;

4 Βιωτικὰ μὲν οὖν κριτήρια ἐὰν ἔχητε, τοὺς
d εἰς. [d] ἐξουθενημένους ἐν τῇ ἐκκλησίᾳ, τούτους [e] καθίζετε.
e ἕζω.

5 Πρὸς ἐντροπὴν ὑμῖν λέγω· οὕτως οὐκ [b] ἔστιν
f δύναμαι. ἐν ὑμῖν σοφὸς οὐδὲ εἷς, ὃς [f] δυνήσεται διακρῖναι ἀνὰ μέσον τοῦ ἀδελφοῦ αὐτοῦ;

6 Ἀλλὰ ἀδελφὸς μετὰ ἀδελφοῦ κρίνεται, καὶ
g πιστός. τοῦτο ἐπὶ [g] ἀπίστων;
h ἥσσων. 7 Ἤδη μὲν οὖν ὅλως [h] ἥττημα ἐν ὑμῖν [b] ἐστιν, ὅτι κρίματα ἔχετε μεθ' ἑαυτῶν· διὰ τί οὐχὶ μᾶλ-
i στερέω. λον ἀδικεῖσθε; διὰ τί οὐχὶ μᾶλλον [i] ἀποστερεῖσθε;

8 Ἀλλὰ ὑμεῖς ἀδικεῖτε καὶ [i] ἀποστερεῖτε, καὶ ταῦτα, ἀδελφούς.

9 Ἢ οὐκ [a] οἴδατε ὅτι ἄδικοι βασιλείαν Θεοῦ
k νέμω. οὐ [k] κληρονομήσουσι; μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοὶ, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται,

10 Οὔτε κλέπται, οὔτε πλεονέκται, οὔτε μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ οὐ [k] κληρονομήσουσι.

l λούω. 11 Καὶ ταῦτά τινες [b] ἦτε· ἀλλὰ [l] ἀπελού-
m ἅγιος. σασθε, ἀλλὰ [m] ἡγιάσθητε, ἀλλ' [n] ἐδικαιώθητε
n δίκη. ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ, καὶ ἐν τῷ πνεύματι τοῦ Θεοῦ ἡμῶν.

12 Πάντα μοι [b] ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· πάντα μοι [b] ἔξεστιν, ἀλλ' οὐκ ἐγὼ [b] ἐξουσιασθήσομαι ὑπό τινος.

13 Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν· Ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα [o] καταργήσει· τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ Κυρίῳ, καὶ ὁ Κύριος τῷ σώματι.

[o] ἔργον.

14 Ὁ δὲ Θεὸς καὶ τὸν Κύριον [p] ἤγειρε, καὶ ἡμᾶς ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ.

[p] ἐγείρω.

15 Οὐκ [a] οἴδατε ὅτι τὰ σώματα ὑμῶν, μέλη Χριστοῦ [b] ἐστιν; [q] ἄρας οὖν τὰ μέλη τοῦ Χριστοῦ, ποιήσω πόρνης μέλη; μὴ [r] γένοιτο.

[q] αἴρω.
[r] γίνομαι.

16 Ἢ οὐκ [a] οἴδατε ὅτι ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμά [b] ἐστιν; Ἔσονται γάρ, [s] φησὶν, οἱ δύο εἰς σάρκα μίαν.

[s] φάω.

17 Ὁ δὲ κολλώμενος τῷ Κυρίῳ, ἓν πνεῦμά [b] ἐστι.

18 Φεύγετε τὴν πορνείαν· πᾶν ἁμάρτημα ἐὰν ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός [b] ἐστιν· ὁ δὲ πορνεύων, εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει.

19 Ἢ οὐκ [a] οἴδατε ὅτι τὸ σῶμα ὑμῶν, ναὸς τοῦ ἐν ὑμῖν ἁγίου πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ Θεοῦ, καὶ οὐκ [b] ἐστὲ ἑαυτῶν;

20 [t] Ἠγοράσθητε γὰρ τιμῆς· [u] δοξάσατε δὴ τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν, καὶ ἐν τῷ πνεύματι ὑμῶν· ἅτινά [b] ἐστι τοῦ Θεοῦ.

[t] ἀγοράζω.
[u] δοξάζω.

Κεφ. ζ'. Cap. VII.

Περὶ δὲ ὧν [a] ἐγράψατέ μοι, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ [b] ἅπτεσθαι.

[a] γράφω.
[b] ἅπτω.

2 Διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω.

3 Τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην [c] εὔνοιαν [d] ἀποδιδότω· ὁμοίως δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί.

[c] εὔνοος.
[d] δίδωμι.

4 Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνὴρ ὁμοίως δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ [e] ἐξουσιάζει, ἀλλ' ἡ γυνή.

[e] εἰμί.

5 Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρὸν, ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ· καὶ πάλιν ἐπὶ τὸ αὐτὸ [f] συνέρχεσθε,

[f] ἔρχομαι.

[f] Συνέρχησθε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν.

6 Τοῦτο δὲ λέγω κατὰ συγγνώμην, οὐ κατ' ἐπιταγήν.

7 Θέλω γὰρ πάντας ἀνθρώπους [c] εἶναι ὡς καὶ ἐμαυτόν· ἀλλὰ ἕκαστος ἴδιον χάρισμα ἔχει ἐκ Θεοῦ, ὃς μὲν οὕτως, ὃς δὲ οὕτως.

[g] μένω.
[h] καὶ ἐγώ.

8 Λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν αὐτοῖς [c] ἐστιν ἐὰν [g] μείνωσιν ὡς [h] κἀγώ.

[i] κράτος.
[k] γάμος.

9 Εἰ δὲ οὐκ [i] ἐγκρατεύονται, [k] γαμησάτωσαν· κρεῖσσον γάρ [c] ἐστι [k] γαμῆσαι ἢ πυροῦσθαι.

[l] γυνή.
[m] χῶρος.

10 Τοῖς δὲ [k] γεγαμηκόσι παραγγέλλω, οὐκ ἐγὼ, ἀλλ' ὁ Κύριος, [l] γυναῖκα ἀπὸ ἀνδρὸς μὴ [m] χωρισθῆναι.

[n] ἀλλάσσω.
[o] ἕω.

11 Ἐὰν δὲ καὶ [m] χωρισθῇ, [g] μενέτω ἄγαμος, ἢ τῷ ἀνδρὶ [n] καταλλαγήτω· καὶ ἄνδρα γυναῖκα μὴ [o] ἀφιέναι.

12 Τοῖς δὲ λοιποῖς ἐγὼ λέγω, οὐκ ὁ Κύριος, Εἴ τις ἀδελφὸς γυναῖκα ἔχει ἄπιστον, καὶ αὐτὴ συνευδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ [o] ἀφιέτω αὐτήν.

13 Καὶ γυνὴ ἥτις ἔχει ἄνδρα ἄπιστον, καὶ αὐτὸς συνευδοκεῖ οἰκεῖν μετ' αὐτῆς, μὴ [o] ἀφιέτω αὐτόν.

[p] ἅγιος.

14 [p] Ἡγίασται γὰρ ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικὶ, καὶ [p] ἡγίασται ἡ γυνὴ ἡ ἄπιστος ἐν τῷ ἀνδρί· ἐπεὶ ἄρα τὰ τέκνα ὑμῶν ἀκάθαρτά ἐστι· νῦν δὲ ἅγιά [c] ἐστιν.

[q] χῶρος.
[r] δοῦλος.
[s] καλέω.

15 Εἰ δὲ ὁ ἄπιστος [q] χωρίζεται, [q] χωριζέσθω· οὐ [r] δεδούλωται ὁ ἀδελφὸς ἢ ἡ ἀδελφὴ ἐν τοῖς τοιούτοις· ἐν δὲ εἰρήνῃ [s] κέκληκεν ἡμᾶς ὁ Θεός.

[t] εἴδω.
[u] σόος.

16 Τί γὰρ [t] οἶδας γύναι, εἰ τὸν ἄνδρα σώσεις; ἢ τί [t] οἶδας ἄνερ εἰ τὴν γυναῖκα [u] σώσεις;

[x] μείρω.

17 Εἰ μὴ ἑκάστῳ ὡς [x] ἐμέρισεν ὁ Θεὸς, ἕκαστον ὡς [s] κέκληκεν ὁ Κύριος, οὕτω περιπατείτω· καὶ οὕτως ἐν ταῖς ἐκκλησίαις πάσαις διατάσσομαι.

18 [z] Περι-

18 [z] Περιτετμημένος τις [y] ἐκλήθη; μὴ [a] ἐπισπάσθω· ἐν ἀκροβυστίᾳ τις [y] ἐκλήθη; μὴ περιτεμνέσθω.

19 Ἡ περιτομὴ οὐδέν [b] ἐστι, καὶ ἡ ἀκροβυστία οὐδέν [b] ἐστιν, ἀλλὰ τήρησις ἐντολῶν Θεοῦ.

20 Ἕκαστος ἐν τῇ κλήσει ᾗ [c] ἐκλήθη, ἐν ταύτῃ [d] μενέτω.

21 Δοῦλος [c] ἐκλήθης; μή σοι μελέτω· ἀλλ' εἰ καὶ δύνασαι ἐλεύθερος [e] γενέσθαι, μᾶλλον [f] χρῆσαι.

22 Ὁ γὰρ ἐν Κυρίῳ, [c] κληθεὶς δοῦλος, ἀπελεύθερος Κυρίου [b] ἐστίν. ὁμοίως καὶ ὁ ἐλεύθερος κληθεὶς, δοῦλός [b] ἐστι Χριστοῦ.

23 Τιμῆς [g] ἠγοράσθητε, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων.

24 Ἕκαστος ἐν ᾧ [c] ἐκλήθη, ἀδελφοὶ, ἐν τούτῳ [d] μενέτω παρὰ τῷ Θεῷ.

25 Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω· γνώμην δὲ δίδωμι ὡς [h] ἠλεημένος ὑπὸ Κυρίου πιστὸς [b] εἶναι.

26 Νομίζω οὖν τοῦτο καλὸν ὑπάρχειν διὰ τὴν [i] ἐνεστῶσαν ἀνάγκην, ὅτι καλὸν ἀνθρώπῳ τὸ οὕτως [b] εἶναι.

27 [k] Δέδεσαι γυναικί; μὴ ζήτει [l] λύσιν· [l] λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα.

28 Ἐὰν δὲ καὶ [m] γήμῃς, οὐχ [n] ἥμαρτες· καὶ ἐὰν [m] γήμῃ ἡ παρθένος, οὐχ [n] ἥμαρτε· θλῖψιν δὲ τῇ σαρκὶ [o] ἕξουσιν οἱ τοιοῦτοι· ἐγὼ δὲ ὑμῶν φείδομαι.

29 Τοῦτο δέ φημι, ἀδελφοὶ, ὅτι ὁ καιρὸς [p] συνεσταλμένος τὸ λοιπόν [b] ἐστιν· ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες [b] ὦσι·

30 Καὶ οἱ κλαίοντες, ὡς μὴ κλαίοντες· καὶ οἱ χαίροντες, ὡς μὴ χαίροντες· καὶ οἱ ἀγοράζοντες, ὡς μὴ κατέχοντες·

31 Καὶ οἱ [f] χρώμενοι τῷ κόσμῳ τούτῳ, ὡς μὴ καταχρώμενοι· παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου.

32 Θέλω δὲ ὑμᾶς [q] ἀμερίμνους [b] εἶναι· ὁ ἀγα-

[z] τέμνω.
[a] σπάω.
[b] εἰμί.
[c] καλέω.
[d] μένω.
[e] γίνομαι.
[f] χράω.
[g] ἀγοράζω.
[h] ἔλεος.
[i] ἵστημι.
[k] δέω.
[l] λύω.
[m] γάμος.
[n] ἁμαρτάνω.
[o] ἔχω.
[p] στέλλω.
[q] μέριμνα.

[q] μέριμνα.
[r] ἀρέσκω.

μος [q] μεριμνᾷ τὰ τοῦ Κυρίου, πῶς [r] ἀρέσει τῷ Κυρίῳ.

33 Ὁ δὲ [m] γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς [r] ἀρέσει τῇ γυναικί.

[s] μερίζω.

34 [s] Μεμέρισται ἡ γυνὴ καὶ ἡ παρθένος· ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, ἵνα [b] ᾖ ἁγία καὶ σώματι καὶ πνεύματι· ἡ δὲ [m] γαμήσασα μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς [r] ἀρέσει τῷ ἀνδρί.

[t] ἕζω.

35 Τοῦτο δὲ πρὸς τὸ ὑμῶν αὐτῶν συμφέρον λέγω· οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω, ἀλλὰ πρὸς τὸ [o] εὔσχημον καὶ [t] εὐπρόσεδρον τῷ Κυρίῳ [z] ἀπερισπάστως.

36 Εἰ δέ τις ἀσχημονεῖν ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει, ἐὰν [b] ᾖ ὑπέρακμος, καὶ οὕτως ὀφείλει [c] γίνεσθαι· ὃ θέλει ποιείτω, οὐχ ἁμαρτάνει· [m] γαμείτωσαν.

[u] κρίνω.

37 Ὃς δὲ [i] ἕστηκεν ἑδραῖος ἐν τῇ καρδίᾳ, μὴ ἔχων ἀνάγκην, ἐξουσίαν δὲ ἔχει περὶ τοῦ ἰδίου θελήματος, καὶ τοῦτο [u] κέκρικεν ἐν τῇ καρδίᾳ αὐτοῦ τοῦ τηρεῖν τὴν ἑαυτοῦ παρθένον, καλῶς ποιεῖ.

38 Ὥστε καὶ ὁ ἐκγαμίζων, καλῶς ποιεῖ· ὁ δὲ μὴ ἐκγαμίζων, κρεῖσσον ποιεῖ.

[x] ζάω.
[y] κοιμάω.

39 Γυνὴ [k] δέδεται νόμῳ, ἐφ᾽ ὅσον χρόνον [x] ζῇ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ [y] κοιμηθῇ ὁ ἀνὴρ αὐτῆς, ἐλευθέρα ἐστὶν ᾧ θέλει [m] γαμηθῆναι· μόνον ἐν Κυρίῳ.

[z] μάκαρ.
[a] καὶ ἐγώ.

40 [z] Μακαριωτέρα δέ ἐστιν ἐὰν οὕτω [d] μείνῃ, κατὰ τὴν ἐμὴν γνώμην· δοκῶ δὲ [a] κἀγὼ πνεῦμα Θεοῦ ἔχειν.

Κεφ. η΄. Cap. VIII.

[a] εἴδω.
[b] δέμω.

ΠΕρὶ δὲ τῶν εἰδωλοθύτων, [a] οἴδαμεν ὅτι πάντες γνῶσιν ἔχομεν· ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη [b] οἰκοδομεῖ.

[c] γινώσκω.

2 Εἰ δέ τις δοκεῖ εἰδέναι τι, οὐδέπω οὐδὲν [c] ἔγνωκε καθὼς δεῖ [c] γνῶναι.

3 Εἰ δέ τις ἀγαπᾷ τὸν Θεόν, οὗτος [c] ἔγνωσται ὑπ᾽ αὐτοῦ.

4 Περὶ τῆς βρώσεως οὖν τῶν εἰδωλοθύτων, [a] οἴδαμεν

[a] οἴδαμεν ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ, καὶ ὅτι οὐδεὶς Θεὸς ἕτερος εἰ μὴ εἷς.

5 Καὶ γὰρ εἴπερ [d] εἰσὶ λεγόμενοι θεοὶ εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ τῆς γῆς (ὥσπερ [d] εἰσὶ θεοὶ πολλοὶ, καὶ κύριοι πολλοὶ)

[d] εἰμί.

6 Ἀλλ᾽ ἡμῖν εἷς Θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι᾽ οὗ τὰ πάντα, καὶ ἡμεῖς δι᾽ αὐτοῦ.

7 Ἀλλ᾽ οὐκ ἐν πᾶσιν ἡ γνῶσις· τινὲς δὲ τῇ συνειδήσει τοῦ εἰδώλου ἕως ἄρτι, ὡς εἰδωλόθυτον ἐσθίουσι, καὶ ἡ συνείδησις αὐτῶν ἀσθενὴς [d] οὖσα μολύνεται.

8 Βρῶμα δὲ ἡμᾶς οὐ [e] παρίστησι τῷ Θεῷ· οὔτε γὰρ ἐὰν φάγωμεν, περισσεύομεν· οὔτε ἐὰν μὴ φάγωμεν, [f] ὑστερούμεθα.

[e] ἵστημι.

[f] ὕστερος.

9 Βλέπετε δὲ μήπως ἡ ἐξουσία ὑμῶν αὕτη πρόσκομμα [g] γένηται τοῖς ἀσθενοῦσιν.

[g] γίνομαι.

10 Ἐὰν γάρ τις [a] ἴδῃ σε τὸν ἔχοντα γνῶσιν, ἐν εἰδωλείῳ κατακείμενον, οὐχὶ ἡ συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος [b] οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν;

11 Καὶ [h] ἀπολεῖται ὁ ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ σῇ γνώσει, δι᾽ ὃν Χριστὸς [i] ἀπέθανεν;

[h] ὀλύω.

[i] θνήσκω.

12 Οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε.

13 Διόπερ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω.

Κεφ. θʹ. Cap. IX.

Οὐκ εἰμὶ ἀπόστολος; οὐκ εἰμὶ ἐλεύθερος; οὐχὶ Ἰησοῦν Χριστὸν τὸν Κύριον ἡμῶν [a] ἑώρακα; οὐ τὸ ἔργον μου ὑμεῖς [c] ἐστε ἐν Κυρίῳ;

[a] ὁράω.

[b] εἰμί.

2 Εἰ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμι· ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς [b] ἐστε ἐν Κυρίῳ.

3 Ἡ ἐμὴ ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσιν, αὕτη [b] ἐστί.

4 Μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ [c] πιεῖν;

[c] πίνω.

5 Μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν, ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι, καὶ οἱ ἀδελφοὶ τοῦ Κυρίου, καὶ Κηφᾶς;

6 Ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι;

7 Τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ; τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει; ἢ τίς ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ [d] γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει;

[d] γάλα.

8 Μὴ κατὰ ἄνθρωπον ταῦτα λαλῶ; ἢ οὐχὶ καὶ ὁ νόμος ταῦτα λέγει;

9 Ἐν γὰρ τῷ Μωσέως νόμῳ [e] γέγραπται, Οὐ φιμώσεις βοῦν ἀλοῶντα. Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ;

[e] γράφω.

10 Ἢ δι᾽ ἡμᾶς πάντως λέγει; δι᾽ ἡμᾶς γὰρ [e] ἐγράφη ὅτι ἐπ᾽ ἐλπίδι ὀφείλει ὁ ἀροτριῶν ἀροτριᾷν· καὶ ὁ ἀλοῶν, τῆς ἐλπίδος αὐτοῦ μετέχειν, ἐπ᾽ ἐλπίδι.

11 Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ [f] ἐσπείραμεν, μέγα εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν;

[f] σπείρω.

12 Εἰ ἄλλοι τῆς ἐξουσίας ὑμῶν μετέχουσιν, οὐ μᾶλλον ἡμεῖς; ἀλλ᾽ οὐκ [g] ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ· ἀλλὰ πάντα στέγομεν, ἵνα μὴ ἐγκοπήν τινα [h] δῶμεν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ.

[g] χράω.
[h] δίδωμι.

13 Οὐκ [i] οἴδατε ὅτι οἱ τὰ ἱερὰ ἐργαζόμενοι, ἐκ τοῦ ἱεροῦ ἐσθίουσιν; οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες, τῷ θυσιαστηρίῳ [k] συμμερίζονται;

[i] εἴδω.
[k] μερίζω.

14 Οὕτω καὶ ὁ Κύριος [l] διέταξε τοῖς τὸ εὐαγγέλιον καταγγέλλουσιν, ἐκ τοῦ εὐαγγελίου [m] ζῆν.

[l] τάσσω.
[m] ζάω.

15 Ἐγὼ δὲ οὐδενὶ [g] ἐχρησάμην τούτων. Οὐκ [n] ἔγραψα δὲ ταῦτα ἵνα οὕτω [o] γένηται ἐν ἐμοί· καλὸν γάρ μοι μᾶλλον [p] ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ.

[n] γράφω.
[o] γίνομαι.
[p] θνήσκω.

16 Ἐὰν γὰρ εὐαγγελίζωμαι, οὐκ [q] ἔστι μοι καύχημα· ἀνάγκη γάρ μοι ἐπίκειται· οὐαὶ δέ μοι [q] ἐστὶν, ἐὰν μὴ εὐαγγελίζωμαι.

[q] εἰμί.

17 Εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονομίαν [r] πεπίστευμαι.

[r] πίστις.

18 Τίς οὖν μοι [q] ἐστὶν ὁ μισθός, ἵνα εὐαγγελιζόμενος ἀδάπανον [s] θήσω τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, εἰς τὸ μὴ [g] καταχρήσασθαι τῇ ἐξουσίᾳ μου ἐν τῷ εὐαγγελίῳ.

[s] τίθημι.

19 Ἐλεύθερος γὰρ [q] ὢν ἐκ πάντων, πᾶσιν ἐμαυτὸν [t] ἐδούλωσα, ἵνα τοὺς πλείονας [u] κερδήσω.

[t] δοῦλος.
[u] κέρδος.

20 Καὶ [o] ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω. τοῖς ὑπὸ νόμον, ὡς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσω.

21 Τοῖς ἀνόμοις ὡς ἄνομος (μὴ ὢν ἄνομος Θεῷ, ἀλλ' ἔννομος Χριστῷ) ἵνα κερδήσω ἀνόμους.

22 [o] Ἐγενόμην τοῖς ἀσθενέσιν ὡς ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς κερδήσω· τοῖς πᾶσι [o] γέγονα τὰ πάντα, ἵνα πάντως τινὰς σώσω.

23 Τοῦτο δὲ ποιῶ διὰ τὸ εὐαγγέλιον, ἵνα συγκοινωνὸς αὐτοῦ [o] γένωμαι.

24 Οὐκ [i] οἴδατε ὅτι οἱ ἐν σταδίῳ τρέχοντες, πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον; οὕτω τρέχετε ἵνα [x] καταλάβητε.

[x] λαμβάνω.

25 Πᾶς δὲ ὁ ἀγωνιζόμενος πάντα [y] ἐγκρατεύεται· ἐκεῖνοι μὲν οὖν ἵνα φθαρτὸν στέφανον [x] λάβωσιν, ἡμεῖς δὲ ἄφθαρτον.

[y] κράτος.

26 Ἐγὼ τοίνυν οὕτω τρέχω, ὡς οὐκ ἀδήλως· οὕτω πυκτεύω ὡς οὐκ ἀέρα δέρων.

27 Ἀλλ' [z] ὑπωπιάζω μου τὸ σῶμα καὶ [a] δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος [b] γένωμαι.

[z] ὤψ.
[a] ἄγω.
[b] γίνομαι.

Κεφ. ι. Cap. X.

ΟΥ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην [a] ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης [b] διῆλθον·

[a] εἰμί.
[b] ἔρχομαι.

2 Καὶ πάντες εἰς τὸν Μωσῆν ἐβαπτίσαντο ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ·

3 Καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν [c] ἔφαγον.

[c] φάγω.

4 Καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν

[d] πίνω. [d] ἔπιον· ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης
πέτρας· ἡ δὲ πέτρα [a] ἦν ὁ Χριστός.
5 Ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν
[e] στορέω. ὁ Θεός· [e] κατεστρώθησαν γὰρ ἐν τῇ ἐρήμῳ.
[f] γίνομαι. 6 Ταῦτα δὲ τύποι ἡμῶν [f] ἐγενήθησαν εἰς τὸ
[g] θυμός. μὴ [a] εἶναι ἡμᾶς [g] ἐπιθυμητὰς κακῶν καθὼς κἀ-
κεῖνοι [g] ἐπεθύμησαν.
7 Μηδὲ εἰδωλολάτραι γίνεσθε, καθώς τινες
[h] γράφω. αὐτῶν· ὡς [h] γέγραπται, [i] Ἐκάθισεν ὁ λαὸς φα-
[i] ἕζω. γεῖν καὶ [d] πιεῖν, καὶ [k] ἀνέστησαν παίζειν.
[k] ἵστημι. 8 Μηδὲ πορνεύωμεν, καθώς τινες αὐτῶν ἐ-
[l] πίπτω. πόρνευσαν, καὶ [l] ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσι τρεῖς
χιλιάδες.
9 Μηδὲ ἐκπειράζωμεν τὸν Χριστόν, καθὼς
καί τινες αὐτῶν ἐπείρασαν, καὶ ὑπὸ τῶν ὄφεων
[m] ἀπόλοντο.
10 Μηδὲ γογγύζετε, καθὼς καί τινες αὐτῶν
[m] ὀλλύω. ἐγόγγυσαν, καὶ [m] ἀπόλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ.
11 Ταῦτα δὲ πάντα τύποι συνέβαινον ἐκεί-
νοις· ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ
[*] ἄντω. τέλη τῶν αἰώνων * κατήντησεν.
12 Ὥστε ὁ δοκῶν [k] ἑστάναι, βλεπέτω μὴ
[l] πέσῃ.
[n] λαμβάνω. 13 Πειρασμὸς ὑμᾶς οὐκ [n] εἴληφεν εἰ μὴ ἀν-
θρώπινος· πιστὸς δὲ ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς
[o] πειράω. [o] πειρασθῆναι ὑπὲρ ὃ [p] δύνασθε, ἀλλὰ ποιήσει
[p] δύναμαι. σὺν τῷ πειρασμῷ καὶ ἔκβασιν, τοῦ δύνασθαι ὑ-
[q] φέρω. μᾶς [q] ὑπενεγκεῖν.
14 Διόπερ ἀγαπητοί μου φεύγετε ἀπὸ τῆς εἰ-
δωλολατρείας·
15 Ὡς φρονίμοις λέγω· κρίνατε ὑμεῖς ὅ
φημι.
16 Τὸ ποτήριον τῆς εὐλογίας ὃ εὐλογοῦμεν, οὐ-
χὶ κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ ἐστι; τὸν ἄρ-
[r] κλάω. τον ὃν [r] κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ
Χριστοῦ [a] ἐστιν;
17 Ὅτι εἷς ἄρτος, ἓν σῶμα οἱ πολλοί [a] ἐσ-
μεν· οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν.
18 Βλέπετε τὸν Ἰσραὴλ κατὰ σάρκα· οὐχὶ οἱ

ἐσθίοντες τὰς θυσίας, κοινωνοὶ τοῦ θυσιαστηρίου [a] εἰσί.

19 Τί οὖν φημι; ὅτι εἴδωλον, τί [a] ἐστιν, ἢ ὅτι εἰδωλόθυτον, τί [a] ἐστιν;

20 Ἀλλ᾽ ὅτι ἃ θύει τὰ ἔθνη, δαιμονίοις θύει, καὶ οὐ Θεῷ· οὐ θέλω δὲ ὑμᾶς κοινωνοὺς τῶν δαιμονίων [f] γίνεσθαι.

21 Οὐ δύνασθε ποτήριον Κυρίου πίνειν καὶ ποτήριον δαιμονίων· οὐ δύνασθε τραπέζης Κυρίου μετέχειν καὶ τραπέζης δαιμονίων.

22 Ἢ παραζηλοῦμεν τὸν Κύριον; μὴ ἰσχυρότεροι αὐτοῦ [a] ἐσμέν;

23 Πάντα μοι [a] ἔξεστιν, ἀλλ᾽ οὐ πάντα συμφέρει· πάντα μοι [a] ἔξεστιν, ἀλλ᾽ οὐ πάντα οἰκοδομεῖ.

24 Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ ἑτέρου ἕκαστος.

25 Πᾶν τὸ ἐν μακέλλῳ πωλούμενον ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν.

26 Τοῦ γὰρ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς.

27 Εἰ δέ τις καλεῖ ὑμᾶς τῶν ἀπίστων, καὶ θέλετε [f] πορεύεσθαι, πᾶν τὸ [t] παρατιθέμενον ὑμῖν ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν.

[f] πορεύω.
[t] τίθημι.

28 Ἐὰν δέ τις ὑμῖν εἴπῃ, Τοῦτο εἰδωλόθυτόν ἐστι, μὴ ἐσθίετε, δι᾽ ἐκεῖνον τὸν μηνύσαντα, καὶ τὴν συνείδησιν· τοῦ γὰρ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς.

29 Συνείδησιν δὲ λέγω, οὐχὶ τὴν ἑαυτοῦ, ἀλλὰ τὴν τοῦ ἑτέρου· ἵνα τί γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως;

30 Εἰ δὲ ἐγὼ χάριτι μετέχω, τί βλασφημοῦμαι ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ;

31 Εἴτε οὖν ἐσθίετε, εἴτε πίνετε, εἴτέ τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε.

32 Ἀπρόσκοποι [f] γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ.

33 Καθὼς [u] κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα [x] σωθῶσι.

[u] καὶ ἐγώ.
[x] σόος.

Κεφ. ιά. Cap. XI.

[a] μιμέομαι.
[b] γίνομαι.
[*] καὶ ἐγώ.
[c] μιμνήσκομαι.
[d] δίδωμι.
[e] εἰμί.

[a] Μιμηταί μου [b] γίνεσθε, καθὼς * κἀγὼ Χριστοῦ.

2 Ἐπαινῶ δὲ ὑμᾶς, ἀδελφοὶ, ὅτι πάντα μου [c] μέμνησθε, καὶ καθὼς [d] παρέδωκα ὑμῖν τὰς παραδόσεις κατέχετε.

3 Θέλω δὲ ὑμᾶς εἰδέναι ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός [e] ἐστι· κεφαλὴ δὲ γυναικὸς, ὁ ἀνήρ· κεφαλὴ δὲ Χριστοῦ, ὁ Θεός.

4 Πᾶς ἀνὴρ προσευχόμενος ἢ προφητεύων, κατὰ κεφαλῆς ἔχων, καταισχύνει τὴν κεφαλὴν αὐτοῦ.

5 Πᾶσα δὲ γυνὴ προσευχομένη ἢ προφητεύουσα ἀκατακαλύπτῳ τῇ κεφαλῇ, καταισχύνει τὴν κεφαλὴν ἑαυτῆς· ἓν γάρ [e] ἐστι καὶ τὸ αὐτὸ τῇ [f] ἐξυρημένη.

[f] ξύω.
[g] κείρω.
[h] καλύπτω.

6 Εἰ γὰρ οὐ κατακαλύπτεται γυνὴ, καὶ [g] κειράσθω· εἰ δὲ αἰσχρὸν γυναικὶ τὸ κείρασθαι ἢ [f] ξυρᾶσθαι, [h] κατακαλυπτέσθω.

7 Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλὴν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων· γυνὴ δὲ δόξα ἀνδρός [e] ἐστιν.

8 Οὐ γάρ ἐστιν ἀνὴρ ἐκ γυναικὸς, ἀλλὰ γυνὴ ἐξ ἀνδρός.

[i] κτίζω.

9 Καὶ γὰρ οὐκ [i] ἐκτίσθη ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλὰ γυνὴ διὰ τὸν ἄνδρα.

10 Διὰ τοῦτο ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς, διὰ τοὺς ἀγγέλους.

11 Πλὴν οὔτε ἀνὴρ χωρὶς γυναικὸς, οὔτε γυνὴ χωρὶς ἀνδρὸς, ἐν Κυρίῳ.

12 Ὥσπερ γὰρ ἡ γυνὴ ἐκ τοῦ ἀνδρὸς, οὕτω καὶ ὁ ἀνὴρ διὰ τῆς γυναικός· τὰ δὲ πάντα ἐκ τοῦ Θεοῦ.

[k] γυνή.

13 Ἐν ὑμῖν αὐτοῖς κρίνατε· πρέπον [e] ἐστὶ [k] γυναῖκα ἀκατακάλυπτον τῷ Θεῷ προσεύχεσθαι;

14 Ἢ οὐδὲ αὐτὴ ἡ φύσις διδάσκει ὑμᾶς ὅτι ἀνὴρ μὲν ἐὰν κομᾷ, ἀτιμία αὐτῷ [b] ἐστι;

15 Γυνὴ δὲ ἐὰν κομᾷ, δόξα αὐτῇ [e] ἐστιν; ὅτι ἡ κόμη ἀντὶ περιβολαίου [d] δέδοται αὐτῇ.

16 Εἰ δέ τις δοκεῖ φιλόνεικος [c] εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ αἱ ἐκκλησίαι τοῦ Θεοῦ.

17 Τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ, ὅτι οὐκ εἰς τὸ κρεῖττον, ἀλλ' εἰς τὸ ἧττον συνέρχεσθε.

18 Πρῶτον μὲν γὰρ συνερχομένων ὑμῶν ἐν τῇ ἐκκλησίᾳ, ἀκούω σχίσματα ἐν ὑμῖν ὑπάρχειν· καὶ μέρος τι πιστεύω.

19 Δεῖ γὰρ καὶ αἱρέσεις ἐν ὑμῖν [c] εἶναι, ἵνα οἱ δόκιμοι φανεροὶ [h] γένωνται ἐν ὑμῖν.

20 Συνερχομένων οὖν ὑμῶν ἐπὶ τὸ αὐτὸ, οὐκ ἔστι Κυριακὸν δεῖπνον φαγεῖν.

21 Ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει ἐν τῷ φαγεῖν· καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει.

22 Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας; Τί ὑμῖν εἴπω; ἐπαινέσω ὑμᾶς; ἐν τούτῳ οὐκ ἐπαινῶ.

23 Ἐγὼ γὰρ [l] παρέλαβον ἀπὸ τοῦ Κυρίου ὃ καὶ [d] παρέδωκα ὑμῖν, ὅτι ὁ Κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ ᾗ [d] παρεδίδοτο, [l] ἔλαβεν ἄρτον·

24 Καὶ [m] εὐχαριστήσας [n] ἔκλασε, καὶ εἶπε, [l] Λάβετε, φάγετε· τοῦτό μου [c] ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν [n] κλώμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.

25 Ὡσαύτως καὶ τὸ ποτήριον, μετὰ τὸ [o] δειπνῆσαι, λέγων, Τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη [c] ἐστὶν ἐν τῷ ἐμῷ αἵματι· τοῦτο ποιεῖτε ὁσάκις ἂν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν.

26 Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε, ἄχρις οὗ ἂν [p] ἔλθῃ.

27 Ὥστε ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον, ἢ πίνῃ τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως, ἔνοχος [c] ἔσται τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου.

28 Δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτὸν, καὶ

[l] λαμβάνω.

[m] χάρις.

[n] κλάω.

[o] δεῖπνον.

[p] ἔρχομαι.

οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω.

29 Ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου.

30 Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί.

[q] κρίνω.

31 Εἰ γὰρ ἑαυτοὺς [q] διεκρίνομεν, οὐκ ἂν [q] ἐκρινόμεθα,

32 Κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ [q] κατακριθῶμεν.

33 Ὥστε ἀδελφοί μου, συνερχόμενοι εἰς τὸ φαγεῖν, ἀλλήλους ἐκδέχεσθε.

34 Εἰ δέ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω· ἵνα μὴ εἰς κρίμα συνέρχησθε· Τὰ δὲ λοιπὰ ὡς ἂν [r] ἔλθω διατάξομαι.

Κεφ. ιβ΄. Cap. XII.

ΠΕρὶ δὲ τῶν πνευματικῶν, ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν.

[a] εἴδω.
[b] ἄγω.

2 [a] Οἴδατε ὅτι [c] ἔθνη ἦτε, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα, ὡς ἂν [b] ἤγεσθε, ἀπαγόμενοι.

3 Διὸ γνωρίζω ὑμῖν ὅτι οὐδεὶς ἐν πνεύματι Θεοῦ λαλῶν, λέγει ἀνάθεμα Ἰησοῦν· καὶ οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ.

[c] εἰμί.

4 Διαιρέσεις δὲ χαρισμάτων [c] εἰσί, τὸ δὲ αὐτὸ πνεῦμα.

5 Καὶ διαιρέσεις διακονιῶν [c] εἰσί, καὶ ὁ αὐτὸς Κύριος.

6 Καὶ διαιρέσεις ἐνεργημάτων [c] εἰσίν, ὁ δὲ αὐτός [c] ἐστι Θεός, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν.

[d] δίδωμι.

7 Ἑκάστῳ δὲ [d] δίδοται ἡ φανέρωσις τοῦ πνεύματος πρὸς τὸ συμφέρον.

8 Ὧ μὲν γὰρ διὰ τοῦ πνεύματος [d] δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ πνεῦμα.

9 Ἑτέρῳ δὲ πίστις, ἐν τῷ αὐτῷ πνεύματι· ἄλλῳ δὲ χαρίσματα ἰαμάτων, ἐν τῷ αὐτῷ πνεύματι.

10 Ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ προφητεία, ἄλλῳ δὲ διακρίσεις πνευμάτων· ἑτέρῳ δὲ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν.

11 Πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται.

12 Καθάπερ γὰρ τὸ σῶμα, ἕν [c] ἐστι, καὶ μέλη ἔχει πολλά, πάντα δὲ τὰ μέλη τοῦ σώματος τοῦ ἑνὸς πολλὰ [c] ὄντα, ἕν [c] ἐστι σῶμα· οὕτω καὶ ὁ Χριστός.

13 Καὶ γὰρ ἐν ἑνὶ πνεύματι ἡμεῖς πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν, εἴτε Ἰουδαῖοι, εἴτε Ἕλληνες, εἴτε δοῦλοι, εἴτε ἐλεύθεροι· καὶ πάντες εἰς ἓν πνεῦμα [e] ἐποτίσθημεν. [e] πίνω.

14 Καὶ γὰρ τὸ σῶμα οὐκ [c] ἔστιν ἓν μέλος, ἀλλὰ πολλά.

15 Ἐὰν εἴπη ὁ πούς, Ὅτι οὐκ εἰμὶ χείρ, οὐκ εἰμὶ ἐκ τοῦ σώματος· οὐ παρὰ τοῦτο οὐκ [c] ἔστιν ἐκ τοῦ σώματος;

16 Καὶ ἐὰν εἴπη τὸ οὖς, Ὅτι οὐκ εἰμὶ ὀφθαλμός, οὐκ εἰμὶ ἐκ τοῦ σώματος· οὐ παρὰ τοῦτο οὐκ [c] ἔστιν ἐκ τοῦ σώματος;

17 Εἰ ὅλον τὸ σῶμα ὀφθαλμός, ποῦ ἡ ἀκοή; εἰ ὅλον ἀκοή, ποῦ ἡ ὄσφρησις;

18 Νυνὶ δὲ ὁ Θεὸς [f] ἔθετο τὰ μέλη, ἓν ἕκαστον αὐτῶν ἐν τῷ σώματι, καθὼς [g] ἠθέλησεν. [f] τ. ἡμι. [g] θέλω.

19 Εἰ δὲ [c] ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα;

20 Νῦν δὲ πολλὰ μὲν μέλη, ἓν δὲ σῶμα.

21 Οὐ δύναται δὲ ὁ ὀφθαλμὸς εἰπεῖν τῇ χειρί, Χρείαν σου οὐκ ἔχω· ἢ πάλιν ἡ κεφαλὴ τοῖς [h] ποσί, Χρείαν ὑμῶν οὐκ ἔχω. [h] πούς.

22 Ἀλλὰ πολλῷ μᾶλλον, τὰ δοκοῦντα μέλη τοῦ σώματος ἀσθενέστερα ὑπάρχειν, ἀναγκαῖά [c] ἐστι.

23 Καὶ ἃ δοκοῦμεν ἀτιμότερα [c] εἶναι τοῦ σώματος, τούτοις τιμὴν περισσοτέραν [f] περιτίθεμεν· καὶ τὰ [i] ἀσχήμονα ἡμῶν [i] εὐσχημοσύνην περισσοτέραν ἔχει. [i] ἔχω.

24 Τὰ δὲ εὐσχήμονα ἡμῶν, οὐ χρείαν ἔχει·
[k] κεραννύω. ἀλλ' ὁ Θεὸς [k] συνεκέρασε τὸ σῶμα, τῷ ὑστεροῦντι περισσοτέραν δοὺς τιμήν·

25 Ἵνα μὴ [c] ᾖ σχίσμα ἐν τῷ σώματι, ἀλλὰ τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη.

26 Καὶ εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη.

27 Ὑμεῖς δέ [c] ἐστε σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους.

28 Καὶ οὓς μὲν [f] ἔθετο ὁ Θεὸς ἐν τῇ ἐκκλησίᾳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους· ἔπειτα δυνάμεις, εἶτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν.

29 Μὴ πάντες, ἀπόστολοι; μὴ πάντες, προφῆται; μὴ πάντες, διδάσκαλοι; μὴ πάντες, δυνάμεις;

30 Μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων; μὴ πάντες γλώσσαις λαλοῦσι; μὴ πάντες
[m] ἑρμηνεύς. [m] διερμηνεύουσι;

31 Ζηλοῦτε δὲ τὰ χαρίσματα τὰ κρείττονα. καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι.

Κεφ. ιγ΄. Cap. XIII.

Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν
[a] γίνομαι. ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, [a] γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον.

2 Καὶ ἐὰν ἔχω προφητείαν, καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν [c] τὴν γνῶσιν· καὶ ἐὰν ἔχω πᾶσαν [c] τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι.

3 Καὶ ἐὰν ψωμίζω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι.

4 Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται· ἡ
[b] πέρπερος. ἀγάπη οὐ ζηλοῖ· ἡ ἀγάπη οὐ [b] περπερεύεται, οὐ φυσιοῦται,

5 Οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ
[c] ὀξύς. [c] παροξύνεται, οὐ λογίζεται τὸ κακόν,

6 Οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ.

7 Πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει.

8 Ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει· εἴτε δὲ προφητεῖαι, [d] καταργηθήσονται· εἴτε γλῶσσαι, παύσονται· εἴτε γνῶσις, καταργηθήσεται.

[d] ἔργον.

9 Ἐκ μέρους γὰρ γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν·

10 Ὅταν δὲ [e] ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους [d] καταργηθήσεται.

[e] ἔρχομαι.

11 Ὅτε [f] ἤμην νήπιος, ὡς νήπιος [g] ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε δὲ [a] γέγονα ἀνήρ, [d] κατήργηκα τὰ τοῦ νηπίου.

[f] εἰμί.
[g] λαλέω.

12 Βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον· ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ [h] ἐπιγνώσομαι καθὼς καὶ ἐπεγνώσθην,

[h] γινώσκω.

13 Νυνὶ δὲ μένει πίστις, ἐλπίς, ἀγάπη, τὰ τρία ταῦτα· [i] μείζων δὲ τούτων ἡ ἀγάπη.

[i] μέγας.

Κεφ. ιδʹ. Cap. XIV.

Διώκετε τὴν ἀγάπην, ζηλοῦτε δὲ τὰ πνευματικά· μᾶλλον δὲ ἵνα προφητεύητε.

2 Ὁ γὰρ λαλῶν γλώσσῃ, οὐκ ἀνθρώποις λαλεῖ, ἀλλὰ τῷ Θεῷ· οὐδεὶς γὰρ ἀκούει, πνεύματι δὲ λαλεῖ μυστήρια.

3 Ὁ δὲ προφητεύων, ἀνθρώποις λαλεῖ οἰκοδομὴν καὶ παράκλησιν καὶ παραμυθίαν.

4 Ὁ λαλῶν γλώσσῃ, ἑαυτὸν οἰκοδομεῖ· ὁ δὲ προφητεύων, ἐκκλησίαν οἰκοδομεῖ.

5 Θέλω δὲ πάντας ὑμᾶς λαλεῖν γλώσσαις, μᾶλλον δὲ ἵνα προφητεύητε· μείζων γὰρ ὁ προφητεύων ἢ ὁ λαλῶν γλώσσαις, ἐκτὸς εἰ μὴ διερμηνεύει, ἵνα ἡ ἐκκλησία οἰκοδομὴν [a] λάβῃ.

[a] λαμβάνω.

6 Νυνὶ δέ, ἀδελφοί, ἐὰν [b] ἔλθω πρὸς ὑμᾶς γλώσσαις λαλῶν, τί ὑμᾶς [c] ὠφελήσω; ἐὰν μὴ ὑμῖν λαλήσω ἢ ἐν ἀποκαλύψει, ἢ ἐν γνώσει, ἢ ἐν προφητείᾳ, ἢ ἐν διδαχῇ;

[b] ἔρχομαι.
[c] ὠφελέω.

7 Ὅμως

[d] δίδωμι.
[e] γινώσκω.

7 Ὅμως τὰ ἄψυχα φωνὴν [d] διδόντα, εἴτε αὐλὸς, εἴτε κιθάρα, ἐὰν διαστολὴν τοῖς φθόγγοις μὴ [d] δῷ, πῶς [e] γνωσθήσεται τὸ αὐλούμενον ἢ τὸ κιθαριζόμενον;

[f] τίθημι.

8 Καὶ γὰρ ἐὰν ἄδηλον φωνὴν σάλπιγξ [f] δῷ, τίς παρασκευάσεται εἰς πόλεμον;

[g] λαλέω.
[h] εἰμί.

9 Οὕτω καὶ ὑμεῖς διὰ τῆς γλώσσης ἐὰν μὴ εὔσημον λόγον [d] δῶτε, πῶς [e] γνωσθήσεται τὸ [g] λαλούμενον; [h] ἔσεσθε γὰρ εἰς ἀέρα λαλοῦντες.

10 Τοσαῦτα, εἰ τύχοι, γένη φωνῶν [h] ἐστιν ἐν κόσμῳ, καὶ οὐδὲν αὐτῶν ἄφωνον.

11 Ἐὰν οὖν μὴ εἰδῶ τὴν δύναμιν τῆς φωνῆς, [h] ἔσομαι τῷ λαλοῦντι βάρβαρος· καὶ ὁ λαλῶν, ἐμοὶ βάρβαρος.

12 Οὕτως καὶ ὑμεῖς, ἐπεὶ ζηλωταί [h] ἐστε πνευμάτων, πρὸς τὴν οἰκοδομὴν τῆς ἐκκλησίας ζητεῖτε ἵνα περισσεύητε.

[i] εὐχή.
[k] ἑρμηνεύς.

13 Διόπερ ὁ λαλῶν γλώσσῃ, [i] προσευχέσθω ἵνα [k] διερμηνεύῃ.

14 Ἐὰν γὰρ προσεύχωμαι γλώσσῃ, τὸ πνεῦμά μου προσεύχεται· ὁ δὲ νοῦς μου ἄκαρπός [h] ἐστι.

15 Τί οὖν [h] ἐστι; [i] προσεύξομαι τῷ πνεύματι, [i] προσεύξομαι δὲ καὶ τῷ νοΐ· ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ.

[l] εἴδω.

16 Ἐπεὶ ἐὰν εὐλογήσῃς τῷ πνεύματι, ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου πῶς ἐρεῖ τὸ ἀμὴν ἐπὶ τῇ σῇ εὐχαριστίᾳ; ἐπειδὴ τί λέγεις οὐκ [l] οἶδε.

17 Σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς, ἀλλ' ὁ ἕτερος οὐκ οἰκοδομεῖται.

18 Εὐχαριστῶ τῷ Θεῷ μου, πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶν.

[m] ἦχος.

19 Ἀλλ' ἐν ἐκκλησίᾳ θέλω πέντε λόγους διὰ τοῦ νοός μου [g] λαλῆσαι, ἵνα καὶ ἄλλους [m] κατηχήσω, ἢ μυρίους λόγους ἐν γλώσσῃ.

[n] γίνομαι.
[o] φρήν.

20 Ἀδελφοὶ, μὴ παιδία [n] γίνεσθε ταῖς [o] φρεσίν· ἀλλὰ τῇ κακίᾳ νηπιάζετε, ταῖς δὲ φρεσὶ τέλειοι [n] γίνεσθε.

[p] γράφω.

21 Ἐν τῷ νόμῳ [p] γέγραπται, Ὅτι ἐν ἑτερο-

γλώσσοις,

γλώσσαις, καὶ ἐν χείλεσιν ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ· καὶ οὐδ' οὕτως [q] εἰσακούσονταί μου, λέγει κύριος.

[q] ἀκούω.

22 Ὥστε αἱ γλῶσσαι εἰς σημεῖόν [h] εἰσιν οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις· ἡ δὲ προφητεία οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσιν.

23 Ἐὰν οὖν [b] συνέλθῃ ἡ ἐκκλησία ὅλη ἐπὶ τὸ αὐτὸ, καὶ πάντες γλώσσαις λαλῶσιν, [b] εἰσέλθωσι δὲ ἰδιῶται, ἢ ἄπιστοι, οὐκ [r] ἐροῦσιν ὅτι μαίνεσθε.

[r] εἴρω.

24 Ἐὰν δὲ πάντες προφητεύωσιν, [b] εἰσέλθῃ δέ τις ἄπιστος, ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων.

25 Καὶ οὕτω τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ [n] γίνεται· καὶ οὕτω [s] πεσὼν ἐπὶ πρόσωπον, προσκυνήσει τῷ Θεῷ, ἀπαγγέλλων ὅτι ὁ Θεὸς ὄντως ἐν ὑμῖν [h] ἐστι.

[s] πίπτω.

26 Τί οὖν [h] ἐστιν, ἀδελφοί; ὅταν [b] συνέρχησθε, ἕκαστος ὑμῶν ψαλμὸν ἔχει, διδαχὴν ἔχει, γλῶσσαν ἔχει, ἀποκάλυψιν ἔχει, ἑρμηνείαν ἔχει· πάντα πρὸς οἰκοδομὴν [n] γινέσθω.

27 Εἴτε γλώσσῃ τις λαλεῖ, κατὰ [t] δύο, ἢ τὸ πλεῖστον τρεῖς, καὶ ἀνὰ μέρος· καὶ εἷς διερμηνευέτω.

28 Ἐὰν δὲ μὴ [h] ᾖ διερμηνευτὴς, σιγάτω ἐν ἐκκλησίᾳ· ἑαυτῷ δὲ [s] λαλείτω καὶ τῷ Θεῷ.

29 Προφῆται δὲ δύο ἢ τρεῖς [s] λαλείτωσαν, καὶ οἱ ἄλλοι [u] διακρινέτωσαν.

[u] κρίνω.

30 Ἐὰν δὲ ἄλλῳ [x] ἀποκαλυφθῇ καθημένῳ, ὁ πρῶτος σιγάτω.

[x] καλύπτω.

31 Δύνασθε γὰρ καθ' ἕνα πάντες προφητεύειν, ἵνα πάντες μανθάνωσι, καὶ πάντες παρακαλῶνται.

32 Καὶ πνεύματα προφητῶν προφήταις ὑποτάσσεται.

33 Οὐ γάρ [h] ἐστιν ἀκαταστασίας ὁ Θεὸς, ἀλλ' εἰρήνης, ὡς ἐν πάσαις ταῖς ἐκκλησίαις τῶν ἁγίων.

34 Αἱ γυναῖκες ὑμῶν ἐν ταῖς ἐκκλησίαις [y] σιγάτωσαν· οὐ γὰρ * ἐπιτέτραπται αὐταῖς λαλεῖν, ἀλλ' ὑποτάσσεσθαι, καθὼς καὶ ὁ νόμος λέγει.

[y] σιγάω.

* τρέπω.

[z] μανθάνω. 35 Εἰ δέ τι [z] μαθεῖν θέλουσιν, ἐν οἴκῳ τοὺς
[a] ἐρωτάω. ἰδίους ἄνδρας [a] ἐπερωτάτωσαν· αἰσχρὸν γάρ [b] ἐστι
[b] εἰμί. * γυναιξὶν ἐν ἐκκλησίᾳ λαλεῖν.
* γυνή. 36 Ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ Θεοῦ [c] ἐξῆλθεν;
[c] ἔρχομαι. ἢ εἰς ὑμᾶς μόνους [d] κατήντησεν;
[d] ἀντάω. 37 Εἴ τις δοκεῖ προφήτης [b] εἶναι ἢ πνευματι-
κὸς, ἐπιγινωσκέτω ἃ γράφω ὑμῖν, ὅτι τοῦ Κυρίου
[b] εἰσὶν ἐντολαί.
[e] νόος. 38 Εἰ δέ τις [c] ἀγνοεῖ, [c] ἀγνοείτω.
39 Ὥστε, ἀδελφοὶ, ζηλοῦτε τὸ προφητεύειν,
καὶ τὸ λαλεῖν γλώσσαις μὴ κωλύετε.
[f] γίνομαι. 40 Πάντα εὐσχημόνως καὶ κατὰ τάξιν [f] γινέσθω.

Κεφ. ιε. Cap. XV.

ΓΝωρίζω δὲ ὑμῖν ἀδελφοὶ, τὸ εὐαγγέλιον ὃ
[a] λαμβάνω. εὐηγγελισάμην ὑμῖν, ὃ καὶ [a] παρελάβετε,
[b] ἵστημι. ἐν ᾧ καὶ [b] ἑστήκατε,
[c] ἀγγέλλω. 2 Δι' οὗ καὶ σώζεσθε, τίνι λόγῳ [c] εὐηγγελισά-
[d] πίστις. μην ὑμῖν εἰ κατέχετε· ἐκτὸς εἰ μὴ εἰκῇ [d] ἐπι-
στεύσατε.
[e] δίδωμι. 3 [e] Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις ὃ καὶ [a] παρ-
[f] θνήσκω. έλαβον, ὅτι Χριστὸς [f] ἀπέθανεν ὑπὲρ τῶν ἁμαρ-
τιῶν ἡμῶν, κατὰ τὰς γραφάς.
[g] θάπτω. 4 Καὶ ὅτι [g] ἐτάφη, καὶ ὅτι [h] ἐγήγερται τῇ
[h] ἐγείρω. τρίτῃ ἡμέρᾳ, κατὰ τὰς γραφάς.
[i] ὄπτομαι. 5 Καὶ ὅτι [i] ὤφθη Κηφᾷ, εἶτα τοῖς δώδεκα.
6 Ἔπειτα [i] ὤφθη ἐπάνω πεντακοσίοις ἀ-
[k] μένω. δελφοῖς ἐφάπαξ, ἐξ ὧν οἱ πλείους [k] μένουσιν
[l] κοιμάω. ἕως ἄρτι, τινὲς δὲ καὶ [l] ἐκοιμήθησαν.
7 Ἔπειτα [i] ὤφθη Ἰακώβῳ· εἶτα τοῖς ἀπο-
στόλοις πᾶσιν.
8 Ἔσχατον δὲ πάντων, ὡσπερεὶ τῷ ἐκτρώ-
[n] καὶ ἐγώ ματι, [i] ὤφθη [n] κἀμοί.
9 Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων·
[o] διώκω. ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, διότι [o] ἐ-
δίωξα τὴν ἐκκλησίαν τοῦ Θεοῦ.
10 Χάριτι δὲ Θεοῦ εἰμὶ ὅ εἰμι· καὶ ἡ χάρις αὐ-
[p] γίνομαι. τοῦ ἡ εἰς ἐμὲ, οὐ κενὴ [p] ἐγενήθη, ἀλλὰ περισσό-
[q] κόπτω. τερον αὐτῶν πάντων [q] ἐκοπίασα· οὐκ ἐγὼ δὲ,
ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί.

11 Εἴτε οὖν ἐγὼ, εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν, καὶ οὕτως [d] ἐπιστεύσατε.

12 Εἰ δὲ Χριστὸς κηρύσσεται ὅτι ἐκ νεκρῶν [h] ἐγήγερται, πῶς λέγουσί τινες ἐν ὑμῖν ὅτι ἀνάστασις νεκρῶν οὐκ [r] ἔστιν; [r] εἰμί.

13 Εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ [r] ἔστιν, οὐδὲ Χριστὸς [h] ἐγήγερται.

14 Εἰ δὲ Χριστὸς οὐκ [h] ἐγήγερται, κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν, κενὴ δὲ καὶ ἡ πίστις ὑμῶν.

15 [s] Εὑρισκόμεθα δὲ καὶ ψευδομάρτυρες τοῦ Θεοῦ· ὅτι [t] ἐμαρτυρήσαμεν κατὰ τοῦ Θεοῦ, ὅτι ἤγειρε τὸν Χριστόν· ὃν οὐκ [h] ἤγειρεν, εἴπερ ἄρα νεκροὶ οὐκ [h] ἐγείρονται. [s] εὑρίσκω. [t] μάρτυρ.

16 Εἰ γὰρ νεκροὶ οὐκ [h] ἐγείρονται, οὐδὲ Χριστὸς [h] ἐγήγερται·

17 Εἰ δὲ Χριστὸς οὐκ [h] ἐγήγερται, ματαία ἡ πίστις ἡμῶν· ἔτι [r] ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν.

18 Ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ, [u] ἀπώλοντο. [u] ὀλλύω.

19 Εἰ ἐν τῇ ζωῇ ταύτῃ [x] ἠλπικότες [r] ἐσμὲν ἐν Χριστῷ μόνον, [y] ἐλεεινότεροι πάντων ἀνθρώπων [r] ἐσμέν. [x] ἐλπίς. [y] ἔλεος.

20 Νυνὶ δὲ Χριστὸς [h] ἐγήγερται ἐκ νεκρῶν· ἀπαρχὴ τῶν [l] κεκοιμημένων [p] ἐγένετο.

21 Ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν.

22 Ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες [s] ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες [z] ζωοποιηθήσονται. [z] ποιέω.

23 Ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι· ἀπαρχὴ Χριστὸς, ἔπειτα οἱ τοῦ Χριστοῦ, ἐν τῇ παρουσίᾳ αὐτοῦ.

24 Εἶτα τὸ τέλος, ὅταν [a] παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ πατρί· ὅταν [b] καταργήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν, καὶ δύναμιν. [a] δίδωμι. [b] ἔργον.

25 Δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρις οὗ ἂν [c] θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς [d] πόδας αὐτοῦ. [c] τίθημι. [d] πούς.

26 Ἔσχατος ἐχθρὸς [b] καταργεῖται ὁ θάνατος.

27 Πάντα γὰρ [c] ὑπέταξεν ὑπὸ τοὺς [d] πόδας αὐτοῦ. //

αὐτοῦ. Ὅταν δὲ εἴπῃ ὅτι πάντα [c] ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα.

28 Ὅταν δὲ [c] ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ υἱὸς [c] ὑποταγήσεται τῷ [c] ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα [f] ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν.

[f] εἰμί.

29 Ἐπεὶ τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν, εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται, τί καὶ βαπτίζονται ὑπὲρ τῶν νεκρῶν;

30 Τί καὶ ἡμεῖς κινδυνεύομεν πᾶσαν ὥραν;

31 Καθ' ἡμέραν ἀποθνήσκω, νὴ τὴν ἡμετέραν καύχησιν, ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

[g] μάχομαι.

32 Εἰ κατὰ ἄνθρωπον [g] ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος, εἰ νεκροὶ οὐκ ἐγείρονται; φάγωμεν καὶ [h] πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν.

[h] πίνω.

33 Μὴ πλανᾶσθε. Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί.

[i] νήφω.

34 [i] Ἐκνήψατε δικαίως, καὶ μὴ ἁμαρτάνετε· ἀγνωσίαν γὰρ Θεοῦ τινὲς ἔχουσι· πρὸς ἐντροπὴν ὑμῖν λέγω.

[k] εἴρω.

35 Ἀλλ' [k] ἐρεῖ τις, Πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ σώματι ἔρχονται;

[l] θνήσκω.
[m] γίνομαι.

36 Ἄφρον, σὺ ὃ σπείρεις οὐ ζωοποιεῖται, ἐὰν μὴ [l] ἀποθάνῃ.

37 Καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ [m] γενησόμενον σπείρεις, ἀλλὰ γυμνὸν κόκκον, εἰ τύχοι, σίτου, ἤ τινος τῶν λοιπῶν.

[n] θέλω.

38 Ὁ δὲ Θεὸς αὐτῷ [a] δίδωσι σῶμα καθὼς [n] ἠθέλησε, καὶ ἑκάστῳ τῶν σπερμάτων τὸ ἴδιον σῶμα.

39 Οὐ πᾶσα σὰρξ, ἡ αὐτὴ σάρξ· ἀλλὰ ἄλλη μὲν σὰρξ ἀνθρώπων, ἄλλη δὲ σὰρξ κτηνῶν, ἄλλη δὲ ἰχθύων, ἄλλη δὲ πτηνῶν.

40 Καὶ σώματα ἐπουράνια, καὶ σώματα ἐπίγεια· ἀλλ' ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων.

41 Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ.

42 Οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν· σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ.

43 Σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει·

44 Σπείρεται σῶμα ψυχικὸν, ἐγείρεται σῶμα πνευματικόν· [f] ἔστι σῶμα ψυχικὸν, καὶ [f] ἔστι σῶμα πνευματικόν.

45 Οὕτω καὶ [o] γέγραπται, Ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν· ὁ ἔσχατος Ἀδὰμ, εἰς πνεῦμα ζωοποιοῦν. [o] γράφω.

46 Ἀλλ᾽ οὐ πρῶτον τὸ πνευματικόν· ἀλλὰ τὸ ψυχικὸν, ἔπειτα τὸ πνευματικόν.

47 Ὁ πρῶτος ἄνθρωπος, ἐκ γῆς, χοϊκός· ὁ δεύτερος ἄνθρωπος, ὁ Κύριος ἐξ οὐρανοῦ.

48 Οἷος ὁ χοϊκὸς, τοιοῦτοι καὶ οἱ χοϊκοί. καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι.

49 Καὶ καθὼς [p] ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, [p] φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου. [p] φέρω.

50 Τοῦτο δέ φημι, ἀδελφοὶ, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ [q] κληρονομῆσαι οὐ δύνανται, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ. [q] νέμω.

51 Ἰδοὺ, μυστήριον ὑμῖν λέγω, Πάντες μὲν οὐ [r] κοιμηθησόμεθα, πάντες δὲ [ſ] ἀλλαγησόμεθα. [r] κοιμάω.

52 Ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι (σαλπίσει γὰρ) καὶ οἱ νεκροὶ [t] ἐγερθήσονται ἄφθαρτοι, καὶ ἡμεῖς [ſ] ἀλλαγησόμεθα. [ſ] ἀλλάσσω. [t] ἐγείρω.

53 Δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο [u] ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο [u] ἐνδύσασθαι ἀθανασίαν. [u] δύω.

54 Ὅταν δὲ τὸ φθαρτὸν τοῦτο [u] ἐνδύσηται ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο [u] ἐνδύσεται ἀθανασίαν, τότε [m] γενήσεται ὁ λόγος ὁ [o] γεγραμμένος, * Κατεπόθη ὁ θάνατος εἰς νῖκος. * πίνω.

55 Ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου ᾅδη, τὸ νῖκος;

56 Τὸ δὲ κέντρον τοῦ θανάτου, ἡ ἁμαρτία· ἡ δὲ δύναμις τῆς ἁμαρτίας, ὁ νόμος.

57 Τῷ δὲ Θεῷ χάρις, τῷ [a] διδόντι ἡμῖν τὸ νῖκος διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

[z] κινέω.

58 Ὥστε, ἀδελφοί μου ἀγαπητοὶ, ἑδραῖοι [m] γίνεσθε, [z] ἀμετακίνητοι, περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ Κυρίου πάντοτε· εἰδότες ὅτι ὁ κόπος ὑμῶν οὐκ [f] ἔστι κενὸς ἐν Κυρίῳ.

Κεφ. ιϛ'. Cap. XVI.

[a] τάσσω.

Περὶ δὲ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους, ὥσπερ [a] διέταξα ταῖς ἐκκλησίαις τῆς Γαλατίας, οὕτω καὶ ὑμεῖς ποιήσατε.

[b] τίθημι.
[c] ὁδός.
[d] ἔρχομαι.
[e] γίνομαι.
[f] φέρω.

2 Κατὰ μίαν σαββάτων ἕκαστος ὑμῶν παρ' ἑαυτῷ [b] τιθέτω, θησαυρίζων ὅ,τι ἂν [c] εὐοδῶται· ἵνα μὴ ὅταν [d] ἔλθω, τότε λογίαι [e] γίνωνται.

3 Ὅταν δὲ [e] παραγένωμαι, οὓς ἐὰν δοκιμάσητε δι' ἐπιστολῶν, τούτους πέμψω [f] ἀπενεγκεῖν τὴν χάριν ὑμῶν εἰς Ἱερουσαλήμ.

[g] εἰμί.
[h] καὶ ἐγώ.
[i] πορεύω.

4 Ἐὰν δὲ [g] ᾖ ἄξιον τοῦ [h] κἀμὲ [i] πορεύεσθαι, σὺν ἐμοὶ πορεύσονται.

5 [l] Ἐλεύσομαι δὲ πρὸς ὑμᾶς ὅταν Μακεδονίαν [d] διέλθω· (Μακεδονίαν γὰρ διέρχομαι)

6 Πρὸς ὑμᾶς δὲ τυχὸν παραμενῶ, ἢ καὶ παραχειμάσω, ἵνα ὑμεῖς με προπέμψητε οὗ ἐὰν πορεύωμαι.

[k] μένω.

7 Οὐ θέλω γὰρ ὑμᾶς ἄρτι ἐν παρόδῳ ἰδεῖν· ἐλπίζω δὲ χρόνον τινὰ [k] ἐπιμεῖναι πρὸς ὑμᾶς, ἐὰν ὁ Κύριος ἐπιτρέπῃ.

8 [k] Ἐπιμενῶ δὲ ἐν Ἐφέσῳ ἕως τῆς πεντηκοστῆς.

[l] οἴγω.

9 Θύρα γάρ μοι [l] ἀνέῳγε μεγάλη καὶ ἐνεργὴς, καὶ ἀντικείμενοι πολλοί.

10 Ἐὰν δὲ [d] ἔλθῃ Τιμόθεος, βλέπετε ἵνα ἀφόβως γένηται πρὸς ὑμᾶς· τὸ γὰρ ἔργον Κυρίου ἐργάζεται ὡς καὶ ἐγώ.

[m] εἷς.

11 Μή τις οὖν αὐτὸν [m] ἐξουθενήσῃ· προπέμψατε δὲ αὐτὸν ἐν εἰρήνῃ, ἵνα [d] ἔλθῃ πρός με· ἐκδέχομαι γὰρ αὐτὸν μετὰ τῶν ἀδελφῶν.

12 Περὶ δὲ Ἀπολλὼ τοῦ ἀδελφοῦ, πολλὰ παρεκάλεσα αὐτὸν ἵνα [d] ἔλθῃ πρὸς ὑμᾶς μετὰ τῶν ἀδελφῶν· καὶ πάντως οὐκ [e] ἦν θέλημα ἵνα νῦν [d] ἔλθῃ· [d] ἐλεύσεται δὲ ὅταν [o] εὐκαιρήσῃ.

[o] καιρός.

13 Γρηγορεῖτε, [p] στήκετε ἐν τῇ πίστει, [q] ἀνδρίζεσθε, [r] κραταιοῦσθε.

[p] ἵστημι.
[q] ἀνήρ.
[r] κράτος.

14 Πάντα ὑμῶν ἐν ἀγάπῃ [e] γινέσθω.

15 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, [s] οἴδατε τὴν οἰκίαν Στεφανᾶ, ὅτι [g] ἐστὶν ἀπαρχὴ τῆς Ἀχαΐας, καὶ εἰς διακονίαν τοῖς ἁγίοις [t] ἔταξαν ἑαυτούς.

[s] εἴδω.
[t] τάσσω.

16 Ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς τοιούτοις, καὶ παντὶ τῷ [u] συνεργοῦντι καὶ κοπιῶντι.

[u] ἔργον.

17 Χαίρω δὲ ἐπὶ τῇ παρουσίᾳ Στεφανᾶ καὶ Φουρτουνάτου καὶ Ἀχαϊκοῦ, ὅτι τὸ ὑμῶν ὑστέρημα οὗτοι [x] ἀνεπλήρωσαν.

[x] πλέος.

18 [y] Ἀνέπαυσαν γὰρ τὸ ἐμὸν πνεῦμα καὶ τὸ ὑμῶν· ἐπιγινώσκετε οὖν τοὺς τοιούτους.

[y] παύω.

19 Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τῆς Ἀσίας. Ἀσπάζονται ὑμᾶς ἐν Κυρίῳ πολλὰ Ἀκύλας καὶ Πρίσκιλλα, σὺν τῇ κατ' οἶκον αὐτῶν ἐκκλησίᾳ.

20 Ἀσπάζονται ὑμᾶς οἱ ἀδελφοὶ πάντες. Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ.

21 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου.

22 Εἴ τις οὐ φιλεῖ τὸν Κύριον Ἰησοῦν Χριστόν, ἤτω * ἀνάθεμα, μαρὰν ἀθά.

* Syriacæ voces.

23 Ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν.

24 Ἡ ἀγάπη μου μετὰ πάντων ὑμῶν ἐν Χριστῷ Ἰησοῦ. Ἀμήν.

Πρὸς Κορινθίους πρώτη [z] ἐγράφη ἀπὸ Φιλίππων διὰ Στεφανᾶ καὶ Φουρτουνάτου καὶ Ἀχαϊκοῦ καὶ Τιμοθέου.

[z] γράφω.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
Ἡ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ
ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ.

Κεφάλαιον α΄. Caput I.

Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφὸς τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ [a] οὔσῃ ἐν Κορίνθῳ, σὺν τοῖς ἁγίοις πᾶσι τοῖς [a] οὖσιν ἐν ὅλῃ τῇ Ἀχαΐᾳ.

[a] εἰμί.

2 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

3 Εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης [b] παρακλήσεως·

[b] καλέω.

4 Ὁ παρακαλῶν ἡμᾶς ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν, εἰς τὸ δύνασθαι ἡμᾶς [b] παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει, διὰ τῆς παρακλήσεως ἧς [b] παρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ Θεοῦ.

5 Ὅτι καθὼς περισσεύει τὰ παθήματα τοῦ Χριστοῦ εἰς ἡμᾶς, οὕτω διὰ Χριστοῦ περισσεύει καὶ ἡ παράκλησις ἡμῶν.

6 Εἴτε δὲ θλιβόμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας, τῆς [c] ἐνεργουμένης ἐν ὑπομονῇ τῶν αὐτῶν παθημάτων ὧν καὶ ἡμεῖς πάσχομεν· εἴτε [b] παρακαλούμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας· καὶ ἡ ἐλπὶς ἡμῶν βεβαία ὑπὲρ ὑμῶν.

[c] ἔργον.

7 Εἰδότες ὅτι ὥσπερ κοινωνοί [a] ἐστε τῶν παθημάτων, οὕτω καὶ τῆς παρακλήσεως.

8 Οὐ γὰρ θέλομεν ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὑπὲρ τῆς θλίψεως ἡμῶν τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ, ὅτι καθ᾽ ὑπερβολὴν [d] ἐβαρήθημεν ὑπὲρ δύναμιν, ὥστε [e] ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ [f] ζῆν.

[d] βαρύς.
[e] πείρω.
[f] ζάω.

9 Ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου [g] ἐσχήκαμεν, ἵνα μὴ [h] πεποιθότες [a] ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς.

[g] ἔχω.
[h] πείθω.

10 Ὃς ἐκ τηλικούτου θανάτου [i] ἐῤῥύσατο ἡμᾶς, καὶ [i] ῥύεται· εἰς ὃν [k] ἠλπίκαμεν ὅτι καὶ ἔτι [i] ῥύσεται·

[i] ῥύω.
[k] ἐλπίς.

11 Συνυπουργούντων καὶ ὑμῶν ὑπὲρ ἡμῶν τῇ δεήσει· ἵνα ἐκ πολλῶν προσώπων τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν [l] εὐχαριστηθῇ ὑπὲρ ἡμῶν.

[l] χάρις.

12 Ἡ γὰρ καύχησις ἡμῶν αὕτη [a] ἐστὶ, τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν, ὅτι ἐν ἁπλότητι καὶ εἰλικρινείᾳ Θεοῦ, οὐκ ἐν σοφίᾳ σαρκικῇ, ἀλλ' ἐν χάριτι Θεοῦ [m] ἀνεστράφημεν ἐν τῷ κόσμῳ, περισσοτέρως δὲ πρὸς ὑμᾶς.

[m] στρέφω.

13 Οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν ἀλλ' ἢ ἃ ἀναγινώσκετε, ἢ καὶ ἐπιγινώσκετε· ἐλπίζω δὲ ὅτι καὶ ἕως τέλους [n] ἐπιγνώσεσθε·

14 Καθὼς καὶ [n] ἐπέγνωτε ἡμᾶς ἀπὸ μέρους, ὅτι καύχημα ὑμῶν [a] ἐσμὲν, καθάπερ καὶ ὑμεῖς ἡμῶν, ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ.

[n] γινώσκω.

15 Καὶ ταύτῃ τῇ πεποιθήσει [o] ἐβουλόμην πρὸς ὑμᾶς [p] ἐλθεῖν πρότερον, ἵνα δευτέραν χάριν [g] ἔχητε·

[o] βούλομαι.
[p] ἔρχομαι.

16 Καὶ δι' ὑμῶν [p] διελθεῖν εἰς Μακεδονίαν, καὶ πάλιν ἀπὸ Μακεδονίας [p] ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ὑφ' ὑμῶν [q] προπεμφθῆναι εἰς τὴν Ἰουδαίαν.

[q] πέμπω.

17 Τοῦτο οὖν βουλευόμενος, μή τι ἄρα τῇ ἐλαφρείᾳ [r] ἐχρησάμην; ἢ ἃ βουλεύομαι, κατὰ σάρκα βουλεύομαι, ἵνα [a] ᾖ παρ' ἐμοὶ, τὸ ναὶ, ναὶ, καὶ τὸ οὒ, οὔ;

[r] χράω.

18 Πιστὸς δὲ ὁ Θεὸς, ὅτι ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς οὐκ [s] ἐγένετο ναὶ καὶ οὔ.

[s] γίνομαι.

19 Ὁ γὰρ τοῦ Θεοῦ υἱὸς Ἰησοῦς Χριστὸς, ὁ ἐν ὑμῖν δι' ἡμῶν [t] κηρυχθεὶς, δι' ἐμοῦ καὶ Σιλουανοῦ καὶ Τιμοθέου, οὐκ [s] ἐγένετο ναὶ καὶ οὒ, ἀλλὰ ναὶ ἐν αὐτῷ [s] γέγονεν·

[t] κηρύσσω.

20 Ὅσαι γὰρ ἐπαγγελίαι Θεοῦ, ἐν αὐτῷ τὸ ναὶ, ϗ ἐν αὐτῷ τὸ ἀμὴν, τῷ Θεῷ πρὸς δόξαν δι' ἡμῶν.

u χρίω.

21 Ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν, ϗ [u] χρίσας ἡμᾶς Θεός·

x σφραγίς.
y δίδωμι.

22 Ὁ ϗ [x] σφραγισάμενος ἡμᾶς, ϗ [y] δοὺς τὸν ἀῤῥαβῶνα τοῦ πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν.

z ἔρχομαι.

23 Ἐγὼ δὲ μάρτυρα τὸν Θεὸν ἐπικαλοῦμαι ἐπὶ τὴν ἐμὴν ψυχὴν, ὅτι φειδόμενος ὑμῶν, οὐκέτι [z] ἦλθον εἰς Κόρινθον·

a κύριος.
b εἰμί.
c ἵστημι.

24 Οὐχ ὅτι [a] κυριεύομεν ὑμῶν τῆς πίστεως, ἀλλὰ συνεργοί [b] ἐσμεν τῆς χαρᾶς ὑμῶν· τῇ γὰρ πίστει [c] ἑστήκατε.

Κεφ. β'. Cap. II.

a κρίνω.
b ἔρχομαι.

[a] Ἔκρινα δὲ ἐμαυτῷ τοῦτο, τὸ μὴ πάλιν [b] ἐλθεῖν ἐν λύπῃ πρὸς ὑμᾶς.

c εἰμί.

2 Εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς, ϗ τίς [c] ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ;

d γράφω.
e πείθω.

3 Καὶ [d] ἔγραψα ὑμῖν τοῦτο αὐτὸ, ἵνα μὴ [b] ἐλθὼν λύπην ἔχω ἀφ' ὧν ἔδει με χαίρειν· [e] πεποιθὼς ἐπὶ πάντας ὑμᾶς ὅτι ἡ ἐμὴ χαρὰ, πάντων ὑμῶν [c] ἐστιν.

f λύπη.
g γινώσκω.

4 Ἐκ γὰρ πολλῆς θλίψεως ϗ συνοχῆς καρδίας [d] ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων· οὐχ ἵνα [f] λυπηθῆτε, ἀλλὰ τὴν ἀγάπην ἵνα [g] γνῶτε ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς.

h βαρύς.

5 Εἰ δέ τις [f] λελύπηκεν, οὐκ ἐμὲ [f] λελύπηκεν, ἀλλὰ ἀπὸ μέρους (ἵνα μὴ [h] ἐπιβαρῶ) πάντας ὑμᾶς.

6 Ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη ἡ ὑπὸ τῶν πλειόνων.

i πίνω.

7 Ὥστε τοὐναντίον μᾶλλον ὑμᾶς χαρίσασθαι, ϗ παρακαλέσαι, μήπως τῇ περισσοτέρᾳ λύπῃ [i] καταποθῇ ὁ τοιοῦτος.

8 Διὸ παρακαλῶ ὑμᾶς κυρῶσαι εἰς αὐτὸν ἀγάπην.

9 Εἰς τοῦτο γὰρ ϗ [d] ἔγραψα, ἵνα [g] γνῶ τὴν δοκιμὴν ὑμῶν, εἰ εἰς πάντα ὑπήκοοί [c] ἐστε.

10 Ὧ δέ τι [k] χαρίζεσθε, καὶ ἐγώ· καὶ γὰρ ἐγὼ εἴ τι κεχάρισμαι, ᾧ κεχάρισμαι, δι' ὑμᾶς ἐν προσώπῳ Χριστοῦ, ἵνα μὴ [l] πλεονεκτηθῶμεν ὑπὸ τοῦ σατανᾶ.

[k] χάρις.
[l] ἔχω.

11 Οὐ γὰρ αὐτοῦ τὰ [m] νοήματα ἀγνοοῦμεν.

[m] νέος.

12 [b] Ἐλθὼν δὲ εἰς τὴν Τρῳάδα εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ θύρας μοι [n] ἀνεῳγμένης ἐν Κυρίῳ, οὐκ [o] ἔσχηκα ἄνεσιν τῷ πνεύματί μου τῷ μὴ [p] εὑρεῖν με Τίτον τὸν ἀδελφόν μου.

[n] οἴγω.
[o] ἔχω.
[p] εὑρίσκω.

13 Ἀλλὰ [q] ἀποταξάμενος αὐτοῖς, ἐξῆλθον εἰς Μακεδονίαν.

[q] τάσσω.

14 Τῷ δὲ Θεῷ χάρις τῷ πάντοτε [r] θριαμβεύοντι ἡμᾶς ἐν τῷ Χριστῷ· καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ [s] φανεροῦντι δι' ἡμῶν ἐν παντὶ τόπῳ.

[r] θρίαμβος
[s] φαίνω.

15 Ὅτι Χριστοῦ εὐωδία [c] ἐσμὲν τῷ Θεῷ ἐν τοῖς [t] σωζομένοις, καὶ ἐν τοῖς [u] ἀπολλυμένοις·

[t] σόος.
[u] ὀνύω.

16 Οἷς μὲν, ὀσμὴ θανάτου εἰς θάνατον· οἷς δὲ, ὀσμὴ ζωῆς εἰς ζωήν· καὶ πρὸς ταῦτα τίς ἱκανός;

17 Οὐ γάρ ἐσμεν, ὡς οἱ πολλοὶ, [x] καπηλεύοντες τὸν λόγον τοῦ Θεοῦ, ἀλλ' ὡς ἐξ εἰλικρινείας, ἀλλ' ὡς ἐκ Θεοῦ, κατενώπιον τοῦ Θεοῦ, ἐν Χριστῷ [y] λαλοῦμεν.

[x] κάπηλος.
[y] λαλέω.

Κεφ. γ΄. Cap. III.

Ἀρχόμεθα πάλιν ἑαυτοὺς συνιστάνειν; ἢ μὴ χρῄζομεν, ὥς τινες, συστατικῶν ἐπιστολῶν πρὸς ὑμᾶς, ἢ ἐξ ὑμῶν συστατικῶν;

2 Ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς [a] ἐστε, [b] ἐγγεγραμμένη ἐν ταῖς καρδίαις ἡμῶν, γινωσκομένη καὶ ἀναγινωσκομένη ὑπὸ πάντων ἀνθρώπων.

[a] εἰμί.
[b] γράφω.

3 Φανερούμενοι ὅτι [a] ἐστὲ ἐπιστολὴ Χριστοῦ [c] διακονηθεῖσα ὑφ' ἡμῶν, [b] ἐγγεγραμμένη οὐ μέλανι, ἀλλὰ πνεύματι Θεοῦ ζῶντος, οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις.

[c] κονέω.

4 [d] Πεποίθησιν δὲ τοιαύτην ἔχομεν διὰ τοῦ Χριστοῦ πρὸς τὸν Θεόν·

[d] πείθω.

5 Οὐχ ὅτι ἱκανοί [a] ἐσμεν ἀφ' ἑαυτῶν [e] λο-

[e] λέγω.

γίσασθαί τι, ὡς ἐξ ἑαυτῶν, ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ.

6 Ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνους καινῆς διαθήκης, οὐ γράμματος, ἀλλὰ πνεύματος· τὸ γὰρ γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ.

7 Εἰ δὲ ἡ διακονία τοῦ θανάτου ἐν γράμμασιν,
[f] τύπτω. [f] ἐντετυπωμένη ἐν λίθοις, [g] ἐγενήθη ἐν δόξῃ,
[g] γίνομαι. ὥστε μὴ δύνασθαι ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς
τὸ πρόσωπον Μωσέως, διὰ τὴν δόξαν τοῦ προσώπου
[h] ἔργον. αὐτοῦ, τὴν [h] καταργουμένην.

8 Πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ πνεύματος [a] ἔσται ἐν δόξῃ;

9 Εἰ γὰρ ἡ διακονία τῆς κατακρίσεως, δόξα, πολλῷ μᾶλλον περισσεύει ἡ διακονία τῆς δικαιοσύνης ἐν δόξῃ.

[i] δοκέω. 10 Καὶ γὰρ οὐδὲ [i] δεδόξασται τὸ [i] δεδοξασμένον ἐν τούτῳ τῷ μέρει, ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης.

11 Εἰ γὰρ τὸ [h] καταργούμενον, διὰ δόξης· πολλῷ μᾶλλον τὸ μένον, ἐν δόξῃ.

12 Ἔχοντες οὖν τοιαύτην ἐλπίδα, πολλῇ
[l] χράω. παῤῥησίᾳ [l] χρώμεθα.

[m] τίθημι. 13 Καὶ οὐ καθάπερ Μωσῆς [m] ἐτίθει κάλυμ-
[n] τείνω. μα ἐπὶ τὸ πρόσωπον ἑαυτοῦ, πρὸς τὸ μὴ [n] ἀτε-
[o] ἔργον. νίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ τέλος τοῦ [o] καταργουμένου.

[p] πωρόω. 14 Ἀλλ' [p] ἐπωρώθη τὰ νοήματα αὐτῶν· ἄχρι γὰρ τῆς σήμερον τὸ αὐτὸ κάλυμμα ἐπὶ τῇ
[q] καλύπτω. ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει, μὴ [q] ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ [k] καταργεῖται.

15 Ἀλλ' ἕως σήμερον, ἡνίκα ἀναγινώσκεται Μωσῆς· κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται.

[r] στρέφω. 16 Ἡνίκα δ' ἂν [r] ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα.

17 Ὁ δὲ Κύριος τὸ πνεῦμά [a] ἐστιν· οὗ δὲ τὸ πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία.

[s] καλύπτω. 18 Ἡμεῖς δὲ πάντες [s] ἀνακεκαλυμμένῳ προσώπῳ

σώπῳ τὴν δόξαν Κυρίου [t] κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα [u] μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου πνεύματος.

[t] ὄπτομαι.
[u] μορφή.

Κεφ. δ'. Cap. IV.

Διὰ τοῦτο ἔχοντες τὴν διακονίαν ταύτην, καθὼς [a] ἠλεήθημεν, οὐκ [b] ἐκκακοῦμεν.

[a] ἔλεος.
[b] κακός.

2 Ἀλλ' [c] ἀπειπάμεθα τὰ κρυπτὰ τῆς αἰσχύνης, μὴ περιπατοῦντες ἐν πανουργίᾳ, μηδὲ δολοῦντες τὸν λόγον τοῦ Θεοῦ, ἀλλὰ τῇ φανερώσει τῆς ἀληθείας [d] συνιστῶντες ἑαυτοὺς πρὸς πᾶσαν συνείδησιν ἀνθρώπων, ἐνώπιον τοῦ Θεοῦ.

[c] ἔπω.
[d] ἵστημι.

3 Εἰ δὲ καὶ [e] ἔστι [f] κεκαλυμμένον τὸ εὐαγγέλιον ἡμῶν, ἐν τοῖς [g] ἀπολλυμένοις [e] ἐστὶ [f] κεκαλυμμένον·

[e] εἰμί.
[f] καλύπτω.
[g] ὀλλύω.

4 Ἐν οἷς ὁ Θεὸς τοῦ αἰῶνος τούτου [h] ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων, εἰς τὸ μὴ [i] αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ, ὅς [e] ἐστιν εἰκὼν τοῦ Θεοῦ.

[h] τυφλός.
[i] αὐγή.

5 Οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ Χριστὸν Ἰησοῦν Κύριον· ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦν.

6 Ὅτι ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς [k] λάμψαι, ὃς [k] ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν, πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ ἐν προσώπῳ Ἰησοῦ Χριστοῦ.

[k] λάμπω.

7 Ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν, ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως [e] ᾖ τοῦ Θεοῦ, καὶ μὴ ἐξ ἡμῶν.

8 Ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ [l] στενοχωρούμενοι [m] ἀπορούμενοι, ἀλλ' [m] οὐκ ἐξαπορούμενοι·

[l] χῶρος.
[m] πόρος.

9 Διωκόμενοι, ἀλλ' οὐκ [n] ἐγκαταλειπόμενοι· καταβαλλόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι·

[n] λείπω.

10 Πάντοτε τὴν νέκρωσιν τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ σώματι ἡμῶν [o] φανερωθῇ.

[o] φαίνω.

11 Ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες, εἰς θάνατον [p] παραδιδόμεθα διὰ Ἰησοῦν· ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν.

[p] δίδωμι.

q ἔργον.

12 Ὥστε ὁ μὲν θάνατος ἐν ἡμῖν [q] ἐνεργεῖται, ἡ δὲ ζωὴ ἐν ὑμῖν.

r γράφω.
s πίστις.
t λαλέω.

13 Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως· κατὰ τὸ [r] γεγραμμένον, [s] Ἐπίστευσα, διὸ [t] ἐλάλησα· καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν.

14 Εἰδότες ὅτι ὁ ἐγείρας τὸν Κύριον Ἰησοῦν, καὶ ἡμᾶς διὰ Ἰησοῦ ἐγερεῖ, καὶ [d] παραστήσει σὺν ὑμῖν.

u πολύς.
x περί.

15 Τὰ γὰρ πάντα δι' ὑμᾶς, ἵνα ἡ χάρις [u] πλεονάσασα, διὰ τῶν [u] πλειόνων τὴν εὐχαριστίαν [x] περισσεύσῃ εἰς τὴν δόξαν τοῦ Θεοῦ.

y κακός.

16 Διὸ οὐκ [y] ἐκκακοῦμεν, ἀλλ' εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ ἔσωθεν ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ.

17 Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν·

18 Μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα· τὰ γὰρ βλεπόμενα, πρόσκαιρα· τὰ δὲ μὴ βλεπόμενα, αἰώνια.

Κεφ. ε. Cap. V.

a εἴδω.
b γῆ.
c λύω.
d ποιέω.

[a] Οἴδαμεν γὰρ ὅτι, ἐὰν ἡ [b] ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους [c] καταλυθῇ, οἰκοδομὴν ἐκ Θεοῦ ἔχομεν, οἰκίαν [d] ἀχειροποίητον, αἰώνιον, ἐν τοῖς οὐρανοῖς.

e δύω.
f ποθέω.

2 Καὶ γὰρ ἐν τούτῳ στενάζομεν, τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ [e] ἐπενδύσασθαι [f] ἐπιποθοῦντες.

g εὑρίσκω.

3 Εἴγε καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ [g] εὑρεθησόμεθα.

h εἰμί.
* πίνω.

4 Καὶ γὰρ οἱ [h] ὄντες ἐν τῷ σκήνει στενάζομεν βαρούμενοι, ἐφ' ᾧ οὐ θέλομεν [e] ἐκδύσασθαι, ἀλλ' [e] ἐπενδύσασθαι, ἵνα * καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς.

i ἔργον.
k δίδωμι.

5 Ὁ δὲ [i] κατεργασάμενος ἡμᾶς εἰς αὐτὸ τοῦτο, Θεός, ὁ καὶ [k] δοὺς ἡμῖν τὸν ἀρραβῶνα τοῦ πνεύματος.

l θάρσος.
m δῆμος.

6 [l] Θαρροῦντες οὖν πάντοτε, καὶ [a] εἰδότες ὅτι [m] ἐνδημοῦντες ἐν τῷ σώματι, [m] ἐκδημοῦμεν ἀπὸ τοῦ Κυρίου.

7 (Διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους)

8 Θαῤῥοῦμεν δὲ, καὶ εὐδοκοῦμεν μᾶλλον [m] ἐκδημῆσαι ἐκ τοῦ σώματος, καὶ [m] ἐνδημῆσαι πρὸς τὸν Κύριον.

9 Διὸ καὶ [n] φιλοτιμούμεθα, εἴτε [m] ἐνδημοῦντες, εἴτε [m] ἐκδημοῦντες, εὐάρεστοι αὐτῷ [h] εἶναι.

[n] τίω.

10 Τοὺς γὰρ πάντας ἡμᾶς [o] φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα [p] κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ [q] ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακόν.

[o] φαίνω.
[p] κομίω.
[q] πράττω.

11 [d] Εἰδότες οὖν τὸν φόβον τοῦ Κυρίου, ἀνθρώπους πείθομεν, Θεῷ δὲ [o] πεφανερώμεθα· ἐλπίζω δὲ καὶ ἐν ταῖς συνειδήσεσιν ὑμῶν [o] πεφανερῶσθαι.

12 Οὐ γὰρ πάλιν ἑαυτοὺς [r] συνιστάνομεν ὑμῖν, ἀλλὰ ἀφορμὴν [k] διδόντες ὑμῖν [s] καυχήματος ὑπὲρ ἡμῶν· ἵνα ἔχητε πρὸς τοὺς ἐν προσώπῳ [s] καυχωμένους, καὶ οὐ καρδίᾳ.

[r] ἵστημι.
[s] καυχάομαι

13 Εἴτε γὰρ [r] ἐξέστημεν, Θεῷ· εἴτε σωφρονοῦμεν, ὑμῖν.

14 Ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς.

15 Κρίναντας τοῦτο, ὅτι εἰ εἷς ὑπὲρ πάντων [t] ἀπέθανεν, ἄρα οἱ πάντες [t] ἀπέθανον· καὶ ὑπὲρ πάντων [t] ἀπέθανεν, ἵνα οἱ ζῶντες [u] μηκέτι ἑαυτοῖς [u] ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν [t] ἀποθανόντι καὶ [x] ἐγερθέντι.

[t] θνήσκω.
[u] ζάω.
[x] ἐγείρω.

16 Ὥστε ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα [a] οἴδαμεν κατὰ σάρκα· εἰ δὲ καὶ [y] ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκ ἔτι γινώσκομεν.

[y] γινώσκω.

17 Ὥστε εἴτις ἐν Χριστῷ, καινὴ κτίσις· τὰ ἀρχαῖα [z] παρῆλθεν, ἰδοὺ [a] γέγονε καινὰ τὰ πάντα.

[z] ἔρχομαι.
[a] γίνομαι.

18 Τὰ δὲ πάντα ἐκ τοῦ Θεοῦ, τοῦ [b] καταλλάξαντος ἡμᾶς ἑαυτῷ διὰ Ἰησοῦ Χριστοῦ, καὶ [c] δόντος ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς.

[b] ἀλλάττω.
[c] δίδωμι.

19 Ὡς ὅτι Θεὸς [d] ἦν ἐν Χριστῷ κόσμον καταλλάσσων ἑαυτῷ, μὴ λογιζόμενος αὐτοῖς τὰ [e] παραπτώματα αὐτῶν· καὶ [f] θέμενος ἐν ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς.

[d] εἰμί.
[e] πίπτω.
[f] τίθημι.

20 Ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν, ὡς τοῦ Θεοῦ [g] παρακαλοῦντος δι' ἡμῶν· δεόμεθα ὑπὲρ Χριστοῦ, [b] καταλλάγητε τῷ Θεῷ.

[g] καλέω.

21 Τὸν γὰρ μὴ [h] γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς [a] γινώμεθα δικαιοσύνη Θεοῦ ἐν αὐτῷ.

[h] γινώσκω.

Κεφ. ϛʹ. Cap. VI.

[a] Συνεργοῦντες δὲ καὶ παρακαλοῦμεν μὴ εἰς κενὸν τὴν χάριν τοῦ Θεοῦ [b] δέξασθαι ὑμᾶς.

[a] ἔργον.
[b] δέχομαι.

2 Λέγει γάρ, Καιρῷ δεκτῷ [c] ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας [d] ἐβοήθησά σοι· ἰδοὺ νῦν καιρὸς [e] εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας.

[c] ἀκούω.
[d] βοηθέω.
[e] δίδωμι.

3 Μηδεμίαν ἐν μηδενὶ [e] διδόντες προσκοπήν, ἵνα μὴ [f] μωμηθῇ ἡ διακονία.

[f] μῶμος.
[g] ἵστημι.

4 Ἀλλ' ἐν παντὶ [g] συνιστῶντες ἑαυτοὺς ὡς Θεοῦ διάκονοι, ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις,

5 Ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις·

6 Ἐν ἁγνότητι, ἐν γνώσει, ἐν μακροθυμίᾳ, ἐν χρηστότητι, ἐν πνεύματι ἁγίῳ, ἐν ἀγάπῃ [h] ἀνυποκρίτῳ,

[h] κρίνω.

7 Ἐν λόγῳ ἀληθείας, ἐν δυνάμει Θεοῦ, διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν.

8 Διὰ δόξης καὶ ἀτιμίας, διὰ δυσφημίας καὶ εὐφημίας· ὡς πλάνοι, καὶ ἀληθεῖς·

9 Ὡς ἀγνοούμενοι, καὶ ἐπιγινωσκόμενοι· ὡς ἀποθνήσκοντες καὶ ἰδοὺ [i] ζῶμεν· ὡς παιδευόμενοι, καὶ μὴ [k] θανατούμενοι·

[i] ζάω.
[k] θνήσκω.

10 Ὡς λυπούμενοι, ἀεὶ δὲ χαίροντες· ὡς πτωχοί, πολλοὺς δὲ πλουτίζοντες· ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες.

11 Τὸ στόμα ἡμῶν [l] ἀνέῳγε πρὸς ὑμᾶς, Κορίνθιοι, ἡ καρδία ἡμῶν [m] πεπλάτυνται.

[l] οἴγω.
[m] πλατύς.

12 Οὐ [n] στενοχωρεῖσθε ἐν ἡμῖν, [n] στενοχωρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑμῶν.

[n] χῶρος.

13 Τὴν δὲ αὐτὴν [o] ἀντιμισθίαν ὡς τέκνοις λέγω· [p] πλατύνθητε καὶ ὑμεῖς.

[o] μισθός.
[p] πλατύς.

14 Μὴ γίνεσθε [q] ἑτεροζυγοῦντες ἀπίστοις· τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; τίς δὲ κοινωνία φωτὶ πρὸς σκότος;

[q] ζεύγνυμι.

15 Τίς δὲ συμφώνησις Χριστῷ πρὸς Βελίαλ; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου;

16 [r] Τίς δὲ [r] συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων; ὑμεῖς γὰρ ναὸς Θεοῦ [s] ἐστε ζῶντος· καθὼς εἶπεν ὁ Θεὸς, Ὅτι ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω· καὶ [s] ἔσομαι αὐτῶν Θεὸς, καὶ αὐτοὶ [s] ἔσονταί μοι λαός.

[r] τίθημι.
[s] εἰμί.

17 Διὸ [t] ἐξέλθετε ἐκ μέσου αὐτῶν καὶ [u] ἀφορίσθητε, λέγει Κύριος· καὶ ἀκαθάρτου μὴ [x] ἅπτεσθε· κἀγὼ [b] εἰσδέξομαι ὑμᾶς.

[t] ἔρχομαι.
[u] ὅρος.
[x] ἅπτω.

18 Καὶ [s] ἔσομαι ὑμῖν εἰς πατέρα, καὶ ὑμεῖς [s] ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας· λέγει Κύριος παντοκράτωρ.

Κεφ. ζ'. Cap. VII.

Ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας ἀγαπητοὶ, [a] καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, [b] ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ.

[a] καθαίρω.
[b] τέλος.

2 Χωρήσατε ἡμᾶς· οὐδένα [c] ἠδικήσαμεν, οὐδένα [d] ἐφθείραμεν, οὐδένα [e] ἐπλεονεκτήσαμεν.

[c] δίκη.
[d] φθίω.
[e] ἔχω.

3 Οὐ πρὸς κατάκρισιν λέγω· [f] προείρηκα γὰρ ὅτι ἐν ταῖς καρδίαις ἡμῶν [g] ἐστε εἰς τὸ [h] συναποθανεῖν καὶ [i] συζῆν.

[f] ῥέω.
[g] εἰμί.
[h] θνήσκω.
[i] ζάω.

4 Πολλή μοι παῤῥησία πρὸς ὑμᾶς, πολλή μοι καύχησις ὑπὲρ ὑμῶν· [k] πεπλήρωμαι τῇ παρακλήσει, [l] ὑπερπερισσεύομαι τῇ χαρᾷ ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν.

[k] πλέος.
[l] περί.

5 Καὶ γὰρ [m] ἐλθόντων ἡμῶν εἰς Μακεδονίαν, οὐδεμίαν [d] ἔσχηκεν ἄνεσιν ἡ σὰρξ ἡμῶν, ἀλλ' ἐν παντὶ θλιβόμενοι· ἔξωθεν μάχαι, ἔσωθεν φόβοι.

[m] ἔρχομαι.

6 Ἀλλ' ὁ [n] παρακαλῶν τοὺς ταπεινοὺς, [n] παρεκάλεσεν ἡμᾶς, ὁ Θεὸς, ἐν τῇ παρουσίᾳ Τίτου.

[n] καλέω.

7 Οὐ μόνον δὲ ἐν τῇ παρουσίᾳ αὐτοῦ, ἀλλὰ καὶ ἐν τῇ [n] παρακλήσει ᾗ [n] παρεκλήθη ἐφ' ὑμῖν,

[o] πείθω. [p] χαίρω. [q] λύπη. [r] μέλει.

ἀναγγέλλων ἡμῖν τὴν ὑμῶν [o] ἐπιπόθησιν, τὸν ὑμῶν ὀδυρμόν, τὸν ὑμῶν ζῆλον ὑπὲρ ἐμοῦ· ὥστε με μᾶλλον [p] χαρῆναι.

8 Ὅτι εἰ καὶ [q] ἐλύπησα ὑμᾶς ἐν τῇ ἐπιστολῇ, οὐ [r] μεταμέλομαι, εἰ καὶ [r] μετεμελόμην· βλέπω γὰρ ὅτι ἡ ἐπιστολὴ ἐκείνη εἰ καὶ πρὸς ὥραν ἐλύπησεν ὑμᾶς·

[s] ζημία.

9 Νῦν χαίρω, οὐχ ὅτι [q] ἐλυπήθητε, ἀλλ' ὅτι [q] ἐλυπήθητε εἰς μετάνοιαν· [q] ἐλυπήθητε γὰρ κατὰ Θεόν, ἵνα ἐν μηδενὶ [s] ζημιωθῆτε ἐξ ἡμῶν.

10 Ἡ γὰρ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν [r] ἀμεταμέλητον κατεργάζεται· ἡ δὲ τοῦ κόσμου λύπη, θάνατον κατεργάζεται.

[t] ἔργον. [u] ἵστημι.

11 Ἰδοὺ γὰρ αὐτὸ τοῦτο τὸ κατὰ Θεὸν [q] λυπηθῆναι ὑμᾶς, πόσην [t] κατειργάσατο ὑμῖν σπουδήν; ἀλλὰ ἀπολογίαν, ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ φόβον, ἀλλὰ ἐπιπόθησιν, ἀλλὰ ζῆλον, ἀλλὰ ἐκδίκησιν· ἐν παντὶ [u] συνεστήσατε ἑαυτοὺς ἁγνοὺς [g] εἶναι ἐν τῷ πράγματι.

[x] γράφω. [y] ἀδικέω. [z] φαίνω.

12 Ἄρα εἰ καὶ [x] ἔγραψα ὑμῖν, οὐκ εἵνεκεν τοῦ [y] ἀδικήσαντος, οὐδὲ εἵνεκεν τοῦ [y] ἀδικηθέντος· ἀλλ' εἵνεκεν τοῦ [z] φανερωθῆναι τὴν σπουδὴν ἡμῶν τὴν ὑπὲρ ὑμῶν πρὸς ὑμᾶς ἐνώπιον τοῦ Θεοῦ.

[a] καλέω. [b] χαίρω. [c] παύω.

13 Διὰ τοῦτο [a] παρακεκλήμεθα ἐπὶ τῇ παρακλήσει ὑμῶν· περισσοτέρως δὲ μᾶλλον [b] ἐχάρημεν ἐπὶ τῇ χαρᾷ Τίτου, ὅτι [c] ἀναπέπαυται τὸ πνεῦμα αὐτοῦ ἀπὸ πάντων ὑμῶν.

[d] καυχάομαι. [e] αἰσχ. [f] λαλέω. [g] γίνομαι.

14 Ὅτι εἴ τι αὐτῷ ὑπὲρ ὑμῶν [d] κεκαύχημαι, οὐ [e] κατῃσχύνθην· ἀλλ' ὡς πάντα ἐν ἀληθείᾳ [f] ἐλαλήσαμεν ὑμῖν, οὕτω καὶ ἡ καύχησις ἡμῶν ἡ ἐπὶ Τίτου, ἀλήθεια [g] ἐγενήθη.

[i] μιμνήσκομαι. [k] δέχομαι.

15 Καὶ τὰ σπλάγχνα αὐτοῦ περισσοτέρως εἰς ὑμᾶς [h] ἐστιν, [i] ἀναμιμνησκομένου τὴν πάντων ὑμῶν ὑπακοήν, ὡς μετὰ φόβου καὶ τρόμου [k] ἐδέξασθε αὐτόν.

16 Χαίρω οὖν ὅτι ἐν παντὶ θαῤῥῶ ἐν ὑμῖν.

Κεφ. η΄. Cap. VIII.

Γνωρίζομεν δὲ ὑμῖν, ἀδελφοὶ, τὴν χάριν τοῦ Θεοῦ τὴν [a] δεδομένην ἐν ταῖς ἐκκλησίαις τῆς Μακεδονίας·

2 Ὅτι ἐν πολλῇ δοκιμῇ θλίψεως ἡ περισσεία τῆς χαρᾶς αὐτῶν, καὶ ἡ κατὰ βάθους πτωχεία αὐτῶν [b] ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν.

3 Ὅτι κατὰ δύναμιν (μαρτυρῶ) καὶ ὑπὲρ δύναμιν αὐθαίρετοι.

4 Μετὰ πολλῆς παρακλήσεως δεόμενοι ἡμῶν, τὴν χάριν καὶ τὴν κοινωνίαν τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους [c] δέξασθαι ἡμᾶς.

5 Καὶ οὐ καθὼς [d] ἠλπίσαμεν, ἀλλ᾽ ἑαυτοὺς [a] ἔδωκαν πρῶτον τῷ Κυρίῳ καὶ ἡμῖν διὰ θελήματος Θεοῦ.

6 Εἰς τὸ [e] παρακαλέσαι ἡμᾶς Τίτον, ἵνα καθὼς [f] προενήρξατο, οὕτω καὶ [g] ἐπιτελέσῃ εἰς ὑμᾶς καὶ τὴν χάριν ταύτην.

7 Ἀλλ᾽ ὥσπερ ἐν παντὶ [b] περισσεύετε πίστει, καὶ λόγῳ, καὶ γνώσει, καὶ πάσῃ σπουδῇ, καὶ τῇ ἐξ ὑμῶν ἐν ὑμῖν ἀγάπῃ, ἵνα καὶ ἐν ταύτῃ τῇ χάριτι [b] περισσεύητε.

8 Οὐ κατ᾽ ἐπιταγὴν λέγω, ἀλλὰ διὰ τῆς ἑτέρων σπουδῆς, καὶ τὸ τῆς ὑμετέρας ἀγάπης γνήσιον δοκιμάζων.

9 Γινώσκετε γὰρ τὴν χάριν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι δι᾽ ὑμᾶς [h] ἐπτώχευσε, πλούσιος [i] ὤν· ἵνα ὑμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσητε.

10 Καὶ γνώμην ἐν τούτῳ δίδωμι· τοῦτο γὰρ ὑμῖν συμφέρει, οἵτινες οὐ μόνον τὸ ποιῆσαι ἀλλὰ καὶ τὸ θέλειν [f] προενήρξασθε ἀπὸ πέρυσι.

11 Νυνὶ δὲ καὶ τὸ ποιῆσαι [g] ἐπιτελέσατε· ὅπως καθάπερ ἡ προθυμία τοῦ θέλειν, οὕτω καὶ τὸ [g] ἐπιτελέσαι ἐκ τοῦ ἔχειν.

12 Εἰ γὰρ ἡ προθυμία πρόκειται, καθὸ ἐὰν ἔχῃ τις, εὐπρόσδεκτος, οὐ καθὸ οὐκ ἔχει.

[a] δίδωμι.
[b] περί.
[c] δέχομαι.
[d] ἐλπίς.
[e] καλέω.
[f] ἄρχω.
[g] τέλος.
[h] πτοίω.
[i] εἰμί.

13 Οὐ γὰρ ἵνα ἄλλοις ἄνεσις, ὑμῖν δὲ θλίψις· ἀλλ' ἐξ ἰσότητος ἐν τῷ νῦν καιρῷ τὸ ὑμῶν περίσσευμα εἰς τὸ ἐκείνων ὑστέρημα·

[k] γίνομαι.

14 Ἵνα καὶ τὸ ἐκείνων περίσσευμα [k] γένηται εἰς τὸ ὑμῶν ὑστέρημα, ὅπως [k] γένηται ἰσότης.

[l] γράφω.
[m] πολύς.
[n] ἐλαχύς.

15 Καθὼς [l] γέγραπται, Ὁ τὸ πολὺ, οὐκ [m] ἐπλεόνασε· καὶ ὁ τὸ ὀλίγον, οὐκ [n] ἠλαττόνησε.

16 Χάρις δὲ τῷ Θεῷ τῷ [a] διδόντι τὴν αὐτὴν σπουδὴν ὑπὲρ ὑμῶν ἐν τῇ καρδίᾳ Τίτου,

[o] ἔρχομαι.

17 Ὅτι τὴν μὲν παράκλησιν [c] ἐδέξατο, σπουδαιότερος δὲ ὑπάρχων, αὐθαίρετος [o] ἐξῆλθε πρὸς ὑμᾶς.

[p] πέμπω.

18 [p] Συνεπέμψαμεν δὲ μετ' αὐτοῦ τὸν ἀδελφὸν, οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ διὰ πασῶν τῶν ἐκκλησιῶν.

[q] τείνω.
[r] [illegible]μος.

19 (Οὐ μόνον δὲ, ἀλλὰ καὶ [q] χειροτονηθεὶς ὑπὸ τῶν ἐκκλησιῶν [r] συνέκδημος ἡμῶν, σὺν τῇ χάριτι ταύτῃ τῇ διακονουμένῃ ὑφ' ἡμῶν πρὸς τὴν αὐτοῦ τοῦ Κυρίου δόξαν καὶ προθυμίαν ὑμῶν)

[s] μῶμος.

20 Στελλόμενοι τοῦτο, μήτις ἡμᾶς [s] μωμήσηται ἐν τῇ ἁδρότητι ταύτῃ τῇ διακονουμένῃ ὑφ' ἡμῶν.

21 Προνοούμενοι καλὰ οὐ μόνον ἐνώπιον Κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων.

[t] δοκιμή.
[u] πείθω.

22 [p] Συνεπέμψαμεν δὲ αὐτοῖς τὸν ἀδελφὸν ἡμῶν, ὃν [t] ἐδοκιμάσαμεν ἐν πολλοῖς πολλάκις σπουδαῖον [i] ὄντα, νυνὶ δὲ πολὺ σπουδαιότερον, [u] πεποιθήσει πολλῇ τῇ εἰς ὑμᾶς.

23 Εἴτε ὑπὲρ Τίτου, κοινωνὸς ἐμὸς καὶ εἰς ὑμᾶς συνεργός. εἴτε ἀδελφοὶ ἡμῶν, ἀπόστολοι ἐκκλησιῶν, δόξα Χριστοῦ.

[x] ἐνδεικνύω.

24 Τὴν οὖν ἔνδειξιν τῆς ἀγάπης ὑμῶν, καὶ ἡμῶν καυχήσεως ὑπὲρ ὑμῶν, εἰς αὐτοὺς [x] ἐνδείξασθε, καὶ εἰς πρόσωπον τῶν ἐκκλησιῶν.

Κεφ. θ'. Cap. IX.

[a] εἰμί.

Περὶ μὲν γὰρ τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους περισσόν μοι [a] ἐστι τὸ γράφειν ὑμῖν.

2 [b] Οἶδα

2 [b] Οἶδα γὰρ τὴν προθυμίαν ὑμῶν, ἣν ὑπὲρ ὑμῶν καυχῶμαι Μακεδόσιν, ὅτι Ἀχαΐα [c] παρεσκεύασται ἀπὸ πέρυσι· καὶ ὁ ἐξ ὑμῶν ζῆλος [d] ἠρέθισε τοὺς [e] πλείονας.

3 [f] Ἔπεμψα δὲ τοὺς ἀδελφοὺς, ἵνα μὴ τὸ καύχημα ἡμῶν τὸ ὑπὲρ ὑμῶν [g] κενωθῇ ἐν τῷ μέρει τούτῳ· ἵνα (καθὼς ἔλεγον) [c] παρεσκευασμένοι [a] ἦτε·

4 Μήπως ἐὰν [h] ἔλθωσι σὺν ἐμοὶ Μακεδόνες, καὶ [i] εὕρωσιν ὑμᾶς [c] ἀπαρασκευάστους, [k] καταισχυνθῶμεν ἡμεῖς (ἵνα μὴ λέγομεν ὑμεῖς) ἐν τῇ ὑποστάσει ταύτῃ τῆς καυχήσεως.

5 Ἀναγκαῖον οὖν [l] ἡγησάμην παρακαλέσαι τοὺς ἀδελφοὺς ἵνα [h] προέλθωσιν εἰς ὑμᾶς, καὶ [m] προκαταρτίσωσι τὴν [n] προκατηγγελμένην εὐλογίαν ὑμῶν ταύτην ἑτοίμην εἶναι, οὕτως ὡς εὐλογίαν, καὶ μὴ ὥσπερ [o] πλεονεξίαν.

6 Τοῦτο δὲ, ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει· καὶ ὁ σπείρων ἐπ᾽ εὐλογίαις, ἐπ᾽ εὐλογίαις καὶ θερίσει.

7 Ἕκαστος καθὼς προαιρεῖται τῇ καρδίᾳ· μὴ ἐκ λύπης, ἢ ἐξ ἀνάγκης· ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός.

8 Δυνατὸς δὲ ὁ Θεὸς πᾶσαν χάριν [p] περισσεῦσαι εἰς ὑμᾶς· ἵνα ἐν παντὶ πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες [p] περισσεύητε εἰς πᾶν ἔργον ἀγαθόν·

9 (Καθὼς [q] γέγραπται, Ἐσκόρπισεν, [r] ἔδωκε τοῖς [ſ] πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα.

10 Ὁ δὲ [t] ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν [t] χορηγήσαι καὶ [u] πληθύναι τὸν σπόρον ὑμῶν, καὶ [x] αὐξήσαι τὰ γεννήματα τῆς δικαιοσύνης ὑμῶν)

11 Ἐν παντὶ πλουτιζόμενοι εἰς πᾶσαν ἁπλότητα, ἥτις κατεργάζεται δι᾽ ἡμῶν εὐχαριστίαν τῷ Θεῷ.

12 Ὅτι ἡ διακονία τῆς λειτουργίας ταύτης οὐ μόνον [a] ἐστὶ [u] προσαναπληροῦσα τὰ ὑστερήματα

τῶν

[b] εἴδω.
[c] σκεῦος.
[d] ἐρέθω.
[e] πολύς.
[f] πέμπω.
[g] κενός.
[h] ἔρχομαι.
[i] εὑρίσκω.
[k] αἶσχος.
[l] ἡγέομαι.
[m] ἄρτιος.
[n] ἀγγέλλω.
[o] ἔχω.
[p] περί.
[q] γράφω.
[r] δίδωμι.
[ſ] πένομαι.
[t] ἄγω.
[u] πλέος.
[x] αὐξάνω.

τῶν ἁγίων, ἀλλὰ καὶ περισσεύουσα διὰ πολλῶν εὐχαριστιῶν τῷ Θεῷ·

13 (Διὰ τῆς δοκιμῆς τῆς διακονίας ταύτης δοξάζοντες τὸν Θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ ἁπλότητι τῆς κοινωνίας εἰς αὐτοὺς καὶ εἰς πάντας)

[y] πείθω.

14 Καὶ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν, [y] ἐπιποθούντων ὑμᾶς διὰ τὴν ὑπερβάλλουσαν[c] χάριν τοῦ Θεοῦ ἐφ' ὑμῖν.

15 Χάρις δὲ τῷ Θεῷ ἐπὶ τῇ [1] ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ.

Κεφ. ι. Cap. X.

[a] εἰμί.
[b] θάρσος.

Αὐτὸς δὲ ἐγὼ Παῦλος παρακαλῶ ὑμᾶς διὰ τῆς πρᾳότητος καὶ ἐπιεικείας τοῦ Χριστοῦ, ὃς κατὰ πρόσωπον μὲν ταπεινὸς ἐν ὑμῖν, [a] ἀπὼν δὲ [b] θαῤῥῶ εἰς ὑμᾶς.

[c] πείθω.
[d] τολμάω.

2 Δέομαι δὲ τὸ μὴ [a] παρὼν [a] θαῤῥῆσαι τῇ [c] πεποιθήσει ᾗ λογίζομαι [d] τολμῆσαι ἐπί τινας τοὺς λογιζομένους ἡμᾶς ὡς κατὰ σάρκα περιπατοῦντας.

3 Ἐν σαρκὶ γὰρ περιπατοῦντες οὐ κατὰ σάρκα στρατευόμεθα·

[e] ὀχυρός.

4 Τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικὰ, ἀλλὰ δυνατὰ τῷ Θεῷ πρὸς καθαίρεσιν [e] ὀχυρωμάτων)

5 Λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ·

[f] δίκη.
[g] πλέος.

6 Καὶ ἐν ἑτοίμῳ ἔχοντες [f] ἐκδικῆσαι πᾶσαν παρακοὴν, ὅταν [g] πληρωθῇ ὑμῶν ἡ ὑπακοή.

7 Τὰ κατὰ πρόσωπον βλέπετε; εἴ τις [c] πέποιθεν ἑαυτῷ Χριστοῦ εἶναι, τοῦτο λογιζέσθω πάλιν ἀφ' ἑαυτοῦ, ὅτι καθὼς αὐτὸς Χριστοῦ, οὕτω καὶ ἡμεῖς Χριστοῦ.

[h] δίδωμι.

8 Ἐάν τε γὰρ καὶ περισσότερόν τι καυχήσωμαι περὶ τῆς ἐξουσίας ἡμῶν, ἧς [h] ἔδωκεν ὁ Κύριος ἡμῖν

μῖν εἰς οἰκοδομὴν, καὶ οὐκ εἰς καθαίρεσιν ὑμῶν,
οὐκ [i] αἰσχυνθήσομαι· [i] αἶσχος.

9 Ἵνα μὴ δόξω ὡς ἂν ἐκφοβεῖν ὑμᾶς διὰ
τῶν ἐπιστολῶν.

10 Ὅτι αἱ μὲν ἐπιστολαὶ (φασὶ) βαρεῖαι καὶ
ἰσχυραί· ἡ δὲ παρουσία τοῦ σώματος, ἀσθενὴς, καὶ ὁ
λόγος [k] ἐξουθενημένος. [k] εἷς.

11 Τοῦτο λογιζέσθω ὁ τοιοῦτος, ὅτι οἷοί [a] ἐσ-
μεν τῷ λόγῳ δι' ἐπιστολῶν [a] ἀπόντες, τοιοῦτοι
καὶ [a] παρόντες, τῷ ἔργῳ.

12 Οὐ γὰρ τολμῶμεν ἐγκρῖναι ἢ συγκρῖναι
ἑαυτοὺς τισὶ τῶν ἑαυτοὺς [l] συνιστανόντων· ἀλλὰ [l] ἵστημι.
αὐτοὶ ἐν ἑαυτοῖς ἑαυτοὺς μετροῦντες, καὶ συγκρί-
νοντες ἑαυτοὺς ἑαυτοῖς οὐ [m] συνιοῦσιν. [m] ἴω.

13 Ἡμεῖς δὲ οὐχὶ εἰς τὰ ἄμετρα [n] καυχησό- [n] καυχάομαι
μεθα· ἀλλὰ κατὰ τὸ μέτρον τοῦ κανόνος οὗ [o] ἐμέ- [o] μοίρω.
ρισεν ἡμῖν ὁ Θεὸς μέτρου, [o] ἐφικέσθαι ἄχρι καὶ
ὑμῶν.

14 Οὐ γὰρ ὡς μὴ [p] ἐφικνούμενοι εἰς ὑμᾶς, [p] ἱκνοῦμαι.
[q] ὑπερεκτείνομεν ἑαυτούς· ἄχρι γὰρ καὶ ὑμῶν [q] κτείνω.
[r] ἐφθάσαμεν ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ. [r] φθάνω.

15 Οὐκ εἰς τὰ ἄμετρα καυχώμενοι ἐν ἀλ-
λοτρίοις κόποις, ἐλπίδα δὲ ἔχοντες, αὐξανο-
μένης τῆς πίστεως ὑμῶν, ἐν ὑμῖν [s] μεγαλυνθῆναι [s] μέγας.
κατὰ τὸν κανόνα ἡμῶν εἰς περισσείαν.

16 Εἰς τὰ ὑπερέκεινα ὑμῶν εὐαγγελίσασθαι,
οὐκ ἐν ἀλλοτρίῳ κανόνι εἰς τὰ ἕτοιμα [n] καυχή-
σασθαι.

17 Ὁ δὲ [n] καυχώμενος, ἐν Κυρίῳ [n] καυχά-
σθω.

18 Οὐ γὰρ ὁ ἑαυτὸν [l] συνιστῶν, ἐκεῖνός [a] ἐστι
δόκιμος, ἀλλ' ὃν ὁ Κύριος [l] συνίστησιν.

Κεφ. ια. Cap. XI.

Ὄφελον [a] ἀνείχεσθέ μου μικρόν τι τῆς ἀφροσύ- [a] ἔχω.
νης· ἀλλὰ καὶ [a] ἀνέχεσθέ μου.

2 Ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ· [b] ἡρμοσάμην [b] ἁρμόζω.
γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ (παρθένον ἁγνὴν) [c] πα- [c] ἵστημι.
ραστῆσαι, τῷ Χριστῷ.

3 Φοβοῦμαι δὲ μήπως ὡς ὁ ὄφις Εὔαν [d] ἐξη- [d] ἀπατάω.
πάτησεν

πάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτω [e] φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν Χριστόν.

4 Εἰ μὲν γὰρ ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει ὃν οὐκ [f] ἐκηρύξαμεν, ἢ πνεῦμα ἕτερον λαμβάνετε ὃ οὐκ [g] ἐλάβετε, ἢ εὐαγγέλιον ἕτερον ὃ οὐκ [h] ἐδέξασθε, καλῶς * ἠνείχεσθε.

5 Λογίζομαι γὰρ μηδὲν [i] ὑστερηκέναι τῶν ὑπερλίαν ἀποστόλων.

6 Εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει· ἀλλ' ἐν παντὶ [k] φανερωθέντες ἐν πᾶσιν εἰς ὑμᾶς.

7 Ἢ ἁμαρτίαν [l] ἐποίησα, ἐμαυτὸν ταπεινῶν ἵνα ὑμεῖς [m] ὑψωθῆτε· ὅτι δωρεὰν τὸ τοῦ Θεοῦ εὐαγγέλιον [n] εὐηγγελισάμην ὑμῖν;

8 Ἄλλας ἐκκλησίας [o] ἐσύλησα, [g] λαβὼν ὀψώνιον, πρὸς τὴν ὑμῶν διακονίαν· καὶ παρὼν πρὸς ὑμᾶς καὶ [i] ὑστερηθεὶς, οὐ [p] κατενάρκησα οὐδενός.

9 Τὸ γὰρ ὑστέρημά μου [q] προσανεπλήρωσαν οἱ ἀδελφοὶ [r] ἐλθόντες ἀπὸ Μακεδονίας, καὶ ἐν παντὶ [s] ἀβαρῆ ὑμῖν ἐμαυτὸν [t] ἐτήρησα, καὶ τηρήσω.

10 [u] Ἔστιν ἀλήθεια Χριστοῦ ἐν ἐμοὶ, ὅτι ἡ καύχησις αὕτη οὐ φραγήσεται εἰς ἐμὲ ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας.

11 Διὰ τί; ὅτι οὐκ ἀγαπῶ ὑμᾶς; ὁ Θεὸς [x] οἶδεν.

12 Ὃ δὲ ποιῶ, καὶ ποιήσω, ἵνα ἐκκόψω τὴν ἀφορμὴν τῶν θελόντων ἀφορμὴν, ἵνα ἐν ᾧ καυχῶνται, [y] εὑρεθῶσι καθὼς καὶ ἡμεῖς.

13 Οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι, ἐργάται δόλιοι, [a] μετασχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ.

14 Καὶ οὐ θαυμαστόν· αὐτὸς γὰρ ὁ σατανᾶς [a] μετασχηματίζεται εἰς ἄγγελον φωτός.

15 Οὐ μέγα οὖν εἰ καὶ οἱ διάκονοι αὐτοῦ [a] μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης· ὧν τὸ τέλος [u] ἔσται κατὰ τὰ ἔργα αὐτῶν.

16 Πάλιν

[e] φθείω.
[f] κηρύσσω.
[g] λαμβάνω.
[h] δέχομαι.
* ἔχω.
[i] ὕστερος.
[k] φαίνω.
[l] ποιέω.
[m] ὕψος.
[n] ἀγγέλλω.
[o] σύλη.
[p] νάρκη.
[q] πλέος.
[r] ἔρχομαι.
[s] βαρύς.
[t] τηρέω.
[u] εἰμί.
[x] εἴδω.
[y] εὑρίσκω.

16 Πάλιν λέγω, μή τις με δόξῃ ἄφρονα
[o] εἶναι· εἰ δὲ μήγε, κἂν ὡς ἄφρονα [h] δέξασθέ με,
ἵνα μικρόν τι [z] κἀγὼ [z] καυχήσωμαι. [z] καὶ ἐγώ.

17 Ὃ λαλῶ, οὐ λαλῶ κατὰ Κύριον, ἀλλ᾽ ὡς ἐν
ἀφροσύνῃ, ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως.

18 Ἐπεὶ πολλοὶ καυχῶνται κατὰ τὴν σάρκα,
[z] κἀγὼ καυχήσομαι.

19 Ἡδέως γὰρ [a] ἀνέχεσθε τῶν ἀφρόνων, φρό- [a] ἔχω.
νιμοι [b] ὄντες. [b] εἰμί.

20 [a] Ἀνέχεσθε γὰρ εἴ τις ὑμᾶς καταδουλοῖ,
εἴ τις κατεσθίει, εἴ τις λαμβάνει, εἴ τις ἐπαίρεται,
εἴ τις ὑμᾶς εἰς πρόσωπον δέρει.

21 Κατὰ ἀτιμίαν λέγω, ὡς ὅτι ἡμεῖς [c] ἠσθε- [c] ἀσθενέω.
νήσαμεν· ἐν ᾧ δ᾽ ἄν τις τολμᾷ (ἐν ἀφροσύνῃ
λέγω) τολμῶ [z] κἀγώ.

22 Ἑβραῖοί [b] εἰσι; [z] κἀγώ· Ἰσραηλῖταί
[b] εἰσι; [z] κἀγώ· σπέρμα Ἀβραάμ [b] εἰσι; κἀγώ.

23 Διάκονοι Χριστοῦ [b] εἰσι; (παραφρονῶν
λαλῶ) ὑπὲρ ἐγώ· ἐν κόποις περισσοτέρως, ἐν
πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέρως, ἐν θανάτοις πολλάκις.

24 Ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα
παρὰ μίαν [d] ἔλαβον. [d] λαμβάνω.

25 Τρὶς [e] ἐρραβδίσθην, ἅπαξ [f] ἐλιθάσθην, [e] ῥαβδίζω.
τρὶς [g] ἐναυάγησα, [h] νυχθήμερον ἐν τῷ βυθῷ [f] λιθάζω.
[i] πεποίηκα. [g] ἄγω.

26 Ὁδοιπορίαις πολλάκις, κινδύνοις ποτα- [h] ἡμέρα.
μῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κιν- [i] ποιέω.
δύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν πόλει, κινδύνοις
ἐν ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ, κινδύνοις
ἐν ψευδαδέλφοις·

27 Ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις, ἐν λιμῷ καὶ δίψει, ἐν νηστείαις πολλάκις,
ἐν ψύχει καὶ γυμνότητι.

28 Χωρὶς τῶν παρεκτὸς, ἡ [k] ἐπισύστασίς μου ἡ [k] ἵστημι.
καθ᾽ ἡμέραν, ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν.

29 Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;

30 Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι.

[l] εἴδω. 31 Ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ [l] οἶδεν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὅτι οὐ ψεύδομαι.

32 Ἐν Δαμασκῷ ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν, πιάσαι με θέλων·

[m] χαλάω. [n] φεύγω. 33 Καὶ διὰ θυρίδος ἐν σαργάνῃ [m] ἐχαλάσθην διὰ τοῦ τείχους, καὶ [n] ἐξέφυγον τὰς χεῖρας αὐτοῦ.

Κεφ. ιβ'. Cap. XII.

[a] καυχάομαι [b] ἔρχομαι. [a] Καυχᾶσθαι δὴ οὐ συμφέρει μοι· [b] ἐλεύσομαι γὰρ εἰς ὀπτασίας καὶ ἀποκαλύψεις Κυρίου.

[c] εἴδω. [d] ἅρπαξ. 2 [c] Οἶδα ἄνθρωπον ἐν Χριστῷ πρὸ ἐτῶν δεκατεσσάρων (εἴτε ἐν σώματι, οὐκ [c] οἶδα· εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ [c] οἶδα· ὁ Θεὸς οἶδεν) [d] ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ·

3 Καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον (εἴτε ἐν σώματι, εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ [c] οἶδα· ὁ Θεὸς [c] οἶδεν)

[e] ἀκούω. [f] ῥέω. 4 Ὅτι [d] ἡρπάγη εἰς τὸν παράδεισον, καὶ [e] ἤκουσεν [f] ἄρρητα [f] ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι.

5 Ὑπὲρ τοῦ τοιούτου [a] καυχήσομαι· ὑπὲρ δὲ ἐμαυτοῦ οὐ [a] καυχήσομαι, εἰ μὴ ἐν ταῖς ἀσθενείαις μου.

[g] εἰμί. [h] εἴρω. 6 Ἐὰν γὰρ θελήσω [a] καυχήσασθαι, οὐκ [g] ἔσομαι ἄφρων· ἀλήθειαν γὰρ [h] ἐρῶ· φείδομαι δὲ, μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει με, ἢ ἀκούει τι ἐξ ἐμοῦ.

[i] δίδωμι. 7 Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων ἵνα μὴ ὑπεραίρωμαι, [i] ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ, ἄγγελος σατᾶν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι.

[k] καλέω. [l] ἵστημι. 8 Ὑπὲρ τούτου τρὶς τὸν Κύριον [k] παρεκάλεσα, ἵνα [l] ἀποστῇ ἀπ' ἐμοῦ.

[m] τέλος. [n] ἡδύς. 9 Καὶ [h] εἴρηκέ μοι, Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ [m] τελειοῦται. [n] Ἥδιστα

διστα οὖν μᾶλλον καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου, ἵνα [o] ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ.

10 Διὸ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν ἀνάγκαις, ἐν διωγμοῖς, ἐν στενοχωρίαις ὑπὲρ Χριστοῦ· ὅταν γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι.

11 [p] Γέγονα ἄφρων καυχώμενος· ὑμεῖς με [q] ἠναγκάσατε· ἐγὼ γὰρ [r] ὤφειλον ὑφ' ὑμῶν συνίστασθαι· οὐδὲν γὰρ [s] ὑστέρησα τῶν ὑπερλίαν ἀποστόλων, εἰ καὶ οὐδέν εἰμι.

12 Τὰ μὲν σημεῖα τοῦ ἀποστόλου [t] κατειργάσθη ἐν ὑμῖν ἐν πάσῃ ὑπομονῇ, ἐν σημείοις καὶ τέρασι καὶ δυνάμεσι.

13 Τί γάρ [h] ἐστιν ὃ [u] ἡττήθητε ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας, εἰ μὴ ὅτι αὐτὸς ἐγὼ οὐ [x] κατενάρκησα ὑμῶν; [y] χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην.

14 Ἰδοὺ, τρίτον ἑτοίμως ἔχω ἐλθεῖν πρὸς ὑμᾶς, καὶ οὐ [x] καταναρκήσω ὑμῶν· οὐ γὰρ ζητῶ τὰ ὑμῶν, ἀλλ' ὑμᾶς· οὐ γὰρ ὀφείλει τὰ τέκνα τοῖς γονεῦσι θησαυρίζειν, ἀλλὰ οἱ γονεῖς τοῖς τέκνοις.

15 Ἐγὼ δὲ [a] ἥδιστα δαπανήσω καὶ [b] ἐκδαπανηθήσομαι ὑπὲρ τῶν ψυχῶν ὑμῶν· εἰ καὶ περισσοτέρως ὑμᾶς ἀγαπῶν, ἧττον ἀγαπῶμαι.

16 [c] Ἔστω δὲ, ἐγὼ οὐ [d] κατεβάρησα ὑμᾶς· ἀλλ' ὑπάρχων [e] πανοῦργος, δόλῳ ὑμᾶς [f] ἔλαβον.

17 Μή τινα ὧν [g] ἀπέσταλκα πρὸς ὑμᾶς, δι' αὐτοῦ [h] ἐπλεονέκτησα ὑμᾶς;

18 [i] Παρεκάλεσα Τίτον, καὶ [g] συναπέστειλα τὸν ἀδελφόν· μή τι [h] ἐπλεονέκτησεν ὑμᾶς Τίτος; οὐ τῷ αὐτῷ πνεύματι [l] περιεπατήσαμεν; οὐ τοῖς αὐτοῖς ἴχνεσι;

19 Πάλιν δοκεῖτε ὅτι ὑμῖν [m] ἀπολογούμεθα; κατενώπιον τοῦ Θεοῦ ἐν Χριστῷ [n] λαλοῦμεν· τὰ δὲ πάντα, ἀγαπητοὶ, ὑπὲρ τῆς ὑμῶν οἰκοδομῆς.

20 Φοβοῦμαι

[o] σκηνή.
[p] γίνομαι.
[q] ἀνάγκη.
[r] ὀφείλω.
[s] ὑστερέω.
[t] ἔργον.
[u] ἥσσων.
[x] νάρκη.
[y] χάρις.
[a] ἡδύς.
[b] δαπανάω.
[c] εἰμί.
[d] βαρύς.
[e] ἔργον.
[f] λαμβάνω.
[g] στέλλω.
[h] ἔχω.
[i] καλέω.
[l] πατέω.
[m] λέγω.
[n] λαλέω.

[o] ἔρχομαι.
[p] εὑρίσκω.
[q] καὶ ἐγώ.
[r] ἵστημι.

20 Φοβοῦμαι γὰρ μήπως [o] ἐλθὼν οὐχ οἵους θέλω [p] εὕρω ὑμᾶς, [q] κἀγὼ [p] εὑρεθῶ ὑμῖν οἷον οὐ θέλετε· μήπως ἔρεις, ζῆλοι, θυμοὶ, ἐριθεῖαι, καταλαλιαὶ, ψιθυρισμοὶ, φυσιώσεις, [r] ἀκαταστασίαι.

[s] ἁμαρτάνω.
[t] νόος.
[u] πράττω.

21 Μὴ πάλιν [o] ἐλθόντα με ταπεινώσῃ ὁ Θεός μου πρὸς ὑμᾶς, καὶ πενθήσω πολλοὺς τῶν [s] προημαρτηκότων, καὶ μὴ [t] μετανοησάντων ἐπὶ τῇ ἀκαθαρσίᾳ καὶ πορνείᾳ καὶ ἀσελγείᾳ ᾗ [u] ἔπραξαν.

Κεφ. ιγ΄. Cap. XIII.

[a] ἵστημι.

ΤΡίτον τοῦτο ἔρχομαι πρὸς ὑμᾶς· ἐπὶ στόματος δύο μαρτύρων καὶ τριῶν [a] σταθήσεται πᾶν ῥῆμα.

[b] εἴρω.
[c] εἰμί.
[d] ἁμαρτάνω.
[e] ἔρχομαι.
[f] φείδομαι.

2 [b] Προείρηκα καὶ προλέγω ὡς παρὼν τὸ δεύτερον, καὶ [c] ἀπὼν νῦν γράφω τοῖς [d] προημαρτηκόσι καὶ τοῖς λοιποῖς πᾶσιν, ὅτι ἐὰν [e] ἔλθω εἰς τὸ πάλιν, οὐ [f] φείσομαι·

3 Ἐπεὶ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ, ὃς εἰς ὑμᾶς οὐκ ἀσθενεῖ, ἀλλὰ δυνατεῖ ἐν ὑμῖν.

[g] σταυρόω.
[h] ζάω.

4 Καὶ γὰρ εἰ [g] ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως Θεοῦ· καὶ γὰρ καὶ ἡμεῖς ἀσθενοῦμεν ἐν αὐτῷ, ἀλλὰ [h] ζησόμεθα σὺν αὐτῷ ἐκ δυνάμεως Θεοῦ εἰς ὑμᾶς.

[i] εἰμί.

5 Ἑαυτοὺς πειράζετε εἰ [i] ἐστὲ ἐν τῇ πίστει, ἑαυτοὺς δοκιμάζετε· ἢ οὐκ ἐπιγινώσκετε ἑαυτοὺς, ὅτι Ἰησοῦς Χριστὸς ἐν ὑμῖν [i] ἐστιν, εἰ μή τι ἀδόκιμοί [i] ἐστε;

[k] γινώσκω.

6 Ἐλπίζω δὲ ὅτι [k] γνώσεσθε ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι.

[l] φαίνω.

7 Εὔχομαι δὲ πρὸς τὸν Θεὸν μὴ ποιῆσαι ὑμᾶς κακὸν μηδέν· οὐχ ἵνα ἡμεῖς δόκιμοι [l] φανῶμεν, ἀλλ᾽ ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε, ἡμεῖς δὲ ὡς ἀδόκιμοι [i] ὦμεν.

8 Οὐ γὰρ δυνάμεθά τι κατὰ τῆς ἀληθείας, ἀλλ᾽ ὑπὲρ τῆς ἀληθείας.

9 Χαίρομεν γὰρ ὅταν ἡμεῖς ἀσθενῶμεν, ὑμεῖς δὲ δυνατοὶ [i] ἦτε· τοῦτο δὲ καὶ εὐχόμεθα, τὴν ὑμῶν κατάρτισιν.

10 Διὰ τοῦτο ταῦτα [i] ἀπὼν γράφω, ἵνα [i] παρὼν μὴ ἀποτόμως χρήσωμαι, κατὰ τὴν ἐξουσίαν ἣν [m] ἔδωκέ μοι ὁ Κύριος εἰς οἰκοδομὴν, καὶ οὐκ εἰς καθαίρεσιν.

[m] δίδωμι.

11 Λοιπὸν, ἀδελφοὶ, χαίρετε, καταρτίζεσθε, παρακαλεῖσθε, τὸ αὐτὸ φρονεῖτε, εἰρηνεύετε· καὶ ὁ Θεὸς τῆς ἀγάπης καὶ εἰρήνης [i] ἔσται μεθ' ὑμῶν.

12 Ἀσπάσασθε ἀλλήλους ἐν ἁγίῳ φιλήματι· ἀσπάζονται ὑμᾶς οἱ ἅγιοι πάντες.

13 Ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος μετὰ πάντων ὑμῶν. Ἀμήν.

Πρὸς Κορινθίους δευτέρα [n] ἐγράφη ἀπὸ Φιλίππων τῆς Μακεδονίας, διὰ Τίτου καὶ Λουκᾶ.

[n] γράφω.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
Η ΠΡΟΣ ΓΑΛΑΤΑΣ
ΕΠΙΣΤΟΛΗ.

15 SEP 60

Κεφάλαιον α. Caput I.

Παῦλος ἀπόστολος (οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ, καὶ τοῦ Θεοῦ πατρὸς τοῦ [a] ἐγείραντος αὐτὸν ἐκ νεκρῶν)

[a] ἐγείρω.

2 Καὶ οἱ σὺν ἐμοὶ πάντες ἀδελφοὶ, ταῖς ἐκκλησίαις τῆς Γαλατίας·

3 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς, καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

4 Τοῦ [b] δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ὅπως [c] ἐξέληται ἡμᾶς ἐκ τοῦ [d] ἐνεστῶτος αἰῶνος πονηροῦ, κατὰ τὸ θέλημα τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν.

[b] δίδωμι.
[c] αἱρέω.
[d] ἵστημι.

5 Ὧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

c τίθημι. 6 Θαυμάζω ὅτι οὕτω ταχέως c μετατίθεσθε ἀπὸ τοῦ καλέσαντος ὑμᾶς ἐν χάριτι Χριστοῦ, εἰς ἕτερον εὐαγγέλιον·

f εἰμί. g στρέφω. 7 Ὃ οὐκ f ἔστιν ἄλλο· εἰ μή τινες f εἰσιν οἱ ταράσσοντες ὑμᾶς, καὶ θέλοντες g μεταστρέψαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ.

h ἀγγέλλω. 8 Ἀλλὰ καὶ ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ h εὐαγγελίζηται ὑμῖν παρ' ὃ h εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα f ἔστω.

i εἴρω. k λαμβάνω. 9 Ὡς i προειρήκαμεν, καὶ ἄρτι πάλιν λέγω, εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ k παρελάβετε, ἀνάθεμα f ἔστω.

l ἀρέσκω. 10 Ἄρτι γὰρ ἀνθρώπους πείθω, ἢ τὸν Θεόν; ἢ ζητῶ ἀνθρώποις ἀρέσκειν; εἰ γὰρ ἔτι ἀνθρώποις l ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν f ἤμην.

11 Γνωρίζω δὲ ὑμῖν, ἀδελφοί, τὸ εὐαγγέλιον τὸ h εὐαγγελισθὲν ὑπ' ἐμοῦ ὅτι οὐκ f ἔστι κατὰ ἄνθρωπον.

m διδάσκω. 12 Οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου k παρέλαβον αὐτό, οὔτε m ἐδιδάχθην· ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ.

* ἀκούω. n διώκω. o πέρθω. 13 * Ἠκούσατε γὰρ τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ Ἰουδαϊσμῷ, ὅτι καθ' ὑπερβολὴν n ἐδίωκον τὴν ἐκκλησίαν τοῦ Θεοῦ, καὶ o ἐπόρθουν αὐτήν.

p κόπτω. q ἧλιξ κος. 14 Καὶ p προέκοπτον ἐν τῷ Ἰουδαϊσμῷ ὑπὲρ πολλοὺς q συνηλικιώτας ἐν τῷ γένει μου, περισσοτέρως ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου h παραδόσεων.

r δοκέω. s ὅρος. t καλέω. 15 Ὅτε δὲ r εὐδόκησεν ὁ Θεὸς, ὁ s ἀφορίσας με ἐκ κοιλίας μητρός μου, καὶ t καλέσας διὰ τῆς χάριτος αὐτοῦ,

u καλύπτω. 16 u Ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοί, ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως οὐ c προσανεθέμην σαρκὶ καὶ αἵματι.

x ἔρχομαι. 17 Οὐδὲ x ἀνῆλθον εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους· ἀλλ' x ἀπῆλθον εἰς

Ἀραβίαν, καὶ πάλιν [g] ὑπέστρεψα εἰς Δαμασκόν.

18 Ἔπειτα μετὰ ἔτη τρία [x] ἀνῆλθον εἰς Ἱεροσόλυμα [y] ἱστορῆσαι Πέτρον· καὶ [z] ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε.

[y] ἵστημι.
[z] μένω.

19 Ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον εἰ μὴ Ἰάκωβον, τὸν ἀδελφὸν τοῦ Κυρίου.

20 Ἃ δὲ γράφω ὑμῖν, ἰδοὺ ἐνώπιον τοῦ Θεοῦ ὅτι οὐ ψεύδομαι.

21 Ἔπειτα [x] ἦλθον εἰς τὰ κλίματα τῆς Συρίας καὶ τῆς Κιλικίας.

22 [f] Ἤμην δὲ [a] ἀγνοούμενος τῷ προσώπῳ ταῖς ἐκκλησίαις τῆς Ἰουδαίας ταῖς ἐν Χριστῷ.

[a] νόος.

23 Μόνον δὲ ἀκούοντες [b] ἦσαν, Ὅτι ὁ διώκων ἡμᾶς ποτὲ, νῦν εὐαγγελίζεται τὴν πίστιν ἥν ποτε [c] ἐπόρθει.

[b] εἰμί.
[c] πέρθω.

24 Καὶ [d] ἐδόξαζον ἐν ἐμοὶ τὸν Θεόν.

[d] δοκέω.

Κεφ. β'. Cap. II.

Ἔπειτα διὰ δεκατεσσάρων ἐτῶν πάλιν [a] ἀνέβην εἰς Ἱεροσόλυμα μετὰ Βαρνάβα, [b] συμπαραλαβὼν καὶ Τίτον.

[a] βαίνω.
[b] λαμβάνω.

2 [a] Ἀνέβην δὲ κατὰ ἀποκάλυψιν, καὶ [c] ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον ὃ κηρύσσω ἐν τοῖς ἔθνεσι· κατ' ἰδίαν δὲ τοῖς δοκοῦσι, μή πως εἰς κενὸν [d] τρέχω, ἢ [d] ἔδραμον.

[c] τίθημι.
[d] τρέχω.

3 Ἀλλ' οὐδὲ Τίτος ὁ σὺν ἐμοὶ, Ἕλλην [e] ὢν, [f] ἠναγκάσθη [g] περιτμηθῆναι.

[e] εἰμί.
[f] ἀνάγκη.
[g] τέμνω.

4 Διὰ δὲ τοὺς [h] παρεισάκτους ψευδαδέλφους, οἵτινες [i] παρεισῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν ἣν ἔχομεν ἐν Χριστῷ Ἰησοῦ ἵνα ἡμᾶς [k] καταδουλώσωνται·

[h] ἄγω.
[i] ἔρχομαι.
[k] δοῦλος.

5 Οἷς οὐδὲ πρὸς ὥραν [l] εἴξαμεν τῇ ὑποταγῇ· ἵνα ἡ ἀλήθεια τοῦ εὐαγγελίου [m] διαμείνῃ πρὸς ὑμᾶς.

[l] εἴκω.
[m] μένω.

6 Ἀπὸ δὲ τῶν δοκούντων [e] εἶναί τι, ὁποῖοί ποτε [e] ἦσαν, οὐδέν μοι διαφέρει· πρόσωπον Θεὸς ἀνθρώπου οὐ λαμβάνει· ἐμοὶ γὰρ οἱ δοκοῦντες οὐδὲν [e] προσανέθεντο·

[n] εἴδω. [o] πίστις.

7 Ἀλλὰ τοὐναντίον, [n] ἰδόντες ὅτι [o] πεπίστευμαι τὸ εὐαγγέλιον τῆς ἀκροβυστίας, καθὼς Πέτρος τῆς περιτομῆς.

[p] ἔργον.

8 (Ὁ γὰρ [p] ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, [p] ἐνήργησε καὶ ἐμοὶ εἰς τὰ ἔθνη)

[q] γινώσκω. [r] δίδωμι.

9 Καὶ [q] γνόντες τὴν χάριν τὴν [r] δοθεῖσάν μοι Ἰάκωβος καὶ Κηφᾶς καὶ Ἰωάννης, οἱ δοκοῦντες στύλοι [c] εἶναι, δεξιὰς [r] ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας· ἵνα ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν.

[s] μιμνήσκομαι.

10 Μόνον τῶν πτωχῶν ἵνα [s] μνημονεύωμεν· ὃ καὶ [t] ἐσπούδασα αὐτὸ τοῦτο [u] ποιῆσαι.

[t] σπεύδω. [u] ποιέω. [x] ἵστημι.

11 Ὅτε δὲ [i] ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ [x] ἀντέστην, ὅτι [q] κατεγνωσμένος [c] ἦν.

[y] ἐσθίω. [z] ὅρος.

12 Πρὸ τοῦ γὰρ [i] ἐλθεῖν τινας ἀπὸ Ἰακώβου, μετὰ τῶν ἐθνῶν [y] συνήσθιεν· ὅτε δὲ [i] ἦλθον, ὑπέστελλε καὶ [z] ἀφώριζεν ἑαυτὸν, φοβούμενος τοὺς ἐκ περιτομῆς.

[a] κρίνω. [b] ἄγω.

13 Καὶ [a] συνυπεκρίθησαν αὐτῷ καὶ οἱ λοιποὶ Ἰουδαῖοι· ὥστε καὶ Βαρνάβας [b] συναπήχθη αὐτῶν τῇ ὑποκρίσει.

[c] πούς. [d] ζάω.

14 Ἀλλ᾽ ὅτε εἶδον ὅτι οὐκ [c] ὀρθοποδοῦσι πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου, εἶπον τῷ Πέτρῳ ἔμπροσθεν πάντων, Εἰ σὺ Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς [d] ζῇς, καὶ οὐκ Ἰουδαϊκῶς, τί τὰ ἔθνη ἀναγκάζεις Ἰουδαΐζειν;

15 Ἡμεῖς φύσει Ἰουδαῖοι, καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί·

[e] πίστις. [f] δίκη.

16 Εἰδότες ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ· καὶ ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν [e] ἐπιστεύσαμεν, ἵνα [f] δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ, καὶ οὐκ ἐξ ἔργων νόμου· διότι οὐ [f] δικαιωθήσεται ἐξ ἔργων νόμου πᾶσα σάρξ.

[g] εὑρίσκω. [h] γίνομαι.

17 Εἰ δὲ ζητοῦντες [f] δικαιωθῆναι ἐν Χριστῷ, [g] εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοί· ἆρα Χριστὸς ἁμαρτίας διάκονος; Μὴ [h] γένοιτο.

[i] λύω.

18 Εἰ γὰρ ἃ [i] κατέλυσα, ταῦτα πάλιν οἰκοδομῶ,

δομῶ, παραβάτην ἐμαυτὸν συνίστημι.
19 Ἐγὼ γὰρ διὰ νόμου νόμῳ [k] ἀπέθανον, [k] θνήσκω.
ἵνα Θεῷ [d] ζήσω.
20 Χριστῷ [l] συνεσταύρωμαι· [d] ζῶ δὲ, οὐκ ἔτι [l] σταυρός.
ἐγὼ, [d] ζῇ δὲ ἐν ἐμοὶ Χριστός, ὃ δὲ νῦν [d] ζῶ ἐν
σαρκὶ, ἐν πίστει [d] ζῶ τῇ τοῦ υἱοῦ τοῦ Θεοῦ, τοῦ ἀγαπήσαντός
με, καὶ [m] παραδόντος ἑαυτὸν ὑπὲρ [m] δίδωμι.
ἐμοῦ.
21 Οὐκ [n] ἀθετῶ τὴν χάριν τοῦ Θεοῦ· εἰ γὰρ διὰ [n] τίθημι.
νόμου δικαιοσύνη, ἄρα Χριστὸς δωρεὰν [k] ἀπέθανεν.

Κεφ. γ'. Cap. III.

Ὦ [a] Ἀνόητοι Γαλάται, τίς ὑμᾶς ἐβάσκανε [a] νόος.
τῇ ἀληθείᾳ μὴ πείθεσθαι· οἷς κατ'
ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη, ἐν ὑμῖν
[b] ἐσταυρωμένος; [b] σταυρόω.
2 Τοῦτο μόνον θέλω [c] μαθεῖν ἀφ' ὑμῶν· ἐξ [c] μανθάνω.
ἔργων νόμου τὸ πνεῦμα [d] ἐλάβετε, ἢ ἐξ ἀκοῆς [d] λαμβάνω.
πίστεως;
3 Οὕτως [a] ἀνόητοί [e] ἐστε; [f] ἐναρξάμενοι [e] εἰμί.
πνεύματι, νῦν σαρκὶ [g] ἐπιτελεῖσθε; [f] ἄρχω.
4 Τοσαῦτα [h] ἐπάθετε εἰκῇ; εἴγε καὶ εἰκῇ. [g] τέλος.
5 Ὁ οὖν [i] ἐπιχορηγῶν ὑμῖν τὸ πνεῦμα, καὶ [h] πάσχω.
[k] ἐνεργῶν δυνάμεις ἐν ὑμῖν, ἐξ ἔργων νόμου, ἢ [i] ἄγω.
ἐξ ἀκοῆς πίστεως; [k] ἔργον.
6 Καθὼς Ἀβραὰμ [l] ἐπίστευσε τῷ Θεῷ, καὶ [l] πίστις.
[m] ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. [m] λέγω.
7 Γινώσκετε ἄρα ὅτι οἱ ἐκ πίστεως, οὗτοί [f] εἰσιν
υἱοὶ Ἀβραάμ.
8 [n] Προϊδοῦσα δὲ ἡ γραφὴ ὅτι ἐκ πίστεως [n] εἴδω.
[o] δικαιοῖ τὰ ἔθνη ὁ Θεὸς, [p] προευηγγελίσατο [o] δίκη.
τῷ Ἀβραὰμ, Ὅτι [m] ἐνευλογηθήσονται ἐν σοὶ [p] ἀγγέλλω.
πάντα τὰ ἔθνη.
9 Ὥστε οἱ ἐκ πίστεως [m] εὐλογοῦνται σὺν τῷ
πιστῷ Ἀβραάμ.
10 Ὅσοι γὰρ ἐξ ἔργων νόμου [f] εἰσὶν, ὑπὸ κατάραν
[f] εἰσί· [q] γέγραπται γὰρ, [r] Ἐπικατάρατος [q] γράφω.
πᾶς ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς [q] γεγραμμένοις [r] ἀρά.
ἐν τῷ βιβλίῳ τοῦ νόμου, τοῦ [s] ποιῆσαι αὐτά. [s] ποιέω.

11 Ὅτι δὲ ἐν νόμῳ οὐδεὶς δικαιοῦται παρὰ τῷ Θεῷ, δῆλον· ὅτι ὁ δίκαιος ἐκ πίστεως [t] ζήσεται.

[t] ζάω.

12 Ὁ δὲ νόμος οὐκ [f] ἔστιν ἐκ πίστεως· ἀλλ' Ὁ [r] ποιήσας αὐτὰ ἄνθρωπος, [t] ζήσεται ἐν αὐτοῖς.

13 Χριστὸς ἡμᾶς [x] ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, [y] γενόμενος ὑπὲρ ἡμῶν κατάρα· [u] γέγραπται γάρ, [a] Ἐπικατάρατος πᾶς ὁ [b] κρεμάμενος ἐπὶ ξύλου.

[x] ἀγορά.
[y] γίνομαι.
[a] ἀρά.
[b] κρεμάω.

14 Ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ [c] γένηται ἐν Χριστῷ Ἰησοῦ, ἵνα τὴν ἐπαγγελίαν τοῦ πνεύματος [d] λάβωμεν διὰ τῆς πίστεως.

[c] γίνομαι.
[d] λαμβάνω.

15 Ἀδελφοί, κατὰ ἄνθρωπον λέγω, ὅμως ἀνθρώπου [e] κεκυρωμένην διαθήκην οὐδεὶς [f] ἀθετεῖ, ἢ [g] ἐπιδιατάσσεται.

[e] κυρόω.
[f] τίθημι.
[g] τάσσω.

16 Τῷ δὲ Ἀβραὰμ [h] ἐρρήθησαν αἱ ἐπαγγελίαι, καὶ τῷ σπέρματι αὐτοῦ· οὐ λέγει, Καὶ τοῖς σπέρμασιν, ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνός; Καὶ τῷ σπέρματί σου· ὅς [i] ἐστι Χριστός·

[h] ῥέω.
[i] εἰμί.

17 Τοῦτο δὲ λέγω· διαθήκην [e] προκεκυρωμένην ὑπὸ τοῦ Θεοῦ εἰς Χριστὸν, ὁ μετὰ ἔτη τετρακόσια καὶ τριάκοντα [c] γεγονὼς νόμος οὐκ [e] ἀκυροῖ, εἰς τὸ [k] καταργῆσαι τὴν ἐπαγγελίαν.

[k] ἔργον.

18 Εἰ γὰρ ἐκ νόμου ἡ κληρονομία, οὐκ ἔτι ἐξ ἐπαγγελίας· τῷ δὲ Ἀβραὰμ δι' ἐπαγγελίας [l] κεχάρισται ὁ Θεός.

[l] χάρις.

19 Τί οὖν ὁ νόμος; τῶν παραβάσεων χάριν [f] προσετέθη, ἄχρις οὗ [m] ἔλθῃ τὸ σπέρμα ᾧ [n] ἐπήγγελται· [g] διαταγεὶς δι' ἀγγέλων, ἐν χειρὶ μεσίτου.

[m] ἔρχομαι.
[n] ἀγγέλλω.

20 Ὁ δὲ μεσίτης, ἑνὸς οὐκ [i] ἔστιν· ὁ δὲ Θεὸς, εἷς [i] ἐστιν.

21 Ὁ οὖν νόμος κατὰ τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ; Μὴ [c] γένοιτο· εἰ γὰρ [o] ἐδόθη νόμος ὁ δυνάμενος [p] ζωοποιῆσαι, ὄντως ἂν ἐκ νόμου [i] ἦν ἡ δικαιοσύνη.

[o] δίδωμι.
[p] ποιέω.

22 Ἀλλὰ [q] συνέκλεισεν ἡ γραφὴ τὰ πάντα ὑπὸ ἁμαρτίαν, ἵνα ἡ ἐπαγγελία ἐκ πίστεως Ἰησοῦ Χριστοῦ [o] δοθῇ τοῖς πιστεύουσι.

[q] κλείω.

23 Πρὸ τοῦ δὲ [m] ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον [r] ἐφρουρούμεθα, [q] συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν[c] πίστιν [s] ἀποκαλυφθῆναι.

24 Ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν [c] γέγονεν εἰς Χριστὸν, ἵνα ἐκ πίστεως [t] δικαιωθῶμεν.

25 [m] Ἐλθούσης δὲ τῆς πίστεως, οὐκ ἔτι ὑπὸ παιδαγωγόν [i] ἐσμεν.

26 Πάντες γὰρ υἱοὶ Θεοῦ [i] ἐστὲ διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ.

27 Ὅσοι γὰρ εἰς Χριστὸν [u] ἐβαπτίσθητε, Χριστὸν [x] ἐνεδύσασθε.

28 Οὐκ [i] ἔνι Ἰουδαῖος, οὐδὲ Ἕλλην· οὐκ ἔνι [i] δοῦλος, οὐδὲ ἐλεύθερος· οὐκ [i] ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς [i] ἐστε ἐν Χριστῷ Ἰησοῦ.

29 Εἰ δὲ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα [i] ἐστὲ, καὶ κατ᾽ ἐπαγγελίαν κληρονόμοι.

Κεφ. δ΄. Cap. IV.

Λέγω δὲ, ἐφ᾽ ὅσον χρόνον ὁ κληρονόμος νήπιός [a] ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων [a] ὤν·

2 Ἀλλὰ ὑπὸ ἐπιτρόπους [a] ἐστὶ καὶ οἰκονόμους, ἄχρι τῆς προθεσμίας τοῦ πατρός.

3 Οὕτω καὶ ἡμεῖς, ὅτε [a] ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου [a] ἦμεν [b] δεδουλωμένοι.

4 Ὅτε δὲ [c] ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, [d] ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ, [e] γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον·

5 Ἵνα τοὺς ὑπὸ νόμον [f] ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν [g] ἀπολάβωμεν.

6 Ὅτι δέ ἐστε υἱοὶ, [d] ἐξαπέστειλεν ὁ Θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν, [i] κρᾶζον, Ἀββᾶ, ὁ πατήρ.

7 Ὥστε οὐκ ἔτι [a] εἶ δοῦλος, ἀλλ᾽ υἱός· εἰ δὲ υἱὸς, καὶ κληρονόμος Θεοῦ διὰ Χριστοῦ.

8 Ἀλλὰ τότε μὲν οὐκ εἰδότες Θεὸν, [b] ἐδουλεύσατε τοῖς μὴ φύσει οὖσι θεοῖς·

9 Νῦν δὲ, [k] γνόντες Θεὸν, μᾶλλον δὲ [k] γνωσθέντες ὑπὸ Θεοῦ, πῶς ἐπιστρέφετε πάλιν ἐπὶ

[r] οὖρος.
[s] καλύπτω.
[t] δίκη.
[u] βάπτω.
[x] δύω.
[a] εἰμί.
[b] δοῦλος.
[c] ἔρχομαι.
[d] στέλλω.
[e] γίνομαι.
[f] ἀγορά.
[g] λαμβάνω.
[i] κράζω.
[k] γινώσκω.

τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα, οἷς πάλιν ἄνωθεν
δουλεύειν θέλετε;

[l] τηρέω. 10 Ἡμέρας [l] παρατηρεῖσθε, καὶ μῆνας, καὶ
καιροὺς, καὶ ἐνιαυτούς.

[m] κόπτω. 11 Φοβοῦμαι ὑμᾶς, μήπως εἰκῇ [m] κεκοπίακα
εἰς ὑμᾶς.

[n] καὶ ἐγώ. 12 [c] Γίνεσθε ὡς ἐγὼ, ὅτι [n] κἀγὼ ὡς ὑμεῖς·
[o] δίκη. ἀδελφοὶ, δέομαι ὑμῶν, οὐδέν με [o] ἠδικήσατε·
[p] εἴδω. 13 [p] Οἴδατε δὲ ὅτι δι' ἀσθένειαν τῆς σαρκὸς
[q] ἀγγέλλω. [q] εὐηγγελισάμην ὑμῖν τὸ πρότερον·

14 Καὶ τὸν πειρασμόν μου τὸν ἐν τῇ σαρκί μου
[r] εἷς. οὐκ [r] ἐξουθενήσατε, οὐδὲ [s] ἐξεπτύσατε· ἀλλ' ὡς
[s] πτύω. ἄγγελον Θεοῦ [t] ἐδέξασθέ με, ὡς Χριστὸν Ἰησοῦν.
[t] δέχομαι.

15 Τίς οὖν [a] ἦν ὁ μακαρισμὸς ὑμῶν; μαρτυρῶ
γὰρ ὑμῖν ὅτι, εἰ δυνατὸν, τοὺς ὀφθαλμοὺς
[u] ὀρύττω. ὑμῶν [u] ἐξορύξαντες ἂν [x] ἐδώκατέ μοι.
[x] δίδωμι. 16 Ὥστε ἐχθρὸς ὑμῶν [c] γέγονα ἀληθεύων
ὑμῖν;

[y] κλείω. 17 Ζηλοῦσιν ὑμᾶς οὐ καλῶς, ἀλλὰ [y] ἐκκλεῖσαι
ἡμᾶς θέλουσιν, ἵνα αὐτοὺς ζηλοῦτε.

18 Καλὸν δὲ τὸ ζηλοῦσθαι ἐν καλῷ πάντοτε,
καὶ μὴ μόνον ἐν τῷ [a] παρεῖναί με πρὸς ὑμᾶς.

19 Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ
[z] μορφή. [z] μορφωθῇ Χριστὸς ἐν ὑμῖν.

[a] θέλω. 20 [a] Ἤθελον δὲ [b] παρεῖναι πρὸς ὑμᾶς ἄρτι,
[b] εἰμί. καὶ * ἀλλάξαι τὴν φωνήν μου, ὅτι [c] ἀποροῦμαι ἐν
* ἀλλάττω. ὑμῖν.

[c] πείρω. 21 Λέγετέ μοι οἱ ὑπὸ νόμον θέλοντες [b] εἶναι,
τὸν νόμον οὐκ ἀκούετε;

[d] γράφω. 22 [d] Γέγραπται γὰρ ὅτι Ἀβραὰμ δύο υἱοὺς
[e] ἔχω. [e] ἔσχεν· ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας.

23 Ἀλλ' ὁ μὲν ἐκ τῆς παιδίσκης κατὰ σάρκα
[f] γεννάω. [f] γεγέννηται· ὁ δὲ ἐκ τῆς ἐλευθέρας, διὰ τῆς ἐπαγγελίας.

[g] ἀγορά. 24 Ἅτινά [b] ἐστιν [g] ἀλληγορούμενα· αὗται γάρ
[b] εἰσιν αἱ δύο διαθῆκαι· μία μὲν ἀπὸ ὄρους Σινᾶ,
εἰς δουλείαν [f] γεννῶσα, ἥτις [b] ἐστὶν Ἄγαρ.

25 Τὸ γὰρ Ἄγαρ Σινᾶ ὄρος [b] ἐστὶν ἐν τῇ Ἀραβίᾳ· [i] συστοιχεῖ δὲ τῇ νῦν Ἱερουσαλὴμ, δουλεύει δὲ μετὰ τῶν τέκνων αὐτῆς.

26 Ἡ δὲ ἄνω Ἱερουσαλὴμ, ἐλευθέρα [b] ἐστὶν, ἥτις [b] ἐστὶ μήτηρ πάντων ἡμῶν.

27 [k] Γέγραπται γὰρ, [l] Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, [m] ῥῆξον καὶ [n] βόησον ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου, μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα.

28 Ἡμεῖς δὲ, ἀδελφοὶ, κατὰ Ἰσαὰκ, ἐπαγγελίας τέκνα [b] ἐσμέν.

29 Ἀλλ' ὥσπερ τότε ὁ κατὰ σάρκα [f] γεννηθεὶς [p] ἐδίωκε τὸν κατὰ πνεῦμα· οὕτω καὶ νῦν.

30 Ἀλλὰ τί λέγει ἡ γραφή; Ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς· οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας.

31 Ἄρα, ἀδελφοὶ, οὐκ [b] ἐσμὲν παιδίσκης τέκνα, ἀλλὰ τῆς ἐλευθέρας.

Κεφ. έ. Cap. V.

Τῇ ἐλευθερίᾳ οὖν ᾗ Χριστὸς ἡμᾶς [a] ἠλευθέρωσε, [b] στήκετε, καὶ μὴ πάλιν ζυγῷ δουλείας [c] ἐνέχεσθε.

2 Ἴδε, ἐγὼ Παῦλος λέγω ὑμῖν ὅτι ἐὰν [d] περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει.

3 Μαρτύρομαι δὲ πάλιν παντὶ ἀνθρώπῳ [d] περιτεμνομένῳ, ὅτι ὀφειλέτης [e] ἐστὶν ὅλον τὸν νόμον ποιῆσαι.

4 [f] Κατηργήθητε ἀπὸ τοῦ Χριστοῦ οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος [g] ἐξεπέσατε.

5 Ἡμεῖς γὰρ πνεύματι ἐκ πίστεως ἐλπίδα δικαιοσύνης [h] ἀπεκδεχόμεθα.

6 Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι' ἀγάπης [f] ἐνεργουμένη.

7 [i] Ἐτρέχετε καλῶς, τίς ὑμᾶς [k] ἀνέκοψε τῇ ἀληθείᾳ μὴ [l] πείθεσθαι;

8 Ἡ πεισμονὴ οὐκ ἐκ τοῦ καλοῦντος ὑμᾶς.

9 Μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ.

[i] στείχω.
[k] γράφω.
[l] φρενώ.
[m] ῥήσσω.
[n] βοάω.
[p] διώκω.
[a] ἐλευθερόω.
[b] ἵστημι.
[c] ἔχω.
[d] τέμνω.
[e] εἰμί.
[f] ἔργω.
[g] πίπτω.
[h] δέχομαι.
[i] τρέχω.
[k] κόπτω.
[l] πείθω.

10 Ἐγὼ [l] πέποιθα εἰς ὑμᾶς ἐν Κυρίῳ ὅτι οὐδὲν [m] ἄλλο φρονήσετε· ὁ δὲ ταράσσων ὑμᾶς βαστάσει τὸ κρίμα, ὅστις ἂν [c] ᾖ.

[m] φρονέω.

11 Ἐγὼ δὲ, ἀδελφοὶ, εἰ περιτομὴν ἔτι κηρύσσω, τί ἔτι διώκομαι; ἄρα κατήργηται τὸ σκάνδαλον τοῦ σταυροῦ.

12 Ὄφελον καὶ ἀποκόψονται οἱ [n] ἀναστατοῦντες ὑμᾶς.

[n] ἵστημι.

13 Ὑμεῖς γὰρ ἐπ' ἐλευθερίᾳ [o] ἐκλήθητε, ἀδελφοί· μόνον μὴ τὴν ἐλευθερίαν εἰς ἀφορμὴν τῇ σαρκὶ, ἀλλὰ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις.

[o] καλέω.

14 Ὁ γὰρ πᾶς νόμος ἐν ἑνὶ λόγῳ πληροῦται, ἐν τῷ, Ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν.

15 Εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπὸ ἀλλήλων [p] ἀναλωθῆτε.

[p] ἀλίσκω.

16 Λέγω δὲ, πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε.

17 Ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός· ταῦτα δὲ ἀντίκειται ἀλλήλοις, ἵνα μὴ ἃ ἂν θέλητε, ταῦτα ποιῆτε.

18 Εἰ δὲ πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον.

19 Φανερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρκός· ἅτινά ἐστι, μοιχεία, πορνεία, ἀκαθαρσία, ἀσέλγεια,

20 Εἰδωλολατρεία, φαρμακεία, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοὶ, ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις,

21 Φθόνοι, φόνοι, μέθαι, κῶμοι, καὶ τὰ ὅμοια τούτοις· ἃ προλέγω ὑμῖν, καθὼς καὶ προεῖπον, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν Θεοῦ οὐ [q] κληρονομήσουσιν.

[q] νέμω.

22 Ὁ δὲ καρπὸς τοῦ πνεύματός ἐστιν ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πρᾳότης, ἐγκράτεια.

23 Κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος.

24 Οἱ δὲ τοῦ Χριστοῦ, τὴν σάρκα [r] ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις.

[r] σταυρός.

25 Εἰ [s] ζῶμεν πνεύματι, πνεύματι καὶ στοιχῶμεν.

[s] ζάω.

26 Μὴ [t] γινώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες.

Κεφ. ϛʹ. Cap. VI.

Ἀδελφοὶ, ἐὰν καὶ [a] προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ [b] καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πρᾳότητος· σκοπῶν σεαυτὸν, μὴ καὶ σὺ [c] πειρασθῇς.

2 Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως [d] ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.

3 Εἰ γὰρ δοκεῖ τις [e] εἶναί τι, μηδὲν ὢν, ἑαυτὸν [f] φρεναπατᾷ.

4 Τὸ δὲ ἔργον ἑαυτοῦ δοκιμαζέτω ἕκαστος· καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύχημα [g] ἕξει, καὶ οὐκ εἰς τὸν ἕτερον.

5 Ἕκαστος γὰρ τὸ ἴδιον φορτίον βαστάσει.

6 Κοινωνείτω δὲ ὁ [h] κατηχούμενος τὸν λόγον τῷ κατηχοῦντι, ἐν πᾶσιν ἀγαθοῖς.

7 Μὴ πλανᾶσθε· Θεὸς οὐ μυκτηρίζεται· ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει.

8 Ὅτι ὁ σπείρων εἰς τὴν σάρκα ἑαυτοῦ, ἐκ τῆς σαρκὸς θερίσει φθοράν· ὁ δὲ σπείρων εἰς τὸ πνεῦμα, ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον.

9 Τὸ δὲ καλὸν ποιοῦντες μὴ ἐκκακῶμεν. [i] καιρῷ γὰρ ἰδίῳ θερίσομεν, μὴ [k] ἐκλυόμενοι.

10 Ἄρα οὖν ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα τὸ ἀγαθὸν πρὸς πάντας, μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως.

11 Ἴδετε πηλίκοις ὑμῖν γράμμασιν [l] ἔγραψα τῇ ἐμῇ χειρί.

12 Ὅσοι θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκὶ, οὗτοι ἀναγκάζουσιν ὑμᾶς [m] περιτέμνεσθαι, μόνον ἵνα μὴ τῷ σταυρῷ τοῦ Χριστοῦ διώκωνται.

13 Οὐδὲ γὰρ οἱ [m] περιτεμνόμενοι, αὐτοὶ νόμον φυλάσσουσιν· ἀλλὰ θέλουσιν ὑμᾶς [m] περιτέμνεσθαι, ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχήσωνται.

14 Ἐμοὶ δὲ μὴ [n] γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, [o] κἀγὼ τῷ κόσμῳ.

[t] γίνομαι.
[a] λαμβάνω.
[b] ἄρτιος.
[c] πεῖρα.
[d] πλέος.
[e] εἰμί.
[f] ἀπατάω.
[g] ἔχω.
[h] ἦχος.
[i] καιρός.
[k] λύω.
[l] γράφω.
[m] τέμνω.
[n] γίνομαι.
[o] καὶ ἐγώ.

15 Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ καινὴ κτίσις.

16 Καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσιν, εἰρήνη ἐπ᾽ αὐτοὺς καὶ ἔλεος, καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ.

17 Τοῦ λοιποῦ, κόπους μοι μηδεὶς παρεχέτω· ἐγὼ γὰρ τὰ στίγματα τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματί μου βαστάζω.

18 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν, ἀδελφοί. Ἀμήν.

Πρὸς Γαλάτας [1] ἐγράφη ἀπὸ Ῥώμης.

60

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
Η ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ
ΕΠΙΣΤΟΛΗ.

Κεφάλαιον α΄. Caput I.

Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, τοῖς ἁγίοις τοῖς [a] οὖσιν ἐν Ἐφέσῳ, καὶ πιστοῖς ἐν Χριστῷ Ἰησοῦ.

[a] εἰμί.

2 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

3 [b] Εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ [b] εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ.

[b] λέγω.

4 Καθὼς [b] ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου, [a] εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ ἐν ἀγάπῃ.

5 [c] Προορίσας ἡμᾶς εἰς [d] υἱοθεσίαν διὰ Ἰησοῦ Χριστοῦ εἰς αὐτόν, κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ.

[c] ὅρος.
[d] τίθημι.

6 Εἰς ἔπαινον δόξης τῆς χάριτος αὐτοῦ, ἐν ᾗ [e] ἐχαρίτωσεν ἡμᾶς ἐν τῷ ἠγαπημένῳ.

[e] χάρις.

7 Ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν παραπτωμάτων, κατὰ τὸν πλοῦτον τῆς χάριτος αὐτοῦ.

8 Ἧς [f] ἐπερίσσευσεν εἰς ἡμᾶς ἐν πάσῃ σοφίᾳ καὶ φρονήσει·

[f] περί.

9 Γνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ, κατὰ τὴν εὐδοκίαν αὐτοῦ, ἣν [d] προέθετο ἐν αὐτῷ.

10 Εἰς οἰκονομίαν τοῦ πληρώματος τῶν καιρῶν, [g] ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ, τά τε ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς·

[g] κεφαλή.

11 Ἐν αὐτῷ, ἐν ᾧ καὶ [h] ἐκληρώθημεν, [c] προορισθέντες κατὰ πρόθεσιν τοῦ τὰ πάντα ἐνεργοῦντος κατὰ τὴν βουλὴν τοῦ θελήματος αὐτοῦ.

[h] κλῆρος.

12 Εἰς τὸ [a] εἶναι ἡμᾶς εἰς ἔπαινον τῆς δόξης αὐτοῦ, τοὺς [i] προηλπικότας ἐν τῷ Χριστῷ.

[i] ἐλπίς.

13 Ἐν ᾧ καὶ ὑμεῖς, ἀκούσαντες τὸν λόγον τῆς ἀληθείας, τὸ εὐαγγέλιον τῆς σωτηρίας ὑμῶν· ἐν ᾧ καὶ πιστεύσαντες [k] ἐσφραγίσθητε τῷ πνεύματι τῆς ἐπαγγελίας τῷ ἁγίῳ·

[k] σφραγίς.

14 Ὅς [a] ἐστιν ἀῤῥαβὼν τῆς κληρονομίας ἡμῶν, εἰς ἀπολύτρωσιν τῆς περιποιήσεως, εἰς ἔπαινον τῆς δόξης αὐτοῦ.

15 Διὰ τοῦτο [l] κἀγώ, ἀκούσας τὴν καθ' ὑμᾶς πίστιν ἐν τῷ Κυρίῳ Ἰησοῦ, καὶ τὴν ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους,

[l] καὶ ἐγώ.

16 Οὐ παύομαι εὐχαριστῶν ὑπὲρ ὑμῶν, μνείαν ὑμῶν ποιούμενος ἐπὶ τῶν προσευχῶν μου·

17 Ἵνα ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῆς δόξης, [m] δώῃ ὑμῖν πνεῦμα σοφίας καὶ ἀποκαλύψεως, ἐν ἐπιγνώσει αὐτοῦ·

[m] δίδωμι.

18 [n] Πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς διανοίας ὑμῶν εἰς τὸ [o] εἰδέναι ὑμᾶς τίς [a] ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ, καὶ τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις·

[n] φάος.
[o] εἴδω.

19 Καὶ τί τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύοντας, κατὰ

τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ,

[p] ἔργον. 20 Ἣν [p] ἐνήργησεν ἐν τῷ Χριστῷ, [q] ἐγεί-
[q] ἐγείρω. ρας αὐτὸν ἐκ νεκρῶν, καὶ [r] ἐκάθισεν ἐν δεξιᾷ
[r] ἕζω. αὐτοῦ ἐν τοῖς ἐπουρανίοις,

21 Ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυ-
νάμεως καὶ κυριότητος, καὶ παντὸς ὀνόματος
ὀνομαζομένου οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ
καὶ ἐν τῷ μέλλοντι.

[s] τάσσω. 22 Καὶ πάντα [s] ὑπέταξεν ὑπὸ τοὺς [t] πό-
[t] πούς. δας αὐτοῦ· καὶ αὐτὸν [m] ἔδωκε κεφαλὴν ὑπὲρ
πάντα τῇ ἐκκλησίᾳ.

23 Ἥτις [a] ἐστὶ τὸ σῶμα αὐτοῦ, τὸ πλήρωμα
[u] πλέος. τοῦ τὰ πάντα ἐν πᾶσι [u] πληρουμένου.

Κεφ. β'. Cap. II.

[a] εἰμί. Καὶ ὑμᾶς [a] ὄντας νεκροὺς τοῖς παραπτώμασι
καὶ ταῖς ἁμαρτίαις,

2 Ἐν αἷς ποτε περιεπατήσατε κατὰ τὸν αἰῶνα
τοῦ κόσμου τούτου, κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ
[b] ἔργον. ἀέρος, τοῦ πνεύματος τοῦ νῦν [b] ἐνεργοῦντος ἐν
τοῖς υἱοῖς τῆς ἀπειθείας.

[c] στρέφω. 3 Ἐν οἷς καὶ ἡμεῖς πάντες [c] ἀνεστράφημέν
ποτε ἐν ταῖς ἐπιθυμίαις τῆς σαρκὸς ἡμῶν, ποιοῦντες
τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν· καὶ [a] ἦ-
μεν τέκνα φύσει ὀργῆς, ὡς καὶ οἱ λοιποί.

4 Ὁ δὲ Θεὸς, πλούσιος ὢν ἐν ἐλέει, διὰ τὴν
πολλὴν ἀγάπην αὐτοῦ ἣν ἠγάπησεν ἡμᾶς,

5 Καὶ [a] ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώ-
[d] ποιέω. μασι, [d] συνεζωοποίησε τῷ Χριστῷ· (χάριτί
[e] σόος. [a] ἐστε [e] σεσωσμένοι)

[f] ἐγείρω. 6 Καὶ [f] συνήγειρε, καὶ [g] συνεκάθισεν ἐν τοῖς
[g] ἕζω. ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ.

[h] δεικνύω. 7 Ἵνα [h] ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερ-
χομένοις τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χάριτος
αὐτοῦ, ἐν χρηστότητι ἐφ' ἡμᾶς ἐν Χριστῷ Ἰη-
σοῦ.

8 Τῇ γὰρ χάριτί [a] ἐστε [e] σεσωσμένοι διὰ τῆς
πίστεως· καὶ τοῦτο οὐκ ἐξ ὑμῶν, Θεοῦ τὸ δῶρον.

9 Οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται.

10 Αὐτοῦ γάρ [a] ἐσμεν ποίημα, κτισθέντες ἐν
Χριστῷ

Χριστῷ Ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς [i] προητοίμασεν ὁ Θεὸς, ἵνα ἐν αὐτοῖς [k] περιπατήσωμεν.

[i] ἕτοιμος.
[k] πατέω.

11 Διὸ [l] μνημονεύετε ὅτι ὑμεῖς ποτε τὰ ἔθνη ἐν σαρκὶ, οἱ λεγόμενοι ἀκροβυστία ὑπὸ τῆς λεγομένης περιτομῆς ἐν σαρκὶ, χειροποιήτου·

[l] μιμνήσκομαι.

12 Ὅτι [a] ἦτε ἐν τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ, [m] ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραὴλ, καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες, καὶ ἄθεοι ἐν τῷ κόσμῳ·

[m] ἀλλότριος.

13 Νυνὶ δὲ ἐν Χριστῷ Ἰησοῦ ὑμεῖς οἱ ποτὲ [a] ὄντες μακρὰν, ἐγγὺς [n] ἐγενήθητε ἐν τῷ αἵματι τοῦ Χριστοῦ.

[n] γίνομαι.

14 Αὐτὸς γάρ [a] ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἓν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ [o] λύσας·

[o] λύω.

15 Τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι [b] καταργήσας· ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην,

16 Καὶ [p] ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι, τῷ Θεῷ, διὰ τοῦ σταυροῦ, ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ.

[p] ἀλλάσσω.

17 Καὶ [q] ἐλθὼν εὐηγγελίσατο εἰρήνην ὑμῖν τοῖς μακρὰν, καὶ τοῖς ἐγγύς.

[q] ἔρχομαι.

18 Ὅτι δι' αὐτοῦ ἔχομεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι ἐν ἑνὶ πνεύματι πρὸς τὸν πατέρα.

19 Ἄρα οὖν οὐκέτι [a] ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων, καὶ οἰκεῖοι τοῦ Θεοῦ.

20 [r] Ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, [a] ὄντος [s] ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ·

[r] δέμω.
[s] γωνία.

21 Ἐν ᾧ πᾶσα ἡ οἰκοδομὴ [t] συναρμολογουμένη αὔξει εἰς ναὸν ἅγιον ἐν Κυρίῳ·

[t] λέγω.

22 Ἐν ᾧ καὶ ὑμεῖς [t] συνοικοδομεῖσθε εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν πνεύματι.

//

Κεφ. γʹ. Cap. III.

Τούτου χάριν ἐγὼ Παῦλος ὁ δέσμιος τοῦ Χριστοῦ Ἰησοῦ ὑπὲρ ὑμῶν τῶν ἐθνῶν.

2 Εἴγε [a] ἠκούσατε τὴν οἰκονομίαν τῆς χάριτος τοῦ Θεοῦ τῆς [b] δοθείσης μοι εἰς ὑμᾶς·

3 Ὅτι κατὰ ἀποκάλυψιν [c] ἐγνώρισέ μοι τὸ μυστήριον, (καθὼς [d] προέγραψα ἐν ὀλίγῳ·

4 Πρὸς ὃ δύνασθε ἀναγινώσκοντες [e] νοῆσαι τὴν σύνεσίν μου ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ)

5 Ὃ ἐν ἑτέραις γενεαῖς οὐκ [c] ἐγνωρίσθη τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὡς νῦν [f] ἀπεκαλύφθη τοῖς ἁγίοις ἀποστόλοις αὐτοῦ καὶ προφήταις ἐν πνεύματι.

6 [g] Εἶναι τὰ ἔθνη συγκληρονόμα καὶ σύσσωμα καὶ [h] συμμέτοχα τῆς ἐπαγγελίας αὐτοῦ ἐν τῷ Χριστῷ, διὰ τοῦ εὐαγγελίου.

7 Οὗ [i] ἐγενόμην διάκονος κατὰ τὴν δωρεὰν τῆς χάριτος τοῦ Θεοῦ τὴν [b] δοθεῖσάν μοι κατὰ ἐνέργειαν τῆς δυνάμεως αὐτοῦ.

8 Ἐμοὶ τῷ [k] ἐλαχιστοτέρῳ πάντων τῶν ἁγίων ἐδόθη ἡ χάρις αὕτη, ἐν τοῖς ἔθνεσιν [l] εὐαγγελίσασθαι τὸν [m] ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ,

9 Καὶ [n] φωτίσαι πάντας τίς ἡ κοινωνία τοῦ μυστηρίου τοῦ [o] ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ, τῷ τὰ πάντα [p] κτίσαντι διὰ Ἰησοῦ Χριστοῦ.

10 Ἵνα [c] γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις, διὰ τῆς ἐκκλησίας, ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ.

11 Κατὰ πρόθεσιν τῶν αἰώνων, ἣν [q] ἐποίησεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

12 Ἐν ᾧ ἔχομεν τὴν παῤῥησίαν καὶ τὴν προσαγωγὴν ἐν [r] πεποιθήσει, διὰ τῆς πίστεως αὐτοῦ.

13 Διὸ αἰτοῦμαι μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσί μου ὑπὲρ ὑμῶν, ἥτις [g] ἐστὶ δόξα ὑμῶν.

14 Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

15 Ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται.

16 Ἵνα

[a] ἀκούω.
[b] δίδωμι.
[c] γνωρίζω.
[d] γράφω.
[e] νόος.
[f] καλύπτω.
[g] εἰμί.
[h] ἔχω.
[i] γίνομαι.
[k] ἐλαχύς.
[l] ἀγγέλλω.
[m] ἴχνος.
[n] φάος.
[o] κρύπτω.
[p] κτίζω.
[q] ποιέω.
[r] πείθω.

16 Ἵνα [b] δώῃ ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ, δυνάμει [f] κραταιωθῆναι διὰ τοῦ πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον·

[f] κρᾶτος.

17 [t] Κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν.

[t] οἶκος.

18 Ἐν ἀγάπῃ [u] ἐρριζωμένοι καὶ [x] τεθεμελιωμένοι· ἵνα [y] ἐξισχύσητε [z] καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις, τί τὸ πλάτος καὶ μῆκος, καὶ βάθος καὶ ὕψος·

[u] ῥίζα.
[x] θεμέλιον.
[y] ἰσχύς.
[z] λαμβάνω.

19 [a] Γνῶναί τε τὴν ὑπερβάλλουσαν τῆς γνώσεως ἀγάπην τοῦ Χριστοῦ· ἵνα [b] πληρωθῆτε εἰς πᾶν τὸ πλήρωμα τοῦ Θεοῦ.

[a] γινώσκω.
[b] πλέος.

20 Τῷ δὲ δυναμένῳ ὑπὲρ πάντα ποιῆσαι [c] ὑπερεκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν, κατὰ τὴν δύναμιν τὴν ἐνεργουμένην ἐν ὑμῖν,

[c] περί.

21 Αὐτῷ ἡ δόξα ἐν τῇ ἐκκλησίᾳ ἐν Χριστῷ Ἰησοῦ, εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος τῶν αἰώνων. ἀμήν.

Κεφ. δ'. Cap. IV.

Παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς [a] ἐκλήθητε.

[a] καλέω.

2 Μετὰ πάσης ταπεινοφροσύνης καὶ πρᾳότητος, μετὰ μακροθυμίας, ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ·

3 Σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης.

4 Ἓν σῶμα καὶ ἓν πνεῦμα, καθὼς καὶ [a] ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν·

5 Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα·

6 Εἷς Θεὸς καὶ πατὴρ πάντων, ὁ ἐπὶ πάντων καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν ἡμῖν.

7 Ἑνὶ δὲ ἑκάστῳ ἡμῶν [b] ἐδόθη ἡ χάρις κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ.

[b] δίδωμι.

8 Διὸ λέγει, [c] Ἀναβὰς εἰς ὕψος [d] ᾐχμαλώτευσεν αἰχμαλωσίαν, καὶ [b] ἔδωκε δόματα τοῖς ἀνθρώποις.

[c] βαίνω.
[d] ἁλίσκω.

9 Τὸ δὲ [c] ἀνέβη, τί [e] ἐστι εἰ μὴ ὅτι καὶ [c] κατέβη πρῶτον εἰς τὰ κατώτερα μέρη τῆς γῆς;

[e] εἰμί.

10 Ὁ

[f] πλέος.

10 Ὁ [c] καταβὰς, αὐτός [c] ἐστι· καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα [f] πληρώσῃ τὰ πάντα.

11 Καὶ αὐτὸς [b] ἔδωκε τοὺς μὲν, ἀποστόλους, τοὺς δὲ, προφήτας, τοὺς δὲ, εὐαγγελιστὰς, τοὺς δὲ, ποιμένας, καὶ διδασκάλους.

12 Πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων, εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ.

[g] ἄντα.

13 Μέχρι [g] καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως, καὶ τῆς ἐπιγνώσεως τοῦ υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ.

14 Ἵνα μηκέτι [c] ὦμεν νήπιοι, κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν τῆς πλάνης·

[h] αὐξάνω.

15 Ἀληθεύοντες δὲ ἐν ἀγάπῃ, [h] αὐξήσωμεν εἰς αὐτὸν τὰ πάντα, ὅς [c] ἐστιν ἡ κεφαλὴ, ὁ Χριστός.

[i] λέγω.
[k] ἅπτω.

16 Ἐξ οὗ πᾶν τὸ σῶμα [i] συναρμολογούμενον καὶ [c] συμβιβαζόμενον διὰ πάσης [k] ἁφῆς τῆς ἐπιχορηγίας, κατ᾽ ἐνέργειαν ἐν μέτρῳ ἑνὸς ἑκάστου μέρους τὴν αὔξησιν τοῦ σώματος ποιεῖται εἰς οἰκοδομὴν ἑαυτοῦ ἐν ἀγάπῃ·

17 Τοῦτο οὖν λέγω, καὶ μαρτύρομαι ἐν Κυρίῳ, μηκέτι ὑμᾶς περιπατεῖν καθὼς καὶ τὰ λοιπὰ ἔθνη περιπατεῖ ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν.

[l] σκότος.
[m] εἰμί.
[n] ἀλλότριος

18 [l] Ἐσκοτισμένοι τῇ διανοίᾳ, [m] ὄντες [n] ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ Θεοῦ, διὰ τὴν ἄγνοιαν τὴν [m] οὖσαν ἐν αὐτοῖς, διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν.

[o] ἄλγος.

19 Οἵτινες [o] ἀπηλγηκότες ἑαυτοὺς [b] παρέδωκαν τῇ ἀσηλγείᾳ εἰς ἐργασίαν ἀκαθαρσίας πάσης ἐν πλεονεξίᾳ.

[p] μανθάνω.

20 Ὑμεῖς δὲ οὐχ οὕτως [p] ἐμάθετε τὸν Χριστόν.

[q] ἀκούω.
[r] διδάσκω.

21 Εἴγε αὐτὸν [q] ἠκούσατε, καὶ ἐν αὐτῷ [r] ἐδιδάχθητε, καθώς [m] ἐστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ·

22 [s] Ἀποθέσθαι ὑμᾶς κατὰ τὴν προτέραν ἀναστροφὴν, τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης· [s] τίθημι.

23 [t] Ἀνανεοῦσθαι δὲ τῷ πνεύματι τοῦ νοὸς ὑμῶν. [t] νέος.

24 Καὶ [u] ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον τὸν κατὰ Θεὸν [x] κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας. [u] δύω. [x] κτίζω.

25 Διὸ [f] ἀποθέμενοι τὸ ψεῦδος, λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ· ὅτι [m] ἐσμὲν ἀλλήλων μέλη.

26 Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε· ὁ ἥλιος μὴ [y] ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν· [y] δύω.

27 Μήτε [b] δίδοτε τόπον τῷ διαβόλῳ.

28 Ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω, ἐργαζόμενος τὸ ἀγαθὸν ταῖς χερσὶν, ἵνα ἔχῃ [b] μεταδιδόναι τῷ χρείαν ἔχοντι.

29 Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω, ἀλλ᾽ εἴτις ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς χρείας, ἵνα [b] δῷ χάριν τοῖς ἀκούουσι.

30 Καὶ μὴ λυπεῖτε τὸ πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ [z] ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως. [z] σφραγίζω.

31 Πᾶσα πικρία, καὶ θυμὸς, καὶ ὀργὴ, καὶ κραυγὴ, καὶ βλασφημία, [a] ἀρθήτω ἀφ᾽ ὑμῶν, σὺν πάσῃ κακίᾳ. [a] αἴρω.

32 [b] Γίνεσθε δὲ εἰς ἀλλήλους χρηστοὶ, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ὁ Θεὸς ἐν Χριστῷ [c] ἐχαρίσατο ὑμῖν. [b] γίνομαι. [c] χάρις.

Κεφ. ε. Cap. V.

[a] Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητά· [a] γίνομαι.

2 Καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ [b] παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ Θεῷ, εἰς ὀσμὴν εὐωδίας. [b] δίδωμι.

3 Πορνεία δὲ καὶ πᾶσα ἀκαθαρσία ἢ πλεονεξία μηδὲ [c] ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις. [c] ὄνομα.

4 Καὶ αἰσχρότης καὶ μωρολογία ἢ εὐτραπελία, τὰ οὐκ ἀνήκοντα, ἀλλὰ μᾶλλον εὐχαριστία.

[d] εἰμί.

5 Τοῦτο γάρ [d] ἐστε γινώσκοντες, ὅτι πᾶς πόρνος, ἢ ἀκάθαρτος, ἢ πλεονέκτης, ὅς [d] ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ.

6 Μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς λόγοις· διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας.

[e] ἔχω.

7 Μὴ οὖν [a] γίνεσθε [e] συμμέτοχοι αὐτῶν.

8 [e] Ἦτε γάρ ποτε σκότος, νῦν δὲ φῶς ἐν Κυρίῳ· ὡς τέκνα φωτὸς περιπατεῖτε.

9 (Ὁ γὰρ καρπὸς τοῦ πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ)

10 Δοκιμάζοντες τί [d] ἐστιν εὐάρεστον τῷ Κυρίῳ.

11 Καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε.

12 Τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν, αἰσχρόν [d] ἐστι καὶ λέγειν.

[f] ἐλέγχω.

13 Τὰ δὲ πάντα, [f] ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται· πᾶν γὰρ τὸ φανερούμενον, φῶς ἐστι.

[g] ἐγείρω.

[h] ἵστημι.

14 Διὸ λέγει, [g] Ἔγειραι ὁ καθεύδων, καὶ [h] ἀνάστα ἐκ τῶν νεκρῶν· καὶ ἐπιφαύσει σοι ὁ Χριστός.

15 Βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε· μὴ ὡς ἄσοφοι, ἀλλ' ὡς σοφοί.

[i] ἀγορά.

16 [i] Ἐξαγοραζόμενοι τὸν καιρὸν, ὅτι αἱ ἡμέραι πονηραί [d] εἰσι.

[k] ἵω.

17 Διὰ τοῦτο μὴ [e] γίνεσθε ἄφρονες, ἀλλὰ [k] συνιέντες τί τὸ θέλημα τοῦ Κυρίου.

[l] μέθυ.

[m] πλέω.

18 Καὶ μὴ [l] μεθύσκεσθε οἴνῳ ἐν ᾧ ἐστιν ἀσωτία, ἀλλὰ [m] πληροῦσθε ἐν πνεύματι.

[n] ἀείδω.

19 Λαλοῦντες ἑαυτοῖς ψαλμοῖς καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς, [n] ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ.

[o] χάρις.

20 [o] Εὐχαριστοῦντες πάντοτε ὑπὲρ πάντων, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῷ Θεῷ καὶ πατρί.

21 Ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ Θεοῦ.

22 Αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὑποτάσσεσθε, ὡς τῷ Κυρίῳ.

23 Ὅτι ὁ ἀνὴρ [d] ἐστὶ κεφαλὴ τῆς γυναικὸς, ὡς καὶ ὁ Χριστὸς κεφαλὴ τῆς ἐκκλησίας, καὶ αὐτός [d] ἐστι σωτὴρ τοῦ σώματος.

24 Ἀλλ᾽ ὥσπερ ἡ ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, οὕτω καὶ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντί.

25 Οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας ἑαυτῶν, καθὼς καὶ ὁ Χριστὸς [p] ἠγάπησε τὴν ἐκκλησίαν, καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς·

[p] ἀγαπάω.

26 Ἵνα αὐτὴν ἁγιάσῃ, καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι.

27 Ἵνα [h] παραστήσῃ αὐτὴν ἑαυτῷ ἔνδοξον, τὴν ἐκκλησίαν μὴ ἔχουσαν σπίλον, ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων, ἀλλ᾽ ἵνα ᾖ ἁγία καὶ ἄμωμος.

28 Οὕτως ὀφείλουσιν οἱ ἄνδρες ἀγαπᾷν τὰς ἑαυτῶν γυναῖκας ὡς τὰ ἑαυτῶν σώματα· ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα, ἑαυτὸν ἀγαπᾷ.

29 Οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα [q] ἐμίσησεν, ἀλλ᾽ ἐκτρέφει καὶ θάλπει αὐτὴν, καθὼς καὶ ὁ Κύριος τὴν ἐκκλησίαν.

[q] μῖσος.

30 Ὅτι μέλη [d] ἐσμὲν τοῦ σώματος αὐτοῦ, ἐκ τῆς σαρκὸς αὐτοῦ, καὶ ἐκ τῶν ὀστέων αὐτοῦ.

31 Ἀντὶ τούτου [r] καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ [ſ] προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ [d] ἔσονται οἱ δύο εἰς σάρκα μίαν.

[r] λείπω.
[ſ] κόλλα.

32 Τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν.

33 Πλὴν καὶ ὑμεῖς οἱ καθ᾽ ἕνα, ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα οὕτως ἀγαπάτω ὡς ἑαυτόν· ἡ δὲ γυνὴ ἵνα [u] φοβῆται τὸν ἄνδρα.

[u] φοβέομαι.

Κεφ. ϛ'. Cap. VI.

ΤΑ` τέκνα ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν ἐν Κυρίῳ· τοῦτο γάρ [a] ἐστι δίκαιον.

[a] εἰμί.

2 Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα (ἥτις [a] ἐστὶν ἐντολὴ πρώτη ἐν ἐπαγγελίᾳ)

[b] γίνομαι.

3 Ἵνα εὖ σοι [b] γένηται, καὶ [a] ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς.

4 Καὶ οἱ πατέρες μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ' ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου.

5 Οἱ δοῦλοι ὑπακούετε τοῖς κυρίοις κατὰ σάρκα, μετὰ φόβου καὶ τρόμου, ἐν ἁπλότητι τῆς καρδίας ὑμῶν, ὡς τῷ Χριστῷ.

6 Μὴ καθ' ὀφθαλμοδουλείαν, ὡς ἀνθρωπάρεσκοι· ἀλλ' ὡς δοῦλοι τοῦ Χριστοῦ, ποιοῦντες τὸ θέλημα τοῦ Θεοῦ ἐκ ψυχῆς·

7 Μετ' εὐνοίας δουλεύοντες τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώποις:

[c] εἴδω.

8 [c] Εἰδότες ὅτι ὃ ἐάν τι ἕκαστος ποιήσῃ ἀγαθὸν, τοῦτο κομιεῖται παρὰ τοῦ Κυρίου, εἴτε δοῦλος, εἴτε ἐλεύθερος.

[d] ἔω.

9 Καὶ οἱ κύριοι τὰ αὐτὰ ποιεῖτε πρὸς αὐτοὺς, [d] ἀνιέντες τὴν ἀπειλήν· [c] εἰδότες ὅτι καὶ ὑμῶν αὐτῶν ὁ Κύριός [a] ἐστιν ἐν οὐρανοῖς, καὶ προσωποληψία οὐκ [a] ἔστι παρ' αὐτῷ.

[e] δύναμαι.

10 Τολοιπὸν, ἀδελφοί μου, [e] ἐνδυναμοῦσθε ἐν Κυρίῳ, καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ·

[f] δύω.
[g] ἵστημι.

11 [f] Ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ, πρὸς τὸ δύνασθαι ὑμᾶς [g] στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου.

12 Ὅτι οὐκ [a] ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρείας ἐν τοῖς ἐπουρανίοις.

[h] λαμβάνω.
[i] δύναμαι.
[k] ἵστημι.
[l] ἔργον.
[m] ζώννυμι.

13 Διὰ τοῦτο [h] ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ, ἵνα [i] δυνηθῆτε [k] ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ, καὶ ἅπαντα [l] κατεργασάμενοι στῆναι.

14 [k] Στῆτε οὖν [m] περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ [f] ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης·

[n] δέω.

15 Καὶ [n] ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης.

16 Ἐπὶ πᾶσιν [h] ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ [o] πεπυρωμένα σβέσαι.

[o] πῦρ.

17 Καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου [p] δέξασθε, καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ [a] ἐστι ῥῆμα Θεοῦ.

[p] δέχομαι.

18 Διὰ πάσης προσευχῆς καὶ δεήσεως, προσευχόμενοι ἐν παντὶ καιρῷ ἐν πνεύματι, καὶ εἰς αὐτὸ τοῦτο [q] ἀγρυπνοῦντες ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει περὶ πάντων τῶν ἁγίων.

[q] ὕπνος.

19 Καὶ ὑπὲρ ἐμοῦ, ἵνα μοι [r] δοθείη λόγος ἐν ἀνοίξει τοῦ στόματός μου ἐν παῤῥησίᾳ [s] γνωρίσαι τὸ μυστήριον τοῦ εὐαγγελίου.

[r] δίδωμι.
[s] γνωρίζω.

20 Ὑπὲρ οὗ πρεσβεύω ἐν ἁλύσει· ἵνα ἐν αὐτῷ παῤῥησιάσωμαι, ὡς δεῖ με [t] λαλῆσαι.

[t] λαλέω.

21 Ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς τὰ κατ᾽ ἐμέ, τί πράσσω, πάντα ὑμῖν γνωρίσει Τυχικὸς ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος ἐν Κυρίῳ.

22 Ὃν [u] ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο ἵνα γνῶτε τὰ περὶ ἡμῶν, καὶ [x] παρακαλέσῃ τὰς καρδίας ὑμῶν.

[u] πέμπω.
[x] καλέω.

23 Εἰρήνη τοῖς ἀδελφοῖς καὶ ἀγάπη μετὰ πίστεως ἀπὸ Θεοῦ πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

24 Ἡ χάρις μετὰ πάντων τῶν ἀγαπώντων τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν ἀφθαρσίᾳ. Ἀμήν.

Πρὸς Ἐφεσίους ἐγράφη ἀπὸ Ῥώμης διὰ Τυχικοῦ.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
Η ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ
ΕΠΙΣΤΟΛΗ.

Κεφάλαιον α. Caput I.

Παῦλος καὶ Τιμόθεος δοῦλοι Ἰησοῦ Χριστοῦ, πᾶσι τοῖς ἁγίοις ἐν Χριστῷ Ἰησοῦ, τοῖς [a] οὖσιν ἐν Φιλίπποις, σὺν ἐπισκόποις καὶ διακόνοις.

[a] εἰμί.

2 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

3 Εὐχαριστῶ τῷ Θεῷ μου ἐπὶ πάσῃ τῇ μνείᾳ ὑμῶν.

4 (Πάντοτε ἐν πάσῃ δεήσει μου ὑπὲρ πάντων ὑμῶν μετὰ χαρᾶς τὴν δέησιν ποιούμενος)

5 Ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν εἰς τὸ εὐαγγέλιον, ἀπὸ πρώτης ἡμέρας ἄχρι τοῦ νῦν.

[b] πείθω.
[c] ἄρχω.

6 [b] Πεποιθὼς αὐτὸ τοῦτο, ὅτι ὁ [c] ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν, ἐπιτελέσει ἄχρις ἡμέρας Ἰησοῦ Χριστοῦ.

7 Καθώς [a] ἐστι δίκαιον ἐμοὶ τοῦτο φρονεῖν ὑπὲρ πάντων ὑμῶν, διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς μου, καὶ τῇ ἀπολογίᾳ, καὶ βεβαιώσει τοῦ εὐαγγελίου, συγκοινωνούς μου τῆς χάριτος πάντας ὑμᾶς [a] ὄντας.

[d] πόθος.

8 Μάρτυς γάρ μου [a] ἐστὶν ὁ Θεὸς ὡς [d] ἐπιποθῶ πάντας ὑμᾶς ἐν σπλάγχνοις Ἰησοῦ Χριστοῦ.

9 Καὶ τοῦτο προσεύχομαι, ἵνα ἡ ἀγάπη ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει.

10 Εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα· ἵνα [a] ἦτε εἰλικρινεῖς καὶ ἀπρόσκοποι εἰς ἡμέραν Χριστοῦ·

11 [e] Πεπλη-

11 [c] Πεπληρωμένοι καρπῶν δικαιοσύνης τῶν διὰ Ἰησοῦ Χριστοῦ, εἰς δόξαν καὶ ἔπαινον Θεοῦ. [c] πλέος.

12 Γινώσκειν δὲ ὑμᾶς βούλομαι, ἀδελφοί, ὅτι τὰ κατ' ἐμὲ μᾶλλον εἰς προκοπὴν τοῦ εὐαγγελίου [f] ἐλήλυθεν. [f] ἔρχομαι.

13 Ὥστε τοὺς δεσμούς μου φανεροὺς ἐν Χριστῷ [g] γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ, καὶ τοῖς λοιποῖς πᾶσι· [g] γίνομαι.

14 Καὶ τοὺς πλείονας τῶν ἀδελφῶν ἐν Κυρίῳ [b] πεποιθότας τοῖς δεσμοῖς μου, περισσοτέρως τολμᾷν ἀφόβως τὸν λόγον λαλεῖν.

15 Τινὲς μὲν καὶ διὰ φθόνον καὶ ἔριν, τινὲς δὲ καὶ δι' εὐδοκίαν τὸν Χριστὸν κηρύσσουσιν.

16 Οἱ μὲν ἐξ ἐριθείας τὸν Χριστὸν καταγγέλλουσιν οὐχ ἁγνῶς, οἰόμενοι θλίψιν ἐπιφέρειν τοῖς δεσμοῖς μου.

17 Οἱ δὲ ἐξ ἀγάπης, εἰδότες ὅτι εἰς ἀπολογίαν τοῦ εὐαγγελίου κεῖμαι.

18 Τί γάρ; πλὴν παντὶ τρόπῳ, εἴτε προφάσει, εἴτε ἀληθείᾳ, Χριστὸς καταγγέλλεται· καὶ ἐν τούτῳ χαίρω, ἀλλὰ καὶ χαρήσομαι.

19 [h] Οἶδα γὰρ ὅτι τοῦτό μοι [i] ἀποβήσεται εἰς σωτηρίαν διὰ τῆς ὑμῶν δεήσεως, καὶ ἐπιχορηγίας τοῦ πνεύματος Ἰησοῦ Χριστοῦ, [h] εἴδω. [i] βαίνω.

20 Κατὰ τὴν ἀποκαραδοκίαν καὶ ἐλπίδα μου, ὅτι ἐν οὐδενὶ [k] αἰσχυνθήσομαι, ἀλλ' ἐν πάσῃ παῤῥησίᾳ, ὡς πάντοτε, καὶ νῦν [l] μεγαλυνθήσεται Χριστὸς ἐν τῷ σώματί μου, εἴτε διὰ ζωῆς, εἴτε διὰ θανάτου. [k] αἶσχος. [l] μέγας.

21 Ἐμοὶ γὰρ τὸ [m] ζῆν, Χριστός, καὶ τὸ [n] ἀποθανεῖν, κέρδος. [m] ζάω. [n] θνήσκω.

22 Εἰ δὲ τὸ [m] ζῆν ἐν σαρκί, τοῦτό μοι καρπὸς ἔργου, καὶ τί αἱρήσομαι, οὐ γνωρίζω.

23 [o] Συνέχομαι γὰρ ἐκ τῶν δύο, τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ [p] ἀναλῦσαι, καὶ σὺν Χριστῷ [a] εἶναι, πολλῷ γὰρ μᾶλλον κρεῖσσον· [o] ἔχω. [p] λύω.

24 Τὸ δὲ ἐπιμένειν ἐν τῇ σαρκί, ἀναγκαιότερον δι' ὑμᾶς.

25 Καὶ τοῦτο [b] πεποιθὼς [h] οἶδα, ὅτι μενῶ καὶ

συμπαραμενῶ πᾶσιν ὑμῖν, εἰς τὴν ὑμῶν προκοπὴν, καὶ χαρὰν τῆς πίστεως.

26 Ἵνα τὸ καύχημα ὑμῶν περισσεύῃ ἐν Χριστῷ Ἰησοῦ ἐν ἐμοὶ, διὰ τῆς ἐμῆς παρουσίας πάλιν πρὸς ὑμᾶς.

27 Μόνον ἀξίως τοῦ εὐαγγελίου τοῦ Χριστοῦ πολιτεύεσθε, ἵνα εἴτε [f] ἐλθὼν καὶ [h] ἰδὼν ὑμᾶς, εἴτε [a] ἀπὼν, ἀκούσω τὰ περὶ ὑμῶν, ὅτι [q] στήκετε ἐν ἑνὶ πνεύματι, μιᾷ ψυχῇ συναθλοῦντες τῇ πίστει τοῦ εὐαγγελίου·

[q] ἵστημι.

28 Καὶ μὴ πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων· ἥτις αὐτοῖς μέν [a] ἐστιν ἔνδειξις ἀπωλείας, ὑμῖν δὲ σωτηρίας· καὶ τοῦτο ἀπὸ Θεοῦ.

29 Ὅτι ὑμῖν [r] ἐχαρίσθη τὸ ὑπὲρ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν.

[r] χάρις.

30 Τὸν αὐτὸν ἀγῶνα ἔχοντες οἷον [h] ἴδετε ἐν ἐμοὶ, καὶ νῦν ἀκούετε ἐν ἐμοί.

Κεφ. β'. Cap. II.

Εἴ τις οὖν παράκλησις ἐν Χριστῷ, εἴ τι παραμύθιον ἀγάπης, εἴ τις κοινωνία πνεύματος, εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοὶ,

2 [a] Πληρώσατέ μου τὴν χαρὰν, ἵνα τὸ αὐτὸ φρονῆτε, τὴν αὐτὴν ἀγάπην ἔχοντες· σύμψυχοι, τὸ ἓν φρονοῦντες.

[a] πλέος.

3 Μηδὲν κατὰ ἐρίθειαν, ἢ κενοδοξίαν, ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἀλλήλους [b] ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν.

[b] ἡγέομαι.

4 Μὴ τὰ ἑαυτῶν ἕκαστος σκοπεῖτε, ἀλλὰ καὶ τὰ ἑτέρων ἕκαστος.

5 Τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ·

6 Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν [b] ἡγήσατο τὸ [c] εἶναι ἴσα Θεῷ·

7 Ἀλλ᾽ ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου [d] λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων [e] γενόμενος.

8 Καὶ σχήματι [f] εὑρεθεὶς ὡς ἄνθρωπος, [g] ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ.

[c] εἰμί.
[d] λαμβάνω.
[e] γίνομαι.
[f] εὑρίσκω.
[g] ταπεινός.

9 Διὸ καὶ ὁ Θεὸς αὐτὸν [h] ὑπερύψωσε, καὶ [i] ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα·

[h] ὑψόω. //
[i] χάρις.

10 Ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ [k] κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων·

[k] κάμπτω.
//

11 Καὶ πᾶσα γλῶσσα [l] ἐξομολογήσηται ὅτι Κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ πατρός.

[l] λέγω.

12 Ὥστε ἀγαπητοί μου, καθὼς πάντοτε [m] ὑπηκούσατε, μὴ ὡς ἐν τῇ παρουσίᾳ μου μόνον, ἀλλὰ νῦν πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου, μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν [n] κατεργάζεσθε.

[m] ἀκούω.
//
[n] ἔργον.

13 Ὁ Θεὸς γάρ [c] ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν, ὑπὲρ τῆς εὐδοκίας.

14 Πάντα ποιεῖτε χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν·

15 Ἵνα γένησθε ἄμεμπτοι καὶ ἀκέραιοι, τέκνα Θεοῦ ἀμώμητα ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ [o] διεστραμμένης· ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ.

//
[o] στρέφω.

16 Λόγον ζωῆς ἐπέχοντες· εἰς καύχημα ἐμοὶ εἰς ἡμέραν Χριστοῦ, ὅτι οὐκ εἰς κενὸν [p] ἔδραμον, οὐδὲ εἰς κενὸν [q] ἐκοπίασα.

//
[p] τρέχω.
[q] κόπτω.

17 Ἀλλ᾽ εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν, χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν.

18 Τὸ δ᾽ αὐτὸ καὶ ὑμεῖς χαίρετε, συγχαίρετέ μοι.

19 Ἐλπίζω δὲ ἐν Κυρίῳ Ἰησοῦ, Τιμόθεον ταχέως [r] πέμψαι ὑμῖν· ἵνα κἀγὼ εὐψυχῶ, [ſ] γνοὺς τὰ περὶ ὑμῶν.

//
[r] πέμπω.
[ſ] γινώσκω.

20 Οὐδένα γὰρ ἔχω ἰσόψυχον, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει.

//

21 Οἱ πάντες γὰρ τὰ ἑαυτῶν ζητοῦσιν, οὐ τὰ τοῦ Χριστοῦ Ἰησοῦ.

22 Τὴν δὲ δοκιμὴν αὐτοῦ γινώσκετε, ὅτι ὡς πατρὶ τέκνον, σὺν ἐμοὶ [t] ἐδούλευσεν εἰς τὸ εὐαγγέλιον.

[t] δοῦλος.

23 Τοῦτον μὲν οὖν ἐλπίζω [r] πέμψαι, ὡς ἂν [u] ἀπίδω τὰ περὶ ἐμὲ ἐξαυτῆς.

[u] εἴδω.

24 [x] Πέποιθα

24 [x] Πέποιθα δὲ ἐν Κυρίῳ ὅτι καὶ αὐτὸς ταχέως [y] ἐλεύσομαι.

25 Ἀναγκαῖον δὲ [u] ἡγησάμην Ἐπαφρόδιτον τὸν ἀδελφὸν καὶ συνεργὸν καὶ συστρατιώτην μου, ὑμῶν δὲ ἀπόστολον, καὶ λειτουργὸν τῆς χρείας μου, [r] πέμψαι πρὸς ὑμᾶς.

26 Ἐπειδὴ [z] ἐπιποθῶν [a] ἦν πάντας ὑμᾶς καὶ [b] ἀδημονῶν, διότι [c] ἠκούσατε ὅτι [d] ἠσθένησε.

27 Καὶ γὰρ [d] ἠσθένησε παραπλήσιον θανάτῳ· ἀλλ' ὁ Θεὸς αὐτὸν [e] ἐλέησεν· οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ ἐμέ, ἵνα μὴ λύπην ἐπὶ λύπῃ [f] σχῶ.

28 Σπουδαιοτέρως οὖν [g] ἔπεμψα αὐτόν, ἵνα [h] ἰδόντες αὐτὸν πάλιν, χαρῆτε, [i] κἀγὼ ἀλυπότερος [a] ὦ.

29 [k] Προσδέχεσθε οὖν αὐτὸν ἐν Κυρίῳ μετὰ πάσης χαρᾶς· καὶ τοὺς τοιούτους ἐντίμους ἔχετε.

30 Ὅτι διὰ τὸ ἔργον τοῦ Χριστοῦ μέχρι θανάτου [l] ἤγγισε, [m] παραβουλευσάμενος τῇ ψυχῇ, ἵνα [n] ἀναπληρώσῃ τὸ ὑμῶν ὑστέρημα τῆς πρός με λειτουργίας.

[x] πείθω.
[y] ἔρχομαι.
[z] πόθος.
[a] εἰμί.
[b] ἀδημονέω.
[c] ἀκούω.
[d] ἀσθενός.
[e] ἔλεος.
[f] ἔχω.
[g] πέμπω.
[h] εἴδω.
[i] καὶ ἐγώ.
[k] δέχομαι.
[l] ἐγγύς.
[m] βουλή.
[n] πλέος.

Κεφ. γ'. Cap. III.

ΤΟ λοιπόν, ἀδελφοί μου, χαίρετε ἐν Κυρίῳ· τὰ αὐτὰ γράφειν ὑμῖν, ἐμοὶ μὲν οὐκ ὀκνηρόν, ὑμῖν δὲ ἀσφαλές.

2 Βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν [a] κατατομήν.

3 Ἡμεῖς γάρ ἐσμεν ἡ περιτομή, οἱ πνεύματι Θεῷ λατρεύοντες, καὶ καυχώμενοι ἐν Χριστῷ Ἰησοῦ, καὶ οὐκ ἐν σαρκὶ [b] πεποιθότες·

4 Καίπερ ἐγὼ ἔχων [b] πεποίθησιν, καὶ ἐν σαρκί· εἴ τις δοκεῖ ἄλλος [b] πεποιθέναι ἐν σαρκί, ἐγὼ μᾶλλον.

5 Περιτομὴ ὀκταήμερος, ἐκ γένους Ἰσραήλ, φυλῆς Βενιαμίν, Ἑβραῖος ἐξ Ἑβραίων, κατὰ νόμον Φαρισαῖος.

6 Κατὰ ζῆλον, διώκων τὴν ἐκκλησίαν· κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ, [c] γενόμενος [d] ἄμεμπτος.

[a] τέμνω.
[b] πείθω.
[c] γίνομαι.
[d] μέμφομαι.

7 Ἀλλ' ἅτινα [c] ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν.
[c] εἰμί.

8 Ἀλλὰ μενοῦνγε καὶ ἡγοῦμαι πάντα ζημίαν [c] εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου μου· δι' ὃν τὰ πάντα [f] ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα [c] εἶναι, ἵνα Χριστὸν κερδήσω,
[f] ζημία.

9 Καὶ [g] εὑρεθῶ ἐν αὐτῷ, μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ νόμου, ἀλλὰ τὴν διὰ πίστεως Χριστοῦ, τὴν ἐκ Θεοῦ δικαιοσύνην ἐπὶ τῇ πίστει.
[g] εὑρίσκω.

10 Τοῦ [h] γνῶναι αὐτὸν, καὶ τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ, καὶ τὴν κοινωνίαν τῶν παθημάτων αὐτοῦ, [i] συμμορφούμενος τῷ θανάτῳ αὐτοῦ·
[h] γινώσκω.
[i] μορφή.

11 Εἴπως [k] καταντήσω εἰς τὴν ἐξανάστασιν τῶν νεκρῶν.
[k] ἀντα.

12 Οὐχ ὅτι ἤδη [l] ἔλαβον, ἢ ἤδη [m] τετελείωμαι· διώκω δὲ εἰ καὶ [l] καταλάβω, ἐφ' ᾧ [l] κατελήφθην ὑπὸ τοῦ Χριστοῦ Ἰησοῦ.
[l] λανθάνω.
[m] τέλος.

13 Ἀδελφοὶ, ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι [l] κατειληφέναι.

14 Ἓν δὲ, τὰ μὲν ὀπίσω [n] ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν [o] ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ Χριστοῦ Ἰησοῦ.
[n] λαμβάνω.
[o] τείνω.

15 Ὅσοι οὖν τέλειοι, τοῦτο φρονῶμεν· καὶ εἴ τι ἑτέρως φρονεῖτε, καὶ τοῦτο ὁ Θεὸς ὑμῖν [p] ἀποκαλύψει.
[p] καλύπτω.

16 Πλὴν εἰς ὃ [q] ἐφθάσαμεν, τῷ αὐτῷ στοιχεῖν κανόνι, τὸ αὐτὸ φρονεῖν.
[q] φθάνω.

17 [r] Συμμιμηταί μου [c] γίνεσθε, ἀδελφοὶ, καὶ σκοπεῖτε τοὺς οὕτω περιπατοῦντας καθὼς ἔχετε τύπον ἡμᾶς.
[r] μιμέομαι.

18 Πολλοὶ γὰρ περιπατοῦσιν, οὓς πολλάκις [s] ἔλεγον ὑμῖν, νῦν δὲ καὶ κλαίων λέγω, τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ.
[s] λέγω.

19 Ὧν τὸ τέλος ἀπώλεια, ὧν ὁ Θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν· οἱ τὰ ἐπίγεια φρονοῦντες.

20 Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ σωτῆρα [t] ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν Χριστόν·

21 Ὃς [u] μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ, κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα.

Κεφ. δ'. Cap. IV.

Ὥστε, ἀδελφοί μου ἀγαπητοὶ καὶ [a] ἐπιπόθητοι, χαρὰ καὶ στέφανός μου, οὕτω [b] στήκετε ἐν Κυρίῳ ἀγαπητοί.

2 Εὐοδίαν παρακαλῶ καὶ Συντύχην παρακαλῶ τὸ αὐτὸ φρονεῖν ἐν Κυρίῳ·

3 Καὶ ἐρωτῶ καί σε σύζυγε γνήσιε, συλλαμβάνου αὐταῖς, αἵτινες ἐν τῷ εὐαγγελίῳ [c] συνήθλησάν μοι, μετὰ καὶ Κλήμεντος καὶ τῶν λοιπῶν συνεργῶν μου, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς.

4 Χαίρετε ἐν Κυρίῳ πάντοτε· πάλιν ἐρῶ χαίρετε.

5 Τὸ ἐπιεικὲς ὑμῶν [d] γνωσθήτω πᾶσιν ἀνθρώποις· ὁ Κύριος ἐγγύς.

6 Μηδὲν μεριμνᾶτε· ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει μετὰ εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν.

7 Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ [e] ὑπερέχουσα πάντα νοῦν, φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν ἐν Χριστῷ Ἰησοῦ.

8 Τὸ λοιπὸν, ἀδελφοί, ὅσα [f] ἐστὶν ἀληθῆ, ὅσα σεμνὰ, ὅσα δίκαια, ὅσα ἁγνὰ, ὅσα προσφιλῆ, ὅσα εὔφημα, εἴ τις ἀρετὴ, καὶ εἴ τις ἔπαινος, ταῦτα [g] λογίζεσθε.

9 Ἃ καὶ [h] ἐμάθετε καὶ [i] παρελάβετε, καὶ [k] ἠκούσατε, καὶ εἴδετε ἐν ἐμοὶ, ταῦτα πράσσετε, καὶ ὁ Θεὸς τῆς εἰρήνης [f] ἔσται μεθ' ὑμῶν.

10 [l] Ἐχάρην δὲ ἐν Κυρίῳ μεγάλως ὅτι ἤδη ποτὲ [m] ἀνεθάλετε τὸ ὑπὲρ ἐμοῦ φρονεῖν· ἐφ' ᾧ καὶ ἐφρονεῖτε, [n] ἠκαιρεῖσθε δέ.

11 Οὐχ

[t] δέχομαι.
[u] ἔχω.
[a] πείθω.
[b] ἵστημι.
[c] ἆθλος.
[d] γινώσκω.
[e] ἔχω.
[f] εἰμί.
[g] λέγω.
[h] μανθάνω.
[i] λαμβάνω.
[k] ἀκούω.
[l] χάρις.
[m] θάλλω.
[n] καιρός.

11 Οὐχ ὅτι καθ' ὑστέρησιν λέγω· ἐγὼ γὰρ ἔμαθον, ἐν οἷς εἰμὶ, αὐτάρκης [f] εἶναι.

12 [o] Οἶδα δὲ [p] ταπεινοῦσθαι, [o] οἶδα καὶ περισσεύειν· ἐν παντὶ καὶ ἐν πᾶσι [q] μεμύημαι, καὶ χορτάζεσθαι καὶ πεινᾷν, καὶ περισσεύειν καὶ ὑστερεῖσθαι.

[o] εἴδω.
[p] ταπεινός.
[q] μυω.

13 Πάντα ἰσχύω ἐν τῷ [r] ἐνδυναμοῦντί με Χριστῷ.

[r] δύναμαι.

14 Πλὴν καλῶς [s] ἐποιήσατε [t] συγκοινωνήσαντές μου τῇ θλίψει.

[s] ποιέω.
[t] κοινός.

15 [o] Οἴδατε δὲ καὶ ὑμεῖς, Φιλιππήσιοι, ὅτι ἐν ἀρχῇ τοῦ εὐαγγελίου, ὅτε [u] ἐξῆλθον ἀπὸ Μακεδονίας, οὐδεμία μοι ἐκκλησία [x] ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως, εἰ μὴ ὑμεῖς μόνοι.

[u] ἔρχομαι.
[x] κοινός.

16 Ὅτι καὶ ἐν Θεσσαλονίκῃ καὶ ἅπαξ καὶ δὶς εἰς τὴν χρείαν μοι [y] ἐπέμψατε.

[y] πέμπω.

17 Οὐχ ὅτι ἐπιζητῶ τὸ δόμα, ἀλλ' ἐπιζητῶ τὸν καρπὸν τὸν πλεονάζοντα εἰς λόγον ὑμῶν.

18 Ἀπέχω δὲ πάντα, καὶ περισσεύω· [z] πεπλήρωμαι [a] δεξάμενος παρὰ Ἐπαφροδίτου τὰ παρ' ὑμῶν, ὀσμὴν εὐωδίας, θυσίαν δεκτὴν, εὐάρεστον τῷ Θεῷ.

[z] πλέος.
[a] δέχομαι.

19 Ὁ δὲ Θεός μου πληρώσει πᾶσαν χρείαν ὑμῶν κατὰ τὸν πλοῦτον αὐτοῦ, ἐν δόξῃ, ἐν Χριστῷ Ἰησοῦ.

20 Τῷ δὲ Θεῷ καὶ πατρὶ ἡμῶν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

21 Ἀσπάσασθε πάντα ἅγιον ἐν Χριστῷ Ἰησοῦ· ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ ἀδελφοί.

22 Ἀσπάζονται ὑμᾶς πάντες οἱ ἅγιοι, μάλιστα δὲ οἱ ἐκ τῆς Καίσαρος οἰκίας.

23 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Ἀμήν.

Πρὸς Φιλιππησίους [b] ἐγράφη ἀπὸ Ῥώμης δι' Ἐπαφροδίτου.

[b] γράφω.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
Η ΠΡΟΣ ΚΟΛΑΣΣΑΕΙΣ
ΕΠΙΣΤΟΛΗ.

BRITISH MUSEUM

Κεφάλαιον α'. Caput I.

Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφὸς,

2 Τοῖς ἐν Κολασσαῖς ἁγίοις καὶ πιστοῖς ἀδελφοῖς ἐν Χριστῷ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

[a] χάρις.
[b] εὐχή.

3 [a] Εὐχαριστοῦμεν τῷ Θεῷ καὶ πατρὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πάντοτε περὶ ὑμῶν [b] προσευχόμενοι.

4 Ἀκούσαντες τὴν πίστιν ὑμῶν ἐν Χριστῷ Ἰησοῦ, καὶ τὴν ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους.

[c] κεῖμαι.
[d] εἰμί.
[e] ἀκούω.

5 Διὰ τὴν ἐλπίδα τὴν [c] ἀποκειμένην ὑμῖν ἐν τοῖς οὐρανοῖς, [d] ἣν [e] προηκούσατε ἐν τῷ λόγῳ τῆς ἀληθείας τοῦ εὐαγγελίου,

[f] φέρω.
[g] γινώσκω.

6 Τοῦ [d] παρόντος εἰς ὑμᾶς, καθὼς καὶ ἐν παντὶ τῷ κόσμῳ· καὶ [d] ἔστι [f] καρποφορούμενον, καθὼς καὶ ἐν ὑμῖν, ἀφ' ἧς ἡμέρας [e] ἠκούσατε καὶ [g] ἐπέγνωτε τὴν χάριν τοῦ Θεοῦ ἐν ἀληθείᾳ.

[h] μανθάνω.

7 Καθὼς καὶ [h] ἐμάθετε ἀπὸ Ἐπαφρᾶ τοῦ ἀγαπητοῦ συνδούλου ἡμῶν, ὅς ἐστι πιστὸς ὑπὲρ ὑμῶν διάκονος τοῦ Χριστοῦ·

[i] δῆλος.

8 Ὁ καὶ [i] δηλώσας ἡμῖν τὴν ὑμῶν ἀγάπην ἐν πνεύματι.

[k] πλέος.

9 Διὰ τοῦτο καὶ ἡμεῖς, ἀφ' ἧς ἡμέρας [f] ἠκούσαμεν, οὐ παυόμεθα ὑπὲρ ὑμῶν προσευχόμενοι, καὶ αἰτούμενοι ἵνα [k] πληρωθῆτε τὴν ἐπίγνωσιν τοῦ θελήματος αὐτοῦ ἐν πάσῃ σοφίᾳ καὶ συνέσει πνευματικῇ·

10 [l] Περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Κυρίου εἰς πᾶσαν ἀρέσκειαν, ἐν παντὶ ἔργῳ ἀγαθῷ [m] καρποφοροῦντες, καὶ [n] αὐξανόμενοι εἰς τὴν ἐπίγνωσιν τοῦ Θεοῦ.

[l] πατεω. [m] φέρω. [n] αὐξάνω.

11 Ἐν πάσῃ δυνάμει δυναμούμενοι κατὰ τὸ κράτος τῆς δόξης αὐτοῦ, εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν μετὰ χαρᾶς·

12 [o] Εὐχαριστοῦντες τῷ πατρὶ τῷ [p] ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί·

[o] χάρις. [p] ἱκανός.

13 Ὃς [q] ἐῤῥύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ [r] μετέστησεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ.

[q] ῥύω. [r] ἵστημι.

14 Ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν.

15 Ὅς [d] ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, [s] πρωτότοκος πάσης κτίσεως·

[s] τίκτω.

16 Ὅτι ἐν αὐτῷ [t] ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα· εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι, τὰ πάντα δι᾽ αὐτοῦ καὶ εἰς αὐτὸν [t] ἔκτισται·

[t] κτίζω.

17 Καὶ αὐτός [d] ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ [r] συνέστηκε.

18 Καὶ αὐτός [d] ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας, ὅς [d] ἐστιν ἀρχὴ πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων.

19 Ὅτι ἐν αὐτῷ [u] εὐδόκησε πᾶν τὸ πλήρωμα [x] κατοικῆσαι·

[u] δοκέω. [x] οἶκος.

20 Καὶ δι᾽ αὐτοῦ [y] ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτὸν, [z] εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ, δι᾽ αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐν τοῖς οὐρανοῖς.

[y] ἀλλάσσω. [z] ποιέω.

21 Καὶ ὑμᾶς ποτὲ [a] ὄντας [b] ἀπηλλοτριωμένους καὶ ἐχθροὺς τῇ διανοίᾳ ἐν τοῖς ἔργοις τοῖς πονηροῖς, νυνὶ δὲ [c] ἀποκατήλλαξεν,

[a] εἰμί. [b] ἀλλότριος [c] ἀλλάσσω.

22 Ἐν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ, διὰ τοῦ θανάτου· [d] παραστῆσαι ὑμᾶς ἁγίους καὶ ἀμώμους καὶ [e] ἀνεγκλήτους κατενώπιον αὐτοῦ.

[d] ἵστημι. [e] καλέω.

[f] θεμέλιον. [g] κινέω. [h] ἀκούω. [i] κήρυξ. [k] γίνομαι.

23 Εἴγε ἐπιμένετε τῇ πίστει [f] τεθεμελιωμένοι καὶ ἑδραῖοι, καὶ μὴ [g] μετακινούμενοι ἀπὸ τῆς ἐλπίδος τοῦ εὐαγγελίου οὗ [h] ἠκούσατε, τοῦ [i] κηρυχθέντος ἐν πάσῃ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν· οὗ [k] ἐγενόμην ἐγὼ Παῦλος διάκονος·

[l] πλέος.

24 Ὃς νῦν χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν, καὶ [l] ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου, ὑπὲρ τοῦ σώματος αὐτοῦ, ὅ [a] ἐστιν ἡ ἐκκλησία·

[m] δίδωμι. [n] πλέος.

25 Ἧς [k] ἐγενόμην ἐγὼ διάκονος κατὰ τὴν οἰκονομίαν τοῦ Θεοῦ, τὴν [m] δοθεῖσάν μοι εἰς ὑμᾶς [n] πληρῶσαι τὸν λόγον τοῦ Θεοῦ.

[o] κρύπτω. [p] φαίνω.

26 Τὸ μυστήριον τὸ [o] ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων, καὶ ἀπὸ τῶν γενεῶν, νυνὶ δὲ [p] ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ.

[q] θέλω. [r] γνωρίζω.

27 Οἷς [q] ἠθέλησεν ὁ Θεὸς [r] γνωρίσαι τίς ὁ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τούτου ἐν τοῖς ἔθνεσιν· ὅς [a] ἐστι Χριστὸς ἐν ὑμῖν, ἡ ἐλπὶς τῆς δόξης·

[s] ἀγγέλλω. [t] τίθημι. [u] ἵστημι.

28 Ὃν ἡμεῖς [s] καταγγέλλομεν, [t] νουθετοῦντες πάντα ἄνθρωπον, καὶ διδάσκοντες πάντα ἄνθρωπον ἐν πάσῃ σοφίᾳ· ἵνα [u] παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ Ἰησοῦ.

29 Εἰς ὃ καὶ κοπιῶ, ἀγωνιζόμενος κατὰ τὴν ἐνέργειαν αὐτοῦ τὴν ἐνεργουμένην ἐν ἐμοὶ ἐν δυνάμει.

Κεφ. β'. Cap. II.

[a] εἴδω. [b] ὁράω. [c] καλέω. [d] βαίνω.

ΘΕ'λω γὰρ ὑμᾶς [a] εἰδέναι ἡλίκον ἀγῶνα ἔχω περὶ ὑμῶν καὶ τῶν ἐν Λαοδικείᾳ, καὶ ὅσοι οὐχ [b] ἑωράκασι τὸ πρόσωπόν μου ἐν σαρκί.

2 Ἵνα [c] παρακληθῶσιν αἱ καρδίαι αὐτῶν, [d] συμβιβασθέντων ἐν ἀγάπῃ, καὶ εἰς πάντα πλοῦτον τῆς πληροφορίας τῆς συνέσεως, εἰς ἐπίγνωσιν τοῦ μυστηρίου τοῦ Θεοῦ καὶ πατρὸς καὶ τοῦ Χριστοῦ.

[e] εἰμί.

3 Ἐν ᾧ [e] εἰσὶ πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι.

4 Τοῦτο δὲ λέγω ἵνα μή τις ὑμᾶς παραλογίζηται ἐν πιθανολογίᾳ.

5 Εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τῷ πνεύματι σὺν ὑμῖν εἰμι, χαίρων καὶ βλέπων ὑμῶν

τὴν τάξιν καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως ὑμῶν.

6 Ὡς οὖν [f] παρελάβετε τὸν Χριστὸν Ἰησοῦν τὸν Κύριον, ἐν αὐτῷ περιπατεῖτε·

7 [g] Ἐῤῥιζωμένοι καὶ [h] ἐποικοδομούμενοι ἐν αὐτῷ, καὶ [d] βεβαιούμενοι ἐν τῇ πίστει, καθὼς [i] ἐδιδάχθητε, περισσεύοντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ.

8 Βλέπετε μή τις ὑμᾶς [e] ἔσται ὁ [k] συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου, καὶ οὐ κατὰ Χριστόν.

9 Ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς·

10 Καί [e] ἐστε ἐν αὐτῷ [l] πεπληρωμένοι, ὅς [e] ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας·

11 Ἐν ᾧ καὶ [m] περιετμήθητε περιτομῇ [n] ἀχειροποιήτῳ, ἐν τῇ [o] ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκὸς, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ.

12 [p] Συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι, ἐν ᾧ καὶ [q] συνηγέρθητε διὰ τῆς πίστεως τῆς ἐνεργείας τοῦ Θεοῦ τοῦ [q] ἐγείραντος αὐτὸν ἐκ τῶν νεκρῶν.

13 Καὶ ὑμεῖς νεκροὺς [e] ὄντας ἐν τοῖς παραπτώμασι καὶ τῇ ἀκροβυστίᾳ τῆς σαρκὸς ὑμῶν [n] συνεζωοποίησε σὺν αὐτῷ, [r] χαρισάμενος ὑμῖν πάντα τὰ παραπτώματα.

14 [s] Ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον τοῖς δόγμασιν, ὃ [e] ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ [t] ἦρκεν ἐκ τοῦ μέσου, [u] προσηλώσας αὐτὸ τῷ σταυρῷ·

15 [x] Ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας [y] ἐδειγμάτισεν ἐν παῤῥησίᾳ, θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ.

16 Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει, ἢ ἐν πόσει, ἢ ἐν μέρει ἑορτῆς, ἢ νουμηνίας, ἢ σαββάτων,

17 Ἅ [e] ἐστι σκιὰ τῶν μελλόντων· τὸ δὲ σῶμα, τοῦ Χριστοῦ.

18 Μηδεὶς ὑμᾶς [z] καταβραβευέτω θέλων ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ τῶν ἀγγέλων, ἃ

[f] λαμβάνω.
[g] ῥίζα.
[h] δέμω.
[i] διδάσκω.
[k] ἄγω.
[l] πλέος.
[m] τέμνω.
[n] ποιέω.
[o] δύω.
[p] θάπτω.
[q] ἐγείρω.
[r] χάρις.
[s] ἀλείφω.
[t] αἴρω.
[u] ἧλος.
[x] δύω.
[y] δεικνύω.
[z] βραβεύς.

[a] ὁράω. μὴ [a] ἑώρακεν ἐμβατεύων, εἰκῆ φυσιούμενος
ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ·

19 Καὶ οὐ κρατῶν τὴν κεφαλήν, ἐξ οὗ πᾶν τὸ
[b] ἄγω. σῶμα διὰ τῶν ἁφῶν καὶ συνδέσμων [b] ἐπιχορη-
[c] βαίνω. γούμενον καὶ [c] συμβιβαζόμενον, [d] αὔξει τὴν αὔξη-
[d] αὐξάνω. σιν τοῦ Θεοῦ.

[e] θνήσκω. 20 Εἰ οὖν [e] ἀπεθάνετε σὺν τῷ Χριστῷ ἀπὸ
[f] ζάω. τῶν στοιχείων τοῦ κόσμου, τί ὡς [f] ζῶντες ἐν κόσμῳ
[g] δοκέω. [g] δογματίζεσθε;

[h] ἅπτω. 21 Μὴ [h] ἅψῃ, μηδὲ γεύσῃ, μηδὲ θίγῃς.

22 Ἅ ἐστι πάντα εἰς φθορὰν τῇ ἀποχρήσει,
κατὰ τὰ ἐντάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων.

[i] εἰμί. 23 Ἅτινά [i] ἐστι λόγον μὲν ἔχοντα σοφίας ἐν
ἐθελοθρησκείᾳ, καὶ ταπεινοφροσύνῃ, καὶ ἀφειδίᾳ
σώματος, οὐκ ἐν τιμῇ τινι, πρὸς πλησμονὴν τῆς
σαρκός.

Κεφ. γʹ. Cap. III.

[a] ἐγείρω. Εἰ οὖν [a] συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζη-
τεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ
καθήμενος.

2 Τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς.

[b] θνήσκω. 3 [b] Ἀπεθάνετε γάρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυ-
πται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ.

[c] φαίνω. 4 Ὅταν ὁ Χριστὸς [c] φανερωθῇ, ἡ ζωὴ ἡμῶν,
τότε καὶ ὑμεῖς σὺν αὐτῷ [c] φανερωθήσεσθε ἐν
δόξῃ.

[d] νεκρός. 5 [d] Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς
γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυ-
[e] εἰμί. μίαν κακήν, καὶ τὴν πλεονεξίαν, ἥτις [e] ἐστὶν εἰ-
δωλολατρεία.

6 Δι᾽ ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς
ἀπειθείας.

[f] πατέω. 7 Ἐν οἷς καὶ ὑμεῖς [f] περιεπατήσατέ ποτε, ὅτε
[g] ζάω. [g] ἐζῆτε ἐν αὐτοῖς.

[h] τίθημι. 8 Νυνὶ δὲ [h] ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα,
ὀργήν, θυμόν, κακίαν, βλασφημίαν, αἰσχρο-
λογίαν, ἐκ τοῦ στόματος ὑμῶν.

[i] δύω. 9 Μὴ ψεύδεσθε εἰς ἀλλήλους, [i] ἀπεκδυσά-
μενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν
αὐτοῦ·

10 Καὶ ἐνδυσάμενοι τὸν νέον τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν.

11 Ὅπου οὐκ [c] ἔνι Ἕλλην καὶ Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία, βάρβαρος, Σκύθης, δοῦλος, καὶ ἐλεύθερος· ἀλλὰ τὰ πάντα καὶ ἐν πᾶσι Χριστός.

12 [i] Ἐνδύσασθε οὖν, ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ, ἅγιοι καὶ ἠγαπημένοι, σπλάγχνα οἰκτιρμῶν, χρηστότητα, ταπεινοφροσύνην, πρᾳότητα, μακροθυμίαν·

13 [k] Ἀνεχόμενοι ἀλλήλων, καὶ [l] χαριζόμενοι ἑαυτοῖς, ἐάν τις πρός τινα ἔχῃ μομφήν· καθὼς καὶ ὁ Χριστὸς [l] ἐχαρίσατο ὑμῖν, οὕτω καὶ ὑμεῖς.

[k] ἔχω.
[l] χάρις.

14 Ἐπὶ πᾶσι δὲ τούτοις τὴν ἀγάπην, ἥτις [c] ἐστὶ σύνδεσμος τῆς τελειότητος.

15 Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν, εἰς ἣν καὶ [m] ἐκλήθητε ἐν ἑνὶ σώματι, καὶ εὐχάριστοι [n] γίνεσθε.

[m] καλέω.
[n] γίνομαι.

16 Ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως, ἐν πάσῃ σοφίᾳ· διδάσκοντες καὶ νουθετοῦντες ἑαυτοὺς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ἐν χάριτι [o] ᾄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ.

[o] ἀείδω.

17 Καὶ πᾶν ὅ, τι ἂν [p] ποιῆτε ἐν λόγῳ ἢ ἐν ἔργῳ, πάντα ἐν ὀνόματι Κυρίου Ἰησοῦ, [q] εὐχαριστοῦντες τῷ Θεῷ καὶ πατρὶ δι' αὐτοῦ.

[p] ποιέω.
[q] χάρις.

18 Αἱ γυναῖκες ὑποτάσσεσθε τοῖς ἰδίοις ἀνδράσιν, ὡς [r] ἀνῆκεν ἐν Κυρίῳ.

[r] ἥκω.

19 Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας, καὶ μὴ [ſ] πικραίνεσθε πρὸς αὐτάς.

[ſ] πικρός.

20 Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσι κατὰ πάντα· τοῦτο γάρ ἐστιν εὐάρεστον τῷ Κυρίῳ.

21 Οἱ πατέρες, μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν.

22 Οἱ δοῦλοι, ὑπακούετε κατὰ πάντα τοῖς κατὰ σάρκα κυρίοις, μὴ ἐν ὀφθαλμοδουλείαις ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ἐν ἁπλότητι καρδίας, φοβούμενοι τὸν Θεόν.

23 Καὶ πᾶν ὅ, τι ἐὰν ποιῆτε, ἐκ ψυχῆς ἐργάζεσθε, ὡς τῷ Κυρίῳ καὶ οὐκ ἀνθρώποις·

[t] λαμβάνω.
24 Εἰδότες ὅτι ἀπὸ Κυρίου [t] ἀπολήψεσθε τὴν ἀνταπόδοσιν τῆς κληρονομίας· τῷ γὰρ Κυρίῳ Χριστῷ δουλεύετε.

[u] δίκη.
25 Ὁ δὲ ἀδικῶν κομιεῖται ὃ [u] ἠδίκησε· καὶ οὐκ ἔστι [t] προσωποληψία.

Κεφ. δʹ. Cap. IV.

Οἱ κύριοι τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχεσθε, εἰδότες ὅτι καὶ ὑμεῖς ἔχετε Κύριον ἐν οὐρανοῖς.

[a] κράτος.
2 Τῇ προσευχῇ [a] προσκαρτερεῖτε, γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ.

[b] οἴγω.
[c] λαλέω.
[d] δέω.
3 Προσευχόμενοι ἅμα καὶ περὶ ἡμῶν, ἵνα ὁ Θεὸς [b] ἀνοίξῃ ἡμῖν θύραν τοῦ λόγου, [c] λαλῆσαι τὸ μυστήριον τοῦ Χριστοῦ, δι' ὃ καὶ [d] δέδεμαι·

4 Ἵνα φανερώσω αὐτὸ ὡς δεῖ με [c] λαλῆσαι.

[e] ἀγορά.
5 Ἐν σοφίᾳ περιπατεῖτε πρὸς τοὺς ἔξω, τὸν καιρὸν [e] ἐξαγοραζόμενοι.

6 Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι.

7 Τὰ κατ' ἐμὲ πάντα γνωρίσει ὑμῖν Τυχικὸς, ὁ ἀγαπητὸς ἀδελφὸς, καὶ πιστὸς διάκονος, καὶ σύνδουλος ἐν Κυρίῳ·

[f] πέμπω.
[g] γινώσκω.
8 Ὃν [f] ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο ἵνα [g] γνῷ τὰ περὶ ὑμῶν, καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν·

[h] εἰμί.
[i] γνωρίζω.
9 Σὺν Ὀνησίμῳ τῷ πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ, ὅς [h] ἐστιν ἐξ ὑμῶν· πάντα ὑμῖν [i] γνωριοῦσι τὰ ὧδε.

[k] λαμβάνω.
[l] ἔρχομαι.
[m] δέχομαι.
10 Ἀσπάζεται ὑμᾶς Ἀρίσταρχος ὁ συναιχμάλωτός μου, καὶ Μάρκος ὁ ἀνεψιὸς Βαρνάβα, περὶ οὗ [k] ἐλάβετε ἐντολάς· ἐὰν [l] ἔλθῃ πρὸς ὑμᾶς [m] δέξασθε αὐτόν.

[n] γίνομαι.
11 Καὶ Ἰησοῦς ὁ λεγόμενος Ἰοῦστος, οἱ [h] ὄντες ἐκ περιτομῆς· οὗτοι μόνοι συνεργοὶ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, οἵτινες [n] ἐγενήθησάν μοι παρηγορία.

12 Ἀσπάζεται ὑμᾶς Ἐπαφρᾶς ὁ ἐξ ὑμῶν, δοῦλος Χριστοῦ, πάντοτε ἀγωνιζόμενος ὑπὲρ ὑμῶν ἐν ταῖς προσευχαῖς, ἵνα [o] στῆτε τέλειοι ϗ [p] πεπληρωμένοι ἐν παντὶ θελήματι τοῦ Θεοῦ.

[o] ἵστημι.
[p] πλέος.

13 Μαρτυρῶ γὰρ αὐτῷ ὅτι ἔχει ζῆλον πολὺν ὑπὲρ ὑμῶν, ϗ τῶν ἐν Λαοδικείᾳ, ϗ τῶν ἐν Ἱεραπόλει.

14 Ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητὸς, ϗ Δημᾶς.

15 Ἀσπάσασθε τοὺς ἐν Λαοδικείᾳ ἀδελφοὺς, ϗ Νυμφᾶν, ϗ τὴν κατ' οἶκον αὐτοῦ ἐκκλησίαν.

16 Καὶ ὅταν [q] ἀναγνωσθῇ παρ' ὑμῖν ἡ ἐπιστολὴ, [r] ποιήσατε ἵνα ϗ ἐν τῇ Λαοδικέων ἐκκλησίᾳ [q] ἀναγνωσθῇ· ϗ τὴν ἐκ Λαοδικείας ἵνα ϗ ὑμεῖς [q] ἀναγνῶτε.

[q] γινώσκω.
[r] ποιέω.

17 Καὶ εἴπατε Ἀρχίππῳ, Βλέπε τὴν διακονίαν ἣν [k] παρέλαβες ἐν Κυρίῳ ἵνα αὐτὴν [ſ] πληροῖς.

[ſ] πλέος.

18 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. [t] Μνημονεύετέ μου τῶν δεσμῶν. ἡ χάρις μεθ' ὑμῶν. Ἀμήν.

[t] μιμνήσκομαι.

Πρὸς Κολασσαεῖς [u] ἐγράφη ἀπὸ Ῥώμης διὰ Τυχικοῦ ϗ Ὀνησίμου.

[u] γράφω.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ.

Κεφάλαιον α΄. Caput I.

Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ ἐκκλησίᾳ Θεσσαλονικέων, ἐν Θεῷ πατρὶ, καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

2 [a] Εὐχαριστοῦμεν τῷ Θεῷ πάντοτε περὶ πάντων ὑμῶν, μνείαν ὑμῶν [b] ποιούμενοι ἐπὶ τῶν προσευχῶν ἡμῶν·

a χάρις.
b ποιέω.

3 Ἀδιαλείπτως [c] μνημονεύοντες ὑμῶν τοῦ ἔργου τῆς πίστεως, καὶ τοῦ κόπου τῆς ἀγάπης, καὶ τῆς ὑπομονῆς τῆς ἐλπίδος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν.

c μιμνήσκομαι.

4 [d] Εἰδότες, ἀδελφοὶ [e] ἠγαπημένοι, ὑπὸ Θεοῦ τὴν ἐκλογὴν ὑμῶν·

d εἴδω.
e ἀγαπάω.

5 Ὅτι τὸ εὐαγγέλιον ἡμῶν οὐκ [f] ἐγενήθη εἰς ὑμᾶς ἐν λόγῳ μόνον, ἀλλὰ καὶ ἐν δυνάμει, καὶ ἐν πνεύματι ἁγίῳ, καὶ ἐν πληροφορίᾳ πολλῇ· καθὼς [d] οἴδατε οἷοι [f] ἐγενήθημεν ἐν ὑμῖν δι' ὑμᾶς.

f γίνομαι.

6 Καὶ ὑμεῖς μιμηταὶ ἡμῶν [f] ἐγενήθητε καὶ τοῦ Κυρίου, [g] δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ, μετὰ χαρᾶς πνεύματος ἁγίου.

g δέ[illegible]

7 Ὥστε [f] γενέσθαι ὑμᾶς τύπους πᾶσι τοῖς πιστεύουσιν ἐν τῇ Μακεδονίᾳ καὶ τῇ Ἀχαΐᾳ.

8 Ἀφ' ὑμῶν γὰρ [h] ἐξήχηται ὁ λόγος τοῦ Κυρίου οὐ μόνον ἐν τῇ Μακεδονίᾳ καὶ Ἀχαΐᾳ, ἀλλὰ καὶ ἐν παντὶ τόπῳ ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν Θεὸν,

h ἠχέω.

[i] ἐξελήλυθεν, ὥστε μὴ χρείαν ἡμᾶς ἔχειν λαλεῖν τι.

9 Αὐτοὶ γὰρ περὶ ἡμῶν ἀπαγγέλλουσιν ὁποίαν εἴσοδον ἔχομεν πρὸς ὑμᾶς, καὶ πῶς [k] ἐπεστρέψατε πρὸς τὸν Θεὸν ἀπὸ τῶν εἰδώλων, δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ.

10 Καὶ ἀναμένειν τὸν υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν, ὃν [l] ἤγειρεν ἐκ νεκρῶν, Ἰησοῦν, τὸν ῥυόμενον ἡμᾶς ἀπὸ τῆς ὀργῆς τῆς ἐρχομένης.

Κεφ. β'. Cap. II.

Αὐτοὶ γὰρ [a] οἴδατε, ἀδελφοὶ, τὴν εἴσοδον ἡμῶν τὴν πρὸς ὑμᾶς, ὅτι οὐ κενὴ [b] γέγονεν.

2 Ἀλλὰ καὶ [c] προπαθόντες, καὶ [d] ὑβρισθέντες καθὼς [a] οἴδατε, ἐν Φιλίπποις [e] ἐπαῤῥησιασάμεθα ἐν τῷ Θεῷ ἡμῶν, [f] λαλῆσαι πρὸς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ ἐν πολλῷ ἀγῶνι.

3 Ἡ γὰρ παράκλησις ἡμῶν οὐκ ἐκ πλάνης, οὐδὲ ἐξ ἀκαθαρσίας, οὔτε ἐν δόλῳ.

4 Ἀλλὰ καθὼς [g] δεδοκιμάσμεθα ὑπὸ τοῦ Θεοῦ [h] πιστευθῆναι τὸ εὐαγγέλιον, οὕτω [f] λαλοῦμεν· οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ τῷ Θεῷ τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν.

5 Οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας [b] ἐγενήθημεν, καθὼς [a] οἴδατε, οὔτε ἐν προφάσει πλεονεξίας· Θεὸς μάρτυς.

6 Οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν, οὔτε ἀπ' ἄλλων· δυνάμενοι ἐν βάρει [i] εἶναι, ὡς Χριστοῦ ἀπόστολοι.

7 Ἀλλ' [b] ἐγενήθημεν νήπιοι ἐν μέσῳ ὑμῶν, ὡς ἂν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα.

8 Οὕτως, [k] ἱμειρόμενοι ὑμῶν, εὐδοκοῦμεν [l] μεταδοῦναι ὑμῖν οὐ μόνον τὸ εὐαγγέλιον τοῦ Θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχὰς, διότι ἀγαπητοὶ ἡμῖν γεγένηθε.

9 [m] Μνημονεύετε γὰρ, ἀδελφοὶ, τὸν κόπον ἡμῶν καὶ τὸν μόχθον· νυκτὸς γὰρ καὶ ἡμέρας ἐργαζόμενοι, πρὸς τὸ μὴ [n] ἐπιβαρῆσαί τινα ὑμῶν, [o] ἐκηρύξαμεν εἰς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ.

10 Ὑμεῖς μάρτυρες καὶ ὁ Θεὸς, ὡς ὁσίως καὶ

δικαίως

[i] ἔρχομαι.
[k] στρέφω.
[l] ἐγείρω.
[a] εἴδω.
[b] γίνομαι.
[c] πάσχω.
[d] ὕβρις.
[e] ῥέω.
[f] λαλέω.
[g] δοκιμή.
[h] πίστις.
[i] εἰμί.
[k] ἱμείρομαι.
[l] δίδωμι.
[m] μιμνήσκομαι.
[n] βαρύς.
[o] κῆρυξ.

δικαίως καὶ ἀμέμπτως ὑμῖν τοῖς πιστεύουσιν [b] ἐγενήθημεν.

[*] εἴδω.
[p] μῦθος.

11 Καθάπερ * οἴδατε ὡς ἕνα ἕκαστον ὑμῶν, ὡς πατὴρ τέκνα ἑαυτοῦ, παρακαλοῦντες ὑμᾶς καὶ [p] παραμυθούμενοι,

12 Καὶ μαρτυρούμενοι εἰς τὸ περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Θεοῦ τοῦ καλοῦντος ὑμᾶς εἰς τὴν ἑαυτοῦ βασιλείαν καὶ δόξαν.

[q] χάρις.
[r] λαμβάνω.
[s] δέχομαι.

13 Διὰ τοῦτο καὶ ἡμεῖς [q] εὐχαριστοῦμεν τῷ Θεῷ ἀδιαλείπτως, ὅτι [r] παραλαβόντες λόγον ἀκοῆς παρ' ἡμῶν, τοῦ Θεοῦ, [s] ἐδέξασθε οὐ λόγον ἀνθρώπων, ἀλλὰ (καθώς [i] ἐστιν ἀληθῶς) λόγον Θεοῦ, ὃς καὶ ἐνεργεῖται ἐν ὑμῖν τοῖς πιστεύουσιν.

[t] πάσχω.

14 Ὑμεῖς γὰρ μιμηταὶ [b] ἐγενήθητε, ἀδελφοί, τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν [i] οὐσῶν ἐν τῇ Ἰουδαίᾳ, ἐν Χριστῷ Ἰησοῦ, ὅτι ταῦτα [t] ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων·

[u] διώκω.

15 Τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων Ἰησοῦν καὶ τοὺς ἰδίους προφήτας, καὶ ἡμᾶς [u] ἐκδιωξάντων, καὶ Θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων·

[x] λαλέω.
[y] σῶος.
[z] πλέος.
[a] φθάνω.

16 Κωλυόντων ἡμᾶς τοῖς ἔθνεσι [x] λαλῆσαι ἵνα [y] σωθῶσιν, εἰς τὸ [z] ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας πάντοτε· [a] ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος.

[b] ὄρφανος.
[c] σπεύδω.
[d] εἴδω.

17 Ἡμεῖς δέ, ἀδελφοί, [b] ἀπορφανισθέντες ἀφ' ὑμῶν πρὸς καιρὸν ὥρας, προσώπῳ, οὐ καρδίᾳ, περισσοτέρως [c] ἐσπουδάσαμεν τὸ πρόσωπον ὑμῶν [d] ἰδεῖν ἐν πολλῇ ἐπιθυμίᾳ.

[e] θέλω.
[f] ἔρχομαι.
[g] κόπτω.

18 Διὸ [e] ἠθελήσαμεν [f] ἐλθεῖν πρὸς ὑμᾶς (ἐγὼ μὲν Παῦλος) καὶ ἅπαξ καὶ δίς, καὶ [g] ἐνέκοψεν ἡμᾶς ὁ σατανᾶς.

19 Τίς γὰρ ἡμῶν ἐλπίς, ἢ χαρά, ἢ στέφανος καυχήσεως; ἢ οὐχὶ καὶ ὑμεῖς ἔμπροσθεν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν τῇ αὐτοῦ παρουσίᾳ;

[h] εἰμί.

20 Ὑμεῖς γάρ [h] ἐστε ἡ δόξα ἡμῶν καὶ ἡ χαρά.

Κεφ.

Κεφ. γʹ. Cap. III.

Διὸ μηκέτι στέγοντες, εὐδοκήσαμεν [a] καταλειφθῆναι ἐν Ἀθήναις μόνοι,

2 Καὶ [b] ἐπέμψαμεν Τιμόθεον τὸν ἀδελφὸν ἡμῶν, καὶ διάκονον τοῦ Θεοῦ, καὶ συνεργὸν ἡμῶν ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ, εἰς τὸ [c] στηρίξαι ὑμᾶς, καὶ [d] παρακαλέσαι ὑμᾶς περὶ τῆς πίστεως ὑμῶν.

3 Τῷ μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις· αὐτοὶ γὰρ [e] οἴδατε εἰς τοῦτο [f] κείμεθα.

4 Καὶ γὰρ ὅτε πρὸς ὑμᾶς [g] ἦμεν, προελέγομεν ὑμῖν ὅτι μέλλομεν θλίβεσθαι· καθὼς καὶ [h] ἐγένετο, καὶ [i] οἴδατε.

5 Διὰ τοῦτο [k] κἀγὼ μηκέτι στέγων, [l] ἔπεμψα εἰς τὸ [m] γνῶναι τὴν πίστιν ὑμῶν· μήπως [n] ἐπείρασεν ὑμᾶς ὁ πειράζων, καὶ εἰς κενὸν [h] γένηται ὁ κόπος ἡμῶν.

6 Ἄρτι δὲ [o] ἐλθόντος Τιμοθέου πρὸς ἡμᾶς ἀφ' ὑμῶν, καὶ εὐαγγελισαμένου ἡμῖν τὴν πίστιν καὶ τὴν ἀγάπην ὑμῶν, καὶ ὅτι ἔχετε μνείαν ἡμῶν ἀγαθὴν πάντοτε, [p] ἐπιποθοῦντες ἡμᾶς [c] ἰδεῖν, καθάπερ καὶ ἡμεῖς ὑμᾶς.

7 Διὰ τοῦτο [q] παρεκλήθημεν, ἀδελφοὶ ἐφ' ὑμῖν, ἐπὶ πάσῃ τῇ θλίψει καὶ ἀνάγκῃ ἡμῶν, διὰ τῆς ὑμῶν πίστεως.

8 Ὅτι νῦν [r] ζῶμεν, ἐὰν ὑμεῖς [s] στήκητε ἐν Κυρίῳ.

9 Τίνα γὰρ εὐχαριστίαν δυνάμεθα τῷ Θεῷ [t] ἀνταποδοῦναι περὶ ὑμῶν, ἐπὶ πάσῃ τῇ χαρᾷ ᾗ χαίρομεν δι' ὑμᾶς ἔμπροσθεν τοῦ Θεοῦ ἡμῶν.

10 Νυκτὸς καὶ ἡμέρας ὑπερεκπερισσοῦ δεόμενοι εἰς τὸ [i] ἰδεῖν ὑμῶν τὸ πρόσωπον, καὶ καταρτίσαι τὰ ὑστερήματα τῆς πίστεως ὑμῶν;

11 Αὐτὸς δὲ ὁ Θεὸς καὶ πατὴρ ἡμῶν, καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς [u] κατευθύναι τὴν ὁδὸν ἡμῶν πρὸς ὑμᾶς.

12 Ὑμᾶς δὲ ὁ Κύριος πλεονάσαι καὶ περισσεύσαι τῇ ἀγάπῃ εἰς ἀλλήλους καὶ εἰς πάντας, καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς.

13 Εἰς

[a] λείπω.
[b] πέμπω.
[c] στηρίζω.
[d] καλέω.
[e] εἴδω.
[f] κεῖμαι.
[g] εἰμί.
[h] γίνομαι.
[i] εἴδω.
[k] καὶ ἐγώ.
[l] πέμπω.
[m] γινώσκω.
[n] πειρα.
[o] ἔρχομαι.
[p] πόθος.
[q] καλέω.
[r] ζάω.
[s] ἵστημι.
[t] δίδωμι.
[u] εὐθύς.

13 Εἰς τὸ [c] στηρίξαι ὑμῶν τὰς καρδίας ἀμέμπτους ἐν ἁγιωσύνῃ, ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων τῶν ἁγίων αὐτοῦ.

Κεφ. δʹ. Cap. IV.

[a] λαμβάνω. ΤΟ λοιπὸν οὖν, ἀδελφοί, ἐρωτῶμεν ὑμᾶς καὶ παρακαλοῦμεν ἐν Κυρίῳ Ἰησοῦ, καθὼς [a] παρελάβετε παρ' ἡμῶν τὸ πῶς δεῖ ὑμᾶς περιπατεῖν καὶ ἀρέσκειν Θεῷ, ἵνα περισσεύητε μᾶλλον.

[b] εἴδω. [c] δίδωμι. 2 [b] Οἴδατε γὰρ τίνας παραγγελίας [c] ἐδώκαμεν ὑμῖν διὰ τοῦ Κυρίου Ἰησοῦ.

[d] εἰμί. [e] ἔχω. 3 Τοῦτο γάρ [d] ἐστι θέλημα τοῦ Θεοῦ, ὁ ἁγιασμὸς ὑμῶν, [e] ἀπέχεσθαι ὑμᾶς ἀπὸ τῆς πορνείας·

[f] κτάομαι. 4 [b] Εἰδέναι ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος [f] κτᾶσθαι ἐν ἁγιασμῷ καὶ τιμῇ.

5 Μὴ ἐν πάθει ἐπιθυμίας, καθάπερ καὶ τὰ ἔθνη τὰ μὴ [b] εἰδότα τὸν Θεόν.

[g] μάρτυρ. 6 Τὸ μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν ἐν τῷ πράγματι τὸν ἀδελφὸν αὐτοῦ· διότι ἔκδικος ὁ Κύριος περὶ πάντων τούτων, καθὼς καὶ προείπαμεν ὑμῖν, καὶ [g] διεμαρτυράμεθα.

[h] καλέω. 7 Οὐ γὰρ [h] ἐκάλεσεν ἡμᾶς ὁ Θεὸς ἐπὶ ἀκαθαρσίᾳ ἀλλ' ἐν ἁγιασμῷ.

8 Τοιγαροῦν ὁ ἀθετῶν, οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεὸν τὸν καὶ [c] δόντα τὸ πνεῦμα αὐτοῦ τὸ ἅγιον εἰς ἡμᾶς.

9 Περὶ δὲ τῆς φιλαδελφίας οὐ χρείαν ἔχετε γράφειν ὑμῖν· αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί [d] ἐστε εἰς τὸ ἀγαπᾷν ἀλλήλους.

10 Καὶ γὰρ ποιεῖτε αὐτὸ εἰς πάντας τοὺς ἀδελφοὺς τοὺς ἐν ὅλῃ τῇ Μακεδονίᾳ· παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοί, περισσεύειν μᾶλλον.

[i] ἀγγέλλω. 11 Καὶ φιλοτιμεῖσθαι ἡσυχάζειν, καὶ πράσσειν τὰ ἴδια, καὶ ἐργάζεσθαι ταῖς ἰδίαις χερσὶν ὑμῶν, καθὼς ὑμῖν [i] παρηγγείλαμεν·

12 Ἵνα περιπατῆτε εὐσχημόνως πρὸς τοὺς ἔξω, καὶ μηδενὸς χρείαν ἔχητε.

[k] νόος. 13 Οὐ θέλω δὲ ὑμᾶς [k] ἀγνοεῖν, ἀδελφοί,

περὶ τῶν [l] κεκοιμημένων, ἵνα μὴ λυπῆσθε καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα.

[l] κοιμάω.

14 Εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς [m] ἀπέθανε καὶ [n] ἀνέστη, οὕτω καὶ ὁ Θεὸς τοὺς [l] κοιμηθέντας διὰ τοῦ Ἰησοῦ, [o] ἄξει σὺν αὐτῷ.

[m] θνήσκω.
[n] ἵστημι.
[o] ἄγω.

15 Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ [p] ζῶντες οἱ [q] περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ [r] φθάσωμεν τοὺς [l] κοιμηθέντας.

[p] ζάω.
[q] λείπω.
[r] φθάνω.

16 Ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ, [s] καταβήσεται ἀπ᾽ οὐρανοῦ· καὶ οἱ νεκροὶ ἐν Χριστῷ, [n] ἀναστήσονται πρῶτον·

[s] βαίνω.

17 Ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς [t] ἁρπαγησόμεθα ἐν νεφέλαις, εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα· καὶ οὕτω πάντοτε σὺν Κυρίῳ [d] ἐσόμεθα.

[t] ἁρπάζω.

18 Ὥστε παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις.

Κεφ. ε΄. Cap. V.

Περὶ δὲ τῶν χρόνων καὶ τῶν καιρῶν, ἀδελφοί, οὐ χρείαν ἔχετε ὑμῖν [a] γράφεσθαι.

[a] γράφω.

2 Αὐτοὶ γὰρ ἀκριβῶς [b] οἴδατε ὅτι ἡ ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτί, οὕτως ἔρχεται.

[b] εἴδω.

3 Ὅταν γὰρ λέγωσιν, Εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνίδιος αὐτοῖς [c] ἀφίσταται ὄλεθρος, ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ· καὶ οὐ μὴ ἐκφύγωσιν.

[c] ἵστημι.

4 Ὑμεῖς δὲ, ἀδελφοὶ, οὐκ [d] ἐστὲ ἐν σκότει, ἵνα ἡ ἡμέρα ὑμᾶς ὡς κλέπτης [e] καταλάβῃ.

[d] εἰμί.
[e] λαμβάνω.

5 Πάντες ὑμεῖς υἱοὶ φωτός [d] ἐστε καὶ υἱοὶ ἡμέρας· οὐκ ἐσμὲν νυκτὸς, οὐδὲ σκότους.

6 Ἄρα οὖν μὴ καθεύδωμεν ὡς καὶ οἱ λοιποὶ, ἀλλὰ γρηγορῶμεν καὶ νήφωμεν.

7 Οἱ γὰρ καθεύδοντες, νυκτὸς καθεύδουσι· καὶ οἱ μεθυσκόμενοι, νυκτὸς μεθύουσιν.

8 Ἡμεῖς δὲ ἡμέρας [d] ὄντες, νήφωμεν, [f] ἐνδυσάμενοι θώρακα πίστεως καὶ ἀγάπης, καὶ περικεφαλαίαν, ἐλπίδα σωτηρίας.

[f] δύω.

g τίθημι. 9 Ὅτι οὐκ [g] ἔθετο ἡμᾶς ὁ Θεὸς εἰς ὀργὴν, ἀλλ' εἰς περιποίησιν σωτηρίας διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

h θνήσκω. i ζάω. 10 Τοῦ [h] ἀποθανόντος ὑπὲρ ἡμῶν· ἵνα εἴτε γρηγορῶμεν, εἴτε καθεύδωμεν, ἅμα σὺν αὐτῷ [i] ζήσωμεν.

11 Διὸ παρακαλεῖτε ἀλλήλους, καὶ οἰκοδομεῖτε εἷς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε.

12 Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοὶ, [b] εἰδέναι τοὺς κοπιῶντας ἐν ὑμῖν καὶ [c] προϊσταμένους ὑμῶν ἐν Κυρίῳ, καὶ [g] νουθετοῦντας ὑμᾶς.

k ἡγέομαι. l περί. 13 Καὶ [k] ἡγεῖσθαι αὐτοὺς [l] ὑπερεκπερισσοῦ ἐν ἀγάπῃ, διὰ τὸ ἔργον αὐτῶν· εἰρηνεύετε ἐν ἑαυτοῖς.

m μῦθος. n ἔχω. 14 Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοὶ, [g] νουθετεῖτε τοὺς ἀτάκτους, [m] παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, [n] ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας.

o ὁράω. p δίδωμι. 15 [o] Ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινὶ [p] ἀποδῷ, ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε καὶ εἰς ἀλλήλους καὶ εἰς πάντας.

16 Πάντοτε χαίρετε.

17 Ἀδιαλείπτως προσεύχεσθε.

18 Ἐν παντὶ εὐχαριστεῖτε· τοῦτο γὰρ θέλημα Θεοῦ ἐν Χριστῷ Ἰησοῦ εἰς ὑμᾶς.

q σβεννύω. 19 Τὸ πνεῦμα μὴ [q] σβέννυτε.

r εἷς. 20 Προφητείας μὴ [r] ἐξουθενεῖτε.

21 Πάντα δοκιμάζετε, τὸ καλὸν κατέχετε.

22 Ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε.

s τηρέω. 23 Αὐτὸς δὲ ὁ Θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς· καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα, καὶ ἡ ψυχὴ, καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ [s] τηρηθείη.

24 Πιστὸς ὁ καλῶν ὑμᾶς, ὃς καὶ ποιήσει.

25 Ἀδελφοὶ, προσεύχεσθε περὶ ἡμῶν.

26 Ἀσπάσασθε τοὺς ἀδελφοὺς πάντας ἐν φιλήματι ἁγίῳ.

t γινώσκω. 27 Ὁρκίζω ὑμᾶς τὸν Κύριον, [t] ἀναγνωσθῆναι τὴν ἐπιστολὴν πᾶσι τοῖς ἁγίοις ἀδελφοῖς.

28 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν. Ἀμήν.

Πρὸς Θεσσαλονικεῖς πρώτη [a] ἐγράφη ἀπὸ Ἀθηνῶν.

[a] γράφω.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ.

Κεφάλαιον α'. Caput I.

Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ ἐκκλησίᾳ Θεσσαλονικέων, ἐν Θεῷ πατρὶ ἡμῶν καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ.

2 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

3 Εὐχαριστεῖν ὀφείλομεν τῷ Θεῷ πάντοτε περὶ ὑμῶν, ἀδελφοί, καθὼς ἄξιόν [a] ἐστιν, ὅτι ὑπεραυξάνει ἡ πίστις ὑμῶν, καὶ πλεονάζει ἡ ἀγάπη ἑνὸς ἑκάστου πάντων ὑμῶν εἰς ἀλλήλους.

4 Ὥστε ἡμᾶς αὐτοὺς ἐν ὑμῖν [b] καυχᾶσθαι ἐν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ, ὑπὲρ τῆς ὑπομονῆς ὑμῶν καὶ πίστεως ἐν πᾶσι τοῖς διωγμοῖς ὑμῶν, καὶ ταῖς θλίψεσιν αἷς [c] ἀνέχεσθε.

5 Ἔνδειγμα τῆς δικαίας κρίσεως τοῦ Θεοῦ εἰς τὸ [d] καταξιωθῆναι ὑμᾶς τῆς βασιλείας τοῦ Θεοῦ, ὑπὲρ ἧς καὶ πάσχετε·

6 Εἴπερ δίκαιον παρὰ Θεῷ [e] ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλῖψιν·

7 Καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν μεθ' ἡμῶν, ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίου Ἰησοῦ ἀπ' οὐρανοῦ μετ' ἀγγέλων δυνάμεως αὐτοῦ,

8 Ἐν πυρὶ φλογὸς, [e] διδόντος ἐκδίκησιν

[a] εἰμί.

[b] καυχάομαι.

[c] ἔχω.

[d] ἄξιος.

[e] δίδωμι.

τοῖς μὴ [f] εἰδόσι Θεὸν, καὶ τοῖς μὴ ὑπακούουσι τῷ εὐαγγελίῳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

9 Οἵτινες δίκην τίσουσιν, ὄλεθρον αἰώνιον, ἀπὸ προσώπου τοῦ Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ.

10 Ὅταν [g] ἔλθῃ [h] ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ [i] θαυμασθῆναι ἐν πᾶσι τοῖς πιστεύουσιν (ὅτι [k] ἐπιστεύθη τὸ μαρτύριον ἡμῶν ἐφ' ὑμᾶς) ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

[g] ἔρχομαι.
[h] δοκέω.
[i] θαῦμα.
[k] πίστις.

11 Εἰς ὃ καὶ προσευχόμεθα πάντοτε περὶ ὑμῶν, ἵνα ὑμᾶς [l] ἀξιώσῃ τῆς κλήσεως ὁ Θεὸς ἡμῶν, καὶ [m] πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύνης, καὶ ἔργον πίστεως ἐν δυνάμει.

[l] ἄξιος.
[m] πλέος.

12 Ὅπως [h] ἐνδοξασθῇ τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν ὑμῖν, καὶ ὑμεῖς ἐν αὐτῷ, κατὰ τὴν χάριν τοῦ Θεοῦ ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Κεφ. β'. Cap. II.

[a] Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοὶ, ὑπὲρ τῆς παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡμῶν ἐπισυναγωγῆς ἐπ' αὐτὸν,

[a] ἐρωτάω.

2 Εἰς τὸ μὴ ταχέως [b] σαλευθῆναι ὑμᾶς ἀπὸ τοῦ νοὸς, μήτε [c] θροεῖσθαι, μήτε διὰ πνεύματος, μήτε διὰ λόγου, μήτε δι' ἐπιστολῆς, ὡς δι' ἡμῶν, ὡς ὅτι [d] ἐνέστηκεν ἡ ἡμέρα τοῦ Χριστοῦ.

[b] σάλος.
[c] θρέω.
[d] ἵστημι.

3 Μή τις ὑμᾶς [e] ἐξαπατήσῃ κατὰ μηδένα τρόπον· ὅτι ἐὰν μὴ [f] ἔλθῃ ἡ ἀποστασία πρῶτον, καὶ [g] ἀποκαλυφθῇ ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας,

[e] ἀπατάω.
[f] ἔρχομαι.
[g] καλύπτω.

4 Ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πᾶν τὸ λεγόμενον Θεὸν ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ Θεοῦ ὡς Θεὸν [h] καθίσαι, ἀποδεικνύντα ἑαυτὸν ὅτι [i] ἐστὶ Θεός.

[h] ἕζω.
[i] εἰμί.

5 Οὐ [k] μνημονεύετε ἔτι ὅτι [i] ὢν πρὸς ὑμᾶς, ταῦτα ἔλεγον ὑμῖν;

[k] μιμνήσκομαι.

6 Καὶ νῦν τὸ κατέχον [l] οἴδατε, εἰς τὸ [g] ἀποκαλυφθῆναι αὐτὸν ἐν τῷ ἑαυτοῦ καιρῷ.

[l] εἴδω.

7 Τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας· μόνον ὁ κατέχων ἄρτι ἕως ἐκ μέσου [m] γένηται.

[m] γίνομαι.

8 Καὶ τότε 5 ἀποκαλυφθήσεται ὁ ἄνομος ὃν ὁ Κύριος [n] ἀναλώσει τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, καὶ [o] καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ.

[n] ἀλίσκω.
[o] ἔργον.

9 Οὗ [i] ἐστιν ἡ παρουσία κατ' ἐνέργειαν τοῦ Σατανᾶ ἐν πάσῃ δυνάμει, καὶ σημείοις, καὶ τέρασι ψεύδους,

10 Καὶ ἐν πάσῃ ἀπάτῃ τῆς ἀδικίας ἐν τοῖς ἀπολλυμένοις· ἀνθ' ὧν τὴν ἀγάπην τῆς ἀληθείας οὐκ [p] ἐδέξαντο εἰς τὸ [q] σωθῆναι αὐτούς.

[p] δέχομαι.
[q] σόος.

11 Καὶ διὰ τοῦτο [r] πέμψει αὐτοῖς ὁ Θεὸς ἐνέργειαν πλάνης, εἰς τὸ [s] πιστεῦσαι αὐτοὺς ἐν τῷ ψεύδει.

[r] πέμπω.
[s] πίστις.

12 Ἵνα [t] κριθῶσι πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ' εὐδοκήσαντες ἐν τῇ ἀδικίᾳ.

[t] κρίνω.

13 Ἡμεῖς δὲ ὀφείλομεν εὐχαριστεῖν τῷ Θεῷ πάντοτε περὶ ὑμῶν, ἀδελφοὶ [u] ἠγαπημένοι ὑπὸ Κυρίου, ὅτι [x] εἵλετο ὑμᾶς ὁ Θεὸς ἀπ' ἀρχῆς εἰς σωτηρίαν ἐν ἁγιασμῷ πνεύματος, καὶ πίστει ἀληθείας.

[u] ἀγαπάω.
[x] αἱρέω.

14 Εἰς ὃ [y] ἐκάλεσεν ὑμᾶς διὰ τοῦ εὐαγγελίου ἡμῶν, εἰς περιποίησιν δόξης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

[y] καλέω.

15 Ἄρα οὖν, ἀδελφοὶ, [z] στήκετε, καὶ [a] κρατεῖτε τὰς παραδόσεις ἃς [b] ἐδιδάχθητε εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς ἡμῶν.

[z] ἵστημι.
[a] κράτος.
[b] διδάσκω.

16 Αὐτὸς δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, καὶ ὁ Θεὸς καὶ πατὴρ ἡμῶν, ὁ [c] ἀγαπήσας ἡμᾶς, καὶ [d] δοὺς παράκλησιν αἰωνίαν καὶ ἐλπίδα ἀγαθὴν ἐν χάριτι,

[c] ἀγαπάω.
[d] δίδωμι.

17 [e] Παρακαλέσαι ὑμῶν τὰς καρδίας, καὶ [f] στηρίξαι ὑμᾶς ἐν παντὶ λόγῳ καὶ ἔργῳ ἀγαθῷ.

[e] καλέω.
[f] στηρίζω.

Κεφ. γ΄. Cap. III.

ΤΟ λοιπὸν, προσεύχεσθε, ἀδελφοὶ, περὶ ἡμῶν, ἵνα ὁ λόγος τοῦ Κυρίου τρέχῃ, καὶ [a] δοξάζηται καθὼς καὶ πρὸς ὑμᾶς·

[a] δοκέω.

2 Καὶ ἵνα [b] ῥυσθῶμεν ἀπὸ τῶν ἀτόπων καὶ πονηρῶν ἀνθρώπων· οὐ γὰρ πάντων ἡ πίστις.

3 Πιστὸς δέ [c] ἐστιν ὁ Κύριος, ὃς στηρίξει ὑμᾶς καὶ φυλάξει ἀπὸ τοῦ πονηροῦ.

4 [d] Πεποίθαμεν δὲ ἐν Κυρίῳ ἐφ' ὑμᾶς ὅτι ἃ παραγγέλλομεν ὑμῖν, καὶ ποιεῖτε καὶ ποιήσετε.

5 Ὁ δὲ Κύριος [e] κατευθύναι ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ Θεοῦ, καὶ εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ.

6 Παραγγέλλομεν δὲ ὑμῖν, ἀδελφοί, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, [f] στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν ἣν [g] παρέλαβε παρ' ἡμῶν.

7 Αὐτοὶ γὰρ [h] οἴδατε πῶς δεῖ [i] μιμεῖσθαι ἡμᾶς· ὅτι οὐκ [k] ἠτακτήσαμεν ἐν ὑμῖν.

8 Οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος· ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ, νύκτα καὶ ἡμέραν ἐργαζόμενοι, πρὸς τὸ μὴ [l] ἐπιβαρῆσαί τινα ὑμῶν.

9 Οὐκ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ' ἵνα ἑαυτοὺς τύπον [m] δῶμεν ὑμῖν, εἰς τὸ [i] μιμεῖσθαι ἡμᾶς.

10 Καὶ γὰρ ὅτε [c] ἦμεν πρὸς ὑμᾶς, τοῦτο [n] παρηγγέλλομεν ὑμῖν, ὅτι εἴτις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω.

11 Ἀκούομεν γάρ τινας περιπατοῦντας ἐν ὑμῖν ἀτάκτως, μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους.

12 Τοῖς δὲ τοιούτοις παραγγέλλομεν, καὶ παρακαλοῦμεν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα μετὰ ἡσυχίας ἐργαζόμενοι, τὸν ἑαυτῶν ἄρτον ἐσθίωσιν.

13 Ὑμεῖς δὲ, ἀδελφοί, μὴ [o] ἐκκακήσατε καλοποιοῦντες.

14 Εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς, τοῦτον [p] σημειοῦσθε· καὶ μὴ [q] συναναμίγνυσθε αὐτῷ, ἵνα [r] ἐντραπῇ.

15 Καὶ μὴ ὡς ἐχθρὸν [s] ἡγεῖσθε, ἀλλὰ [t] νουθετεῖτε ὡς ἀδελφόν.

[b] ῥύω.
[c] εἰμί.
[d] πείθω.
[e] εὐθύς.
[f] στέλλω.
[g] λαμβάνω.
[h] εἴδω.
[i] μιμέομαι.
[k] τάττω.
[l] βαρύς.
[m] δίδωμι.
[n] ἀγγέλλω.
[o] κακός.
[p] σῆμα.
[q] μίγνυμι.
[r] τρέπω.
[s] ἡγέομαι.
[t] τίθημι.

16 Αὐτὸς δὲ ὁ Κύριος τῆς εἰρήνης [m] δῴη ὑμῖν τὴν εἰρήνην διὰ παντὸς ἐν παντὶ τρόπῳ· ὁ Κύριος μετὰ πάντων ὑμῶν.

17 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου· ὅ [s] ἐστι σημεῖον ἐν πάσῃ ἐπιστολῇ· οὕτω γράφω.

18 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Ἀμήν.

Πρὸς Θεσσαλονικεῖς δευτέρα [u] ἐγράφη ἀπὸ Ἀθηνῶν.

[u] γράφω.

---

15 SEP

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ.

Κεφάλαιον α'. Caput I.

Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ κατ' ἐπιταγὴν Θεοῦ σωτῆρος ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, τῆς ἐλπίδος ἡμῶν,

2 Τιμοθέῳ γνησίῳ τέκνῳ ἐν πίστει, χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν.

3 Καθὼς [a] παρεκάλεσά σε [b] προσμεῖναι ἐν Ἐφέσῳ, πορευόμενος εἰς Μακεδονίαν, ἵνα [c] παραγγείλῃς τισὶ μὴ [d] ἑτεροδιδασκαλεῖν·

4 Μηδὲ προσέχειν μύθοις καὶ γενεαλογίαις [e] ἀπεράντοις, αἵτινες ζητήσεις παρέχουσι μᾶλλον ἢ οἰκοδομίαν Θεοῦ τὴν ἐν πίστει.

5 Τὸ δὲ τέλος τῆς παραγγελίας [f] ἐστὶν ἀγάπη ἐκ καθαρᾶς καρδίας, καὶ συνειδήσεως ἀγαθῆς, καὶ πίστεως [g] ἀνυποκρίτου.

6 Ὧν τινὲς [h] ἀστοχήσαντες, [i] ἐξετράπησαν εἰς ματαιολογίαν·

7 Θέλοντες

[a] καλέω.
[b] μένω.
[c] ἀγγέλλω.
[d] διδάσκω.
[e] πέρας.
[f] εἰμί.
[g] κρίνω.
[h] στοχάζομαι //
[i] τρέπω.

7 Θέλοντες [f] εἶναι νομοδιδάσκαλοι, μὴ νο-
[k] βέβαιος. οοῦντες μήτε ἃ λέγουσι, μήτε περὶ τίνων [k] διαβε-
βαιοῦνται.

[l] εἴδω. 8 [l] Οἴδαμεν δὲ ὅτι καλὸς ὁ νόμος, ἐάν τις
αὐτῷ νομίμως χρῆται.

9 Εἰδὼς τοῦτο, ὅτι δικαίῳ νόμος οὐ κεῖται,
ἀνόμοις δὲ καὶ ἀνυποτάκτοις, ἀσεβέσι καὶ ἁμαρ-
τωλοῖς, ἀνοσίοις καὶ βεβήλοις, πατραλῴαις καὶ
μητραλῴαις, ἀνδροφόνοις,

10 Πόρνοις, ἀρσενοκοίταις, ἀνδραποδισταῖς,
ψεύσταις, ἐπιόρκοις· καὶ εἴ τι ἕτερον τῇ ὑγιαινού-
σῃ διδασκαλίᾳ ἀντίκειται·

11 Κατὰ τὸ εὐαγγέλιον τῆς δόξης τοῦ μακα-
[m] πίστις. ρίου Θεοῦ, ὃ [m] ἐπιστεύθην ἐγώ.

[n] δύναμαι. 12 Καὶ χάριν ἔχω τῷ [n] ἐνδυναμώσαντί με
Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ὅτι πιστόν με
[o] ἡγέομαι. [o] ἡγήσατο, [p] θέμενος εἰς διακονίαν.

[p] τίθημι. 13 Τὸν πρότερον [f] ὄντα βλάσφημον καὶ δι-
[q] ἔλεος. ώκτην καὶ ὑβριστήν· ἀλλ' [q] ἠλεήθην, ὅτι [r] ἀγ-
[r] νόος. νοῶν ἐποίησα ἐν ἀπιστίᾳ·

[s] πολύς. 14 [s] Ὑπερεπλεόνασε δὲ ἡ χάρις τοῦ Κυρίου ἡ-
μῶν μετὰ πίστεως καὶ ἀγάπης τῆς ἐν Χριστῷ Ἰησοῦ.

15 Πιστὸς ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος,
[t] ἔρχομαι. ὅτι Χριστὸς Ἰησοῦς [t] ἦλθεν εἰς τὸν κόσμον ἁμαρτω-
[u] σόος. λοὺς [u] σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ.

[x] ἔλεος. 16 Ἀλλὰ διὰ τοῦτο [x] ἠλεήθην ἵνα ἐν ἐμοὶ
[y] δείκνυμι. πρώτῳ [y] ἐνδείξηται Ἰησοῦς Χριστὸς τὴν πᾶσαν
μακροθυμίαν πρὸς ὑποτύπωσιν τῶν μελλόντων
πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον.

17 Τῷ δὲ βασιλεῖ τῶν αἰώνων ἀφθάρτῳ, ἀο-
ράτῳ, μόνῳ σοφῷ Θεῷ, τιμὴ καὶ δόξα εἰς τοὺς
αἰῶνας τῶν αἰώνων, ἀμήν.

18 Ταύτην τὴν παραγγελίαν [p] παρατίθεμαί
σοι, τέκνον Τιμόθεε, κατὰ τὰς προαγούσας ἐπὶ
σὲ προφητείας, ἵνα στρατεύῃ ἐν αὐταῖς τὴν καλὴν
στρατείαν·

19 Ἔχων πίστιν, καὶ ἀγαθὴν συνείδησιν, ἥν
[z] ὠθέω. τινες [z] ἀπωσάμενοι, περὶ τὴν πίστιν [a] ἐναυάγησαν.

[a] ἄγω. 20 Ὧν ἐστιν Ὑμέναιος καὶ Ἀλέξανδρος·

οὓς [b] παρέδωκα τῷ σατανᾷ, ἵνα [c] παιδευθῶσι μὴ βλασφημεῖν.

[b] δίδωμι.
[c] παῖς.

Κεφ. β'. Cap. II.

Παρακαλῶ οὖν πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχὰς, ἐντεύξεις, εὐχαριστίας ὑπὲρ πάντων ἀνθρώπων·

2 Ὑπὲρ βασιλέων καὶ πάντων τῶν ἐν [a] ὑπεροχῇ [b] ὄντων· ἵνα ἤρεμον καὶ ἡσύχιον βίον [c] διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

[a] ἔχω.
[b] εἰμί.
[c] ἄγω.

3 Τοῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ σωτῆρος ἡμῶν Θεοῦ,

4 Ὃς πάντας ἀνθρώπους θέλει [d] σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας [e] ἐλθεῖν.

[d] Σόος.
[e] ἔρχομαι.

5 Εἷς γὰρ Θεὸς, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Ἰησοῦς Χριστός·

6 [f] Ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων, τὸ μαρτύριον καιροῖς ἰδίοις.

[f] δίδωμι.

7 Εἰς ὃ [g] ἐτέθην ἐγὼ κῆρυξ καὶ ἀπόστολος, (ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι) διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ.

[g] τίθημι.

8 Βούλομαι οὖν προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ, [h] ἐπαίροντας ὁσίους χεῖρας, χωρὶς ὀργῆς καὶ διαλογισμοῦ.

[h] αἴρω.

9 Ὡσαύτως καὶ τὰς γυναῖκας ἐν καταστολῇ κοσμίῳ, μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτὰς, μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ·

10 Ἀλλ' (ὃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν) δι' ἔργων ἀγαθῶν.

11 Γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω ἐν πάσῃ ὑποταγῇ.

12 Γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω, οὐδὲ [i] αὐθεντεῖν ἀνδρὸς, ἀλλ' εἶναι ἐν ἡσυχίᾳ.

[i] αὐθέντης.

13 Ἀδὰμ γὰρ πρῶτος [k] ἐπλάσθη, εἶτα Εὖα.

[k] πλάσσω.

14 Καὶ Ἀδὰμ οὐκ [l] ἠπατήθη· ἡ δὲ γυνὴ [l] ἀπατηθεῖσα ἐν παραβάσει [m] γέγονε.

[l] ἀπατάω.
[m] γίνομαι.

15 [n] Σωθήσεται δὲ διὰ τῆς τεκνογονίας, ἐὰν [o] μείνωσιν ἐν πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ μετὰ σωφροσύνης.

[n] σόος.
[o] μένω.

Κεφ. γʹ. Cap. III.

Πιστὸς ὁ λόγος, Εἴ τις ἐπισκοπῆς ὀρέγεται,
καλοῦ ἔργου ἐπιθυμεῖ.

[a] λαμβάνω. 2 Δεῖ οὖν τὸν ἐπίσκοπον [a] ἀνεπίληπτον [b] εἶναι,
[b] εἰμί. μιᾶς γυναικὸς ἄνδρα, νηφάλιον, σώφρονα,
κόσμιον, φιλόξενον, διδακτικόν·

3 Μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ· ἀλλ' ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον·

[c] ἵστημι. 4 Τοῦ ἰδίου οἴκου καλῶς [c] προϊστάμενον, τέκνα
ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος·

5 (Εἰ δέ τις τοῦ ἰδίου οἴκου [c] προστῆναι οὐκ
[d] εἴδω. [d] οἶδε, πῶς ἐκκλησίας Θεοῦ [e] ἐπιμελήσεται;)

[e] μέλει. 6 Μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς, εἰς κρίμα
[f] πίπτω. [f] ἐμπέσῃ τοῦ διαβόλου.

7 Δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν
ἀπὸ τῶν ἔξωθεν· ἵνα μὴ εἰς ὀνειδισμὸν [f] ἐμπέσῃ
καὶ παγίδα τοῦ διαβόλου.

8 Διακόνους ὡσαύτως σεμνοὺς, μὴ διλόγους,
μὴ οἴνῳ πολλῷ προσέχοντας, μὴ αἰσχροκερδεῖς.

9 Ἔχοντας τὸ μυστήριον τῆς πίστεως ἐν καθαρᾷ
συνειδήσει.

[g] δοκιμή. 10 Καὶ οὗτοι δὲ [g] δοκιμαζέσθωσαν πρῶτον,
[h] καλέω. εἶτα διακονείτωσαν, [h] ἀνέγκλητοι [i] ὄντες.

11 Γυναῖκας ὡσαύτως σεμνὰς, μὴ διαβόλους,
νηφαλίους, πιστὰς ἐν πᾶσι.

12 Διάκονοι [b] ἔστωσαν μιᾶς γυναικὸς ἄνδρες,
τέκνων καλῶς [c] προϊστάμενοι καὶ τῶν ἰδίων
οἴκων.

13 Οἱ γὰρ καλῶς διακονήσαντες, βαθμὸν
[i] ποιέω. ἑαυτοῖς καλὸν [i] περιποιοῦνται· καὶ πολλὴν παῤῥησίαν
ἐν πίστει τῇ ἐν Χριστῷ Ἰησοῦ.

[k] ἔρχομαι. 14 Ταῦτα σοι γράφω, ἐλπίζων [k] ἐλθεῖν
πρός σε τάχιον·

15 Ἐὰν δὲ βραδύνω, ἵνα [d] εἰδῇς πῶς δεῖ
[l] στρέφω. ἐν οἴκῳ Θεοῦ [l] ἀναστρέφεσθαι, ἥτις [b] ἐστὶν ἐκκλησία
[m] ζάω. Θεοῦ [m] ζῶντος, στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας.

[n] λέγω. 16 Καὶ [n] ὁμολογουμένως μέγα [b] ἐστὶ τὸ τῆς
εὐσεβείας μυστήριον· Θεὸς [o] ἐφανερώθη ἐν σαρκὶ,
[p] ἐδικαιώθη

[p] ἐδικαιώθη ἐν πνεύματι, [q] ὤφθη ἀγγέλοις, [r] ἐκηρύχθη ἐν ἔθνεσιν, [s] ἐπιστεύθη ἐν κόσμῳ, [a] ἀνελήφθη ἐν δόξῃ.

Κεφ. δ΄. Cap. IV.

Τὸ δὲ πνεῦμα ῥητῶς λέγει ὅτι ἐν ὑστέροις καιροῖς [a] ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις καὶ διδασκαλίαις δαιμονίων.

2 Ἐν ὑποκρίσει ψευδολόγων, [b] κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν,

3 Κωλυόντων γαμεῖν, [c] ἀπέχεσθαι βρωμάτων ἃ ὁ Θεὸς [d] ἔκτισεν εἰς μετάληψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς καὶ [e] ἐπεγνωκόσι τὴν ἀλήθειαν.

4 Ὅτι πᾶν κτίσμα Θεοῦ, καλὸν, καὶ οὐδὲν [f] ἀπόβλητον, μετὰ εὐχαριστίας λαμβανόμενον.

5 Ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως.

6 Ταῦτα [g] ὑποτιθέμενος τοῖς ἀδελφοῖς, καλὸς [h] ἔσῃ διάκονος Ἰησοῦ Χριστοῦ, [i] ἐντρεφόμενος τοῖς λόγοις τῆς πίστεως, καὶ τῆς καλῆς διδασκαλίας, ᾗ [k] παρηκολούθηκας.

7 Τοὺς δὲ [l] βεβήλους καὶ [m] γραώδεις μύθους παραιτοῦ· γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέβειαν.

8 Ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον [h] ἐστὶν ὠφέλιμος· ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός [h] ἐστιν, ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης.

9 Πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος.

10 Εἰς τοῦτο γὰρ καὶ κοπιῶμεν καὶ ὀνειδιζόμεθα, ὅτι [n] ἠλπίκαμεν ἐπὶ Θεῷ [o] ζῶντι, ὅς [h] ἐστι σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν.

11 Παράγγελλε ταῦτα καὶ δίδασκε.

12 Μηδείς σου τῆς νεότητος καταφρονείτω, ἀλλὰ τύπος [p] γίνου τῶν πιστῶν, ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πνεύματι, ἐν πίστει, ἐν ἁγνείᾳ.

[p] δίκη.
[q] ὄπτομαι.
[r] κήρυξ.
[s] πίστις.
[a] ἵστημι.
[b] καίω.
[c] ἔχω.
[d] κτίζω.
[e] γινώσκω.
[f] βάλλω.
[g] τίθημι.
[h] εἰμί.
[i] τρέφω.
[k] ἀκόλουθος.
[l] βέβηλος.
[m] γραῖα.
[n] ἔλπις.
[o] ζάω.
[p] γίνομαι.

13 Ἕως ἔρχομαι πρόσεχε τῇ ἀναγνώσει, τῇ
παρακλήσει, τῇ διδασκαλίᾳ.
14 Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ
[q] δίδωμι. — [q] ἐδόθη σοὶ διὰ προφητείας, μετὰ ἐπιθέσεως τῶν
χειρῶν τοῦ πρεσβυτερίου·
15 Ταῦτα μελέτα, ἐν τούτοις [h] ἴσθι ἵνα σοῦ
ἡ προκοπὴ φανερὰ [h] ᾖ ἐν πᾶσιν.
16 [c] Ἔπεχε σεαυτῷ, καὶ τῇ διδασκαλίᾳ·
[r] μένω. — [r] ἐπίμενε αὐτοῖς· τοῦτο γὰρ ποιῶν, καὶ σεαυτὸν
σώσεις καὶ τοὺς ἀκούοντάς σου.

Κεφ. έ. Cap. V.

[a] πλήττω. — Πρεσβυτέρῳ μὴ [a] ἐπιπλήξῃς, ἀλλὰ παρακάλει
ὡς πατέρα, νεωτέρους, ὡς ἀδελφούς·
2 Πρεσβυτέρας, ὡς μητέρας· νεωτέρας,
ὡς ἀδελφὰς, ἐν πάσῃ ἁγνείᾳ
3 Χήρας τίμα τὰς ὄντως χήρας.
4 Εἰ δέ τις χήρα τέκνα ἢ ἔκγονα ἔχει,
[b] μανθάνω. — [b] μανθανέτωσαν πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν,
[c] δίδωμι. — καὶ ἀμοιβὰς [c] ἀποδιδόναι τοῖς προγόνοις·
[d] εἰμί. — τοῦτο γάρ [d] ἐστιν καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ
Θεοῦ.
[e] μόνος. — 5 Ἡ δὲ ὄντως χήρα καὶ [e] μεμονωμένη [f] ἤλπικεν
[f] ἔλπω. — ἐπὶ τὸν Θεὸν, καὶ προσμένει ταῖς δεήσεσι καὶ
[g] σπατάλη. — ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας.
[h] ζάω. — 6 Ἡ δὲ [g] σπαταλῶσα, [h] ζῶσα [i] τέθνηκε.
[i] θνήσκω. — 7 Καὶ ταῦτα [k] παράγγελλε, ἵνα [l] ἀνεπίληπτοι
[k] ἀγγέλλω. — [d] ὦσιν.
[l] λαμβάνω. — 8 Εἰ δέ τις τῶν ἰδίων καὶ μάλιστα τῶν οἰκείων
[n] ἀρνέομαι. — οὐ προνοεῖ, τὴν πίστιν [n] ἤρνηται, καὶ [d] ἔστιν ἀπίστου
[o] λέγω. — χείρων.
[p] γίνομαι. — 9 Χήρα [o] καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα,
[q] μαρτυρ. — [p] γεγονυῖα ἑνὸς ἀνδρὸς γυνή.
[r] τρέφω. — 10 Ἐν ἔργοις καλοῖς [q] μαρτυρουμένη· εἰ
[s] δέχομαι. — [r] ἐτεκνοτρόφησεν, εἰ [s] ἐξενοδόχησεν, εἰ ἁγίων
[t] νίπτω. — πόδας [t] ἔνιψεν, εἰ [u] θλιβομένοις * ἐπήρκεσεν,
[u] θλίβω. — εἰ παντὶ ἔργῳ ἀγαθῷ [x] ἐπηκολούθησε.
* ἀρκέω. — 11 Νεωτέρας δὲ χήρας παραιτοῦ· ὅταν
[x] ἀκόλουθος. — γὰρ [y] καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσιν·
[y] στρῆνος.

12 Ἔχουσαι

12 [z] Ἔχουσαι κρίμα, ὅτι τὴν πρώτην πίστιν [a] ἠθέτησαν.

[z] ἔχω.
[a] τίθημι.

13 Ἅμα δὲ καὶ ἀργαὶ μανθάνουσι περιερχόμεναι τὰς οἰκίας· οὐ μόνον δὲ ἀργαὶ, ἀλλὰ καὶ φλύαροι καὶ περίεργοι, λαλοῦσαι τὰ μὴ δέοντα.

14 Βούλομαι οὖν νεωτέρας γαμεῖν, τεκνογονεῖν, οἰκοδεσποτεῖν, μηδεμίαν ἀφορμὴν [b] διδόναι τῷ ἀντικειμένῳ λοιδορίας χάριν.

[b] δίδωμι.

15 Ἤδη γάρ τινες [c] ἐξετράπησαν ὀπίσω τοῦ σατανᾶ.

[c] τρέπω.

16 Εἴ τις πιστὸς ἢ πιστὴ ἔχει χήρας, [d] ἐπαρκείτω αὐταῖς, καὶ μὴ [e] βαρείσθω ἡ ἐκκλησία, ἵνα ταῖς ὄντως χήραις [d] ἐπαρκέσῃ.

[d] ἀρκέω.
[e] βαρύς.

17 Οἱ καλῶς [f] προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν· μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ.

[f] ἵστημι.

18 Λέγει γὰρ ἡ γραφὴ, Βοῦν ἀλοῶντα οὐ φιμώσεις. Καὶ, Ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ.

19 Κατὰ πρεσβυτέρου κατηγορίαν μὴ παραδέχου, ἐκτὸς εἰ μὴ ἐπὶ δύο ἢ τριῶν μαρτύρων.

20 Τοὺς ἁμαρτάνοντας, ἐνώπιον πάντων ἔλεγχε, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσι.

21 [g] Διαμαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ἵνα ταῦτα [h] φυλάξῃς χωρὶς προκρίματος, μηδὲν ποιῶν κατὰ πρόσκλισιν.

[g] μάρτυρ.
[h] φυλάττω.

22 Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις· σεαυτὸν ἁγνὸν τήρει.

23 Μηκέτι ὑδροπότει· ἀλλ' οἴνῳ ὀλίγῳ χρῶ, διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας.

24 Τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοί [i] εἰσι, προάγουσαι εἰς κρίσιν· τισὶ δὲ καὶ ἐπακολουθοῦσιν.

25 Ὡσαύτως καὶ τὰ καλὰ ἔργα πρόδηλά [i] ἐστι· καὶ τὰ ἄλλως ἔχοντα, [k] κρυβῆναι οὐ δύναται.

[i] εἰμί.
[k] κρύπτω.

Κεφ. ϛʹ. Cap. VI.

Ὅσοι [a] εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας πάσης τιμῆς ἀξίους [b] ἡγείσθωσαν· ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ καὶ ἡ διδασκαλία [c] βλασφημῆται.

2 Οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας μὴ * καταφρονείτωσαν, ὅτι ἀδελφοί [a] εἰσιν· ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί [a] εἰσι καὶ ἀγαπητοὶ, οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι. Ταῦτα δίδασκε, καὶ παρακάλει.

3 Εἴ τις ἑτεροδιδασκαλεῖ, καὶ μὴ προσέρχεται ὑγιαίνουσι λόγοις τοῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ,

4 [d] Τετύφωται, μηδὲν [e] ἐπιστάμενος, ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας· ἐξ ὧν γίνεται φθόνος, ἔρις, βλασφημίαι, ὑπόνοιαι πονηραί,

5 Παραδιατριβαὶ [f] διεφθαρμένων ἀνθρώπων τὸν νοῦν, καὶ [g] ἀπεστερημένων τῆς ἀληθείας· νομιζόντων πορισμὸν [a] εἶναι τὴν εὐσέβειαν· [h] ἀφίστασο ἀπὸ τῶν τοιούτων.

6 [a] Ἔστι δὲ πορισμὸς μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας.

7 Οὐδὲν γὰρ [i] εἰσηνέγκαμεν εἰς τὸν κόσμον, δῆλον ὅτι οὐδὲ [i] ἐξενεγκεῖν τι [k] δυνάμεθα.

8 Ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις [l] ἀρκεσθησόμεθα.

9 Οἱ δὲ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα, καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβερὰς, αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους εἰς ὄλεθρον καὶ ἀπώλειαν.

10 Ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία· ἧς τινὲς ὀρεγόμενοι [m] ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως, καὶ ἑαυτοὺς [n] περιέπειραν ὀδύναις πολλαῖς.

11 Σὺ δὲ, ὦ ἄνθρωπε τοῦ Θεοῦ ταῦτα φεῦγε· δίωκε δὲ δικαιοσύνην, εὐσέβειαν, πίστιν, ἀγάπην, ὑπομονὴν, πρᾳότητα.

12 Ἀγωνίζου τὸν καλὸν ἀγῶνα τῆς πίστεως, [o] ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς, εἰς ἣν καὶ [p] ἐκλήθης, καὶ

[q] ὁμο-

[a] εἰμί.
[b] ἡγέομαι.
[c] φημί.
* φρονῶ.
[d] τύφω.
[e] ἵστημι.
[f] φθείρω.
[g] στερέω.
[h] ἵστημι.
[i] φέρω.
[k] δύναμαι.
[l] ἀρκέω.
[m] πλάνη.
[n] πείρω.
[o] λαμβάνω.
[p] καλέω.

[q] ὡμολόγησας τὴν καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν μαρτύρων.

[q] λέγω.

13 Παραγγέλλω σοι ἐνώπιον τοῦ Θεοῦ τοῦ [r] ζωοποιοῦντος τὰ πάντα, καὶ Χριστοῦ Ἰησοῦ τοῦ [s] μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν·

[r] ποιέω. [s] μάρτυρ.

14 [t] Τηρῆσαί σε τὴν ἐντολὴν, ἄσπιλον, ἀνεπίληπτον, μέχρι τῆς ἐπιφανείας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ·

[t] τηρέω.

15 Ἣν καιροῖς ἰδίοις [u] δείξει ὁ μακάριος καὶ μόνος δυνάστης, ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ κύριος τῶν κυριευόντων·

[u] δεικνύω.

16 Ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον· ὃν [x] εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ [x] ἰδεῖν δύναται· ᾧ τιμὴ καὶ κράτος αἰώνιον. ἀμήν.

[x] εἴδω.

17 Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν, μηδὲ [y] ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ᾽ ἐν τῷ Θεῷ τῷ [z] ζῶντι, τῷ παρέχοντι ἡμῖν πλουσίως πάντα εἰς ἀπόλαυσιν·

[y] ἔλπω. [z] ζάω.

18 Ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔργοις καλοῖς, [a] εὐμεταδότους [b] εἶναι, κοινωνικούς·

[a] δίδωμι. [b] εἰμί.

19 Ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον, ἵνα [c] ἐπιλάβωνται τῆς αἰωνίου ζωῆς.

[c] λαμβάνω.

20 Ὦ Τιμόθεε, τὴν παρακαταθήκην φύλαξον, ἐκτρεπόμενος τὰς βεβήλους κενοφωνίας, καὶ ἀντιθέσεις τῆς ψευδωνύμου γνώσεως.

21 Ἥν τινες [d] ἐπαγγελλόμενοι, περὶ τὴν πίστιν [e] ἠστόχησαν. Ἡ χάρις μετὰ σοῦ. Ἀμήν.

[d] ἀγγέλλω. [e] στοχάζομαι.

Πρὸς Τιμόθεον πρώτη [f] ἐγράφη ἀπὸ Λαοδικείας, ἥτις ἐστὶ μητρόπολις Φρυγίας τῆς Πακατιανῆς.

[f] γράφω.

BRITISH MUSEUM

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ.

Κεφάλαιον α. Caput I.

Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, κατ᾽ ἐπαγγελίαν ζωῆς τῆς ἐν Χριστῷ Ἰησοῦ,

2 Τιμοθέῳ, ἀγαπητῷ τέκνῳ, χάρις, ἔλεος, εἰρήνη, ἀπὸ Θεοῦ πατρὸς, καὶ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν.

3 Χάριν ἔχω τῷ Θεῷ, ᾧ λατρεύω ἀπὸ προγόνων ἐν καθαρᾷ συνειδήσει, ὡς ἀδιάλειπτον ἔχω τὴν περὶ σοῦ μνείαν ἐν ταῖς δεήσεσί μου νυκτὸς καὶ ἡμέρας·

4 [a] Ἐπιποθῶν σε [b] ἰδεῖν [c] μεμνημένος σου τῶν δακρύων, ἵνα χαρᾶς πληρωθῶ·

5 Ὑπόμνησιν λαμβάνων τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως, ἥτις [d] ἐνῴκησε πρῶτον ἐν τῇ μάμμῃ σου Λωΐδι καὶ τῇ μητρί σου Εὐνίκῃ· [e] πέπεισμαι δὲ ὅτι καὶ ἐν σοί.

6 Δι᾽ ἣν αἰτίαν ἀναμιμνήσκω σε ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ Θεοῦ, ὅ [f] ἐστιν ἐν σοὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μου.

7 Οὐ γὰρ [g] ἔδωκεν ἡμῖν ὁ Θεὸς πνεῦμα δειλίας, ἀλλὰ δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ.

8 Μὴ οὖν [h] ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ Κυρίου ἡμῶν, μηδὲ ἐμὲ τὸν δέσμιον αὐτοῦ· ἀλλὰ [i] συγκακοπάθησον τῷ εὐαγγελίῳ κατὰ δύναμιν Θεοῦ.

9 Τοῦ [k] σώσαντος ἡμᾶς, καὶ καλέσαντος κλήσει ἁγίᾳ· οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ κατ᾽ ἰδίαν

πρό-

[a] πόθος.
[b] εἴδω.
[c] μιμνήσκομαι.
[d] οἶκος.
[e] πείθω.
[f] εἰμί.
[g] δίδωμι.
[h] αἶσχος.
[i] πάσχω.
[k] σόος.

πρόθεσιν καὶ χάριν, τὴν [g] δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων.

10 [l] Φανερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ [m] καταργήσαντος μὲν τὸν θάνατον, φωτίσαντος δὲ ζωὴν καὶ ἀφθαρσίαν διὰ τοῦ εὐαγγελίου. [l] φαίνω. [m] ἔργον.

11 Εἰς ὃ [n] ἐτέθην ἐγὼ κήρυξ καὶ ἀπόστολος καὶ διδάσκαλος ἐθνῶν· [n] τίθημι.

12 Δι᾽ ἣν αἰτίαν καὶ ταῦτα πάσχω· ἀλλ᾽ οὐκ [h] ἐπαισχύνομαι· [b] οἶδα γὰρ ᾧ [o] πεπίστευκα, καὶ [e] πέπεισμαι ὅτι δυνατός [f] ἐστι τὴν [n] παρακαταθήκην μου φυλάξαι εἰς ἐκείνην τὴν ἡμέραν. [o] πίστις.

13 Ὑποτύπωσιν ἔχε ὑγιαινόντων λόγων, ὧν παρ᾽ ἐμοῦ [p] ἤκουσας, ἐν πίστει καὶ ἀγάπῃ τῇ ἐν Χριστῷ Ἰησοῦ. [p] ἀκούω.

14 Τὴν καλὴν παρακαταθήκην φύλαξον διὰ πνεύματος ἁγίου τοῦ ἐνοικοῦντος ἐν ἡμῖν.

15 [b] Οἶδας τοῦτο, ὅτι [q] ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ Ἀσίᾳ· ὧν ἐστι Φύγελλος καὶ Ἑρμογένης. [q] στρέφω.

16 [g] Δῴη ἔλεος ὁ Κύριος τῷ Ὀνησιφόρου οἴκῳ· ὅτι πολλάκις με [r] ἀνέψυξε, καὶ τὴν ἅλυσίν μου οὐκ [h] ἐπῃσχύνθη. [r] ψύχω.

17 Ἀλλὰ [f] γενόμενος ἐν Ῥώμῃ, σπουδαιότερον [t] ἐζήτησέ με, καὶ [u] εὗρε. [f] γίνομαι. [t] ζητέω.

18 [g] Δῴη αὐτῷ ὁ Κύριος [u] εὑρεῖν ἔλεος παρὰ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· καὶ ὅσα ἐν Ἐφέσῳ [x] διηκόνησε, βέλτιον σὺ γινώσκεις. [u] εὑρίσκω. [x] κονέω.

Κεφ. β'. Cap. II.

ΣΥ οὖν, τέκνον μου, [a] ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ· [a] δύναμαι.

2 Καὶ ἃ [b] ἤκουσας παρ᾽ ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα [c] παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ [d] ἔσονται καὶ ἑτέρους [e] διδάξαι. [b] ἀκούω. [c] τίθημι. [d] εἰμί. [e] διδάσκω.

3 Σὺ οὖν [f] κακοπάθησον ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ. [f] πάσχω.

4 Οὐδεὶς στρατευόμενος [g] ἐμπλέκεται ταῖς τοῦ [g] πλέκω.

[b] λέγω. βίου πραγματείαις, ἵνα τῷ [b] στρατολογήσαντι
ἀρέσῃ.

[i] ἆθλος. 5 Ἐὰν δὲ καὶ [i] ἀθλῇ τις, οὐ στεφανοῦται ἐὰν μὴ
νομίμως [i] ἀθλήσῃ.

6 Τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρ-
πῶν μεταλαμβάνειν.

[k] δίδωμι. 7 Νόει ἃ λέγω· [k] δῴη γάρ σοι ὁ Κύριος
σύνεσιν ἐν πᾶσι.

[l] μιμνήσκο-
μαι. 8 [l] Μνημόνευε Ἰησοῦν Χριστὸν [m] ἐγηγερμένον
ἐκ νεκρῶν, ἐκ σπέρματος Δαβίδ, κατὰ τὸ εὐ-
[m] ἐγείρω. αγγέλιόν μου.

9 Ἐν ᾧ [f] κακοπαθῶ μέχρι δεσμῶν, ὡς κα-
[n] δέω. κοῦργος· ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ [n] δέδεται.

10 Διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς ἐκ-
λεκτούς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι τῆς ἐν
Χριστῷ Ἰησοῦ, μετὰ δόξης αἰωνίου.

[o] θνήσκω. 11 Πιστὸς ὁ λόγος· εἰ γὰρ [o] συναπεθάνο-
μεν, καὶ συζήσομεν·

12 Εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν·
[p] ἀρνέομαι. εἰ [p] ἀρνούμεθα, [q] κἀκεῖνος ἀρνήσεται ἡμᾶς·

[q] καὶ ἐκεῖνος. 13 Εἰ [r] ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει·
[r] πίστις. ἀρνήσασθαι ἑαυτὸν οὐ δύναται.

[s] μάρτυρ. 14 Ταῦτα ὑπομίμνησκε, [s] διαμαρτυρόμε-
νος ἐνώπιον τοῦ Κυρίου μὴ λογομαχεῖν, εἰς οὐδὲν
[t] στρέφω. χρήσιμον, ἐπὶ [t] καταστροφῇ τῶν ἀκουόντων.

[u] σπεύδω. 15 [u] Σπούδασον σεαυτὸν δόκιμον [x] παραστῆ-
[x] ἵστημι. σαι τῷ Θεῷ, ἐργάτην [y] ἀνεπαίσχυντον, [z] ὀρ-
[y] αἶσχος. θοτομοῦντα τὸν λόγον τῆς ἀληθείας.

[z] τέμνω. 16 Τὰς δὲ βεβήλους κενοφωνίας [x] περιΐστασο·
ἐπὶ πλεῖον γὰρ προκόψουσιν ἀσεβείας.

17 Καὶ ὁ λόγος αὐτῶν ὡς γάγγραινα νομὴν
[a] ἔχω. [a] ἕξει· ὧν [b] ἐστιν Ὑμέναιος καὶ Φιλητός·

[b] εἰμί. 18 Οἵτινες περὶ τὴν ἀλήθειαν [c] ἠστόχησαν, λέ-
[c] στοχάζομαι γοντες τὴν ἀνάστασιν ἤδη [d] γεγονέναι· καὶ ἀνα-
[d] γίνομαι. τρέπουσι τήν τινων πίστιν.

[e] ἵστημι. 19 Ὁ μέντοι στερεὸς θεμέλιος τοῦ Θεοῦ [e] ἕ-
[f] γινώσκω. στηκεν ἔχων τὴν σφραγῖδα ταύτην, [f] Ἔγνω Κύριος
τοὺς [b] ὄντας αὐτοῦ· καί, [a] Ἀποστήτω ἀπὸ ἀδικίας
πᾶς ὁ ὀνομάζων τὸ ὄνομα Χριστοῦ.

20 Ἐν μεγάλῃ δὲ οἰκίᾳ οὐκ [b] ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα· καὶ ἃ μὲν εἰς τιμὴν, ἃ δὲ εἰς ἀτιμίαν.

21 Ἐὰν οὖν τις [g] ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων, [d] ἔσται σκεῦος εἰς τιμὴν, [h] ἡγιασμένον, καὶ εὔχρηστον τῷ δεσπότῃ, εἰς πᾶν ἔργον ἀγαθὸν [i] ἡτοιμασμένον.

22 Τὰς δὲ νεωτερικὰς ἐπιθυμίας φεῦγε· δίωκε δὲ δικαιοσύνην, πίστιν, ἀγάπην, εἰρήνην, μετὰ τῶν [k] ἐπικαλουμένων τὸν Κύριον ἐκ καθαρᾶς καρδίας.

23 Τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις παραιτοῦ, [l] εἰδὼς ὅτι [m] γεννῶσι μάχας.

24 Δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον [b] εἶναι πρὸς πάντας, διδακτικὸν, ἀνεξίκακον.

25 Ἐν πρᾳότητι παιδεύοντα τοὺς [n] ἀντιδιατιθεμένους· μήποτε [o] δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας·

26 Καὶ [p] ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος, [q] ἐζωγρημένοι ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα.

Κεφ. γ'. Cap. III.

ΤΟΥ̃ΤΟ δὲ γίνωσκε, ὅτι ἐν ἐσχάταις ἡμέραις [a] ἐνστήσονται καιροὶ χαλεποί.

2 [b] Ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι,

3 Ἄστοργοι, ἄσπονδοι, διάβολοι, ἀκρατεῖς, ἀνήμεροι, ἀφιλάγαθοι,

4 Προδόται, προπετεῖς, [c] τετυφωμένοι, φιλήδονοι μᾶλλον ἢ φιλόθεοι·

5 Ἔχοντες μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς [d] ἠρνημένοι· καὶ τούτους ἀποτρέπου.

6 Ἐκ τούτων γάρ [b] εἰσιν οἱ [e] ἐνδύνοντες εἰς τὰς οἰκίας, καὶ [f] αἰχμαλωτεύοντες τὰ γυναικάρια [g] σεσωρευμένα ἁμαρτίαις, ἀγόμενα ἐπιθυμίαις ποικίλαις·

7 Πάντοτε μανθάνοντα, καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας [h] ἐλθεῖν δυνάμενα.

[g] καθαίρω.
[h] ἅγιος.
[i] ἕτοιμος.
[k] καλέω.
[l] εἴδω.
[m] γεννάω.
[n] τίθημι.
[o] δίδωμι.
[p] νήφω.
[q] ἀγρέω.

[a] ἵστημι.
[b] εἰμί.
[c] τύφω.
[d] ἀρνέομαι.
[e] δύνω.
[f] ἁλίσκω.
[g] σωρεύω.
[h] ἔρχομαι.

[i] φθαίρω.

8 Ὃν τρόπον δὲ Ἰαννῆς καὶ Ἰαμβρῆς [a] ἀντέστησαν Μωϋσεῖ, οὕτως καὶ οὗτοι [a] ἀνθίστανται τῇ ἀληθείᾳ, ἄνθρωποι [i] κατεφθαρμένοι τὸν νοῦν, ἀδόκιμοι περὶ τὴν πίστιν.

[k] γίνομαι.

9 Ἀλλ᾽ οὐ προκόψουσιν ἐπὶ πλεῖον· ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλος [b] ἔσται πᾶσιν, ὡς καὶ ἡ ἐκείνων [k] ἐγένετο.

[l] ἀκόλουθος.

10 Σὺ δὲ [l] παρηκολούθηκάς μου τῇ διδασκαλίᾳ, τῇ ἀγωγῇ, τῇ προθέσει, τῇ πίστει, τῇ μακροθυμίᾳ, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ·

[m] γίνομαι.
[n] φέρω.
[o] ῥύω.

11 Τοῖς διωγμοῖς, τοῖς παθήμασιν, οἷά μοι [m] ἐγένετο ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, ἐν Λύστροις· οἵους διωγμοὺς [n] ὑπένηγκα, καὶ ἐκ πάντων με [o] ἐρρύσατο ὁ Κύριος.

[p] ζάω.
[q] διώκω.

12 Καὶ πάντες δὲ οἱ θέλοντες εὐσεβῶς [p] ζῆν ἐν Χριστῷ Ἰησοῦ, [q] διωχθήσονται.

13 Πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι.

[r] μανθάνω.
[s] πίστις.
[t] εἴδω.
[u] σοφός.

14 Σὺ δὲ μένε ἐν οἷς [r] ἔμαθες καὶ [s] ἐπιστώθης, [t] εἰδὼς παρὰ τίνος [r] ἔμαθες·

15 Καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα [t] οἶδας, τὰ δυνάμενά σε [u] σοφίσαι εἰς σωτηρίαν, διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ.

16 Πᾶσα γραφὴ, θεόπνευστος, καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παιδίαν τὴν ἐν δικαιοσύνῃ·

[x] ἄρτιος.

17 Ἵνα ἄρτιος [b] ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον ἀγαθὸν [x] ἐξηρτισμένος.

Κεφ. δ. Cap. IV.

[a] ζάω.
[b] κήρυξ.
[c] ἵστημι.
[d] ἐλέγχω.
[e] τίω.
[f] καλέω.
[g] εἰμί.
[h] ἔχω.

Διαμαρτύρομαι οὖν ἐγὼ ἐνώπιον τοῦ Θεοῦ, καὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, τοῦ μέλλοντος κρίνειν [a] ζῶντας καὶ νεκροὺς κατὰ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν βασιλείαν αὐτοῦ.

2 [b] Κήρυξον τὸν λόγον· [c] ἐπίστηθι, εὐκαίρως, ἀκαίρως· [d] ἔλεγξον, [e] ἐπιτίμησον, [f] παρακάλεσον ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ.

3 [g] Ἔσται γὰρ καιρὸς ὅτε τῆς ὑγιαινούσης διδασκαλίας οὐκ [h] ἀνέξονται· ἀλλὰ κατὰ τὰς ἐπιθυμίας

τὰς ἰδίας ἑαυτοῖς [i] ἐπισωρεύσουσι διδασκάλους, [k] κνηθόμενοι τὴν ἀκοήν·

4 Καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν [l] ἀποστρέψουσιν, ἐπὶ δὲ τοὺς μύθους [m] ἐκτραπήσονται.

5 Σὺ δὲ νῆφε ἐν πᾶσι, [n] κακοπάθησον· ἔργον ποίησον εὐαγγελιστοῦ, τὴν διακονίαν σου [o] πληροφόρησον.

6 Ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως [p] ἐφέστηκε.

7 Τὸν ἀγῶνα τὸν καλὸν [q] ἠγώνισμαι, τὸν δρόμον [r] τετέλεκα, τὴν πίστιν [s] τετήρηκα.

8 Λοιπὸν, ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν [t] ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής· οὐ μόνον δὲ ἐμοὶ, ἀλλὰ καὶ πᾶσι τοῖς [u] ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ.

9 [x] Σπούδασον [y] ἐλθεῖν πρός με ταχέως.

10 Δημᾶς γάρ με [z] ἐγκατέλιπεν, ἀγαπήσας τὸν νῦν αἰῶνα, καὶ [a] ἐπορεύθη εἰς Θεσσαλονίκην· Κρήσκης εἰς Γαλατίαν, Τίτος εἰς Δαλματίαν.

11 Λουκᾶς [b] ἐστι μόνος μετ᾽ ἐμοῦ· Μάρκον [c] ἀναλαβὼν, ἄγε μετὰ σεαυτοῦ· [b] ἔστι γάρ μοι εὔχρηστος εἰς διακονίαν.

12 Τυχικὸν δὲ [d] ἀπέστειλα εἰς Ἔφεσον.

13 Τὸν φελόνην ὃν [e] ἀπέλιπον ἐν Τρωάδι παρὰ Κάρπῳ, ἐρχόμενος φέρε, καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράνας.

14 Ἀλέξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ [f] ἐνεδείξατο· [g] ἀποδῴη αὐτῷ ὁ Κύριος κατὰ τὰ ἔργα αὐτοῦ.

15 Ὃν καὶ σὺ φυλάσσου· λίαν γὰρ [h] ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις.

16 Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς μοι [i] συμπαρεγένετο, ἀλλὰ πάντες με [k] ἐγκατέλιπον· (μὴ αὐτοῖς [l] λογισθείη)

17 Ὁ δὲ Κύριός μοι [h] παρέστη, καὶ [m] ἐνεδυνάμωσέ με· ἵνα δι᾽ ἐμοῦ τὸ κήρυγμα [n] πληροφορηθῇ, καὶ ἀκούσῃ πάντα τὰ ἔθνη· καὶ [o] ἐῤῥύσθην ἐκ στόματος λέοντος.

18 Καὶ

[i] σωρός.
[k] κνάω.
[l] στρέφω.
[m] τρέπω.
[n] πάσχω.
[o] φέρω.
[p] ἵστημι.
[q] ἀγών.
[r] τέλος.
[s] τηρέω.
[t] δίδωμι.
[u] ἀγαπάω.
[x] σπεύδω.
[y] ἔρχομαι.
[z] λείπω.
[a] πείρω.
[b] εἰμί.
[c] λαμβάνω.
[d] στέλλω.
[e] λείπω.
[f] δείκνυω.
[g] δίδωμι.
[h] ἵστημι.
[i] γίνομαι.
[k] λείπω.
[l] λέγω.
[m] δύναμαι.
[n] φέρω.
[o] ῥύω.

18 Καὶ ῥύσεταί με ὁ Κύριος ἀπὸ παντὸς ἔργου
[p] σόος. πονηροῦ, καὶ [p] σώσει εἰς τὴν βασιλείαν αὐτοῦ
τὴν ἐπουράνιον· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν
αἰώνων· ἀμήν.

19 Ἄσπασαι Πρίσκαν καὶ Ἀκύλαν, καὶ τὸν Ὀνησιφόρου
οἶκον.

[q] μένω. 20 Ἔραστος [q] ἔμεινεν ἐν Κορίνθῳ· Τρόφιμον
[r] λείπω. δὲ [r] ἀπέλιπον ἐν Μιλήτῳ ἀσθενοῦντα.

[s] σπεύδω. 21 [s] Σπούδασον πρὸ χειμῶνος [t] ἐλθεῖν.
[t] ἔρχομαι. Ἀσπάζεταί σε Εὔβουλος, καὶ Πούδης, καὶ Λῖνος,
καὶ Κλαυδία, καὶ οἱ ἀδελφοὶ πάντες.

22 Ὁ Κύριος Ἰησοῦς Χριστὸς μετὰ τοῦ πνεύματός
σου· ἡ χάρις μεθ' ὑμῶν. Ἀμήν.

Πρὸς Τιμόθεον δευτέρα, τῆς Ἐφεσίων ἐκκλησίας
[u] τείνω. πρῶτον ἐπίσκοπον [u] χειροτονηθέντα,
[x] γράφω. [x] ἐγράφη ἀπὸ Ῥώμης, ὅτε ἐκ
δευτέρου παρέστη Παῦλος τῷ Καίσαρι
Νέρωνι.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
Η ΠΡΟΣ ΤΙΤΟΝ
ΕΠΙΣΤΟΛΗ.

Κεφάλαιον α. Caput I.

Παῦλος δοῦλος Θεοῦ, ἀπόστολος δὲ Ἰησοῦ Χριστοῦ, κατὰ πίστιν ἐκλεκτῶν Θεοῦ, καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ' εὐσέβειαν·

2 Ἐπ' ἐλπίδι ζωῆς αἰωνίου,
[a] ἀγγέλλω. ἣν [a] ἐπηγγείλατο ὁ ἀψευδὴς
[b] φαίνω. Θεὸς πρὸ χρόνων αἰωνίων, [b] ἐφανέρωσε δὲ
καιροῖς ἰδίοις.

[c] πίστις. 3 Τὸν λόγον αὐτοῦ ἐν κηρύγματι ὃ [c] ἐπιστεύθην
ἐγὼ κατ' ἐπιταγὴν τοῦ σωτῆρος ἡμῶν

Θεοῦ· Τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν.

4 Χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρὸς, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν.

5 Τούτου χάριν [d] κατέλιπόν σε ἐν Κρήτῃ ἵνα τὰ λείποντα [e] ἐπιδιορθώσῃ, καὶ [f] καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι [g] διεταξάμην.

[d] λείπω.
[e] ὀρθός.
[f] ἵστημι.
[g] τάσσω.

6 Εἴ τις [h] ἐστὶν [i] ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνὴρ, τέκνα ἔχων πιστὰ, μὴ ἐν κατηγορίᾳ ἀσωτίας, ἢ ἀνυπότακτα.

[h] εἰμί.
[i] καλέω.

7 Δεῖ γὰρ τὸν ἐπίσκοπον [i] ἀνέγκλητον [h] εἶναι, ὡς Θεοῦ οἰκονόμον· μὴ αὐθάδη, μὴ ὀργίλον, μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ.

8 Ἀλλὰ φιλόξενον, φιλάγαθον, σώφρονα, δίκαιον, ὅσιον, ἐγκρατῆ·

9 Ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς [h] ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν.

10 [h] Εἰσὶ γὰρ πολλοὶ καὶ ἀνυπότακτοι, ματαιολόγοι καὶ φρεναπάται, μάλιστα οἱ ἐκ περιτομῆς.

11 Οὓς δεῖ ἐπιστομίζειν· οἵτινες ὅλους οἴκους ἀνατρέπουσι, διδάσκοντες ἃ μὴ δεῖ, αἰσχροῦ κέρδους χάριν.

12 Εἶπέ τις ἐξ αὐτῶν ἴδιος αὐτῶν προφήτης, Κρῆτες, ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί.

13 Ἡ μαρτυρία αὕτη [h] ἐστὶν ἀληθής· δι' ἣν αἰτίαν ἔλεγχε αὐτοὺς ἀποτόμως, ἵνα ὑγιαίνωσιν ἐν τῇ πίστει·

14 Μὴ προσέχοντες Ἰουδαϊκοῖς μύθοις, καὶ ἐντολαῖς ἀνθρώπων [k] ἀποστρεφομένων τὴν ἀλήθειαν.

[k] στρέφω.

15 Πάντα μὲν καθαρὰ τοῖς καθαροῖς· τοῖς δὲ [l] μεμιασμένοις καὶ ἀπίστοις οὐδὲν καθαρὸν, ἀλλὰ [l] μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις.

[l] μιαίνω.

16 Θεὸν ὁμολογοῦσιν [m] εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται, βδελυκτοὶ [h] ὄντες καὶ ἀπειθεῖς, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι.

[m] εἴδω.

Κεφ. β'. Cap. II.

Σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ.

a εἰμί. 2 Πρεσβύτας νηφαλίους [a] εἶναι, σεμνούς, σώφρονας, ὑγιαίνοντας τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ.

b ἵστημι. 3 Πρεσβύτιδας ὡσαύτως ἐν [b] καταστήματι ἱεροπρεπεῖς, μὴ διαβόλους, μὴ οἴνῳ πολλῷ
c δοῦλος. [c] δεδουλωμένας, καλοδιδασκάλους·

4 Ἵνα σωφρονίζωσι τὰς νέας, φιλάνδρους [a] εἶναι, φιλοτέκνους·

5 Σώφρονας, ἁγνάς, οἰκουρούς, ἀγαθάς, ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν· ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται.

6 Τοὺς νεωτέρους ὡσαύτως παρακάλει σωφρονεῖν.

7 Περὶ πάντα σεαυτὸν παρεχόμενος τύπον καλῶν ἔργων, ἐν τῇ διδασκαλίᾳ ἀδιαφθορίαν, σεμνότητα, ἀφθαρσίαν,

8 Λόγον ὑγιῆ, ἀκατάγνωστον· ἵνα ὁ ἐξ ἐν-
d τρέπω. αντίας [d] ἐντραπῇ, μηδὲν ἔχων περὶ ὑμῶν λέγειν φαῦλον.

9 Δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι, ἐν πᾶσιν εὐαρέστους [a] εἶναι, μὴ ἀντιλέγοντας.

10 Μὴ νοσφιζομένους, ἀλλὰ πίστιν πᾶσαν ἐνδεικνυμένους ἀγαθήν· ἵνα τὴν διδασκαλίαν τοῦ σωτῆρος ἡμῶν Θεοῦ κοσμῶσιν ἐν πᾶσιν.

e φαίνω. 11 [e] Ἐπεφάνη γὰρ ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις·

f παῖς. 12 [f] Παιδεύουσα ἡμᾶς ἵνα [g] ἀρνησάμενοι τὴν
g ἀρνέομαι. ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως
h ζάω. καὶ δικαίως καὶ εὐσεβῶς [h] ζήσωμεν ἐν τῷ νῦν αἰῶνι.

13 Προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ·

i δίδωμι. 14 Ὃς [i] ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα [k] λυ-
k λύω. τρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων.

15 Ταῦτα λάλει, καὶ παρακάλει, καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς· μηδείς σου περιφρονείτω.

Κεφ. γ'. Cap. III.

[a] Ὑπομίμνησκε αὐτοὺς ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι, πειθαρχεῖν, πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους [b] εἶναι·

2 Μηδένα βλασφημεῖν, ἀμάχους [b] εἶναι, ἐπιεικεῖς, πᾶσαν [c] ἐνδεικνυμένους πρᾳότητα πρὸς πάντας ἀνθρώπους.

3 [b] Ἦμεν γάρ ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις, ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες, στυγητοὶ, μισοῦντες ἀλλήλους·

4 Ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία [d] ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν Θεοῦ,

5 Οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ὧν [e] ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον [f] ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινώσεως πνεύματος ἁγίου.

6 Οὗ [g] ἐξέχεεν ἐφ᾽ ἡμᾶς πλουσίως, διὰ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν.

7 Ἵνα [h] δικαιωθέντες τῇ ἐκείνου χάριτι, κληρονόμοι [i] γενώμεθα κατ᾽ ἐλπίδα ζωῆς αἰωνίου.

8 Πιστὸς ὁ λόγος· καὶ περὶ τούτων βούλομαί σε [k] διαβεβαιοῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων [l] προΐστασθαι οἱ [m] πεπιστευκότες τῷ Θεῷ· ταῦτα [b] ἐστι τὰ καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις.

9 Μωρὰς δὲ ζητήσεις, καὶ γενεαλογίας, καὶ ἔρεις, καὶ μάχας νομικὰς [l] περιΐστασο· [b] εἰσὶ γὰρ ἀνωφελεῖς καὶ μάταιοι.

10 Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ·

11 [n] Εἰδὼς ὅτι [o] ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει, ὢν αὐτοκατάκριτος.

12 Ὅταν πέμψω Ἀρτεμᾶν πρός σε ἢ Τυχικὸν, [p] σπούδασον [q] ἐλθεῖν πρός με εἰς Νικόπολιν· ἐκεῖ γὰρ [r] κέκρικα [s] παραχειμάσαι.

13 Ζηνᾶν τὸν νομικὸν καὶ Ἀπολλὼ σπουδαίως [t] πρόπεμψον, ἵνα μηδὲν αὐτοῖς [u] λείπῃ.

14 [x] Μαν-

[a] μιμνήσκομαι.

[b] εἰμί.

[c] δεικνύω.

[d] φαίνω.

[e] ποιέω.

[f] σόος.

[g] χέω.

[h] δίκη.

[i] γίνομαι.

[k] βαίνω.

[l] ἵστημι.

[m] πίστις.

[n] εἴδω.

[o] στρέφω.

[p] σπεύδω.

[q] ἔρχομαι.

[r] κρίνω.

[s] χεῖμα.

[t] πέμπω.

[u] λείπω.

[x] μανθάνω.

14 [x] Μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι καλῶν ἔργων [l] προΐστασθαι εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ [b] ὦσιν ἄκαρποι.

15 Ἀσπάζονταί σε οἱ μετ' ἐμοῦ πάντες· ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει· ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν.

[y] τείνω.
[z] γράφω.

Πρὸς Τίτον, τῆς Κρητῶν ἐκκλησίας πρῶτον ἐπίσκοπον [y] χειροτονηθέντα, [z] ἐγράφη ἀπὸ Νικοπόλεως τῆς Μακεδονίας.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗ.

Παῦλος δέσμιος Χριστοῦ Ἰησοῦ, καὶ Τιμόθεος ὁ ἀδελφὸς, Φιλήμονι τῷ ἀγαπητῷ καὶ συνεργῷ ἡμῶν.

[a] στρατός.

2 Καὶ Ἀπφίᾳ τῇ ἀγαπητῇ, καὶ Ἀρχίππῳ τῷ [a] συστρατιώτῃ ἡμῶν, καὶ τῇ κατ' οἶκόν σου ἐκκλησίᾳ.

3 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

4 Εὐχαριστῶ τῷ Θεῷ μου, πάντοτε μνείαν σου ποιούμενος ἐπὶ τῶν προσευχῶν μου,

5 Ἀκούων σου τὴν ἀγάπην, καὶ τὴν πίστιν ἣν ἔχεις πρὸς τὸν Κύριον Ἰησοῦν καὶ εἰς πάντας τοὺς ἁγίους·

[b] γίνομαι.

6 Ὅπως ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς [b] γένηται ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν ὑμῖν εἰς Χριστὸν Ἰησοῦν.

7 Χάριν γὰρ ἔχομεν πολλὴν καὶ παράκλησιν

ἐπὶ τῇ ἀγάπῃ σου, ὅτι τὰ σπλάγχνα τῶν ἁγίων [c] ἀναπέπαυται διὰ σοῦ, ἀδελφέ.

[c] παύω.

8 Διὸ πολλὴν ἐν Χριστῷ παῤῥησίαν ἔχων ἐπιτάσσειν σοι τὸ ἀνῆκον,

9 Διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ, τοιοῦτος [d] ὢν ὡς Παῦλος πρεσβύτης, νυνὶ δὲ καὶ δέσμιος Ἰησοῦ Χριστοῦ.

[d] εἰμί.

10 Παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου, ὃν [e] ἐγέννησα ἐν τοῖς δεσμοῖς μου, Ὀνήσιμον·

[e] γεννάω.

11 Τόν ποτέ σοι ἄχρηστον, νυνὶ δέ σοι καὶ ἐμοὶ εὔχρηστον· ὃν [f] ἀνέπεμψα.

[f] πέμπω.

12 Σὺ δὲ αὐτὸν, [g] τουτέστι τὰ ἐμὰ σπλάγχνα, [h] προσλαβοῦ.

[g] τοῦτο ἐστί.
[h] λαμβάνω.

13 Ὃν ἐγὼ [i] ἐβουλόμην πρὸς ἐμαυτὸν κατέχειν, ἵνα ὑπὲρ σοῦ διακονῇ μοι ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου.

[i] βούλη.

14 Χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν [k] ἠθέλησα ποιῆσαι· ἵνα μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν σου [d] ᾖ, ἀλλὰ κατὰ ἑκούσιον.

[k] θέλω.

15 Τάχα γὰρ διὰ τοῦτο [l] ἐχωρίσθη πρὸς ὥραν, ἵνα αἰώνιον αὐτὸν [m] ἀπέχῃς·

[l] χῶρος.
[m] ἔχω.

16 Οὐκέτι ὡς δοῦλον, ἀλλ' ὑπὲρ δοῦλον, ἀδελφὸν ἀγαπητὸν, μάλιστα ἐμοὶ, πόσῳ δὲ μᾶλλον σοὶ, καὶ ἐν σαρκὶ καὶ ἐν Κυρίῳ;

17 Εἰ οὖν ἐμὲ ἔχεις κοινωνὸν, [n] προσλαβοῦ αὐτὸν ὡς ἐμέ.

[n] λαμβάνω.

18 Εἰ δέ τι [o] ἠδίκησέ σε, ἢ ὀφείλει, τοῦτο ἐμοὶ [p] ἐλλόγει.

[o] δίκη.
[p] λέγω.

19 Ἐγὼ Παῦλος [q] ἔγραψα τῇ ἐμῇ χειρὶ, ἐγὼ [r] ἀποτίσω· ἵνα μὴ λέγω σοι ὅτι καὶ σεαυτόν μοι προσοφείλεις.

[q] γράφω.
[r] τίω.

20 Ναὶ ἀδελφὲ, ἐγώ σου [s] ὀναίμην ἐν Κυρίῳ· [c] ἀνάπαυσόν μου τὰ σπλάγχνα ἐν Κυρίῳ.

[s] ὄνημι.

21 [t] Πεποιθὼς τῇ ὑπακοῇ σου [q] ἔγραψά σοι, [u] εἰδὼς ὅτι καὶ ὑπὲρ ὃ λέγω ποιήσεις.

[t] πείθω.
[u] εἴδω.

22 Ἅμα δὲ καὶ [x] ἑτοίμαζέ μοι ξενίαν· ἐλπίζω γὰρ ὅτι διὰ τῶν προσευχῶν ὑμῶν [y] χαρισθήσομαι ὑμῖν.

[x] ἕτοιμος.
[y] χάρις.

23 Ἀσπάζονταί σε, Ἐπαφρᾶς, (ὁ [z] συν-

[z] ἁλίσκω.

αιχμάλωτός

αἰχμάλωτός μου ἐν Χριστῷ Ἰησοῦ)

24 Μάρκος, Ἀρίσταρχος, Δημᾶς, Λουκᾶς, οἱ συνεργοί μου.

25 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν. Ἀμήν.

Πρὸς Φιλήμονα [q] ἐγράφη ἀπὸ Ῥώμης διὰ Ὀνησίμου οἰκέτου.

BRITISH MUSEUM 60

Η ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ.

Κεφάλαιον α΄. Caput I.

Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς [a] λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων [a] ἐλάλησεν ἡμῖν ἐν υἱῷ.

2 Ὃν [b] ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας [c] ἐποίησεν.

3 Ὃς [d] ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν [e] ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, [f] ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς.

4 Τοσούτῳ κρείττων [g] γενόμενος τῶν ἀγγέλων ὅσῳ διαφορώτερον παρ' αὐτοὺς [h] κεκληρονόμηκεν ὄνομα.

5 Τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων; Υἱός μου [d] εἶ σύ, ἐγὼ σήμερον [i] γεγέννηκά σε. Καὶ πάλιν, Ἐγὼ [d] ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς [d] ἔσται μοι εἰς υἱόν.

6 Ὅταν δὲ πάλιν [k] εἰσαγάγῃ τὸν πρωτότοκον

[a] λαλέω.
[b] τίθημι.
[c] ποιέω.
[d] εἰμί.
[e] ποιέω.
[f] ἕζω.
[g] γίνομαι.
[h] νέμω.
[i] γεννάω.
[k] ἄγω.

εἰς τὴν οἰκουμένην λέγει, [l] Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ.

[l] κυνέω.

7 Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει, Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ, πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ, πυρὸς φλόγα·

8 Πρὸς δὲ τὸν υἱόν, Ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου.

9 [m] Ἠγάπησας δικαιοσύνην, καὶ [n] ἐμίσησας ἀνομίαν· διὰ τοῦτο [o] ἔχρισέ σε ὁ Θεὸς ὁ Θεὸς σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.

[m] ἀγαπάω.
[n] μῖσος.
[o] χρίω.

10 Καὶ, Σὺ κατ' ἀρχὰς, Κύριε, τὴν γῆν [p] ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου [d] εἰσὶν οἱ οὐρανοί.

[p] θεμέλιον.

11 Αὐτοὶ [q] ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον [r] παλαιωθήσονται·

[q] ὀλλύω.
[r] παλαι.

12 Καὶ ὡσεὶ περιβόλαιον [s] ἑλίξεις αὐτοὺς, καὶ [t] ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς [d] εἶ, καὶ τὰ ἔτη σου οὐκ [u] ἐκλείψουσι.

[s] εἱλίττω.
[t] ἀλλάττω.
[u] λείπω.

13 Πρὸς τίνα δὲ τῶν ἀγγέλων [x] εἴρηκέ ποτε, [y] Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν [*] θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου;

[x] ἔρω.
[y] ἧμαι.
[*] τίθημι.

14 Οὐχὶ πάντες [d] εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν [z] ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν;

[z] στέλλω.

Κεφ. β'. Cap. II.

Διὰ τοῦτο δεῖ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς [a] ἀκουσθεῖσι, μήποτε [b] παραῤῥυῶμεν.

[a] ἀκούω.
[b] ῥύω.

2 Εἰ γὰρ ὁ δι' ἀγγέλων [c] λαληθεὶς λόγος [d] ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ [e] ἔλαβεν ἔνδικον [f] μισθαποδοσίαν.

[c] λαλέω.
[d] γίνομαι.
[e] λαμβάνω.
[f] δίδωμι.

3 Πῶς ἡμεῖς [g] ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥτις ἀρχὴν [e] λαβοῦσα [c] λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς [h] ἐβεβαιώθη,

[g] φεύγω.
[h] βέβαιος.

4 [i] Συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις τε καὶ τέρασι, καὶ ποικίλαις δυνάμεσι, καὶ πνεύματος ἁγίου μερισμοῖς, κατὰ τὴν αὐτοῦ θέλησιν.

[i] μαρτυρ.

[k] τάσσω.

5 Οὐ γὰρ ἀγγέλοις [k] ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν.

[l] μάρτυρ.
[m] εἰμί.
[n] μιμνήσκομαι.

6 [l] Διεμαρτύρατο δέ πού τις, λέγων, Τί [m] ἐστιν ἄνθρωπος, ὅτι [n] μιμνήσκῃ αὐτοῦ; ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν;

[o] ἐλαχύς.
[p] στέφανος.
[q] ἵστημι.

7 [o] Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους· δόξῃ καὶ τιμῇ [p] ἐστεφάνωσας αὐτὸν, καὶ [q] κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου.

[r] ἕω.
[s] ὁράω.

8 Πάντα [k] ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. Ἐν γὰρ τῷ [k] ὑποτάξαι αὐτῷ τὰ πάντα, οὐδὲν [r] ἀφῆκεν αὐτῷ ἀνυπότακτον· νῦν δὲ οὔπω [s] ὁρῶμεν αὐτῷ τὰ πάντα [k] ὑποτεταγμένα.

[u] ἐλαχύς.
[x] στέφανος.

9 Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους [u] ἠλαττωμένον βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου, δόξῃ καὶ τιμῇ [x] ἐστεφανωμένον· ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου.

[y] πρέπω.
[z] ἄγω.
[a] τέλος.

10 [y] Ἔπρεπε γὰρ αὐτῷ δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν [z] ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων [a] τελειῶσαι.

[b] αἶσχος.

11 Ὅ, τε γὰρ ἁγιάζων, καὶ οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς πάντες· δι' ἣν αἰτίαν οὐκ [b] ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν,

12 Λέγων, Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε.

[c] εἰμί.
[d] πείθω.
[e] δίδωμι.

13 Καὶ πάλιν, Ἐγὼ [c] ἔσομαι [d] πεποιθὼς ἐπ' αὐτῷ· Καὶ πάλιν, Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι [c] ἔδωκεν ὁ Θεός.

[f] κοινός.
[g] ἔχω.
[h] ἔργον.

14 Ἐπεὶ οὖν τὰ παιδία [f] κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως [g] μετέσχε τῶν αὐτῶν· ἵνα διὰ τοῦ θανάτου [h] καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον.

[i] ἀλλάσσω.
[k] ζάω.

15 Καὶ [i] ἀπαλλάξῃ τούτους ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ [k] ζῆν ἔνοχοι [c] ἦσαν δουλείας.

16 Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται.

17 Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς

[l] ὁμοιωθῆναι, ἵνα ἐλεήμων [m] γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεὸν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ.

18 Ἐν ᾧ γὰρ [n] πέπονθεν αὐτὸς [o] πειρασθεὶς, δύναται τοῖς πειραζομένοις [p] βοηθῆσαι.

Κεφ. γʹ. Cap. III.

Ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, [a] κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Χριστὸν Ἰησοῦν·

2 Πιστὸν [b] ὄντα τῷ ποιήσαντι αὐτὸν, ὡς καὶ Μωσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ.

3 Πλείονος γὰρ δόξης οὗτος παρὰ Μωσῆν [c] ἠξίωται, καθ' ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν.

4 Πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος· ὁ δὲ τὰ πάντα κατασκευάσας, Θεός.

5 Καὶ Μωσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, ὡς θεράπων, εἰς μαρτύριον τῶν [d] λαληθησομένων.

6 Χριστὸς δὲ, ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ· οὗ οἶκός [b] ἐσμεν ἡμεῖς, ἐάν περ τὴν παῤῥησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν [e] κατάσχωμεν.

7 Διὸ καθὼς λέγει τὸ πνεῦμα τὸ ἅγιον, Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε,

8 Μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ·

9 Οὗ [f] ἐπείρασάν με οἱ πατέρες ὑμῶν, [g] ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη.

10 Διὸ [h] προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον, Ἀεὶ πλανῶνται τῇ καρδίᾳ· αὐτοὶ δὲ οὐκ [i] ἔγνωσαν τὰς ὁδούς μου.

11 Ὡς [k] ὤμοσα ἐν τῇ ὀργῇ μου, Εἰ [l] εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

12 Βλέπετε, ἀδελφοὶ, μήποτε [b] ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας, ἐν τῷ [m] ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος.

13 Ἀλλὰ

[l] ὁμός.
[m] γίνομαι.
[n] πάσχω.
[o] πειρα.
[p] βοηθός.
[a] νοέω.
[b] εἰμί.
[c] ἄξιος.
[d] λαλέω.
[e] ἔχω.
[f] πειρα.
[g] δοκίμη.
[h] ὀχθέω.
[i] γινώσκω.
[k] ὀμνύω.
[l] ἔρχομαι.
[m] ἵστημι.

[n σκληρός.] 13 Ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλεῖται· ἵνα μὴ n σκληρωθῇ τις ἐξ ὑμῶν ἀπάτῃ τῆς ἁμαρτίας.

[o γίνομαι.] 14 Μέτοχοι γὰρ o γεγόναμεν τοῦ Χριστοῦ, ἐάνπερ τὴν ἀρχὴν τῆς ὑποστάσεως μέχρι τέλους βεβαίαν c κατάσχωμεν·

[p σκληρός.] 15 Ἐν τῷ λέγεσθαι, Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ p σκληρώνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ.

[q πικρός.] 16 Τινὲς γὰρ ἀκούσαντες q παρεπίκραναν, ἀλλ' οὐ πάντες οἱ l ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωσέως.

[r ἁμαρτάνω. s πίπτω.] 17 Τίσι δὲ h προσώχθισε τεσσαράκοντα ἔτη; οὐχὶ τοῖς r ἁμαρτήσασιν, ὧν τὰ κῶλα s ἔπεσεν ἐν τῇ ἐρήμῳ;

[t πείθω. u δύναμαι.] 18 Τίσι δὲ k ὤμοσε μὴ l εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς t ἀπειθήσασι;

19 Καὶ βλέπομεν ὅτι οὐκ u ἠδυνήθησαν l εἰσελθεῖν δι' ἀπιστίαν.

Κεφ. δ'. Cap. IV.

[a φοβέομαι. b ἔρχομαι. c ὕστερος. d εἰμί.] a Φοβηθῶμεν οὖν μή ποτε καταλειπομένης ἐπαγγελίας b εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δοκῇ τις ἐξ ὑμῶν c ὑστερηκέναι.

[e κεραννύω.] 2 Καὶ γάρ d ἐσμεν εὐηγγελισμένοι, καθάπερ κἀκεῖνοι· ἀλλ' οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους, μὴ e συγκεκραμένος τῇ πίστει τοῖς ἀκούσασιν.

[f πίστις. g εἴρω. h ὀμνύω. i γίνομαι.] 3 Εἰσερχόμεθα γὰρ εἰς τὴν κατάπαυσιν οἱ f πιστεύσαντες, καθὼς g εἴρηκεν· Ὡς h ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ h εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου· καί τοι τῶν ἔργων ἀπὸ καταβολῆς κόσμου i γενηθέντων.

4 g Εἴρηκε γάρ που περὶ τῆς ἑβδόμης οὕτω, Καὶ κατέπαυσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ.

5 Καὶ ἐν τούτῳ πάλιν, Εἰ b εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

[k ἀγγέλλω.] 6 Ἐπεὶ οὖν ἀπολείπεται τινὰς b εἰσελθεῖν εἰς αὐτήν, καὶ οἱ πρότερον k εὐαγγελισθέντες οὐκ b εἰσῆλθον δι' ἀπείθειαν·

7 Πάλιν τινὰ ὁρίζει ἡμέραν, σήμερον ἐν Δαβὶδ λέγων, μετὰ τοσοῦτον χρόνον, (καθὼς εἴρηται) Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν.

8 Εἰ γὰρ αὐτοὺς Ἰησοῦς [l] κατέπαυσεν, οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας.

[l] παύω.

9 Ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ.

10 Ὁ γὰρ [b] εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ, καὶ αὐτὸς [l] κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός.

11 [m] Σπουδάσωμεν οὖν [b] εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν· ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι πέσῃ τῆς ἀπειθείας.

[m] σπεύδω.

12 [n] Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ [o] τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν· καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας.

[n] ζάω. [o] τέμνω.

13 Καὶ οὐκ [d] ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ· πάντα δὲ γυμνὰ καὶ [p] τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ πρὸς ὃν ἡμῖν ὁ λόγος.

[p] τράχηλος.

14 Ἔχοντες οὖν ἀρχιερέα μέγαν, [b] διεληλυθότα τοὺς οὐρανοὺς, Ἰησοῦν τὸν υἱὸν τοῦ Θεοῦ, [q] κρατῶμεν τῆς ὁμολογίας.

[q] κράτος.

15 Οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον [r] συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, [ſ] πεπειρασμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα, χωρὶς ἁμαρτίας.

[r] πάσχω. [ſ] πεῖρα.

16 Προσερχώμεθα οὖν μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα [t] λάβωμεν ἔλεον, καὶ χάριν [u] εὕρωμεν εἰς εὔκαιρον βοήθειαν.

[t] λαμβάνω. [u] εὑρίσκω.

Κεφ. ε. Cap. V.

ΠΑ͂Σ γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων [a] καθίσταται τὰ πρὸς τὸν Θεὸν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν·

[a] ἵστημι.

2 [b] Μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις· ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν.

[b] πάσχω.

3 Καὶ

13 Ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλεῖται· ἵνα μὴ [n] σκληρυνθῇ τις ἐξ ὑμῶν ἀπάτῃ τῆς ἁμαρτίας.

14 Μέτοχοι γὰρ [o] γεγόναμεν τοῦ Χριστοῦ, ἐάνπερ τὴν ἀρχὴν τῆς ὑποστάσεως μέχρι τέλους βεβαίαν [c] κατάσχωμεν·

15 Ἐν τῷ λέγεσθαι, Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ [p] σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ.

16 Τινὲς γὰρ ἀκούσαντες [q] παρεπίκραναν, ἀλλ' οὐ πάντες οἱ [l] ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωσέως.

17 Τίσι δὲ [h] προσώχθισε τεσσαράκοντα ἔτη; οὐχὶ τοῖς [r] ἁμαρτήσασιν, ὧν τὰ κῶλα [s] ἔπεσεν ἐν τῇ ἐρήμῳ.

18 Τίσι δὲ [k] ὤμοσε μὴ [l] εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς [t] ἀπειθήσασι;

19 Καὶ βλέπομεν ὅτι οὐκ [u] ἠδυνήθησαν [l] εἰσελθεῖν δι' ἀπιστίαν.

Κεφ. δ'. Cap. IV.

[a] Φοβηθῶμεν οὖν μή ποτε καταλειπομένης ἐπαγγελίας [b] εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δοκῇ τις ἐξ ὑμῶν [c] ὑστερηκέναι.

2 Καὶ γάρ [d] ἐσμεν εὐηγγελισμένοι, καθάπερ κἀκεῖνοι· ἀλλ' οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους, μὴ [e] συγκεκραμένος τῇ πίστει τοῖς ἀκούσασιν.

3 Εἰσερχόμεθα γὰρ εἰς τὴν κατάπαυσιν οἱ [f] πιστεύσαντες, καθὼς [g] εἴρηκεν; Ὡς [h] ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ [b] εἰσελεύσονται εἰς τὴν κατάπαυσιν μου· καίτοι τῶν ἔργων ἀπὸ καταβολῆς κόσμου [i] γενηθέντων.

4 [g] Εἴρηκε γάρ που περὶ τῆς ἑβδόμης οὕτω, Καὶ κατέπαυσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ.

5 Καὶ ἐν τούτῳ πάλιν, Εἰ [b] εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

6 Ἐπεὶ οὖν ἀπολείπεται τινὰς [b] εἰσελθεῖν εἰς αὐτὴν, καὶ οἱ πρότερον [k] εὐαγγελισθέντες οὐκ [b] εἰσῆλθον δι' ἀπείθειαν·

7 Πάλιν

n σκληρύνω.
o γίνομαι.
p σκληρύνω.
q πικραίνω.
r ἁμαρτάνω.
s πίπτω.
t πείθω.
u δύναμαι.
a φοβέομαι.
b ἔρχομαι.
c ὕστερος.
d εἰμί.
e κεραννύω.
f πίστις.
g εἴρω.
h ὀμνύω.
i γίνομαι.
k ἀγγέλλω.

7 Πάλιν τινὰ ὁρίζει ἡμέραν, σήμερον ἐν Δαβὶδ λέγων, μετὰ τοσοῦτον χρόνον, (καθὼς εἴρηται) Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν.

8 Εἰ γὰρ αὐτοὺς Ἰησοῦς [l] κατέπαυσεν, οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας.

[l] παύω.

9 Ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ.

10 Ὁ γὰρ [b] εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ, καὶ αὐτὸς [l] κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός.

11 [m] Σπουδάσωμεν οὖν [b] εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν· ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι πέσῃ τῆς ἀπειθείας.

[m] σπεύδω.

12 [n] Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ [o] τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν· καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας.

[n] ζάω.
[o] τέμνω.

13 Καὶ οὐκ [d] ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ· πάντα δὲ γυμνὰ καὶ [p] τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ πρὸς ὃν ἡμῖν ὁ λόγος.

[p] τράχηλος.

14 Ἔχοντες οὖν ἀρχιερέα μέγαν, [b] διεληλυθότα τοὺς οὐρανοὺς, Ἰησοῦν τὸν υἱὸν τοῦ Θεοῦ, [q] κρατῶμεν τῆς ὁμολογίας.

[q] κράτος.

15 Οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον [r] συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, [s] πεπειρασμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα, χωρὶς ἁμαρτίας.

[r] πάσχω.
[s] πεῖρα.

16 Προσερχώμεθα οὖν μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα [t] λάβωμεν ἔλεον, καὶ χάριν [u] εὕρωμεν εἰς εὔκαιρον βοήθειαν.

[t] λαμβάνω.
[u] εὑρίσκω.

Κεφ. ε. Cap. V.

ΠΑ͂Σ γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων [a] καθίσταται τὰ πρὸς τὸν Θεὸν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν·

[a] ἵστημι.

2 [b] Μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις· ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν.

[b] πάσχω.

3 Καὶ διὰ ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν.

4 Καὶ οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμὴν, ἀλλὰ ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ, καθάπερ καὶ ὁ Ἀαρών·

[c] δοκέω. [d] γίνομαι. [e] εἰμί. [f] γεννάω.

5 Οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν [c] ἐδόξασε [d] γενηθῆναι ἀρχιερέα· ἀλλ' ὁ λαλήσας πρὸς αὐτὸν, Υἱός μου [e] εἶ σὺ, ἐγὼ σήμερον [f] γεγέννηκά σε.

6 Καθὼς καὶ ἐν ἑτέρῳ λέγει, Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

[g] φέρω. [h] ἀκούω.

7 Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου, μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων [g] προσενέγκας, καὶ [h] εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας.

[i] μανθάνω.

8 Καίπερ [e] ὢν υἱὸς, [i] ἔμαθεν ἀφ' ὧν [h] ἔπαθε, τὴν ὑπακοήν.

[k] τέλος.

9 Καὶ [k] τελειωθεὶς [d] ἐγένετο τοῖς [h] ὑπακούουσιν αὐτῷ πᾶσιν αἴτιος σωτηρίας αἰωνίου.

[l] ἀγορεύω.

10 [l] Προσαγορευθεὶς ὑπὸ τοῦ Θεοῦ ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ.

[m] ἑρμηνεύς.

11 Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ [m] δυσερμήνευτος λέγειν· ἐπεὶ νωθροὶ [d] γεγόνατε ταῖς ἀκοαῖς.

[n] γάλα.

12 Καὶ γὰρ ὀφείλοντες [e] εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ, καὶ [d] γεγόνατε χρείαν ἔχοντες [n] γάλακτος, καὶ οὐ στερεᾶς τροφῆς.

13 Πᾶς γὰρ ὁ μετέχων [n] γάλακτος, ἄπειρος λόγου δικαιοσύνης· (νήπιος γάρ [e] ἐστι)

[o] γυμνός.

14 Τελείων δέ [e] ἐστιν ἡ στερεὰ τροφὴ, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια [o] γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ.

Κεφ. ϛʹ. Cap. VI.

[a] ἴω.

Διὸ [a] ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον, ἐπὶ τὴν τελειότητα φερώμεθα· μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων, καὶ πίστεως ἐπὶ Θεόν,

2 Βαπτισμῶν διδαχῆς, ἐπιθέσεώς τε χειρῶν, ἀναστάσεώς τε νεκρῶν, καὶ κρίματος αἰωνίου.

3 Καὶ τοῦτο ποιήσομεν, ἐάνπερ ἐπιτρέπῃ ὁ Θεός.

4 Ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους [b] γενηθέντας πνεύματος ἁγίου,

5 Καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα, δυνάμεις τε μέλλοντος αἰῶνος,

6 Καὶ [c] παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν, [d] ἀνασταυροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ Θεοῦ καὶ παραδειγματίζοντας.

7 Γῆ γὰρ ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑετὸν, καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ.

8 Ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος καὶ κατάρας ἐγγὺς, ἧς τὸ τέλος εἰς καῦσιν.

9 [e] Πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοὶ, τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν.

10 Οὐ γὰρ ἄδικος ὁ Θεὸς, [f] ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν, καὶ τοῦ κόπου τῆς ἀγάπης ἧς [g] ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις καὶ διακονοῦντες.

11 [h] Ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος ἄχρι τέλους·

12 Ἵνα μὴ νωθροὶ [i] γένησθε, μιμηταὶ δὲ τῶν διὰ πίστεως καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας.

13 Τῷ γὰρ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ Θεὸς, ἐπεὶ κατ' οὐδενὸς εἶχε μείζονος [k] ὀμόσαι, [k] ὤμοσε καθ' ἑαυτοῦ,

14 Λέγων, Ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ σε.

[b] γίνομαι.
[c] πίπτω.
[d] σταυρόω.
[e] πείθω.
[f] λανθάνω.
[g] δεικνύω.
[h] θυμός.
[i] γίνομαι.
[k] ὀμνύω.

15 Καὶ οὕτω [h] μακροθυμήσας ἐπέτυχε τῆς
ἐπαγγελίας.

16 Ἄνθρωποι μὲν γὰρ κατὰ τοῦ μείζονος ὀμνύ-
ουσι, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βε-
βαίωσιν, ὁ ὅρκος.

17 Ἐν ᾧ περισσότερον βουλόμενος ὁ Θεὸς
[l] δείκνυμι. [l] ἐπιδεῖξαι τοῖς κληρονόμοις τῆς ἐπαγγελίας τὸ
[m] τίθημι. [m] ἀμετάθετον τῆς βουλῆς αὐτοῦ, [n] ἐμεσίτευσεν
[n] μέσος. ὅρκῳ·

18 Ἵνα διὰ δύο πραγμάτων [m] ἀμεταθέ-
των, ἐν οἷς ἀδύνατον ψεύσασθαι Θεὸν, ἰσχυρὰν
[o] κρᾶτος. παράκλησιν ἔχωμεν οἱ καταφυγόντες [o] κρατῆ-
σαι τῆς προκειμένης ἐλπίδος·

19 Ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφα-
λῆ τε καὶ βεβαίαν, καὶ εἰσερχομένην εἰς τὸ ἐσώτε-
ρον τοῦ καταπετάσματος.

[p] ἔρχομαι. 20 Ὅπου πρόδρομος ὑπὲρ ἡμῶν [p] εἰσῆλθεν
Ἰησοῦς, κατὰ τὴν τάξιν Μελχισεδὲκ, ἀρχιερεὺς
γενόμενος εἰς τὸν αἰῶνα.

Κεφ. ζ'. Cap. VII.

Οὗτος γὰρ ὁ Μελχισεδὲκ, βασιλεὺς Σα-
[a] ἄντα. λὴμ, ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου, ὁ [a] συν-
αντήσας Ἀβραὰμ ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν
βασιλέων, καὶ εὐλογήσας αὐτόν·

[b] μείρω. 2 Ὧ καὶ δεκάτην ἀπὸ πάντων [b] ἐμέρισεν Ἀ-
[c] ἑρμηνεύς. βραάμ· πρῶτον μὲν [c] ἑρμηνευόμενος βασι-
λεὺς δικαιοσύνης, ἔπειτα δὲ καὶ βασιλεὺς Σα-
[d] εἰμί. λήμ· ὅ [d] ἐστι βασιλεὺς εἰρήνης.

3 Ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος·
μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων·
[e] ὅμοιος. [e] ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ Θεοῦ, μένει ἱερεὺς
εἰς τὸ διηνεκές.

4 Θεωρεῖτε δὲ πηλίκος οὗτος, ᾧ καὶ δεκάτην
[f] δίδωμι. Ἀβραὰμ [f] ἔδωκεν ἐκ τῶν ἀκροθινίων ὁ πατρι-
άρχης.

5 Καὶ οἱ μὲν ἐκ τῶν υἱῶν Λευὶ τὴν ἱερατείαν
λαμβάνοντες, ἐντολὴν ἔχουσιν ἀποδεκατοῦν τὸν
λαὸν κατὰ τὸν νόμον, τουτέστι τοὺς ἀδελφοὺς αὐτῶν,
[g] ἔρχομαι. καίπερ [g] ἐξεληλυθότας ἐκ τῆς ὀσφύος Ἀβραάμ.

6 Ὁ δὲ μὴ [h] γενεαλογούμενος ἐξ αὐτῶν, [i] δεδεκάτωκε τὸν Ἀβραὰμ, καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας [h] εὐλόγηκε.

[h] λέγω. [i] δέκα.

7 Χωρὶς δὲ πάσης ἀντιλογίας, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται.

8 Καὶ ὧδε μὲν δεκάτας [k] ἀποθνήσκοντες ἄνθρωποι λαμβάνουσιν· ἐκεῖ δὲ, μαρτυρούμενος ὅτι [l] ζῇ.

[k] θνήσκω. [l] ζάω.

9 Καὶ (ὡς ἔπος εἰπεῖν) διὰ Ἀβραὰμ καὶ Λευῒ ὁ δεκάτας λαμβάνων [m] δεδεκάτωται.

[m] δέκα.

10 Ἔτι γὰρ ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς [c] ἦν ὅτε [a] συνήντησεν αὐτῷ ὁ Μελχισεδέκ.

11 Εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης [d] ἦν, (ὁ λαὸς γὰρ ἐπ' αὐτῇ [n] νενομοθέτητο) τίς ἔτι χρεία κατὰ τὴν τάξιν Μελχισεδὲκ ἕτερον [o] ἀνίστασθαι ἱερέα, καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι;

[n] τίθημι. [o] ἵστημι.

12 [n] Μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις [p] γίνεται.

[p] γίνομαι.

13 Ἐφ' ὃν γὰρ λέγεται ταῦτα, φυλῆς ἑτέρας [q] μετέσχηκεν, ἀφ' ἧς οὐδεὶς [q] προσέσχηκε τῷ θυσιαστηρίῳ.

[q] ἔχω.

14 Πρόδηλον γὰρ ὅτι ἐξ Ἰούδα [r] ἀνατέταλκεν ὁ Κύριος ἡμῶν, εἰς ἣν φυλὴν οὐδὲν περὶ ἱερωσύνης Μωσῆς ἐλάλησε.

[r] τέλλω.

15 Καὶ περισσότερον ἔτι κατάδηλόν [d] ἐστιν, εἰ κατὰ τὴν ὁμοιότητα Μελχισεδὲκ [o] ἀνίσταται ἱερεὺς ἕτερος,

16 Ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς [p] γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς [s] ἀκαταλύτου.

[s] λύω.

17 Μαρτυρεῖ γὰρ, Ὅτι σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

18 Ἀθέτησις μὲν γὰρ [p] γίνεται [t] προαγούσης ἐντολῆς, διὰ τὸ αὐτῆς ἀσθενὲς καὶ ἀνωφελές.

[t] ἄγω.

19 Οὐδὲν γὰρ [u] ἐτελείωσεν ὁ νόμος, [t] ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος, δι' ἧς [x] ἐγγίζομεν τῷ Θεῷ.

[u] τέλος. [x] ἐγγύς.

20 Καὶ καθ' ὅσον οὐ χωρὶς ὁρκωμοσίας,

(Οἱ μὲν γὰρ, χωρὶς [y] ὁρκωμοσίας [d] εἰσὶν

ἱερεῖς [p] γεγονότες· ὁ δὲ μετὰ [y] ὁρκωμοσίας, διὰ
τοῦ λέγοντος πρὸς αὐτὸν, [y] Ὤμοσε Κύριος, καὶ
[z] μέλει. οὐ [z] μεταμεληθήσεται, Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα
κατὰ τὴν τάξιν Μελχισεδέκ.)

22 Κατὰ τοσοῦτον κρείττονος διαθήκης [p] γέ-
γονεν ἔγγυος Ἰησοῦς.

23 Καὶ οἱ μὲν, πλείονες [d] εἰσὶ [p] γεγονότες
ἱερεῖς, διὰ τὸ θανάτῳ κωλύεσθαι παραμένειν·

24 Ὁ δὲ, διὰ τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα,
ἀπαράβατον ἔχει τὴν ἱεροσύνην.

25 Ὅθεν καὶ σώζειν εἰς τὸ παντελὲς δύναται
τοὺς προσερχομένους δι' αὐτοῦ τῷ Θεῷ, πάντοτε
[a] ζάω. [a] ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν.

[b] πρέπω. 26 Τοιοῦτος γὰρ ἡμῖν [b] ἔπρεπεν ἀρχιερεὺς,
[c] χῶρος. ὅσιος, ἄκακος, ἀμίαντος, [c] κεχωρισμένος
ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν
[d] γίνομαι. [d] γενόμενος·

27 Ὃς οὐκ ἔχει καθ' ἡμέραν ἀνάγκην, ὥσπερ
οἱ ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν
θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ· τοῦτο γὰρ
[e] φέρω. ἐποίησεν ἐφάπαξ, ἑαυτὸν [e] ἀνενέγκας.

[f] ἵστημι. 28 Ὁ νόμος γὰρ ἀνθρώπους [f] καθίστησιν ἀρ-
χιερεῖς, ἔχοντας ἀσθένειαν· ὁ λόγος δὲ τῆς ὁρ-
[g] τέλος. κωμοσίας τῆς μετὰ τὸν νόμον, υἱὸν εἰς τὸν αἰῶνα [g] τε-
τελειωμένον.

Κεφ. η΄. Cap. VIII.

Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον
[a] ἵζω. ἔχομεν ἀρχιερέα, ὃς [a] ἐκάθισεν ἐν δεξιᾷ
τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς,

2 Τῶν ἁγίων λειτουργὸς, καὶ τῆς σκηνῆς τῆς ἀ-
[h] πήγνυμι. ληθινῆς, ἣν [h] ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄν-
θρωπος.

3 Πᾶς γὰρ ἀρχιερεὺς εἰς τὸ προσφέρειν δῶ-
[c] ἵστημι. ρά τε καὶ θυσίας [c] καθίσταται· ὅθεν ἀναγκαῖον
[d] φέρω. ἔχειν τι καὶ τοῦτον ὃ [d] προσενέγκῃ.

[e] εἰμί. 4 Εἰ μὲν γὰρ [e] ἦν ἐπὶ γῆς, οὐδ' ἂν ἱερεὺς,
[e] ὄντων τῶν ἱερέων τῶν προσφερόντων κατὰ τὸν
νόμον τὰ δῶρα.

5 Οἵτινες ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι
τῶν

τῶν ἐπουρανίων, καθὼς [f] κεχρημάτισται Μωσῆς, μέλλων ἐπιτελεῖν τὴν σκηνήν. Ὅρα γάρ, φησί, ποιήσῃς πάντα κατὰ τὸν τύπον τὸν [g] δειχθέντα σοι ἐν τῷ ὄρει.

[f] χρῆμα.
[g] δεικνύω.

6 Νυνὶ δὲ [d] διαφορωτέρας [h] τέτυχε λειτουργίας, ὅσῳ καὶ κρείττονός [c] ἐστιν διαθήκης μεσίτης, ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις [i] νενομοθέτηται.

[h] τεύχω.
[i] τίθημι.

7 Εἰ γὰρ ἡ πρώτη ἐκείνη [c] ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας [k] ἐζητεῖτο τόπος.

[k] ζητέω.

8 Μεμφόμενος γὰρ αὐτοῖς λέγει, Ἰδού, ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ [l] συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινήν.

[l] τέλος.

9 Οὐ κατὰ τὴν διαθήκην ἣν ἐποίησα τοῖς πατράσιν αὐτῶν, ἐν ἡμέρᾳ [m] ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, [n] ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ὅτι αὐτοὶ οὐκ [o] ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, [p] κἀγὼ [q] ἠμέλησα αὐτῶν, λέγει Κύριος.

[m] λαμβάνω.
[n] ἄγω.
[o] μένω.
[p] καὶ ἐγώ.
[q] μέλει.

10 Ὅτι αὕτη ἡ διαθήκη ἣν [i] διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας (λέγει Κύριος) [r] διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω αὐτούς· καὶ [c] ἔσομαι αὐτοῖς εἰς Θεόν, καὶ αὐτοὶ [c] ἔσονταί μοι εἰς λαόν.

[r] δίδωμι.

11 Καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πλησίον αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων, [s] Γνῶθι τὸν Κύριον· ὅτι πάντες [t] εἰδήσουσί με, ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου αὐτῶν.

[s] γινώσκω.
[t] εἴδω.

12 Ὅτι ἵλεως [c] ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ [u] μνησθῶ ἔτι.

[u] μιμνήσκομαι.

13 Ἐν τῷ λέγειν καινήν, [x] πεπαλαίωκε τὴν πρώτην· τὸ δὲ [x] παλαιούμενον καὶ γηράσκον, ἐγγὺς ἀφανισμοῦ.

[x] πάλαι.

Κεφ. θ'. Cap. IX.

[a] Εἶχε μὲν οὖν καὶ ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας, τό, τε ἅγιον κοσμικόν.

[a] ἔχω.

2 Σκηνὴ γὰρ [b] κατεσκευάσθη ἡ πρώτη ἐν ᾗ ἥ τε λυχνία καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων· ἥτις λέγεται ἅγια.

[b] σκεῦος.

3 Μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ ἡ λεγομένη ἅγια ἁγίων·

4 Χρυσοῦν ἔχουσα θυμιατήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης [c] περικεκαλυμμένην πάντοθεν χρυσίῳ· ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης.

[c] καλύπτω.

5 Ὑπεράνω δὲ αὐτῆς Χερουβὶμ δόξης κατασκιάζοντα τὸ ἱλαστήριον· περὶ ὧν οὐκ [d] ἔστι νῦν λέγειν κατὰ μέρος.

[d] εἰμί.

6 Τούτων δὲ οὕτω [b] κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην σκηνὴν διαπαντὸς [e] εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας [f] ἐπιτελοῦντες·

[e] εἶμι.
[f] τέλος.

7 Εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεὺς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ [g] ἀγνοημάτων.

[g] νόος.

8 Τοῦτο δηλοῦντος τοῦ πνεύματος τοῦ ἁγίου, μήπω [h] πεφανερῶσθαι τὴν τῶν ἁγίων ὁδὸν, ἔτι τῆς πρώτης σκηνῆς ἐχούσης στάσιν.

[h] φαίνω.

9 Ἥτις παραβολὴ εἰς τὸν καιρὸν τὸν [i] ἐνεστηκότα, καθ' ὃν δῶρά τε καὶ θυσίαι προσφέρονται, μὴ δυνάμεναι κατὰ συνείδησιν [f] τελειῶσαι τὸν λατρεύοντα,

[i] ἵστημι.

10 Μόνον ἐπὶ βρώμασι καὶ πόμασι, καὶ διαφόροις βαπτισμοῖς, καὶ δικαιώμασι σαρκὸς, μέχρι καιροῦ [k] διορθώσεως ἐπικείμενα·

[k] ὀρθός.

11 Χριστὸς δὲ [l] παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ χειροποιήτου, τουτέστιν, οὐ ταύτης τῆς κτίσεως,

[l] γίνομαι.

12 Οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος [m] εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια, αἰωνίαν λύτρωσιν [n] εὑράμενος.

[m] ἔρχομαι.
[n] εὑρίσκω.

13 Εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων, καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς [o] κεκοινωμένους, ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα,

[o] κοινός.

14 Πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ πνεύματος αἰωνίου ἑαυτὸν [p] προσήνεγκεν ἄμωμον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων, εἰς τὸ λατρεύειν Θεῷ [q] ζῶντι;

[p] φέρω.
[q] ζάω.

15 Καὶ διὰ τοῦτο διαθήκης καινῆς μεσίτης [d] ἐστὶν, ὅπως θανάτου [l] γενομένου, εἰς ἀπολύτρωσιν τῶν ἐπὶ τῇ πρώτῃ διαθήκῃ παραβάσεων, τὴν ἐπαγγελίαν [r] λάβωσιν οἱ [ſ] κεκλημένοι τῆς αἰωνίου κληρονομίας.

[r] λαμβάνω.
[ſ] καλέω.

16 Ὅπου γὰρ διαθήκη, θάνατον ἀνάγκη φέρεσθαι τοῦ [t] διαθεμένου.

[t] τίθημι.

17 Διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία· ἐπεὶ μήποτε ἰσχύει ὅτε [u] ζῇ ὁ [t] διαθέμενος.

[u] ζάω.

18 Ὅθεν οὐδ᾽ ἡ πρώτη χωρὶς αἵματος [x] ἐγκεκαίνισται.

[x] καινός.

19 [y] Λαληθείσης γὰρ πάσης ἐντολῆς κατὰ νόμον ὑπὸ Μωϋσέως παντὶ τῷ λαῷ, [r] λαβὼν τὸ αἷμα τῶν μόσχων καὶ τράγων, μετὰ ὕδατος καὶ ἐρίου κοκκίνου καὶ ὑσσώπου, αὐτό τε τὸ βιβλίον καὶ πάντα τὸν λαὸν [z] ἐρράντισε·

[y] λαλέω.
[z] ῥαίνω.

20 Λέγων, Τοῦτο τὸ αἷμα τῆς διαθήκης ἧς [f] ἐνετείλατο πρὸς ὑμᾶς ὁ Θεός.

21 Καὶ τὴν σκηνὴν δὲ καὶ πάντα τὰ σκεύη τῆς λειτουργίας τῷ αἵματι ὁμοίως [z] ἐρράντισε.

22 Καὶ σχεδὸν ἐν αἵματι πάντα καθαρίζεται κατὰ τὸν νόμον, καὶ χωρὶς [a] αἱματεκχυσίας οὐ γίνεται ἄφεσις.

[a] χέω.

23 Ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς, τούτοις καθαρίζεσθαι· αὐτὰ δὲ τὰ ἐπουράνια κρείττοσι θυσίαις παρὰ ταύτας.

24 Οὐ γὰρ εἰς χειροποίητα ἅγια [b] εἰσῆλθεν ὁ Χριστὸς, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ᾽ εἰς αὐτὸν τὸν οὐρανὸν, νῦν [c] ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν.

[b] ἔρχομαι.
[c] φαίνω.

25 Οὐδ᾽ ἵνα πολλάκις προσφέρῃ ἑαυτὸν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ ἅγια κατ᾽ ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ·

26 (Ἐπεὶ ἔδει αὐτὸν πολλάκις [d] παθεῖν

[d] πάσχω.

ἀπὸ καταβολῆς κόσμου) νυνὶ δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων, εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ [c] πεφανέρωται.

27 Καὶ καθ᾽ ὅσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ [e] ἀποθανεῖν, μετὰ δὲ τοῦτο κρίσις·

[e] θνήσκω.

28 Οὕτω καὶ ὁ Χριστὸς ἅπαξ [f] προσενεχθεὶς εἰς τὸ πολλῶν [f] ἀπενεγκεῖν ἁμαρτίας, ἐκ δευτέρου χωρὶς ἁμαρτίας [g] ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν.

[f] φέρω.
[g] ὄπτομαι.

Κεφ. ι. Cap. X.

Σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων, κατ᾽ ἐνιαυτὸν ταῖς αὐταῖς θυσίαις ἃς προσφέρουσιν εἰς τὸ [a] διηνεκὲς, οὐδέποτε δύναται τοὺς προσερχομένους [b] τελειῶσαι.

[a] ἠνεκής.
[b] τέλος.

2 Ἐπεὶ κἂν [c] ἐπαύσαντο προσφερόμεναι, διὰ τὸ μηδεμίαν ἔχειν ἔτι συνείδησιν ἁμαρτιῶν τοὺς λατρεύοντας, ἅπαξ [d] κεκαθαρμένους·

[c] παύω.
[d] καθαίρω.

3 Ἀλλ᾽ ἐν αὐταῖς ἀνάμνησις ἁμαρτιῶν κατ᾽ ἐνιαυτόν.

4 Ἀδύνατον γὰρ αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας.

5 Διὸ εἰσερχόμενος εἰς τὸν κόσμον, λέγει, Θυσίαν καὶ προσφορὰν οὐκ [e] ἠθέλησας, σῶμα δὲ [f] κατηρτίσω μοι.

[e] θέλω.
[f] ἀρτίζω.

6 [g] Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ [h] εὐδόκησας.

[g] καίω.
[h] δοκέω.

7 Τότε εἶπον, Ἰδοὺ ἥκω (ἐν κεφαλίδι βιβλίου [i] γέγραπται περὶ ἐμοῦ) τοῦ ποιῆσαι, ὁ Θεὸς, τὸ θέλημά σου.

[i] γράφω.

8 Ἀνώτερον λέγων, Ὅτι θυσίαν καὶ προσφορὰν καὶ [g] ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ [e] ἠθέλησας, οὐδὲ εὐδόκησας (αἵτινες κατὰ τὸν νόμον προσφέρονται)

9 Τότε [i] εἴρηκεν, Ἰδοὺ ἥκω τοῦ ποιῆσαι, ὁ Θεὸς, τὸ θέλημά σου· Ἀναιρεῖ τὸ πρῶτον, ἵνα τὸ δεύτερον [k] στήσῃ.

[k] ἵστημι.

10 Ἐν ᾧ θελήματι [l] ἡγιασμένοι [m] ἐσμὲν διὰ τῆς προσφορᾶς τοῦ σώματος τοῦ Ἰησοῦ Χριστοῦ ἐφάπαξ.

[l] ἅγιος.
[m] εἰμί.

11 Καὶ πᾶς μὲν ἱερεὺς [k] ἕστηκε καθ' ἡμέραν
λειτουργῶν, καὶ τὰς αὐτὰς πολλάκις προσφέρων
θυσίας, αἵτινες οὐδέποτε δύνανται [n] περιελεῖν [n] αἱρέω.
ἁμαρτίας.

12 Αὐτὸς δὲ μίαν ὑπὲρ ἁμαρτιῶν [o] προσε- [o] φέρω.
νέγκας θυσίαν εἰς τὸ διηνεκὲς [p] ἐκάθισεν ἐν [p] ἕζω.
δεξιᾷ τοῦ Θεοῦ·

13 Τὸ λοιπὸν ἐκδεχόμενος ἕως [q] τεθῶσιν [q] τίθημι.
οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ.

14 Μιᾷ γὰρ προσφορᾷ [b] τετελείωκεν εἰς τὸ
[a] διηνεκὲς τοὺς [l] ἁγιαζομένους.

15 Μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ πνεῦμα τὸ ἅγιον· * ῥέω.
μετὰ γὰρ τὸ * προειρηκέναι,

16 Αὕτη ἡ διαθήκη ἣν [q] διαθήσομαι πρὸς
αὐτοὺς μετὰ τὰς ἡμέρας ἐκείνας (λέγει Κύριος)
[r] διδοὺς νόμους μου ἐπὶ καρδίας αὐτῶν, καὶ ἐπὶ τῶν [r] δίδωμι.
διανοιῶν αὐτῶν ἐπιγράψω αὐτούς·

17 Καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν [s] μιμνήσκο-
αὐτῶν οὐ μὴ [s] μνησθῶ ἔτι. μαι.

18 Ὅπου δὲ ἄφεσις τούτων, οὐκέτι προσφορὰ
περὶ ἁμαρτίας.

19 Ἔχοντες οὖν, ἀδελφοί, παῤῥησίαν εἰς τὴν
εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι Ἰησοῦ,

20 Ἣν [t] ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον [t] καινός.
καὶ [u] ζῶσαν, διὰ καταπετάσματος, τουτέστι τῆς [u] ζάω.
σαρκὸς αὐτοῦ·

21 Καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ.

22 [x] Προσερχώμεθα μετὰ ἀληθινῆς καρδίας [x] ἔρχομαι.
ἐν πληροφορίᾳ πίστεως, [y] ἐῤῥαντισμένοι τὰς [y] ῥαίνω.
καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς·

23 Καὶ [z] λελουμένοι τὸ σῶμα ὕδατι καθα- [z] λούω.
ρῷ, κατέχωμεν τὴν ὁμολογίαν τῆς ἐλπίδος ἀκλι-
νῆ (πιστὸς γὰρ ὁ [a] ἐπαγγειλάμενος) [a] ἀγγέλλω.

24 Καὶ [b] κατανοῶμεν ἀλλήλους εἰς παροξυ- [b] νοέω.
σμὸν ἀγάπης καὶ καλῶν ἔργων.

25 Μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν
ἑαυτῶν, καθὼς ἔθος τισίν, ἀλλὰ παρακαλοῦν-
τες· καὶ τοσούτῳ μᾶλλον ὅσῳ βλέπετε [c] ἐγγί- [c] ἐγγύς.
ζουσαν τὴν ἡμέραν.

26 Ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ [d] λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας, οὐκ ἔτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία·

[d] λαμβάνω.

27 Φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως, καὶ πυρὸς ζῆλος ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους.

28 [e] Ἀθετήσας τις νόμον Μωσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει·

[e] τίθημι.

29 Πόσῳ (δοκεῖτε) χείρονος [f] ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ Θεοῦ [g] καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν [h] ἡγησάμενος, ἐν ᾧ [i] ἡγιάσθη, καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας;

[f] ἄξιος.
[g] πατέω.
[h] ἡγέομαι.
[i] ἅγιος.

30 [k] Οἴδαμεν γὰρ τὸν εἰπόντα, Ἐμοὶ ἐκδίκησις, ἐγὼ [l] ἀνταποδώσω, λέγει Κύριος· Καὶ πάλιν Κύριος κρινεῖ τὸν λαὸν αὐτοῦ.

[k] εἴδω.
[l] δίδωμι.

31 Φοβερὸν τὸ [m] ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ [n] ζῶντος.

[m] πίπτω.
[n] ζάω.

32 [o] Ἀναμιμνήσκεσθε δὲ τὰς πρότερον ἡμέρας, ἐν αἷς [p] φωτισθέντες, πολλὴν ἄθλησιν [q] ὑπεμείνατε παθημάτων,

[o] μιμνήσκομαι.
[p] φῶς.
[q] μένω.

33 Τοῦτο μὲν, ὀνειδισμοῖς τε καὶ θλίψεσι θεατριζόμενοι, τοῦτο δὲ κοινωνοὶ τῶν οὕτως [r] ἀναστρεφομένων [s] γενηθέντες.

[r] στρέφω.
[s] γίνομαι.

34 Καὶ γὰρ τοῖς δεσμοῖς μου [t] συνεπαθήσατε, καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς [u] προσεδέξασθε· γινώσκοντες ἔχειν ἐν ἑαυτοῖς κρείττονα ὕπαρξιν ἐν οὐρανοῖς καὶ [x] μένουσαν.

[t] πάσχω.
[u] δέχομαι.
[x] μένω.

35 Μὴ [y] ἀποβάλητε οὖν τὴν παῤῥησίαν ὑμῶν, ἥτις ἔχει μισθαποδοσίαν μεγάλην.

[y] βάλλω.

36 Ὑπομονῆς γὰρ ἔχετε χρείαν· ἵνα τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες, [z] κομίσησθε τὴν ἐπαγγελίαν.

[z] κομέω.

37 Ἔτι γὰρ μικρὸν ὅσον ὅσον ὁ ἐρχόμενος [a] ἥξει καὶ οὐ χρονιεῖ.

[a] ἥκω.

38 Ὁ δὲ δίκαιος ἐκ πίστεως [b] ζήσεται· καὶ ἐὰν [c] ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ.

[b] ζάω.
[c] στέλλω.

39 Ἡμεῖς δὲ οὐκ [d] ἐσμὲν ὑποστολῆς εἰς ἀπώλειαν, ἀλλὰ πίστεως εἰς περιποίησιν ψυχῆς.

Κεφ. ιά. Cap. XI.

Ἔστι δὲ πίστις, ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων.

2 Ἐν ταύτῃ γὰρ [a] ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι.

3 Πίστει νοοῦμεν [b] κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι Θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων τὰ βλεπόμενα [c] γεγονέναι.

4 Πίστει πλείονα θυσίαν Ἄβελ παρὰ Κάϊν [d] προσήνεγκε τῷ Θεῷ, δι᾽ ἧς [a] ἐμαρτυρήθη [f] εἶναι δίκαιος, μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ τοῦ Θεοῦ· καὶ δι᾽ αὐτῆς [g] ἀποθανὼν, ἔτι [h] λαλεῖται.

5 Πίστει Ἐνὼχ [i] μετετέθη, τοῦ μὴ [k] ἰδεῖν θάνατον· καὶ οὐχ εὑρίσκετο, διότι [i] μετέθηκεν αὐτὸν ὁ Θεός· πρὸ γὰρ τῆς μεταθέσεως αὐτοῦ [a] μεμαρτύρηται [l] εὐηρεστηκέναι τῷ Θεῷ.

6 Χωρὶς δὲ πίστεως ἀδύνατον [l] εὐαρεστῆσαι· πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ, ὅτι ἔστι, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται.

7 Πίστει [m] χρηματισθεὶς Νῶε περὶ τῶν μηδέπω βλεπομένων, [n] εὐλαβηθεὶς κατεσκεύασε κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ· δι᾽ ἧς κατέκρινε τὸν κόσμον· καὶ τῆς κατὰ πίστιν δικαιοσύνης [c] ἐγένετο κληρονόμος.

8 Πίστει, καλούμενος Ἀβραὰμ [o] ὑπήκουσεν [p] ἐξελθεῖν εἰς τὸν τόπον ὃν ἤμελλε λαμβάνειν εἰς κληρονομίαν· καὶ [h] ἐξῆλθε, μὴ [q] ἐπιστάμενος ποῦ ἔρχεται.

9 Πίστει [r] παρῴκησεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας μετὰ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς.

10 [s] Ἐξεδέχετο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός.

11 Πίστει καὶ αὐτὴ Σάῤῥα δύναμιν εἰς καταβολὴν

ταβολὴν

[d] εἰμί.
[a] μάρτυρ.
[b] ἀρτίζω.
[c] γίνομαι.
[d] φέρω.
[f] εἰμι.
[g] θνήσκω.
[h] λαλέω.
[i] τίθημι.
[k] εἴδω.
[l] ἀρέσκω.
[m] χρῆμα.
[n] λαμβάνω.
[o] ἀκούω.
[p] ἔρχομαι.
[q] ἵστημι.
[r] οἶκος.
[s] δέχομαι.

ταβολὴν σπέρματος [n] ἔλαβε, καὶ παρὰ καιρὸν ἡλικίας [t] ἔτεκεν, ἐπεὶ πιστὸν [u] ἡγήσατο τὸν [x] ἐπαγγειλάμενον.

12 Διὸ καὶ ἀφ᾽ ἑνὸς [y] ἐγεννήθησαν, καὶ ταῦτα [z] νενεκρωμένου, καθὼς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ ὡσεὶ ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἡ ἀναρίθμητος.

13 Κατὰ πίστιν [a] ἀπέθανον οὗτοι πάντες, μὴ [b] λαβόντες τὰς ἐπαγγελίας, ἀλλὰ πόῤῥωθεν αὐτὰς [c] ἰδόντες, καὶ [d] πεισθέντες, καὶ ἀσπασάμενοι, καὶ [e] ὁμολογήσαντες ὅτι ξένοι καὶ παρεπίδημοί [f] εἰσιν ἐπὶ τῆς γῆς.

14 Οἱ γὰρ τοιαῦτα λέγοντες ἐμφανίζουσιν ὅτι πατρίδα ἐπιζητοῦσι.

15 Καὶ εἰ μὲν ἐκείνης [g] ἐμνημόνευον ἀφ᾽ ἧς [h] ἐξῆλθον, [i] εἶχον ἂν καιρὸν [k] ἀνακάμψαι·

16 Νυνὶ δὲ κρείττονος ὀρέγονται, τουτέστιν ἐπουρανίου· διὸ οὐκ [l] ἐπαισχύνεται αὐτοὺς ὁ Θεὸς, Θεὸς ἐπικαλεῖσθαι αὐτῶν· [m] ἡτοίμασε γὰρ αὐτοῖς πόλιν.

17 Πίστει [n] προσενήνοχεν Ἀβραὰμ τὸν Ἰσαὰκ πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας [o] ἀναδεξάμενος.

18 Πρὸς ὃν [p] ἐλαλήθη, Ὅτι ἐν Ἰσαὰκ [q] κληθήσεταί σοι σπέρμα.

19 Λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός· ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ [r] ἐκομίσατο.

20 Πίστει περὶ μελλόντων [c] εὐλόγησεν Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἡσαῦ.

21 Πίστει, Ἰακὼβ ἀποθνήσκων ἕκαστον τῶν υἱῶν Ἰωσὴφ [c] εὐλόγησε· καὶ [f] προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ.

22 Πίστει, [t] Ἰωσὴφ τελευτῶν περὶ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ [g] ἐμνημόνευσε, καὶ περὶ τῶν ὀστέων αὐτοῦ [t] ἐνετείλατο.

23 Πίστει, Μωσῆς [u] γεννηθεὶς [x] ἐκρύβη τρίμηνον ὑπὸ τῶν πατέρων αὐτοῦ, διότι εἶδον ἀστεῖον τὸ παιδίον· καὶ οὐκ [y] ἐφοβήθησαν τὸ διάταγμα τοῦ βασιλέως.

[t] τίκτω.
[u] ἡγέομαι.
[x] ἀγγέλλω.
[y] γεννάω.
[z] νεκύς.
[a] θνήσκω.
[b] λαμβάνω.
[c] εἴδω.
[d] πείθω.
[e] λέγω.
[f] εἰμί.
[g] μιμνήσκομαι.
[h] ἔρχομαι.
[i] ἔχω.
[k] κάμπτω.
[l] αἶσχος.
[m] ἕτοιμος.
[n] φέρω.
[o] δέχομαι.
[p] λαλέω.
[q] καλέω.
[r] κομέω.
[f] κύω.
[s] τέλος.
[x] γεννάω.
[x] κρύπτω.
[y] φοβέομαι.

24 Πίστει, Μωσῆς μέγας [z] γενόμενος [a] ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς Φαραώ.

[z] γίνομαι. [a] ἀρνέομαι.

25 Μᾶλλον [b] ἑλόμενος [c] συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν.

[b] αἱρέω. [c] ἔχω.

26 Μείζονα πλοῦτον [d] ἡγησάμενος τῶν ἐν Αἰγύπτῳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ· ἀπέβλεπε γὰρ εἰς τὴν [e] μισθαποδοσίαν.

[d] ἡγέομαι. [e] δίδωμι.

27 Πίστει [f] κατέλιπεν Αἴγυπτον, μὴ [g] φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως· τὸν γὰρ ἀόρατον ὡς ὁρῶν [h] ἐκαρτέρησε.

[f] λείπω. [g] φέβομαι. [h] κράτος.

28 Πίστει [i] πεποίηκε τὸ πάσχα καὶ τὴν πρόσχυσιν τοῦ αἵματος, ἵνα μὴ ὁ ὀλοθρεύων τὰ [k] πρωτότοκα, θίγῃ αὐτῶν.

[i] ποιέω. [k] τίκτω.

29 Πίστει [l] διέβησαν τὴν ἐρυθρὰν θάλασσαν ὡς διὰ ξηρᾶς· ἧς πεῖραν [m] λαβόντες οἱ Αἰγύπτιοι, [n] κατεπόθησαν.

[l] βαίνω. [m] λαμβάνω. [n] πίνω.

30 Πίστει τὰ τείχη Ἱεριχὼ [o] ἔπεσε, [p] κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας.

[o] πίπτω. [p] κύκλος.

31 Πίστει Ῥαὰβ ἡ πόρνη οὐ [q] συναπώλετο τοῖς [r] ἀπειθήσασι, [s] δεξαμένη τοὺς κατασκόπους μετ' εἰρήνης.

[q] ὀλλύω. [r] πείθω. [s] δέχομαι.

32 Καὶ τί ἔτι λέγω; [t] ἐπιλείψει γάρ με [d] διηγούμενον ὁ χρόνος περὶ Γεδεών, Βαράκ τε, καὶ Σαμψών, καὶ Ἰεφθάε, Δαβίδ τε καὶ Σαμουήλ, καὶ τῶν προφητῶν·

[t] λείπω.

33 Οἳ διὰ πίστεως [u] κατηγωνίσαντο βασιλείας, [x] εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, [y] ἔφραξαν στόματα λεόντων.

[u] ἄγων. [x] ἔργον. [y] φράσσω.

34 [z] Ἔσβεσαν δύναμιν πυρὸς, ἔφυγον στόματα μαχαίρας, [a] ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, [b] ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς [c] ἔκλιναν ἀλλοτρίων·

[z] σβέννυμι. [a] δύναμαι. [b] γίνομαι. [c] κλίνω.

35 [d] Ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν· ἄλλοι δὲ [e] ἐτυμπανίσθησαν, οὐ [f] προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν.

[d] λαμβάνω. [e] τύπτω. [f] δέχομαι.

36 Ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν [d] ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς·

37 [g] Ἐλιθά-

37 [g] Ἐλιθάσθησαν, [h] ἐπρίσθησαν, [i] ἐπειράσθησαν, ἐν φόνῳ μαχαίρας [k] ἀπέθανον· [l] περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν· ὑστερούμενοι, θλιβόμενοι, [m] κακουχούμενοι·

38 (Ὧν οὐκ [n] ἦν ἄξιος ὁ κόσμος) ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς.

39 Καὶ οὗτοι πάντες [o] μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ [p] ἐκομίσαντο τὴν ἐπαγγελίαν·

40 Τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι [q] προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν [r] τελειωθῶσι.

Κεφ. ιβʹ. Cap. XII.

Τοιγαροῦν καὶ ἡμεῖς τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων, ὄγκον [a] ἀποθέμενοι πάντα, καὶ τὴν [b] εὐπερίστατον ἁμαρτίαν, δι᾽ ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα·

2 [c] Ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν, ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς, [d] ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ Θεοῦ [e] ἐκάθισεν.

3 [f] Ἀναλογίσασθε γὰρ τὸν τοιαύτην [d] ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς αὐτὸν ἀντιλογίαν, ἵνα μὴ [g] κάμητε, ταῖς ψυχαῖς ὑμῶν [h] ἐκλυόμενοι.

4 Οὔπω μέχρις αἵματος [b] ἀντικατέστητε, πρὸς τὴν ἁμαρτίαν [i] ἀνταγωνιζόμενοι·

5 Καὶ [k] ἐκλέλησθε τῆς παρακλήσεως, ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται, Υἱέ μου, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ᾽ αὐτοῦ ἐλεγχόμενος.

6 Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται.

7 Εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός· (τίς γάρ [l] ἐστιν υἱὸς ὃν οὐ παιδεύει πατήρ;)

8 Εἰ δὲ χωρίς [l] ἐστε παιδείας, ἧς μέτοχοι [m] γεγόνασι πάντες, ἄρα νόθοι [l] ἐστὲ καὶ οὐχ υἱοί.

9 Εἶτα

g λίθος.
h πρίω.
i πεῖρα.
k θνήσκω.
l ἔρχομαι.
m ἔχω.
n εἰμί.
o μάρτυρ.
p κομίω.
q βλέπω.
r τέλος.
a τίθημι.
b ἵστημι.
c ὁράω.
d μένω.
e ἕζω.
f λέγω.
g κάμνω.
h λύω.
i ἀγών.
k λανθάνω.
l εἰμί.
m γίνομαι.

9 Εἶτα τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας [n] εἴχομεν παιδευτὰς, καὶ [o] ἐνετρεπόμεθα· οὐ πολλῷ μᾶλλον [p] ὑποταγησόμεθα τῷ πατρὶ τῶν πνευμάτων, καὶ [q] ζήσομεν;

10 Οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας κατὰ τὸ δοκοῦν αὐτοῖς [r] ἐπαίδευον· ὁ δὲ ἐπὶ τὸ συμφέρον, εἰς τὸ [ſ] μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ.

11 Πᾶσα δὲ παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς [l] εἶναι, ἀλλὰ λύπης· ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι᾽ αὐτῆς [t] γεγυμνασμένοις [u] ἀποδίδωσι δικαιοσύνης.

12 Διὸ τὰς [x] παρειμένας χεῖρας καὶ τὰ [h] παραλελυμένα γόνατα [y] ἀνορθώσατε·

13 Καὶ τροχιὰς ὀρθὰς ποιήσατε τοῖς ποσὶν ὑμῶν· ἵνα μὴ τὸ χωλὸν [o] ἐκτραπῇ, [z] ἰαθῇ δὲ μᾶλλον.

14 Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς [a] ὄψεται τὸν Κύριον.

15 Ἐπισκοποῦντες μή τις ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ· μή τις ῥίζα πικρίας ἄνω [b] φύουσα ἐνοχλῇ, καὶ διὰ ταύτης [c] μιανθῶσι πολλοί.

16 Μή τις πόρνος, ἢ βέβηλος, ὡς Ἠσαῦ, ὃς ἀντὶ βρώσεως μιᾶς [d] ἀπέδοτο τὰ [e] πρωτοτόκια αὐτοῦ.

17 [f] Ἴστε γὰρ ὅτι καὶ μετέπειτα θέλων [g] κληρονομῆσαι τὴν εὐλογίαν, [h] ἀπεδοκιμάσθη· μετανοίας γὰρ τόπον οὐχ [i] εὗρε, καίπερ μετὰ δακρύων [k] ἐκζητήσας αὐτήν.

18 Οὐ γὰρ [l] προσεληλύθατε [m] ψηλαφωμένῳ ὄρει, καὶ [n] κεκαυμένῳ πυρὶ, καὶ γνόφῳ, καὶ σκότῳ, καὶ θυέλλῃ,

19 Καὶ σάλπιγγος ἤχῳ, καὶ φωνῇ ῥημάτων· ἧς οἱ ἀκούσαντες [o] παρῃτήσαντο μὴ [p] προστεθῆναι αὐτοῖς λόγον.

20 (Οὐκ [*] ἔφερον γὰρ τὸ [q] διαστελλόμενον, Κἂν θηρίον θίγῃ τοῦ ὄρους, [r] λιθοβοληθήσεται, ἢ βολίδι [ſ] κατατοξευθήσεται).

21 Καὶ, οὕτω φοβερὸν [t] ἦν τὸ φανταζόμενον,

Μωσῆς

[n] ἔχω.
[o] τρέπω.
[p] τάσσω.
[q] ζάω.
[r] παῖς.
[ſ] λαμβάνω.
[t] γυμνὸς.
[u] δίδωμι.
[x] ἕω.
[y] ὀρθὸς.
[z] ἰάομαι.
[a] ὄπτομαι.
[b] φύω.
[c] μιαίνω.
[d] δίδωμι.
[e] τίκτω.
[f] ἴσημι.
[g] νέμω.
[h] δοκιμή.
[i] εὑρίσκω.
[k] ζητέω.
[l] ἔρχομαι.
[m] ἅπτω.
[n] καίω.
[o] αἰτέω.
[p] τίθημι.
[*] φέρω.
[q] στέλλω.
[r] βάλλω.
[ſ] τόξον.
[t] εἰμί.

Μωσῆς εἶπεν, Ἔκφοβός εἰμι καὶ ἔντρομος.)
[u] ἔρχομαι. 22 Ἀλλὰ [u] προσεληλύθατε Σιὼν ὄρει, καὶ
[x] ζάω. πόλει Θεοῦ [x] ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ
μυριάσιν ἀγγέλων,

23 Πανηγύρει καὶ ἐκκλησίᾳ πρωτοτόκων ἐν
[y] γράφω. οὐρανοῖς [y] ἀπογεγραμμένων, καὶ κριτῇ Θεῷ πάντων,
[z] τέλος. καὶ πνεύμασι δικαίων [z] τετελειωμένων,

24 Καὶ διαθήκης νέας μεσίτῃ Ἰησοῦ, καὶ αἵματι
ῥαντισμοῦ, κρείττονα λαλοῦντι παρὰ τὸν Ἄβελ.

[a] αἰτέω. 25 Βλέπετε μὴ [a] παραιτήσησθε τὸν λαλοῦντα·
[b] φεύγω. εἰ γὰρ ἐκεῖνοι οὐκ [b] ἔφυγον, τὸν ἐπὶ τῆς γῆς [a] παραιτησάμενοι
χρηματίζοντα, πολλῷ μᾶλλον ἡμεῖς
[c] στρέφω. οἱ τὸν ἀπ' οὐρανῶν [c] ἀποστρεφόμενοι.

[d] σάλος. 26 Οὗ ἡ φωνὴ τὴν γῆν [d] ἐσάλευσε τότε· νῦν
δὲ ἐπήγγελται, λέγων, Ἔτι ἅπαξ ἐγὼ σείω οὐ
μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν.

27 Τὸ δὲ, Ἔτι ἅπαξ, δηλοῖ τῶν [d] σαλευομένων
[e] ποιέω. τὴν μετάθεσιν, ὡς [e] πεποιημένων, ἵνα
μείνῃ τὰ μὴ σαλευόμενα.

28 Διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες,
ἔχωμεν χάριν, δι' ἧς λατρεύωμεν εὐαρέστως
τῷ Θεῷ, μετὰ αἰδοῦς καὶ εὐλαβείας.

29 Καὶ γὰρ ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον.

Κεφ. ιγ'. Cap. XIII.

[a] μένω. Ἡ φιλαδελφία [a] μενέτω.
2 Τῆς φιλοξενίας μὴ [b] ἐπιλανθάνεσθε,
[b] λανθάνω. διὰ ταύτης γὰρ [b] ἔλαθόν τινες, [c] ξενίσαντες
[c] ξένος. ἀγγέλους.

[d] δέω. 3 Μιμνήσκεσθε τῶν δεσμίων, ὡς [d] συνδεδεμένοι
[e] ἔχω. τῶν [e] κακουχουμένων, ὡς καὶ αὐτοὶ ὄντες
ἐν σώματι.

4 Τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος·
πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός.

[f] εἰμί. 5 Ἀφιλάργυρος ὁ τρόπος· ἀρκούμενοι τοῖς
[g] εἴρω. [f] παροῦσιν· αὐτὸς γὰρ [g] εἴρηκεν, Οὐ μή σε [h] ἀνῶ,
[h] ἔω. οὐδ' οὐ μή σε [i] ἐγκαταλίπω.

[i] λείπω. 6 Ὥστε [k] θαῤῥοῦντας ἡμᾶς λέγειν, Κύριος
[k] θάρσος. ἐμοὶ βοηθὸς, καὶ οὐ [l] φοβηθήσομαι τί ποιήσει μοι
[l] φέβομαι. ἄνθρωπος.

7 [m] Μνημονεύετε τῶν [n] ἡγουμένων ὑμῶν, οἵτινες [o] ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ· ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, [p] μιμεῖσθε τὴν πίστιν.

8 Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας.

9 Διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ περιφέρεσθε· καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ [q] ὠφελήθησαν οἱ περιπατήσαντες.

10 Ἔχομεν θυσιαστήριον, ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες·

11 Ὧν γὰρ εἰσφέρεται ζώων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς.

12 Διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαὸν, ἔξω τῆς πύλης [r] ἔπαθε.

13 Τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες.

14 Οὐ γὰρ ἔχομεν ὧδε [s] μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν.

15 Δι' αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν αἰνέσεως διὰ παντὸς τῷ Θεῷ, τουτέστι καρπὸν χειλέων [t] ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ.

16 Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε· τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός.

17 Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ [u] ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον [x] ἀποδώσοντες· ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στενάζοντες· ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο.

18 Προσεύχεσθε περὶ ἡμῶν· [y] πεποίθαμεν γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν, ἐν πᾶσι καλῶς θέλοντες [z] ἀναστρέφεσθαι.

19 Περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον [a] ἀποκατασταθῶ ὑμῖν.

20 Ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ [b] ἀναγαγὼν ἐκ

νεκρῶν

[m] μιμνήσκομαι.

[n] ἡγέομαι.

[o] λαλέω.

[p] μιμέομαι.

[q] ὠφελέω.

[r] πάσχω.

[s] μένω.

[t] λέγω.

[u] εἴκω.

[x] δίδωμι.

[y] πείθω.

[z] στρέφω.

[a] ἵστημι.

[b] ἄγω.

νεκρῶν τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν ἐν αἵματι διαθήκης αἰωνίου, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν,

21 Καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ, εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ· ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ, διὰ Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

22 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, ἀνέχεσθε τοῦ λόγου τῆς παρακλήσεως· καὶ γὰρ διὰ βραχέων [c] ἐπέστειλα ὑμῖν.

23 Γινώσκετε τὸν ἀδελφὸν Τιμόθεον [d] ἀπολελυμένον, μεθ᾽ οὗ (ἐὰν τάχιον ἔρχηται) ὄψομαι ὑμᾶς.

24 Ἀσπάσασθε πάντας τοὺς ἡγουμένους ὑμῶν καὶ πάντας τοὺς ἁγίους. Ἀσπάζονται ὑμᾶς οἱ ἀπὸ τῆς Ἰταλίας.

25 Ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν.

Πρὸς Ἑβραίους [e] ἐγράφη ἀπὸ τῆς Ἰταλίας διὰ Τιμοθέου.

[c] στέλλω.
[d] λύω.
[e] γράφω.

ΙΑΚΩΒΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ.

Κεφάλαιον α. Caput I.

Ἰάκωβος, Θεοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ δοῦλος, ταῖς δώδεκα φυλαῖς ταῖς ἐν τῇ [a] διασπορᾷ, χαίρειν.

2 Πᾶσαν χαρὰν [b] ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς [c] περιπέσητε ποικίλοις.

3 Γνώσκοντες ὅτι τὸ δοκίμιον ὑμῶν τῆς πίστεως κατεργάζεται ὑπομονήν.

[a] σπείρω.
[b] ἡγέομαι.
[c] πίπτω.

4 Ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω, ἵνα [d] ἦτε τέλειοι καὶ ὁλόκληροι, ἐν μηδενὶ λειπόμενοι.
[d] εἰμί.

5 Εἰ δέ τις ὑμῶν λείπεται σοφίας, αἰτείτω παρὰ τοῦ [c] διδόντος Θεοῦ πᾶσιν ἁπλῶς, καὶ μὴ ὀνειδίζοντος· καὶ [c] δοθήσεται αὐτῷ.
[c] δίδωμι.

6 [f] Αἰτείτω δὲ ἐν πίστει, μηδὲν διακρινόμενος· ὁ γὰρ διακρινόμενος [g] ἔοικε κλύδωνι θαλάσσης [h] ἀνεμιζομένῳ καὶ [i] ῥιπιζομένῳ.
[f] αἰτέω. [g] εἴκω. [h] ἄνεμος.

7 Μὴ γὰρ [k] οἰέσθω ὁ ἄνθρωπος ἐκεῖνος ὅτι [l] λήψεταί τι παρὰ τοῦ Κυρίου.
[i] ῥίπτω. [k] οἴομαι.

8 Ἀνὴρ δίψυχος, [m] ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ.
[l] λαμβάνω. [m] ἵστημι.

9 [n] Καυχάσθω δὲ ὁ ἀδελφὸς ὁ ταπεινὸς ἐν τῷ ὕψει αὐτοῦ.
[n] καυχάομαι

10 Ὁ δὲ πλούσιος, ἐν τῇ ταπεινώσει αὐτοῦ· ὅτι ὡς ἄνθος χόρτου [o] παρελεύσεται.
[o] ἔρχομαι.

11 [p] Ἀνέτειλε γὰρ ὁ ἥλιος σὺν τῷ καύσωνι, καὶ [q] ἐξήρανε τὸν χόρτον, καὶ τὸ ἄνθος αὐτοῦ [r] ἐξέπεσε, καὶ ἡ εὐπρέπεια τοῦ προσώπου αὐτοῦ [s] ἀπώλετο· οὕτω καὶ ὁ πλούσιος ἐν ταῖς πορείαις αὐτοῦ [t] μαρανθήσεται.
[p] τέλλω. [q] ξηρός. [r] πίπτω. [s] ὀλλύω. [t] μαραίνω.

12 Μακάριος ἀνὴρ ὃς ὑπομένει πειρασμόν· ὅτι δόκιμος [u] γενόμενος [l] λήψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο ὁ Κύριος τοῖς ἀγαπῶσιν αὐτόν.
[u] γίνομαι.

13 Μηδεὶς πειραζόμενος λεγέτω, Ὅτι ἀπὸ τοῦ Θεοῦ πειράζομαι· ὁ γὰρ Θεὸς [x] ἀπειραστός [d] ἐστιν κακῶν, πειράζει δὲ αὐτὸς οὐδένα.
[x] πεῖρα.

14 Ἕκαστος δὲ πειράζεται, ὑπὸ τῆς ἰδίας ἐπιθυμίας [y] ἐξελκόμενος καὶ [z] δελεαζόμενος.
[y] ἕλκω. [z] δέλεαρ.

15 Εἶτα ἡ ἐπιθυμία [l] συλλαβοῦσα τίκτει ἁμαρτίαν· ἡ δὲ ἁμαρτία [a] ἀποτελεσθεῖσα ἀποκύει θάνατον.
[a] τέλος.

16 Μὴ πλανᾶσθε ἀδελφοί μου ἀγαπητοί.

17 Πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον ἄνωθέν [b] ἐστι, καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων, παρ' ᾧ οὐκ [b] ἔνι παραλλαγὴ, ἢ τροπῆς ἀποσκίασμα.
[b] εἰμί.

[c] βούλω. [d] κύω.

18 [c] Βουληθεὶς [d] ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας, εἰς τὸ [b] εἶναι ἡμᾶς ἀπαρχήν τινα τῶν αὐτοῦ κτισμάτων.

[c] λαλέω.

19 Ὥστε, ἀδελφοί μου ἀγαπητοί, [b] ἔστω πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι, βραδὺς εἰς τὸ [c] λαλῆσαι, βραδὺς εἰς ὀργήν.

20 Ὀργὴ γὰρ ἀνδρὸς, δικαιοσύνην Θεοῦ οὐ κατεργάζεται.

[f] τίθημι. [g] δέχομαι. [h] σόος.

21 Διὸ [f] ἀποθέμενοι πᾶσαν ῥυπαρίαν καὶ περισσείαν κακίας, ἐν πραΰτητι [g] δέξασθε τὸν ἔμφυτον λόγον, τὸν δυνάμενον [h] σῶσαι τὰς ψυχὰς ὑμῶν.

[i] γίνομαι. [k] λέγω. [l] εἴκω.

22 [i] Γίνεσθε δὲ ποιηταὶ λόγου, καὶ μὴ μόνον ἀκροαταὶ, [k] παραλογιζόμενοι ἑαυτούς.

23 Ὅτι εἴ τις ἀκροατὴς λόγου [b] ἐστὶ, καὶ οὐ ποιητὴς, οὗτος [l] ἔοικεν ἀνδρὶ κατανοοῦντι τὸ πρόσωπον τῆς γενέσεως αὐτοῦ ἐν ἐσόπτρῳ.

[m] νοέω. [n] ἔρχομαι. [o] λανθάνω.

24 [m] Κατενόησε γὰρ ἑαυτὸν, καὶ [n] ἀπελήλυθε· καὶ εὐθέως [o] ἐπελάθετο ὁποῖος ἦν.

[p] κύπτω. [q] μένω. [r] γίνομαι.

25 Ὁ δὲ [p] παρακύψας εἰς νόμον τέλειον τὸν τῆς ἐλευθερίας, καὶ [q] παραμείνας, οὗτος οὐκ ἀκροατὴς ἐπιλησμονῆς [r] γενόμενος, ἀλλὰ ποιητὴς ἔργου, οὗτος μακάριος ἐν τῇ ποιήσει αὐτοῦ [b] ἔσται.

[s] ἄγω.

26 Εἴ τις δοκεῖ θρῆσκος [b] εἶναι ἐν ὑμῖν, μὴ [s] χαλιναγωγῶν γλῶσσαν αὐτοῦ, ἀλλ' ἀπατῶν καρδίαν αὐτοῦ, τούτου μάταιος ἡ θρησκεία.

27 Θρησκεία καθαρὰ καὶ ἀμίαντος παρὰ τῷ Θεῷ καὶ πατρὶ, αὕτη [b] ἐστὶν, ἐπισκέπτεσθαι ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν, ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου.

Κεφ. β'. Cap. II.

Ἀδελφοί μου, μὴ ἐν προσωποληψίαις ἔχετε τὴν πίστιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς δόξης.

[a] ἔρχομαι.

2 Ἐὰν γὰρ [a] εἰσέλθῃ εἰς τὴν συναγωγὴν ὑμῶν ἀνὴρ χρυσοδακτύλιος ἐν ἐσθῆτι λαμπρᾷ, [a] εἰσέλθῃ δὲ καὶ πτωχὸς ἐν ῥυπαρᾷ ἐσθῆτι,

3 Καὶ ἐπιβλέψητε ἐπὶ τὸν φοροῦντα τὴν ἐσθῆτα

τὴν λαμπρὰν, καὶ εἴπητε αὐτῷ, Σὺ κάθου ὧδε καλῶς· καὶ τῷ πτωχῷ εἴπητε, Σὺ [b] στῆθι ἐκεῖ, ἢ [c] κάθου ὧδε ὑπὸ τὸ ὑποπόδιόν μου.

4 Καὶ οὐ [d] διεκρίθητε ἐν ἑαυτοῖς, καὶ [e] ἐγένεσθε κριταὶ διαλογισμῶν πονηρῶν;

5 Ἀκούσατε ἀδελφοί μου ἀγαπητοὶ, οὐχ ὁ Θεὸς [f] ἐξελέξατο τοὺς πτωχοὺς τοῦ κόσμου τούτου, πλουσίους ἐν πίστει, καὶ κληρονόμους τῆς βασιλείας ἧς [g] ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτόν;

6 Ὑμεῖς δὲ [h] ἠτιμάσατε τὸν πτωχόν· οὐχ οἱ πλούσιοι [i] καταδυναστεύουσιν ὑμῶν, καὶ αὐτοὶ ἕλκουσιν ὑμᾶς εἰς κριτήρια;

7 Οὐκ αὐτοὶ βλασφημοῦσι τὸ καλὸν ὄνομα τὸ [k] ἐπικληθὲν ἐφ' ὑμᾶς;

8 Εἰ μέντοι νόμον τελεῖτε βασιλικὸν κατὰ τὴν γραφὴν, Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτὸν, καλῶς ποιεῖτε·

9 Εἰ δὲ [l] προσωποληπτεῖτε, ἁμαρτίαν ἐργάζεσθε, ἐλεγχόμενοι ὑπὸ τοῦ νόμου ὡς παραβάται.

10 Ὅστις γὰρ ὅλον τὸν νόμον τηρήσει, πταίσει δὲ ἐν ἑνὶ, [e] γέγονε πάντων ἔνοχος.

11 Ὁ γὰρ εἰπὼν, Μὴ μοιχεύσῃς, εἶπε καὶ, Μὴ φονεύσῃς· εἰ δὲ οὐ μοιχεύσεις, φονεύσεις δὲ, γέγονας παραβάτης νόμου.

12 Οὕτω λαλεῖτε καὶ οὕτω ποιεῖτε ὡς διὰ νόμου ἐλευθερίας μέλλοντες κρίνεσθαι.

13 Ἡ γὰρ κρίσις ἀνίλεως τῷ μὴ ποιήσαντι ἔλεος, καὶ κατακαυχᾶται ἔλεος κρίσεως.

14 Τί τὸ ὄφελος, ἀδελφοί μου, ἐὰν πίστιν λέγῃ τις ἔχειν, ἔργα δὲ μὴ ἔχῃ; μὴ δύναται ἡ πίστις [m] σῶσαι αὐτόν;

15 Ἐὰν δὲ ἀδελφὸς ἢ ἀδελφὴ γυμνοὶ ὑπάρχωσι, καὶ λειπόμενοι [n] ὦσι τῆς ἐφημέρου τροφῆς·

16 Εἴπῃ δέ τις αὐτοῖς ἐξ ὑμῶν, Ὑπάγετε ἐν εἰρήνῃ, θερμαίνεσθε καὶ χορτάζεσθε· μὴ [o] δῶτε δὲ αὐτοῖς τὰ ἐπιτήδεια τοῦ σώματος, τί τὸ ὄφελος;

17 Οὕτω καὶ ἡ πίστις, ἐὰν μὴ ἔργα ἔχῃ, νεκρά ἐστι καθ' ἑαυτήν.

18 Ἀλλ'

[b] ἵστημι.
[c] ἧμαι.
[d] κρίνω.
[e] γίνομαι.
[f] λέγω.
[g] ἀγγέλλω.
[h] τίω.
[i] δύναμαι.
[k] καλέω.
[l] λαμβάνω.
[m] σόος.
[n] εἰμί.
[o] δίδωμι.

p εἴρω. 18 Ἀλλ' [p] ἐρεῖ τις, Σὺ πίστιν ἔχεις, κἀγὼ
q δεικνύω. ἔργα ἔχω· [q] δεῖξόν μοι τὴν πίστιν σου ἐκ τῶν ἔργων
σου, κἀγὼ [q] δείξω σοι ἐκ τῶν ἔργων μου τὴν πίστιν μου.

19 Σὺ πιστεύεις ὅτι ὁ Θεὸς εἷς [n] ἐστί· καλῶς
ποιεῖς· καὶ τὰ δαιμόνια πιστεύουσι, καὶ φρίσσουσι.

r γινώσκω. 20 Θέλεις δὲ [r] γνῶναι, ὦ ἄνθρωπε κενὲ, ὅτι
ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά [n] ἐστιν;

21 Ἀβραὰμ ὁ πατὴρ ἡμῶν οὐκ ἐξ ἔργων
s δίκη. [s] ἐδικαιώθη, [t] ἀνενέγκας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ
t φέρω. ἐπὶ τὸ θυσιαστήριον;

u ἔργον. 22 Βλέπεις ὅτι ἡ πίστις [u] συνήργει τοῖς ἔργοις
x τέλος. αὐτοῦ, καὶ ἐκ τῶν ἔργων ἡ πίστις [x] ἐτελειώθη;

y πλέος. 23 Καὶ [y] ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα,
z πίστις. [z] Ἐπίστευσε δὲ Ἀβραὰμ τῷ Θεῷ, καὶ [a] ἐλογίσθη
a λέγω. αὐτῷ εἰς δικαιοσύνην, καὶ φίλος Θεοῦ [b] ἐκλήθη.
b καλέω.

c ὁράω. 24 [c] Ὁρᾶτε τοίνυν ὅτι ἐξ ἔργων δικαιοῦται
ἄνθρωπος, καὶ οὐκ ἐκ πίστεως μόνον;

25 Ὁμοίως δὲ καὶ Ῥαὰβ ἡ πόρνη οὐκ ἐξ ἔργων
d δίκη. [d] ἐδικαιώθη, [e] ὑποδεξαμένη τοὺς ἀγγέλους,
e δέχομαι. καὶ ἑτέρᾳ ὁδῷ ἐκβαλοῦσα;

26 Ὥσπερ γὰρ τὸ σῶμα χωρὶς πνεύματος
f εἰμί. νεκρόν [f] ἐστιν, οὕτω καὶ ἡ πίστις χωρὶς τῶν ἔργων
νεκρά [f] ἐστι.

Κεφ. γʹ. Cap. III.

a γίνομαι. Μὴ πολλοὶ διδάσκαλοι [a] γίνεσθε, ἀδελφοί
b λαμβάνω. μου, εἰδότες ὅτι μεῖζον κρίμα [b] ληψόμεθα.

2 Πολλὰ γὰρ πταίομεν ἅπαντες· εἴ τις ἐν λόγῳ
c ἄγω. οὐ πταίει, οὗτος τέλειος ἀνήρ, δυνατὸς [c] χαλιναγωγῆσαι καὶ ὅλον τὸ σῶμα.

3 Ἰδοὺ, τῶν ἵππων τοὺς χαλινοὺς εἰς τὰ στόματα βάλλομεν, πρὸς τὸ πείθεσθαι αὐτοὺς
ἡμῖν, καὶ ὅλον τὸ σῶμα αὐτῶν μετάγομεν.

d εἰμί. 4 Ἰδοὺ, καὶ τὰ πλοῖα τηλικαῦτα [d] ὄντα, καὶ
ὑπὸ σκληρῶν ἀνέμων ἐλαυνόμενα, μετάγεται
ὑπὸ ἐλαχίστου πηδαλίου, ὅπου ἂν ἡ ὁρμὴ τοῦ εὐθύνοντος βούληται.

5 Οὕτω καὶ ἡ γλῶσσα μικρὸν μέλος [d] ἐστὶ,
καὶ

καὶ μεγαλαυχεῖ· ἰδοὺ, ὀλίγον πῦρ ἡλίκην ὕλην ἀνάπτει.

6 Καὶ ἡ γλῶσσα πῦρ, ὁ κόσμος τῆς ἀδικίας· οὕτως ἡ γλῶσσα [c] καθίσταται ἐν τοῖς μέλεσιν ἡμῶν, ἡ σπιλοῦσα ὅλον τὸ σῶμα, καὶ φλογίζουσα τὸν τροχὸν τῆς γενέσεως, καὶ φλογιζομένη ὑπὸ τῆς γεέννης.

[c] ἵστημι.

7 Πᾶσα γὰρ φύσις θηρίων τε καὶ πετεινῶν, ἑρπετῶν τε καὶ ἐναλίων, [f] δαμάζεται καὶ [f] δεδάμασται τῇ φύσει τῇ ἀνθρωπίνῃ·

[f] δαμάζω.

8 Τὴν δὲ γλῶσσαν οὐδεὶς δύναται ἀνθρώπων [f] δαμάσαι· ἀκατάσχετον κακόν· μεστὴ ἰοῦ [g] θανατηφόρου.

[g] φέρω.

9 Ἐν αὐτῇ [h] εὐλογοῦμεν τὸν Θεὸν καὶ πατέρα, καὶ ἐν αὐτῇ [i] καταρώμεθα τοὺς ἀνθρώπους τοὺς καθ᾽ ὁμοίωσιν Θεοῦ [a] γεγονότας.

[h] λέγω.

[i] ἀρά.

10 Ἐκ τοῦ αὐτοῦ στόματος ἐξέρχεται εὐλογία καὶ κατάρα. Οὐ χρὴ, ἀδελφοί μου, ταῦτα οὕτω [a] γίνεσθαι.

11 Μήτι ἡ πηγὴ ἐκ τῆς αὐτῆς ὀπῆς βρύει τὸ γλυκὺ καὶ τὸ πικρόν;

12 Μὴ δύναται, ἀδελφοί μου, συκῆ ἐλαίας [k] ποιῆσαι, ἢ ἄμπελος σῦκα; οὕτως οὐδεμία πηγὴ ἁλυκὸν καὶ γλυκὺ [k] ποιῆσαι ὕδωρ.

[k] ποιέω.

13 Τίς σοφὸς καὶ ἐπιστήμων ἐν ὑμῖν; [l] δειξάτω ἐκ τῆς καλῆς ἀναστροφῆς τὰ ἔργα αὐτοῦ ἐν πραΰτητι σοφίας.

[l] δεικνύω.

14 Εἰ δὲ ζῆλον πικρὸν ἔχετε καὶ ἐριθείαν ἐν τῇ καρδίᾳ ὑμῶν, μὴ κατακαυχᾶσθε καὶ ψεύδεσθε κατὰ τῆς ἀληθείας.

15 Οὐκ [d] ἔστιν αὕτη ἡ σοφία ἄνωθεν κατερχομένη· ἀλλ᾽ ἐπίγειος, ψυχική, δαιμονιώδης.

16 Ὅπου γὰρ ζῆλος καὶ ἐριθεία, ἐκεῖ ἀκαταστασία καὶ πᾶν φαῦλον πρᾶγμα.

17 Ἡ δὲ ἄνωθεν σοφία πρῶτον μὲν ἁγνή [d] ἐστιν, ἔπειτα εἰρηνική, ἐπιεικής, εὐπειθής, μεστὴ ἐλέους καὶ καρπῶν ἀγαθῶν, [m] ἀδιάκριτος καὶ [m] ἀνυπόκριτος.

[m] κρίνω.

18 Καρπὸς δὲ τῆς δικαιοσύνης ἐν εἰρήνῃ σπείρεται τοῖς ποιοῦσιν εἰρήνην.

Κεφ. δ΄. Cap. IV.

ΠΟ'θεν πόλεμοι καὶ μάχαι ἐν ὑμῖν; οὐκ ἐντεῦθεν, ἐκ τῶν ἡδονῶν ὑμῶν τῶν στρατευομένων ἐν τοῖς μέλεσιν ὑμῶν;

2 Ἐπιθυμεῖτε, καὶ οὐκ ἔχετε· φθονεῖτε καὶ ζηλοῦτε, καὶ οὐ δύνασθε ἐπιτυχεῖν· μάχεσθε καὶ πολεμεῖτε, οὐκ ἔχετε δὲ, διὰ τὸ μὴ αἰτεῖσθαι ὑμᾶς.

3 Αἰτεῖτε, καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε, ἵνα ἐν ταῖς ἡδοναῖς ὑμῶν δαπανήσητε.

4 Μοιχοὶ καὶ μοιχαλίδες, οὐκ [a] οἴδατε ὅτι ἡ φιλία τοῦ κόσμου, ἔχθρα τοῦ Θεοῦ [b] ἐστιν; ὃς ἂν οὖν [c] βουληθῇ φίλος [b] εἶναι τοῦ κόσμου, ἐχθρὸς τοῦ Θεοῦ [d] καθίσταται.

5 Ἢ δοκεῖτε ὅτι κενῶς ἡ γραφὴ λέγει, Πρὸς φθόνον [e] ἐπιποθεῖ τὸ πνεῦμα ὃ [f] κατῴκησεν ἐν ἡμῖν.

6 Μείζονα δὲ δίδωσι χάριν· διὸ λέγει, Ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ [g] δίδωσι χάριν.

7 [h] Ὑποτάγητε οὖν τῷ Θεῷ, [i] ἀντίστητε τῷ διαβόλῳ, καὶ φεύξεται ἀφ' ὑμῶν.

8 [k] Ἐγγίσατε τῷ Θεῷ, καὶ ἐγγιεῖ ὑμῖν· καθαρίσατε χεῖρας ἁμαρτωλοὶ, καὶ ἁγνίσατε καρδίας δίψυχοι.

9 [l] Ταλαιπωρήσατε καὶ [m] πενθήσατε καὶ κλαύσατε· ὁ γέλως ὑμῶν εἰς πένθος [n] μεταστραφήτω, καὶ ἡ χαρὰ εἰς κατήφειαν.

10 [o] Ταπεινώθητε ἐνώπιον τοῦ Κυρίου, καὶ ὑψώσει ὑμᾶς.

11 Μὴ καταλαλεῖτε ἀλλήλων, ἀδελφοί· ὁ καταλαλῶν ἀδελφοῦ, καὶ κρίνων τὸν ἀδελφὸν αὐτοῦ, καταλαλεῖ νόμου, καὶ κρίνει νόμον· εἰ δὲ νόμον κρίνεις, οὐκ εἶ ποιητὴς νόμου, ἀλλὰ κριτής.

12 Εἷς [b] ἐστιν ὁ νομοθέτης ὁ δυνάμενος [p] σῶσαι καὶ [q] ἀπολέσαι· σὺ δὲ τίς [b] εἶ ὃς κρίνεις τὸν ἕτερον;

13 Ἄγε νῦν οἱ λέγοντες, Σήμερον ἢ αὔριον [r] πορευσόμεθα εἰς τήνδε τὴν πόλιν, καὶ ποιήσωμεν

ἐκεῖ

[a] εἴδω.
[b] εἰμί.
[c] βουλή.
[d] ἵστημι.
[e] πόθος.
[f] οἶκος.
[g] δίδωμι.
[h] τάσσω.
[i] ἵστημι.
[k] ἐγγύς.
[l] πωρός.
[m] πένθος.
[n] στρέφω.
[o] ταπεινός.
[p] σόος.
[q] ὀλλύω.
[r] πεῖρω.

ἐκεῖ ἐνιαυτὸν ἕνα, καὶ [r] ἐμπορευσόμεθα, καὶ κερδήσομεν·

14 Οἵτινες οὐκ [s] ἐπίστασθε τὸ τῆς αὔριον· ποία γὰρ ἡ ζωὴ ὑμῶν; ἀτμὶς γάρ [b] ἐστιν ἡ πρὸς ὀλίγον φαινομένη, ἔπειτα δὲ ἀφανιζομένη.

15 Ἀντὶ τοῦ λέγειν ὑμᾶς, Ἐὰν ὁ Κύριος θελήσῃ, καὶ [t] ζήσωμεν, καὶ ποιήσομεν τοῦτο ἢ ἐκεῖνο.

16 Νῦν δὲ [u] καυχᾶσθε ἐν ταῖς ἀλαζονείαις ὑμῶν· πᾶσα καύχησις τοιαύτη, πονηρά [b] ἐστιν.

17 [x] Εἰδότι οὖν καλὸν ποιεῖν καὶ μὴ ποιοῦντι, ἁμαρτία αὐτῷ [b] ἐστιν.

Κεφ. ε. Cap. V.

Ἄγε νῦν οἱ πλούσιοι, κλαύσατε ὀλολύζοντες ἐπὶ ταῖς ταλαιπωρίαις ὑμῶν ταῖς ἐπερχομέναις·

2 Ὁ πλοῦτος ὑμῶν [a] σέσηπε, καὶ τὰ ἱμάτια ὑμῶν σητόβρωτα [b] γέγονεν.

3 Ὁ χρυσὸς ὑμῶν καὶ ὁ ἄργυρος [c] κατίωται, καὶ ὁ ἰὸς αὐτῶν εἰς μαρτύριον ὑμῖν [d] ἔσται, καὶ φάγεται τὰς σάρκας ὑμῶν ὡς πῦρ· ἐθησαυρίσατε ἐν ἐσχάταις ἡμέραις.

4 Ἰδού, ὁ μισθὸς τῶν ἐργατῶν τῶν ἀμησάντων τὰς χώρας ὑμῶν, ὁ ἀπεστερημένος ὑφ' ὑμῶν, κράζει· καὶ αἱ βοαὶ τῶν θερισάντων εἰς τὰ ὦτα Κυρίου σαβαὼθ [e] εἰσεληλύθασιν.

5 [f] Ἐτρυφήσατε ἐπὶ τῆς γῆς, καὶ [g] ἐσπαταλήσατε· [h] ἐθρέψατε τὰς καρδίας ὑμῶν ὡς ἐν ἡμέρᾳ σφαγῆς.

6 [i] Κατεδικάσατε, [k] ἐφονεύσατε τὸν δίκαιον· οὐκ ἀντιτάσσεται ὑμῖν.

7 [l] Μακροθυμήσατε οὖν ἀδελφοί, ἕως τῆς παρουσίας τοῦ Κυρίου· ἰδού, ὁ γεωργὸς ἐκδέχεται τὸν τίμιον καρπὸν τῆς γῆς, μακροθυμῶν ἐπ' αὐτῷ, ἕως ἂν [m] λάβῃ ὑετὸν πρώϊμον καὶ ὄψιμον.

8 [l] Μακροθυμήσατε καὶ ὑμεῖς, [n] στηρίξατε τὰς καρδίας ὑμῶν, ὅτι ἡ παρουσία τοῦ Κυρίου [o] ἤγγικε.

9 Μὴ στενάζετε κατ' ἀλλήλων, ἀδελφοί, ἵνα

[s] ἴσημι.
[t] ζάω.
[u] καυχάομαι.
[x] εἴδω.
[a] σήπω.
[b] γίνομαι.
[c] ἰός.
[d] εἰμί.
[e] ἔρχομαι.
[f] θρύπτω.
[g] σπαταλάω.
[h] τρέφω.
[i] δίκη.
[k] φένω.
[l] θυμός.
[m] λαμβάνω.
[n] στηρίζω.
[o] ἐγγύς.

[p] κρίνω. μὴ [p] κατακριθῆτε· ἰδοὺ, ὁ κριτὴς πρὸ τῶν θυρῶν
[q] ἵστημι. [q] ἕστηκεν·

10 Ὑπόδειγμα [m] λάβετε τῆς κακοπαθείας,
ἀδελφοί μου, καὶ τῆς μακροθυμίας, τοὺς προφήτας
[r] λαλέω. οἳ [r] ἐλάλησαν τῷ ὀνόματι Κυρίου.

11 Ἰδοὺ, μακαρίζομεν τοὺς ὑπομένοντας·
[s] ἀκούω. τὴν ὑπομονὴν Ἰὼβ [s] ἠκούσατε, καὶ τὸ τέλος Κυρίου
εἴδετε, ὅτι πολύσπλαγχνός [d] ἐστιν ὁ Κύριος
καὶ οἰκτίρμων.

12 Πρὸ πάντων δὲ, ἀδελφοί μου, μὴ ὀμνύετε
μήτε τὸν οὐρανὸν, μήτε τὴν γῆν, μήτε ἄλλον τινὰ
|| εἰμί. ὅρκον· || ἤτω δὲ ὑμῶν τὸ ναὶ, ναὶ, καὶ τὸ οὒ, οὔ·
[t] πίπτω. ἵνα μὴ ὑπὸ κρίσιν [t] πέσητε.

[u] πάσχω. 13 [u] Κακοπαθεῖ τις ἐν ὑμῖν; [x] προσευχέσθω·
[x] εὐχή. εὐθυμεῖ τις; ψαλλέτω.

[y] καλέω. 14 Ἀσθενεῖ τις ἐν ὑμῖν; [y] προσκαλεσάσθω τοὺς
πρεσβυτέρους τῆς ἐκκλησίας, καὶ προσευξάσθωσαν
[z] ἀλείφω. ἐπ᾽ αὐτὸν, [z] ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ
ὀνόματι τοῦ Κυρίου.

15 Καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα,
καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος· κἂν ἁμαρτίας || ᾖ
[a] ποιέω. [a] πεποιηκὼς, * ἀφεθήσονται αὐτῷ.

* ἵω. 16 [b] Ἐξομολογεῖσθε ἀλλήλοις τὰ παραπτώματα,
[b] λέγω. καὶ εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως [c] ἰαθῆτε·
[c] ἰάομαι. πολὺ ἰσχύει δέησις δικαίου ἐνεργουμένη.

[d] εἰμί. 17 Ἠλίας ἄνθρωπος [d] ἦν [e] ὁμοιοπαθὴς
[e] πάσχω. ἡμῖν, καὶ [f] προσευχῇ προσηύξατο τοῦ μὴ βρέξαι·
[f] εὐχή. καὶ οὐκ [g] ἔβρεξεν ἐπὶ τῆς γῆς ἐνιαυτοὺς τρεῖς
[g] βρέχω. καὶ μῆνας ἕξ.

18 Καὶ πάλιν προσηύξατο, καὶ ὁ οὐρανὸς ὑετὸν
[h] δίδωμι. [h] ἔδωκε, καὶ ἡ γῆ [i] ἐβλάστησε τὸν καρπὸν αὐτῆς.
[i] βλαστάνω.

[k] πλάνη. 19 Ἀδελφοὶ, ἐάν τις ἐν ὑμῖν [k] πλανηθῇ
[l] στρέφω. ἀπὸ τῆς ἀληθείας, καὶ [l] ἐπιστρέψῃ τις αὐτὸν,

20 Γινωσκέτω ὅτι ὁ ἐπιστρέψας ἁμαρτωλὸν
[m] σόος. ἐκ πλάνης ὁδοῦ αὐτοῦ, [m] σώσει ψυχὴν ἐκ θανάτου,
[n] καλύπτω. καὶ [n] καλύψει πλῆθος ἁμαρτιῶν.

ΠΕΤΡΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ ΠΡΩΤΗ.

Κεφάλαιον α. Caput I.

Πέτρος ἀπόστολος Ἰησοῦ Χριστοῦ, ἐκλεκτοῖς [a] παρεπιδήμοις, διασπορᾶς Πόντου, Γαλατίας, Καππαδοκίας, Ἀσίας, καὶ Βιθυνίας·

[a] δῆμος.

2 Κατὰ πρόγνωσιν Θεοῦ πατρὸς, ἐν ἁγιασμῷ πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ· χάρις ὑμῖν καὶ εἰρήνη [b] πληθυνθείη.

[b] πλέος.

3 Εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος [c] ἀναγεννήσας ἡμᾶς εἰς ἐλπίδα [d] ζῶσαν δι' ἀναστάσεως Ἰησοῦ Χριστοῦ ἐκ νεκρῶν,

[c] γεννάω.
[d] ζάω.

4 Εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον καὶ ἀμάραντον, [e] τετηρημένην ἐν οὐρανοῖς εἰς ἡμᾶς,

[e] τηρέω.

5 Τοὺς ἐν δυνάμει Θεοῦ φρουρουμένους διὰ πίστεως, εἰς σωτηρίαν ἑτοίμην ἀποκαλυφθῆναι καιρῷ ἐσχάτῳ.

6 Ἐν ᾧ ἀγαλλιᾶσθε, ὀλίγον ἄρτι (εἰ δέον [f] ἐστὶ) * λυπηθέντες ἐν ποικίλοις πειρασμοῖς·

[f] εἰμί.
* λύπη.

7 Ἵνα τὸ δοκίμιον ὑμῶν τῆς πίστεως πολὺ τιμιώτερον χρυσίου, τοῦ [g] ἀπολλυμένου, διὰ πυρὸς δὲ δοκιμαζομένου, [h] εὑρεθῇ εἰς ἔπαινον καὶ τιμὴν καὶ δόξαν, ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ.

[g] ὀλλύω.
[h] εὑρίσκω.

8 Ὃν οὐκ [i] εἰδότες ἀγαπᾶτε εἰς ὃν ἄρτι μὴ ὁρῶντες, πιστεύοντες δὲ, ἀγαλλιᾶσθε χαρᾷ [k] ἀνεκλαλήτῳ καὶ [l] δεδοξασμένῃ.

[i] εἴδω.
[k] λαλέω.
[l] δοξάζω.

9 Κομιζόμενοι τὸ τέλος τῆς πίστεως ὑμῶν,
[m] ζητέω. σωτηρίαν ψυχῶν.

[n] ἐρευνάω. 10 Περὶ ἧς σωτηρίας [m] ἐξεζήτησαν καὶ [n] ἐξ-
ηρεύνησαν προφῆται οἱ περὶ τῆς εἰς ὑμᾶς χάριτος
προφητεύσαντες·

11 [n] Ἐρευνῶντες εἰς τίνα ἢ ποῖον καιρὸν
[*] δηλόω. [*] ἐδήλου τὸ ἐν αὐτοῖς πνεῦμα Χριστοῦ, [o] προμαρ-
[o] μαρτυρ. τυρόμενον τὰ εἰς Χριστὸν παθήματα, καὶ τὰς μετὰ
ταῦτα δόξας.

[p] καλύπτω. 12 Οἷς [p] ἀπεκαλύφθη ὅτι οὐχ ἑαυτοῖς, ἡμῖν
[q] κονέω. δὲ [q] διηκόνουν αὐτά, ἃ νῦν [r] ἀνηγγέλη ὑμῖν διὰ
[r] ἀγγέλλω. τῶν [r] εὐαγγελισαμένων ὑμᾶς ἐν πνεύματι ἁγίῳ
[s] στέλλω. [s] ἀποσταλέντι ἀπ' οὐρανοῦ, εἰς ἃ [t] ἐπιθυμοῦσιν
[t] θυμός. ἄγγελοι [u] παρακύψαι.

[u] κύπτω. 13 Διὸ [x] ἀναζωσάμενοι τὰς ὀσφύας τῆς δια-
[x] ζώννυμι. νοίας ὑμῶν, νήφοντες, τελείως [y] ἐλπίσατε ἐπὶ
[y] ἐλπίς. τὴν φερομένην ὑμῖν χάριν ἐν ἀποκαλύψει Ἰησοῦ
Χριστοῦ.

[z] ἔχω. 14 Ὡς τέκνα ὑπακοῆς, μὴ [z] συσχηματιζό-
μενοι ταῖς πρότερον ἐν τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυ-
μίαις.

[a] καλέω. 15 Ἀλλὰ κατὰ τὸν [a] καλέσαντα ὑμᾶς ἅγιον, καὶ
[b] γίνομαι. αὐτοὶ ἅγιοι ἐν πάσῃ ἀναστροφῇ [b] γενήθητε.

[c] γράφω. 16 Διότι [c] γέγραπται, Ἅγιοι [b] γένεσθε, ὅτι
ἐγὼ ἅγιός εἰμι.

[d] λαμβάνω. 17 Καὶ εἰ πατέρα ἐπικαλεῖσθε, τὸν [d] ἀπρο-
σωπολήπτως κρίνοντα κατὰ τὸ ἑκάστου ἔργον, ἐν
[e] στρέφω. φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον [e] ἀναστρά-
φητε.

18 Εἰδότες ὅτι οὐ φθαρτοῖς, ἀργυρίῳ ἢ χρυ-
[f] λύω. σίῳ, [f] ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν ἀνα-
[g] δίδωμι. στροφῆς [g] πατροπαραδότου·

19 Ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ
ἀσπίλου Χριστοῦ·

[h] γινώσκω. 20 [h] Προεγνωσμένου μὲν πρὸ καταβολῆς
[i] φαίνω. κόσμου [i] φανερωθέντος δὲ ἐπ' ἐσχάτων τῶν χρόνων
δι' ὑμᾶς,

[k] ἐγείρω. 21 Τοὺς δι' αὐτοῦ πιστεύοντας εἰς Θεὸν τὸν [k] ἐ-
γείραντα αὐτὸν ἐκ νεκρῶν, καὶ δόξαν αὐτῷ
δόντα,

δόντα, ὥστε τὴν πίστιν ὑμῶν καὶ ἐλπίδα [l] εἶναι εἰς Θεόν.
[l] εἰμί.

22 Τὰς ψυχὰς ὑμῶν [m] ἡγνικότες ἐν τῇ ὑπακοῇ τῆς ἀληθείας διὰ πνεύματος, εἰς φιλαδελφίαν ἀνυπόκριτον, ἐκ καθαρᾶς καρδίας ἀλλήλους ἀγαπήσατε ἐκτενῶς·
[m] ἁγνός.

23 [n] Ἀναγεγεννημένοι οὐκ ἐκ σπορᾶς φθαρτῆς, ἀλλὰ ἀφθάρτου, διὰ λόγου [o] ζῶντος Θεοῦ καὶ [p] μένοντος εἰς τὸν αἰῶνα.
[n] γεννάω.
[o] ζάω.
[p] μένω.

24 Διότι πᾶσα σὰρξ ὡς χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· [q] ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος αὐτοῦ [r] ἐξέπεσε.
[q] ξηρέω.
[r] πίπτω.

25 Τὸ δὲ ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶνα· τοῦτο δέ [l] ἐστι τὸ ῥῆμα τὸ εὐαγγελισθὲν εἰς ὑμᾶς.

Κεφ. β'. Cap. II.

[a] Ἀποθέμενοι οὖν πᾶσαν κακίαν καὶ πάντα δόλον καὶ ὑποκρίσεις καὶ φθόνους καὶ πάσας [b] καταλαλιάς,
[a] τίθημι.
[b] λαλέω.

2 Ὡς [c] ἀρτιγέννητα βρέφη, τὸ λογικὸν ἄδολον γάλα [d] ἐπιποθήσατε, ἵνα ἐν αὐτῷ [e] αὐξηθῆτε.
[c] γεννάω.
[d] πόθος.
[e] αὐξάνω.

3 Εἴπερ [f] ἐγεύσασθε ὅτι χρηστὸς ὁ Κύριος·
[f] γεύω.

4 Πρὸς ὃν προσερχόμενοι, λίθον [g] ζῶντα, ὑπὸ ἀνθρώπων μὲν [h] ἀποδεδοκιμασμένον, παρὰ δὲ Θεῷ ἐκλεκτὸν, ἔντιμον·
[g] ζάω.
[h] δοκιμά.

5 Καὶ αὐτοὶ ὡς λίθοι [g] ζῶντες [i] οἰκοδομεῖσθε, οἶκος πνευματικὸς, ἱεράτευμα ἅγιον, [k] ἀνενέγκαι πνευματικὰς θυσίας, εὐπροσδέκτους τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ.
[i] δέμω.
[k] φέρω.

6 Διὸ καὶ περιέχει ἐν τῇ γραφῇ, Ἰδοὺ τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον, ἐκλεκτὸν, ἔντιμον· καὶ ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ μὴ [l] καταισχυνθῇ.
[l] αἶσχος.

7 Ὑμῖν οὖν ἡ τιμὴ τοῖς πιστεύουσιν· ἀπειθοῦσι δὲ, λίθον ὃν [h] ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος [m] ἐγενήθη εἰς κεφαλὴν γωνίας, καὶ λίθος προσκόμματος, καὶ πέτρα σκανδάλου·
[m] γίνομαι.

8 Οἳ προσκόπτουσι τῷ λόγῳ, [n] ἀπειθοῦντες, εἰς ὃ καὶ [o] ἐτέθησαν.
[n] πείθω.
[o] τίθημι.

9 Ὑμεῖς δὲ γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν·
[p] ἀγγέλλω. ὅπως τὰς ἀρετὰς [p] ἐξαγγείλητε τοῦ ἐκ σκότους ὑμᾶς καλέσαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς.

10 Οἱ πότε οὐ λαὸς, νῦν δὲ λαὸς Θεοῦ· οἱ
[q] ἔλεος. οὐκ [q] ἐλεημένοι, νῦν δὲ [q] ἐλεηθέντες.

11 Ἀγαπητοὶ, παρακαλῶ ὡς παροίκους καὶ παρεπιδήμους, ἀπέχεσθαι τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵτινες στρατεύονται κατὰ τῆς ψυχῆς.

12 Τὴν ἀναστροφὴν ὑμῶν ἐν τοῖς ἔθνεσιν ἔχοντες καλὴν, ἵνα ἐν ᾧ καταλαλοῦσιν ὑμῶν
[r] ὄπτομαι. ὡς κακοποιῶν, ἐκ τῶν καλῶν ἔργων [r] ἐποπτεύ-
[s] δοκέω. σαντες, [s] δοξάσωσι τὸν Θεὸν ἐν ἡμέρᾳ ἐπισκοπῆς.

13 Ὑποτάγητε οὖν πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον· εἴτε βασιλεῖ, ὡς ὑπερέχοντι·
[t] πέμπω. 14 Εἴτε ἡγεμόσιν, ὡς δι' αὐτοῦ [t] πεμπομένοις εἰς ἐκδίκησιν μὲν κακοποιῶν, ἔπαινον δὲ ἀγαθοποιῶν.

[u] εἰμί. 15 Ὅτι οὕτως [u] ἐστὶ τὸ θέλημα τοῦ Θεοῦ, ἀγαθοποιοῦντας φιμοῦν τὴν τῶν ἀφρόνων ἀνθρώπων ἀγνωσίαν.

16 Ὡς ἐλεύθεροι, καὶ μὴ ὡς ἐπικάλυμμα ἔχοντες τῆς κακίας, τὴν ἐλευθερίαν, ἀλλ' ὡς δοῦλοι Θεοῦ.

[x] τίω. 17 Πάντας [x] τιμήσατε· τὴν ἀδελφότητα ἀγαπᾶτε· Τὸν Θεὸν φοβεῖσθε· Τὸν βασιλέα τιμᾶτε.

18 Οἱ οἰκέται, ὑποτασσόμενοι ἐν παντὶ φόβῳ τοῖς δεσπόταις, οὐ μόνον τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν, ἀλλὰ καὶ τοῖς σκολιοῖς·

19 Τοῦτο γὰρ χάρις, εἰ διὰ συνείδησιν Θεοῦ ὑποφέρει τις λύπας, πάσχων ἀδίκως.

20 Ποῖον γὰρ κλέος, εἰ ἁμαρτάνοντες καὶ
[y] μένω. κολαφιζόμενοι [y] ὑπομενεῖτε; ἀλλ' εἰ ἀγαθοποιοῦντες καὶ πάσχοντες [y] ὑπομενεῖτε, τοῦτο χάρις παρὰ Θεῷ.

[z] καλέω. 21 Εἰς τοῦτο γὰρ καὶ [z] ἐκλήθητε, ὅτι καὶ Χριστὸς
[a] ἔπαθεν

[a] ἔπαθεν ὑπὲρ ἡμῶν, ὑμῖν [b] ὑπολιμπάνων [c] ὑπογραμμὸν, ἵνα [d] ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ.

22 Ὃς ἁμαρτίαν οὐκ [e] ἐποίησεν, οὐδὲ [f] εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ.

23 Ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει· πάσχων οὐκ ἠπείλει· [g] παρεδίδου δὲ τῷ κρίνοντι δικαίως.

24 Ὃς τὰς ἁμαρτίας ἡμῶν αὐτὸς [h] ἀνήνεγκεν ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον· ἵνα ταῖς ἁμαρτίαις [i] ἀπογενόμενοι, τῇ δικαιοσύνῃ [k] ζήσωμεν· οὗ τῷ μώλωπι αὐτοῦ [l] ἰάθητε.

25 Ἦτε γὰρ ὡς πρόβατα πλανώμενα· ἀλλ' [m] ἐπεστράφητε νῦν ἐπὶ τὸν ποιμένα καὶ ἐπίσκοπον τῶν ψυχῶν ὑμῶν.

[a] πάσχω.
[b] λείπω.
[c] γράφω.
[d] ἀκόλουθος.
[e] ποιέω.
[f] εὑρίσκω.
[g] δίδωμι.
[h] φέρω.
[i] γίνομαι.
[k] ζάω.
[l] ἰάομαι.
[m] στρέφω.

Κεφ. γ'. Cap. III.

Ὁμοίως αἱ γυναῖκες, ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν· ἵνα καὶ εἴ τινες ἀπειθοῦσι τῷ λόγῳ, διὰ τῆς τῶν γυναικῶν ἀναστροφῆς ἄνευ λόγου [a] κερδηθήσωνται,

2 [b] Ἐποπτεύσαντες τὴν ἐν φόβῳ ἁγνὴν ἀναστροφὴν ὑμῶν.

3 Ὧν [c] ἔστω οὐχ ὁ ἔξωθεν ἐμπλοκῆς τριχῶν, καὶ περιθέσεως χρυσίων, ἢ ἐνδύσεως ἱματίων κόσμος·

4 Ἀλλ' ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος, ἐν τῷ ἀφθάρτῳ τοῦ πραέος καὶ ἡσυχίου πνεύματος, ὃ [c] ἐστιν ἐνώπιον τοῦ Θεοῦ πολυτελές.

5 Οὕτω γάρ ποτε καὶ αἱ ἅγιαι γυναῖκες αἱ ἐλπίζουσαι ἐπὶ τὸν Θεὸν, ἐκόσμουν ἑαυτὰς, [e] ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν·

6 Ὡς Σάῤῥα [f] ὑπήκουσε τῷ Ἀβραὰμ, κύριον αὐτὸν καλοῦσα· ἧς [g] ἐγενήθητε τέκνα, ἀγαθοποιοῦσαι, καὶ μὴ φοβούμεναι μηδεμίαν πτόησιν.

7 Οἱ ἄνδρες ὁμοίως, [h] συνοικοῦντες κατὰ γνῶσιν ὡς ἀσθενεστέρῳ σκεύει τῷ γυναικείῳ ἀπονέμοντες τιμὴν, ὡς καὶ συγκληρονόμοι χάριτος ζωῆς· εἰς τὸ μὴ [i] ἐκκόπτεσθαι τὰς προσευχὰς ὑμῶν.

[a] κέρδος.
[b] ὄπτομαι.
[c] εἰμί.
[e] τάσσω.
[f] ἀκούω.
[g] γίνομαι.
[h] οἶκος.
[i] κόπτω.

8 Τὸ δὲ τέλος, πάντες ὁμόφρονες, συμπαθεῖς, φιλάδελφοι, εὔσπλαγχνοι, φιλόφρονες.

[k] δίδωμι.

9 Μὴ [k] ἀποδιδόντες κακὸν ἀντὶ κακοῦ, ἢ λοιδορίαν ἀντὶ λοιδορίας· τοὐναντίον δὲ, εὐλογοῦντες· [l] εἰδότες ὅτι εἰς τοῦτο [m] ἐκλήθητε ἵνα εὐλογίαν [n] κληρονομήσητε.

[l] εἴδω.
[m] καλέω.
[n] νέμω.
[o] εἴδω.
[p] λαλέω.

10 Ὁ γὰρ θέλων ζωὴν ἀγαπᾷν καὶ [o] ἰδεῖν ἡμέρας ἀγαθὰς, παυσάτω τὴν γλῶσσαν αὐτοῦ ἀπὸ κακοῦ, καὶ χείλη αὐτοῦ τοῦ μὴ [p] λαλῆσαι δόλον.

[q] κλίνω.
[r] ποιέω.
[s] ζητέω.
[t] διώκω.

11 [q] Ἐκκλινάτω ἀπὸ κακοῦ καὶ [r] ποιησάτω ἀγαθόν· [s] ζητησάτω εἰρήνην, καὶ [t] διωξάτω αὐτήν.

12 Ὅτι οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν· πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά.

[u] κακόω.

13 Καὶ τίς ὁ [u] κακώσων ὑμᾶς, ἐὰν τοῦ ἀγαθοῦ μιμηταὶ [g] γένησθε;

[x] πάσχω.
[y] φέβομαι.
[z] ταράσσω.

14 Ἀλλ' εἰ καὶ [x] πάσχοιτε διὰ δικαιοσύνην, μακάριοι· τὸν δὲ φόβον αὐτῶν μὴ [y] φοβηθῆτε, μηδὲ [z] ταραχθῆτε.

15 Κύριον δὲ τὸν Θεὸν ἁγιάσατε ἐν ταῖς καρδίαις ὑμῶν· ἕτοιμοι δὲ ἀεὶ πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος, μετὰ πραΰτητος καὶ φόβου.

[a] αἶσχος.
[b] ἐπηρεάζω.

16 Συνείδησιν ἔχοντες ἀγαθήν· ἵνα ἐν ᾧ [p] καταλαλοῦσιν ὑμῶν ὡς κακοποιῶν, [a] καταισχυνθῶσιν οἱ [b] ἐπηρεάζοντες ὑμῶν τὴν ἀγαθὴν ἐν Χριστῷ ἀναστροφήν.

[c] ποιέω.

17 Κρεῖττον γὰρ [c] ἀγαθοποιοῦντας, εἰ θέλει τὸ θέλημα τοῦ Θεοῦ, πάσχειν, ἢ κακοποιοῦντας.

* πάσχω.
[d] ἄγω.
[e] θνήσκω.

18 Ὅτι καὶ Χριστὸς ἅπαξ περὶ ἁμαρτιῶν * ἔπαθε, δίκαιος ὑπὲρ ἀδίκων· ἵνα ἡμᾶς [d] προσαγάγῃ τῷ Θεῷ, [c] θανατωθεὶς μὲν σαρκὶ, [c] ζωοποιηθεὶς δὲ τῷ πνεύματι.

[f] πορεύω.
[g] κήρυξ.
[h] πείθω.
[i] δέχομαι.

19 Ἐν ᾧ καὶ τοῖς ἐν φυλακῇ πνεύμασι [f] πορευθεὶς [g] ἐκήρυξεν,

20 [h] Ἀπειθήσασί ποτε, ὅτε ἅπαξ [i] ἐξεδέχετο ἡ τοῦ Θεοῦ μακροθυμία ἐν ἡμέραις Νῶε,

κατασκευαζομένης κιβωτοῦ, εἰς ἣν ὀλίγαι (τουτέστιν ὀκτὼ) ψυχαὶ [k] διεσώθησαν δι᾽ ὕδατος.

21 Ὧ ἀντίτυπον καὶ ἡμᾶς νῦν σώζει βάπτισμα (οὐ σαρκὸς ἀπόθεσις ῥύπου, ἀλλὰ συνειδήσεως ἀγαθῆς [l] ἐπερώτημα εἰς Θεὸν) δι᾽ ἀναστάσεως Ἰησοῦ Χριστοῦ,

22 Ὅς [m] ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, πορευθεὶς εἰς οὐρανὸν, ὑποταγέντων αὐτῷ ἀγγέλων καὶ ἐξουσιῶν καὶ δυνάμεων.

Κεφ. δʹ. Cap. IV.

Χριστοῦ οὖν [a] παθόντος ὑπὲρ ἡμῶν σαρκὶ, καὶ ὑμεῖς τὴν αὐτὴν ἔννοιαν [b] ὁπλίσασθε· ὅτι ὁ [a] παθὼν ἐν σαρκὶ, [c] πέπαυται ἁμαρτίας,

2 Εἰς τὸ μηκέτι ἀνθρώπων ἐπιθυμίαις, ἀλλὰ θελήματι Θεοῦ τὸν ἐπίλοιπον ἐν σαρκὶ [d] βιῶσαι χρόνον.

3 Ἀρκετὸς γὰρ ἡμῖν ὁ [e] παρεληλυθὼς χρόνος τοῦ βίου τὸ θέλημα τῶν ἐθνῶν [f] κατεργάσασθαι, [g] πεπορευμένους ἐν ἀσελγείαις, ἐπιθυμίαις, οἰνοφλυγίαις, κώμοις, πότοις, καὶ ἀθεμίτοις εἰδωλολατρείαις.

4 Ἐν ᾧ ξενίζονται, μὴ συντρεχόντων ὑμῶν εἰς τὴν αὐτὴν τῆς ἀσωτίας ἀνάχυσιν, βλασφημοῦντες·

5 Οἳ [h] ἀποδώσουσι λόγον τῷ ἑτοίμως ἔχοντι κρῖναι [i] ζῶντας καὶ νεκρούς.

6 Εἰς τοῦτο γὰρ καὶ νεκροῖς [k] εὐηγγελίσθη, ἵνα [l] κριθῶσι μὲν κατὰ ἀνθρώπους σαρκὶ, [i] ζῶσι δὲ κατὰ Θεὸν πνεύματι.

7 Πάντων δὲ τὸ τέλος [m] ἤγγικε· σωφρονήσατε οὖν καὶ νήψατε εἰς τὰς προσευχάς.

8 Πρὸ πάντων δὲ τὴν εἰς ἑαυτοὺς ἀγάπην ἐκτενῆ ἔχοντες, ὅτι ἡ ἀγάπη καλύψει πλῆθος ἁμαρτιῶν.

9 Φιλόξενοι εἰς ἀλλήλους, ἄνευ γογγυσμῶν.

10 Ἕκαστος καθὼς [n] ἔλαβε χάρισμα εἰς ἑαυτοὺς αὐτὸ διακονοῦντες, ὡς καλοὶ οἰκονόμοι ποικίλης χάριτος Θεοῦ.

11 Εἴ τις λαλεῖ, ὡς λόγια Θεοῦ· εἴ τις διακονεῖ,

[k] σόω.
[l] ἐπερωτάω.
[m] εἰμί.
[a] πάσχω.
[b] ὅπλον.
[c] παύω.
[d] βίος.
[e] ἔρχομαι.
[f] ἔργον.
[g] πείρω.
[h] δίδωμι.
[i] ζάω.
[k] ἀγγέλλω.
[l] κρίνω.
[m] ἐγγύς.
[n] λαμβάνω.

[o] ἄγω. [p] δοκέω. [q] εἰμί.

κονεῖ, ὡς ἐξ ἰσχύος ἧς [o] χορηγεῖ ὁ Θεός· ἵνα ἐν πᾶσι [p] δοξάζηται ὁ Θεὸς διὰ Ἰησοῦ Χριστοῦ, ᾧ [q] ἐστὶν ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

[r] ξένος. [s] βαίνω.

12 Ἀγαπητοὶ, μὴ [r] ξενίζεσθε τῇ ἐν ὑμῖν πυρώσει πρὸς πειρασμὸν ὑμῖν γινομένῃ, ὡς ξένου ὑμῖν [s] συμβαίνοντος.

13 Ἀλλὰ καθὼς κοινωνεῖτε τοῖς τοῦ Χριστοῦ παθήμασι, χαίρετε, ἵνα καὶ ἐν τῇ ἀποκαλύψει τῆς δόξης αὐτοῦ χαρῆτε ἀγαλλιώμενοι.

14 Εἰ ὀνειδίζεσθε ἐν ὀνόματι Χριστοῦ, μακάριοι· ὅτι τὸ τῆς δόξης καὶ τὸ τοῦ Θεοῦ πνεῦμα ἐφ᾽ ὑμᾶς [c] ἀναπαύεται· κατὰ μὲν αὐτοὺς βλασφημεῖται, κατὰ δὲ ὑμᾶς [p] δοξάζεται.

15 Μὴ γάρ τις ὑμῶν πασχέτω ὡς φονεὺς, ἢ κλέπτης, ἢ κακοποιὸς, ἢ ὡς ἀλλοτριοεπίσκοπος·

[t] αἶσχος.

16 Εἰ δὲ ὡς Χριστιανὸς, μὴ [t] αἰσχυνέσθω, [p] δοξαζέτω δὲ τὸν Θεὸν ἐν τῷ μέρει τούτῳ.

[u] ἄρχω. [x] πείθω.

17 Ὅτι ὁ καιρὸς τοῦ [u] ἄρξασθαι τὸ κρίμα ἀπὸ τοῦ οἴκου τοῦ Θεοῦ· εἰ δὲ πρῶτον ἀφ᾽ ἡμῶν, τί τὸ τέλος τῶν [x] ἀπειθούντων τῷ τοῦ Θεοῦ εὐαγγελίῳ;

18 Καὶ, εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται;

[y] τίθημι.

19 Ὥστε καὶ οἱ πάσχοντες κατὰ τὸ θέλημα τοῦ Θεοῦ, ὡς πιστῷ κτίστῃ [y] παρατιθέσθωσαν τὰς ψυχὰς ἑαυτῶν ἐν ἀγαθοποιΐᾳ.

Κεφ. ε΄. Cap. V.

[a] καλύπτω.

ΠΡεσβυτέρους τοὺς ἐν ὑμῖν παρακαλῶ ὁ συμπρεσβύτερος καὶ μάρτυς τῶν τοῦ Χριστοῦ παθημάτων, ὁ καὶ τῆς μελλούσης [a] ἀποκαλύπτεσθαι δόξης κοινωνός,

2 Ποιμάνατε τὸ ἐν ὑμῖν ποίμνιον τοῦ Θεοῦ, ἐπισκοποῦντες μὴ ἀναγκαστῶς, ἀλλ᾽ ἑκουσίως· μηδὲ αἰσχροκερδῶς, ἀλλὰ προθύμως.

[b] κύριος. [c] γίνομαι.

3 Μηδ᾽ ὡς [b] κατακυριεύοντες τῶν κλήρων, ἀλλὰ τύποι [c] γινόμενοι τοῦ ποιμνίου.

4 Καὶ φανερωθέντος τοῦ ἀρχιποίμενος, κο-

μιεῖσθε τὸν ἀμαράντινον τῆς δόξης στέφανον.

5 Ὁμοίως νεώτεροι [d] ὑποτάγητε πρεσβυτέροις· πάντες δὲ ἀλλήλοις [d] ὑποτασσόμενοι τὴν ταπεινοφροσύνην [e] ἐγκομβώσασθε· ὅτι ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ [f] δίδωσι χάριν.

[d] τάσσω.
[e] κόμβωμα.
[f] δίδωμι.

6 [g] Ταπεινώθητε οὖν ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ Θεοῦ, ἵνα ὑμᾶς [h] ὑψώσῃ ἐν καιρῷ·

[g] ταπεινός.
[h] ὕψος.

7 Πᾶσαν τὴν μέριμναν ὑμῶν [i] ἐπιρρίψαντες ἐπ' αὐτόν, ὅτι αὐτῷ μέλει περὶ ὑμῶν.

[i] ῥίπτω.

8 Νήψατε, γρηγορήσατε· ὅτι ὁ ἀντίδικος ὑμῶν διάβολος, ὡς λέων ὠρυόμενος, περιπατεῖ, ζητῶν τίνα [k] καταπίῃ.

[k] πίνω.

9 Ὧ [l] ἀντίστητε στερεοὶ τῇ πίστει, [m] εἰδότες τὰ αὐτὰ τῶν παθημάτων τῇ ἐν κόσμῳ ὑμῶν ἀδελφότητι [n] ἐπιτελεῖσθαι.

[l] ἵστημι.
[m] εἴδω.
[n] τέλος.

10 Ὁ δὲ Θεὸς πάσης χάριτος, ὁ καλέσας ἡμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν ἐν Χριστῷ Ἰησοῦ, ὀλίγον [o] παθόντας αὐτὸς [p] καταρτίσαι ὑμᾶς, [q] στηρίξαι, [r] σθενώσαι, [s] θεμελιώσαι.

[o] πάσχω.
[p] ἀρτίζω.
[q] στηρίζω.
[r] σθένος.
[s] θεμέλιος.

11 Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

12 Διὰ Σιλουανοῦ ὑμῖν τοῦ πιστοῦ ἀδελφοῦ, ὡς λογίζομαι, δι' ὀλίγων [t] ἔγραψα, παρακαλῶν καὶ ἐπιμαρτυρῶν ταύτην [u] εἶναι ἀληθῆ χάριν τοῦ Θεοῦ εἰς ἣν [l] ἑστήκατε.

[t] γράφω.
[u] εἰμί.

13 Ἀσπάζεται ὑμᾶς ἡ ἐν Βαβυλῶνι συνεκλεκτὴ καὶ Μάρκος ὁ υἱός μου.

14 Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἀγάπης. Εἰρήνη ὑμῖν πᾶσι τοῖς ἐν Χριστῷ Ἰησοῦ. Ἀμήν.

ΠΕΤΡΟΥ

ΠΕΤΡΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ ΔΕΥΤΕΡΑ.

Κεφάλαιον α. Caput I.

Συμεὼν Πέτρος δοῦλος καὶ ἀπό-
[a] τίω. στολος Ἰησοῦ Χριστοῦ, τοῖς [a] ἰσό-
[b] λαγχάνω. τιμον ἡμῖν [b] λαχοῦσι πίστιν ἐν
δικαιοσύνῃ τοῦ Θεοῦ ἡμῶν καὶ σω-
τῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ·

[c] πλήθω. 2 Χάρις ὑμῖν καὶ εἰρήνη [c] πληθυνθείη ἐν
ἐπιγνώσει τοῦ Θεοῦ, καὶ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν.

3 Ὡς πάντα ἡμῖν τῆς θείας δυνάμεως αὐτοῦ
[d] δῶρον. τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν [d] δεδωρημένης, διὰ
[e] καλέω. τῆς ἐπιγνώσεως τοῦ [e] καλέσαντος ἡμᾶς διὰ δόξης
καὶ ἀρετῆς.

4 Δι' ὧν τὰ μέγιστα ἡμῖν καὶ τίμια ἐπαγγέλ-
[f] γίνομαι. ματα [d] δεδώρηται, ἵνα διὰ τούτων [f] γένησθε
θείας κοινωνοὶ φύσεως, ἀποφυγόντες τῆς ἐν
κόσμῳ ἐν ἐπιθυμίᾳ φθορᾶς.

[g] φέρω. 5 Καὶ αὐτὸ τοῦτο δὲ σπουδὴν πᾶσαν [g] παρει-
[h] ἄγω. σενέγκαντες, [h] ἐπιχορηγήσατε ἐν τῇ πίστει ὑμῶν
τὴν ἀρετήν, ἐν δὲ τῇ ἀρετῇ τὴν γνῶσιν.

6. Ἐν δὲ τῇ γνώσει τὴν ἐγκράτειαν, ἐν δὲ τῇ
ἐγκρατείᾳ τὴν ὑπομονήν, ἐν δὲ τῇ ὑπομονῇ τὴν
εὐσέβειαν,

7 Ἐν δὲ τῇ εὐσεβείᾳ τὴν φιλαδελφίαν, ἐν δὲ
τῇ φιλαδελφίᾳ τὴν ἀγάπην.

8 Ταῦτα γὰρ ὑμῖν ὑπάρχοντα, καὶ πλεονά-
[i] ἵστημι. ζοντα, οὐκ ἀργοὺς οὐδὲ ἀκάρπους [i] καθίστησιν εἰς
τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπίγνωσιν.

[k] εἰμί. 9 Ὧ γὰρ μὴ [k] πάρεστι ταῦτα, τυφλός [k] ἐστι,
[l] λαμβάνω. μυωπάζων, λήθην [l] λαβὼν τοῦ καθαρισμοῦ τῶν
πάλαι αὐτοῦ ἁμαρτιῶν.

10 Διὸ μᾶλλον, ἀδελφοὶ, [m] σπουδάσατε βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι· ταῦτα γὰρ ποιοῦντες οὐ μὴ [n] πταίσητέ ποτε.

11 Οὕτω γὰρ πλουσίως [h] ἐπιχορηγηθήσεται ὑμῖν ἡ εἴσοδος εἰς τὴν αἰώνιον βασιλείαν τοῦ Κυρίου ἡμῶν, καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ.

12 Διὸ οὐκ ἀμελήσω ὑμᾶς αἰεὶ ὑπομιμνήσκειν περὶ τούτων, καίπερ εἰδότας, [o] καὶ ἐστηριγμένους ἐν τῇ [k] παρούσῃ ἀληθείᾳ.

13 Δίκαιον δὲ ἡγοῦμαι, ἐφ' ὅσον εἰμὶ ἐν τούτῳ τῷ σκηνώματι, διεγείρειν ὑμᾶς ἐν ὑπομνήσει.

14 [p] Εἰδὼς ὅτι ταχινή [k] ἐστιν ἡ ἀπόθεσις τοῦ σκηνώματός μου, καθὼς καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς [q] ἐδήλωσέ μοι.

15 [m] Σπουδάσω δὲ καὶ ἑκάστοτε ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν ἔξοδον, τὴν τούτων μνήμην ποιεῖσθαι.

16 Οὐ γὰρ [r] σεσοφισμένοις μύθοις [ſ] ἐξακολουθήσαντες [t] ἐγνωρίσαμεν ὑμῖν τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμιν καὶ παρουσίαν, ἀλλ' ἐπόπται [ſ] γενηθέντες τῆς ἐκείνου μεγαλειότητος.

17 [l] Λαβὼν γὰρ παρὰ Θεοῦ πατρὸς τιμὴν καὶ δόξαν, φωνῆς [g] ἐνεχθείσης αὐτῷ τοιᾶσδε ὑπὸ τῆς μεγαλοπρεποῦς δόξης, Οὗτός [k] ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, εἰς ὃν ἐγὼ [u] εὐδόκησα.

18 Καὶ ταύτην τὴν φωνὴν ἡμεῖς [x] ἠκούσαμεν ἐξ οὐρανοῦ [g] ἐνεχθεῖσαν, σὺν αὐτῷ [k] ὄντες ἐν τῷ ὄρει τῷ ἁγίῳ.

19 Καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον· ᾧ καλῶς ποιεῖτε προσέχοντες, ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα [y] διαυγάσῃ, καὶ φωσφόρος [z] ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν.

20 Τοῦτο πρῶτον γινώσκοντες, ὅτι πᾶσα προφητεία γραφῆς, ἰδίας ἐπιλύσεως οὐ γίνεται.

21 Οὐ γὰρ θελήματι ἀνθρώπου [g] ἠνέχθη ποτὲ προφητεία, ἀλλ' ὑπὸ Πνεύματος ἁγίου φερόμενοι * ἐλάλησαν οἱ ἅγιοι Θεοῦ ἄνθρωποι.

Κεφ.

[m] σπεύδω.
[n] πταίω.
[o] στηρίζω.
[p] εἴδω.
[q] δηλόω.
[r] σοφός.
[ſ] ἀκόλουθος.
[t] γνωρίζω.
[u] δοκέω.
[x] ἀκούω.
[y] αὐγή.
[z] τέλλω.
* λαλέω.

Κεφ. β'. Cap. II.

[a] Ἐγένοντο δὲ καὶ ψευδοπροφῆται ἐν τῷ λαῷ, ὡς καὶ ἐν ὑμῖν [b] ἔσονται ψευδοδιδάσκαλοι, οἵτινες [c] παρεισάξουσι αἱρέσεις ἀπωλείας, καὶ τὸν [d] ἀγοράσαντα αὐτοὺς δεσπότην ἀρνούμενοι, ἐπάγοντες ἑαυτοῖς ταχινὴν ἀπώλειαν.

2 Καὶ πολλοὶ [e] ἐξακολουθήσουσιν αὐτῶν ταῖς ἀπωλείαις, δι' οὓς ἡ ὁδὸς τῆς ἀληθείας [f] βλασφημηθήσεται.

3 Καὶ ἐν πλεονεξίᾳ πλαστοῖς λόγοις ὑμᾶς [g] ἐμπορεύσονται· οἷς τὸ κρῖμα ἔκπαλαι οὐκ ἀργεῖ, καὶ ἡ ἀπώλεια αὐτῶν οὐ νυστάζει.

4 Εἰ γὰρ ὁ Θεὸς ἀγγέλων [h] ἁμαρτησάντων οὐκ [i] ἐφείσατο, ἀλλὰ σειραῖς ζόφου ταρταρώσας [k] παρέδωκεν εἰς κρίσιν [l] τετηρημένους·

5 Καὶ ἀρχαίου κόσμου οὐκ [i] ἐφείσατο, ἀλλ' ὄγδοον Νῶε δικαιοσύνης κήρυκα [m] ἐφύλαξε, κατακλυσμὸν κόσμῳ ἀσεβῶν [c] ἐπάξας·

6 Καὶ πόλεις Σοδόμων καὶ Γομόῤῥας [n] τεφρώσας καταστροφῇ [o] κατέκρινεν, ὑπόδειγμα μελλόντων ἀσεβεῖν [p] τεθεικώς·

7 Καὶ δίκαιον Λὼτ [q] καταπονούμενον ὑπὸ τῆς τῶν ἀθέσμων ἐν ἀσελγείᾳ ἀναστροφῆς, [r] ἐῤῥύσατο.

8 ([f] Βλέμματι γὰρ καὶ ἀκοῇ ὁ δίκαιος, ἐγκατοικῶν ἐν αὐτοῖς, ἡμέραν ἐξ ἡμέρας ψυχὴν δικαίαν ἀνόμοις ἔργοις [l] ἐβασάνισεν)

9 Οἶδε Κύριος εὐσεβεῖς ἐκ πειρασμοῦ [r] ῥύεσθαι, ἀδίκους δὲ εἰς ἡμέραν κρίσεως κολαζομένους τηρεῖν.

10 Μάλιστα δὲ τοὺς ὀπίσω σαρκὸς ἐν ἐπιθυμίᾳ μιασμοῦ πορευομένους, καὶ κυριότητος καταφρονοῦντας, τολμηταὶ, αὐθάδεις, δόξας οὐ τρέμουσι [f] βλασφημοῦντες.

11 Ὅπου ἄγγελοι ἰσχύϊ καὶ δυνάμει μείζονες [b] ὄντες, οὐ φέρουσι κατ' αὐτῶν παρὰ Κυρίῳ βλάσφημον κρίσιν·

12 Οὗτοι δὲ, ὡς ἄλογα ζῶα φυσικὰ, [a] γεγεννημένα εἰς ἅλωσιν καὶ φθορὰν, ἐν οἷς ἀγνοοῦσι βλα-

[a] γίνομαι.
[b] εἰμί.
[c] ἄγω.
[d] ἀγορά.
[e] ἀκόλουθος.
[f] φάω.
[g] πείρω.
[h] ἁμαρτάνω.
[i] φείδομαι.
[k] δίδωμι.
[l] τηρέω.
[m] φυλάττω.
[n] τέφρα.
[o] κρίνω.
[p] τίθημι.
[q] πένομαι.
[r] ῥύω.
[f] βλέπω.
[l] βάσανος.

βλασφημοῦντες, ἐν τῇ φθορᾷ αὐτῶν [n] καταφθαρήσονται.

13 Κομιούμενοι μισθὸν ἀδικίας, ἡδονὴν ἡγούμενοι τὴν ἐν ἡμέρᾳ τρυφήν, σπίλοι καὶ μῶμοι, ἐντρυφῶντες ἐν ταῖς ἀπάταις αὐτῶν, [x] συνευωχούμενοι ὑμῖν.

14 Ὀφθαλμοὺς ἔχοντες μεστοὺς μοιχαλίδος, καὶ ἀκαταπαύστους ἁμαρτίας· δελεάζοντες ψυχὰς ἀστηρίκτους, καρδίαν [y] γεγυμνασμένην πλεονεξίαις ἔχοντες, κατάρας τέκνα.

15 [z] Καταλιπόντες τὴν εὐθεῖαν ὁδόν, [a] ἐπλανήθησαν, [b] ἐξακολουθήσαντες τῇ ὁδῷ τοῦ Βαλαὰμ τοῦ Βοσόρ, ὃς μισθὸν ἀδικίας [c] ἠγάπησεν.

16 Ἔλεγξιν δὲ [d] ἔσχεν ἰδίας παρανομίας· ὑποζύγιον ἄφωνον, ἐν ἀνθρώπου φωνῇ [e] φθεγξάμενον, [f] ἐκώλυσε τὴν τοῦ προφήτου παραφρονίαν.

17 Οὗτοί [g] εἰσι πηγαὶ ἄνυδροι, νεφέλαι, ὑπὸ λαίλαπος ἐλαυνόμεναι, οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνα [h] τετήρηται.

18 [i] Ὑπέρογκα γὰρ ματαιότητος φθεγγόμενοι [k] δελεάζουσιν ἐν ἐπιθυμίαις σαρκός, ἐν ἀσελγείαις τοὺς ὄντως ἀποφυγόντας τοὺς ἐν πλάνῃ [l] ἀναστρεφομένους·

19 Ἐλευθερίαν αὐτοῖς ἐπαγγελλόμενοι, αὐτοὶ δοῦλοι ὑπάρχοντες τῆς φθορᾶς· ᾧ γάρ τις [m] ἥττηται, τούτῳ καὶ [n] δεδούλωται.

20 Εἰ γὰρ ἀποφυγόντες τὰ μιάσματα τοῦ κόσμου, ἐν ἐπιγνώσει τοῦ Κυρίου καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ, τούτοις δὲ πάλιν* ἐμπλακέντες ἡττῶνται, [o] γέγονεν αὐτοῖς τὰ ἔσχατα χείρονα τῶν πρώτων.

21 Κρεῖττον γὰρ [b] ἦν αὐτοῖς μὴ [p] ἐπεγνωκέναι τὴν ὁδὸν τῆς δικαιοσύνης, ἢ [p] ἐπιγνοῦσιν [l] ἐπιστρέψαι ἐκ τῆς [q] παραδοθείσης αὐτοῖς ἁγίας ἐντολῆς.

22 [r] Συμβέβηκε δὲ αὐτοῖς τὸ τῆς ἀληθοῦς παροιμίας, Κύων [l] ἐπιστρέψας ἐπὶ τὸ ἴδιον ἐξέραμα·

[n] φθείρω.
[x] εὐωχία.
[y] γυμνός.
[z] λείπω.
[a] πλάνη.
[b] ἀκόλουθος.
[c] ἀγαπάω.
[d] ἔχω.
[e] φθέγγομαι
[f] κωλύω.
[g] εἰμί.
[h] τηρέω.
[i] ὄγκος.
[k] δέλεαρ.
[l] στρέφω.
[m] ἥσσων.
[n] δοῦλος.
[*] πλέκω.
[o] γίνομαι.
[p] γινώσκω.
[q] δίδωμι.
[r] βαίνω.

ραμα· καὶ ὗς [f] λουσαμένη, εἰς κύλισμα βορβόρου.

[f] λούω.

Κεφ. γ'. Cap. III.

Ταύτην ἤδη, ἀγαπητοὶ, δευτέραν ὑμῖν, γράφω ἐπιστολὴν, ἐν αἷς διεγείρω ὑμῶν ἐν ὑπομνήσει τὴν εἰλικρινῆ διάνοιαν·

2 [a] Μνησθῆναι τῶν [b] προειρημένων ῥημάτων ὑπὸ τῶν ἁγίων προφητῶν, καὶ τῆς τῶν ἀποστόλων ἡμῶν ἐντολῆς, τοῦ Κυρίου καὶ σωτῆρος·

[a] μιμνήσκομαι.
[b] εἴρω.

3 Τοῦτο πρῶτον γινώσκοντες, ὅτι [c] ἐλεύσονται ἐπ' ἐσχάτου τῶν ἡμερῶν [d] ἐμπαῖκται, κατὰ τὰς ἰδίας αὐτῶν ἐπιθυμίας [e] πορευόμενοι·

[c] ἔρχομαι.
[d] παῖς.
[e] πείρω.

4 Καὶ λέγοντες, Ποῦ [f] ἐστιν ἡ ἐπαγγελία τῆς παρουσίας αὐτοῦ; ἀφ' ἧς γὰρ οἱ πατέρες [g] ἐκοιμήθησαν, πάντα οὕτω διαμένει ἀπ' ἀρχῆς κτίσεως.

[f] εἰμί.
[g] κοιμάω.

5 Λανθάνει γὰρ αὐτοὺς τοῦτο θέλοντας, ὅτι οὐρανοὶ [f] ἦσαν ἔκπαλαι, καὶ γῆ ἐξ ὕδατος καὶ δι' ὕδατος [h] συνεστῶσα, τῷ τοῦ Θεοῦ λόγῳ.

[h] ἵστημι.

6 Δι' ὧν ὁ τότε κόσμος ὕδατι [i] κατακλυσθεὶς [k] ἀπώλετο.

[i] κλύζω.
[k] ὀλλύω.

7 Οἱ δὲ νῦν οὐρανοὶ καὶ ἡ γῆ τῷ αὐτῷ λόγῳ [l] τεθησαυρισμένοι [f] εἰσὶ, πυρὶ τηρούμενοι εἰς ἡμέραν κρίσεως καὶ ἀπωλείας τῶν ἀσεβῶν ἀνθρώπων.

[l] ἄυριον.

8 Ἓν δὲ τοῦτο μὴ [m] λανθανέτω ὑμᾶς ἀγαπητοὶ, ὅτι μία ἡμέρα παρὰ Κυρίῳ ὡς χίλια ἔτη, καὶ χίλια ἔτη ὡς ἡμέρα μία.

[m] λανθάνω.

9 Οὐ βραδύνει ὁ Κύριος τῆς ἐπαγγελίας, (ὥς τινες βραδυτῆτα [n] ἡγοῦνται) ἀλλὰ μακροθυμεῖ εἰς ὑμᾶς, μὴ βουλόμενός τινας [o] ἀπολέσθαι, ἀλλὰ πάντας εἰς μετάνοιαν [p] χωρῆσαι.

[n] ἡγέομαι.
[o] ὀλλύω.
[p] χῶρος.

10 [q] Ἥξει δὲ ἡ ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτὶ, ἐν ᾗ οἱ οὐρανοὶ ῥοιζηδὸν [r] παρελεύσονται, στοιχεῖα δὲ [s] καυσούμενα [t] λυθήσονται, καὶ γῆ καὶ τὰ ἐν αὐτῇ ἔργα [s] κατακαήσεται.

[q] ἥκω.
[r] ἔρχομαι.
[s] καίω.
[t] λύω.

11 Τούτων οὖν πάντων λυομένων, ποταποὺς δεῖ ὑπάρχειν ὑμᾶς ἐν ἁγίαις ἀναστροφαῖς καὶ εὐσεβείαις;

12 Προσδοκῶντας ϗ σπεύδοντας τὴν παρουσίαν τῆς τοῦ Θεοῦ ἡμέρας, δι' ἣν οὐρανοὶ πυρούμενοι [t] λυθήσονται, ϗ στοιχεῖα [s] καυσούμενα [u] τηκήσεται;

[u] τήκω.

13 Καινοὺς δὲ οὐρανοὺς ϗ γῆν καινὴν κατὰ τὸ ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν, ἐν οἷς δικαιοσύνη κατοικεῖ.

14 Διὸ, ἀγαπητοὶ, ταῦτα [x] προσδοκῶντες, [y] σπουδάσατε ἄσπιλοι ϗ ἀμώμητοι αὐτῷ [z] εὑρεθῆναι ἐν εἰρήνῃ·

[x] δοκέω.
[y] σπουδάζω.
[z] εὑρίσκω.

15 Καὶ τὴν τοῦ Κυρίου ἡμῶν μακροθυμίαν, σωτηρίαν [a] ἡγεῖσθε· καθὼς ϗ ὁ ἀγαπητὸς ἡμῶν ἀδελφὸς Παῦλος κατὰ τὴν αὐτῷ [b] δοθεῖσαν σοφίαν [c] ἔγραψεν ὑμῖν·

[a] ἡγέομαι.
[b] δίδωμι.
[c] γράφω.

16 Ὡς ϗ ἐν πάσαις ταῖς ἐπιστολαῖς λαλῶν ἐν αὐταῖς περὶ τούτων, ἐν οἷς ἐστι δυσνόητά τινα, ἃ οἱ ἀμαθεῖς ϗ ἀστήρικτοι [d] στρεβλοῦσιν, ὡς ϗ τὰς λοιπὰς γραφὰς, πρὸς τὴν ἰδίαν αὐτῶν ἀπώλειαν.

[d] στρεβλόω.

17 Ὑμεῖς οὖν, ἀγαπητοὶ, προγινώσκοντες, φυλάσσεσθε ἵνα μὴ τῇ τῶν ἀθέσμων πλάνῃ [e] συναπαχθέντες, [f] ἐκπέσητε τοῦ ἰδίου στηριγμοῦ.

[e] ἄγω.
[f] πίπτω.

18 [g] Αὐξάνετε δὲ ἐν χάριτι ϗ γνώσει τοῦ Κυρίου ἡμῶν ϗ σωτῆρος Ἰησοῦ Χριστοῦ· αὐτῷ ἡ δόξα ϗ νῦν ϗ εἰς ἡμέραν αἰῶνος. Ἀμήν.

[g] αὐξάνω.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ
ΠΡΩΤΗ.

Κεφάλαιον α΄. Caput I.

[a] εἰμί.
[b] ἀκούω.
[c] ὁράω.
[d] θεάομαι.
[e] ἅπτω.
[f] φαίνω.
[g] μάρτυρ.

Ὃ [a] ἮΝ ἀπ' ἀρχῆς, ὃ [b] ἀκηκόαμεν, ὃ [c] ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ [d] ἐθεασάμεθα, καὶ αἱ χεῖρες ἡμῶν [e] ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς.

2 (Καὶ ἡ ζωὴ [f] ἐφανερώθη, καὶ [c] ἑωράκαμεν, καὶ [g] μαρτυροῦμεν, καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν αἰώνιον, ἥτις [a] ἦν πρὸς τὸν πατέρα, καὶ [f] ἐφανερώθη ἡμῖν)

[h] ἔχω.

3 Ὃ [c] ἑωράκαμεν καὶ [b] ἀκηκόαμεν, ἀπαγγέλλομεν ὑμῖν, ἵνα καὶ ὑμεῖς κοινωνίαν [h] ἔχητε μεθ' ἡμῶν· καὶ ἡ κοινωνία δὲ ἡ ἡμετέρα μετὰ τοῦ πατρὸς καὶ μετὰ τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ.

[i] πλέος.

4 Καὶ ταῦτα γράφομεν ὑμῖν ἵνα ἡ χαρὰ ὑμῶν [a] ᾖ [i] πεπληρωμένη.

5 Καὶ αὕτη [a] ἐστὶν ἡ ἐπαγγελία ἣν [b] ἀκηκόαμεν ἀπ' αὐτοῦ, καὶ ἀναγγέλλομεν ὑμῖν, ὅτι ὁ Θεὸς φῶς [a] ἐστι, καὶ σκοτία ἐν αὐτῷ οὐκ [a] ἔστιν οὐδεμία.

6 Ἐὰν εἴπωμεν ὅτι κοινωνίαν ἔχομεν μετ' αὐτοῦ, καὶ ἐν τῷ σκότει περιπατῶμεν, ψευδόμεθα, καὶ οὐ ποιοῦμεν τὴν ἀλήθειαν.

7 Ἐὰν δὲ ἐν τῷ φωτὶ περιπατῶμεν, ὡς αὐτός [a] ἐστιν ἐν τῷ φωτί, κοινωνίαν ἔχομεν μετ' ἀλλήλων, καὶ τὸ αἷμα Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ αὐτοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας.

8 Ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν, καὶ ἡ ἀλήθεια οὐκ [a] ἔστιν ἐν ἡμῖν.

9 Ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός [a] ἐστι καὶ δίκαιος, ἵνα [k] ἀφῇ ἡμῖν τὰς ἁμαρτίας, καὶ [l] καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας.

[k] ἵω.
[l] καθαίρω.

10 Ἐὰν εἴπωμεν ὅτι οὐχ [m] ἡμαρτήκαμεν, ψεύστην ποιοῦμεν αὐτὸν, καὶ ὁ λόγος αὐτοῦ οὐκ [a] ἔστιν ἐν ἡμῖν.

[m] ἁμαρτάνω.

Κεφ. β'. Cap. II.

Τεκνία μου, ταῦτα γράφω ὑμῖν, ἵνα μὴ [a] ἁμάρτητε· καὶ ἐάν τις [a] ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν πατέρα, Ἰησοῦν Χριστὸν δίκαιον.

[a] ἁμαρτάνω.

2 Καὶ αὐτὸς ἱλασμός [b] ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν· οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου.

[b] εἴκω.

3 Καὶ ἐν τούτῳ [c] γινώσκομεν ὅτι [c] ἐγνώκαμεν αὐτὸν, ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν.

[c] γινώσκω.

4 Ὁ λέγων, [c] Ἔγνωκα αὐτὸν, καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν, ψεύστης [b] ἐστὶ, καὶ ἐν τούτῳ ἡ ἀλήθεια οὐκ ἔστιν.

5 Ὃς δ' ἂν τηρῇ αὐτοῦ τὸν λόγον, ἀληθῶς ἐν τούτῳ ἡ ἀγάπη τοῦ Θεοῦ [d] τετελείωται· ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ [b] ἐσμέν.

[d] τέλος.

6 Ὁ λέγων ἐν αὐτῷ μένειν, ὀφείλει, καθὼς ἐκεῖνος [e] περιεπάτησε, καὶ αὐτὸς οὕτως [e] περιπατεῖν.

[e] πατέω.

7 Ἀδελφοὶ, οὐκ ἐντολὴν καινὴν γράφω ὑμῖν, ἀλλ' ἐντολὴν παλαιὰν, ἣν εἴχετε ἀπ' ἀρχῆς· ἡ ἐντολὴ ἡ παλαιὰ [b] ἔστιν ὁ λόγος ὃν [f] ἠκούσατε ἀπ' ἀρχῆς.

[f] ἀκούω.

8 Πάλιν ἐντολὴν καινὴν γράφω ὑμῖν, ὅ ἐστιν ἀληθὲς ἐν αὐτῷ, καὶ ἐν ὑμῖν, ὅτι ἡ σκοτία [g] παράγεται, καὶ τὸ φῶς τὸ ἀληθινὸν ἤδη φαίνει.

[g] ἄγω.

9 Ὁ λέγων ἐν τῷ φωτὶ [b] εἶναι, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῶν, ἐν τῇ σκοτίᾳ [b] ἐστὶν ἕως ἄρτι.

10 Ὁ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ φωτὶ μένει, καὶ σκάνδαλον ἐν αὐτῷ οὐκ [b] ἔστιν.

11 Ὁ δὲ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῇ σκοτίᾳ [b] ἐστὶ, καὶ ἐν τῇ σκοτίᾳ περιπατεῖ· καὶ οὐκ [h] οἶδε ποῦ ὑπάγει, ὅτι ἡ σκοτία [i] ἐτύφλωσε τοὺς ὀφθαλμοὺς αὐτοῦ.

[h] εἴδω.
[i] τυφλός.

12 Γράφω

[k] ἵω.

12 Γράφω ὑμῖν, τεκνία, ὅτι [k] ἀφέωνται ὑμῖν αἱ ἁμαρτίαι διὰ τὸ ὄνομα αὐτοῦ.

[l] νικάω.

13 Γράφω ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. Γράφω ὑμῖν, νεανίσκοι, ὅτι [l] νενικήκατε τὸν πονηρόν· γράφω ὑμῖν, παιδία, ὅτι [c] ἐγνώκατε τὸν πατέρα.

[m] γράφω.

14 [m] Ἔγραψα ὑμῖν, πατέρες, ὅτι [c] ἐγνώκατε τὸν ἀπ' ἀρχῆς· ἔγραψα ὑμῖν, νεανίσκοι, ὅτι ἰσχυροί [b] ἐστε, καὶ ὁ λόγος τοῦ Θεοῦ ἐν ὑμῖν μένει, καὶ [l] νενικήκατε τὸν πονηρόν.

15 Μὴ ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν τῷ κόσμῳ· ἐάν τις ἀγαπᾷ τὸν κόσμον, οὐκ [b] ἔστιν ἡ ἀγάπη τοῦ πατρὸς ἐν αὐτῷ.

16 Ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ, ἡ ἐπιθυμία τῆς σαρκὸς, καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν, καὶ ἡ ἀλαζονεία τοῦ βίου, οὐκ [b] ἔστιν ἐκ τοῦ πατρὸς, ἀλλ' ἐκ τοῦ κόσμου [b] ἐστι.

[n] ἄγω.

17 Καὶ ὁ κόσμος [n] παράγεται, καὶ ἡ ἐπιθυμία αὐτοῦ· ὁ δὲ ποιῶν τὸ θέλημα τοῦ Θεοῦ μένει εἰς τὸν αἰῶνα.

[o] γίνομαι.

18 Παιδία, ἐσχάτη ὥρα [b] ἐστί· καὶ καθὼς ἠκούσατε ὅτι ὁ ἀντίχριστος ἔρχεται, καὶ νῦν ἀντίχριστοι πολλοὶ [o] γεγόνασιν· ὅθεν γινώσκομεν ὅτι ἐσχάτη ὥρα [b] ἐστίν.

[p] ἔρχομαι.
[q] μένω.
[r] φαίνω.

19 Ἐξ ἡμῶν [p] ἐξῆλθον, ἀλλ' [b] οὐκ ἦσαν ἐξ ἡμῶν· εἰ γὰρ [b] ἦσαν ἐξ ἡμῶν, [q] μεμενήκεισαν ἂν μεθ' ἡμῶν· ἀλλ' ἵνα [r] φανερωθῶσιν ὅτι οὐκ [b] εἰσὶ πάντες ἐξ ἡμῶν.

20 Καὶ ὑμεῖς χρίσμα ἔχετε ἀπὸ τοῦ ἁγίου, καὶ [h] οἴδατε πάντα.

21 [m] Οὐκ [m] ἔγραψα ὑμῖν ὅτι οὐκ οἴδατε τὴν ἀλήθειαν, ἀλλ' ὅτι [h] οἴδατε αὐτὴν, καὶ ὅτι πᾶν ψεῦδος ἐκ τῆς ἀληθείας οὐκ [b] ἔστι.

22 Τίς [b] ἐστιν ὁ ψεύστης, εἰ μὴ ὁ ἀρνούμενος ὅτι Ἰησοῦς οὐκ [b] ἔστιν ὁ Χριστός; οὗτός [b] ἐστιν ὁ ἀντίχριστος, ὁ ἀρνούμενος τὸν πατέρα, καὶ τὸν υἱόν.

23 Πᾶς ὁ ἀρνούμενος τὸν υἱὸν, οὐδὲ τὸν πατέρα ἔχει· ὁ ὁμολογῶν τὸν πατέρα, καὶ τὸν υἱὸν ἔχει.

24 Ὑμεῖς οὖν ὃ [f] ἠκούσατε ἀπ' ἀρχῆς, ἐν

ὑμῖν [ſ] μενέτω· ἐὰν ἐν ὑμῖν [t] μείνῃ ὃ ἀπ' ἀρχῆς [f] ἠκούσατε, ϗ ὑμεῖς ἐν τῷ υἱῷ ϗ ἐν τῷ πατρὶ [ſ] μενεῖτε.

25 Καὶ αὕτη [b] ἐστὶν ἡ ἐπαγγελία ἣν αὐτὸς [t] ἐπηγγείλατο ἡμῖν, τὴν ζωὴν τὴν αἰώνιον.

[ſ] μένω.
[t] ἀγγέλλω.

26 Ταῦτα [m] ἔγραψα ὑμῖν περὶ τῶν πλανώντων ὑμᾶς.

27 Καὶ ὑμεῖς τὸ χρῖσμα ὃ [u] ἐλάβετε ἀπ' αὐτοῦ, ἐν ὑμῖν μένει· ϗ οὐ χρείαν ἔχετε ἵνα τις διδάσκῃ ὑμᾶς· ἀλλ' ὡς τὸ αὐτὸ χρῖσμα διδάσκει ὑμᾶς περὶ πάντων, ϗ ἀληθές [b] ἐστι, ϗ οὐκ [b] ἔστι ψεῦδος· ϗ καθὼς [x] ἐδίδαξεν ὑμᾶς, [t] μενεῖτε ἐν αὐτῷ.

[u] λαμβάνω.
[x] διδάσκω.

28 Καὶ νῦν, τεκνία, [ſ] μένετε ἐν αὐτῷ· ἵνα ὅταν [r] φανερωθῇ, ἔχωμεν παῤῥησίαν, ϗ μὴ [y] αἰσχυνθῶμεν ἀπ' αὐτοῦ, ἐν τῇ παρουσίᾳ αὐτοῦ.

[y] αἶσχος.

29 Ἐὰν [h] εἰδῆτε ὅτι δίκαιός [b] ἐστι, γινώσκετε ὅτι πᾶς ὁ ποιῶν τὴν δικαιοσύνην, ἐξ αὐτοῦ [z] γεγέννηται.

Κεφ. γ'. Cap. III.

1 Ἴδετε ποταπὴν ἀγάπην [a] δέδωκεν ἡμῖν ὁ πατὴρ, ἵνα τέκνα Θεοῦ [b] κληθῶμεν· διὰ τοῦτο ὁ κόσμος οὐ γινώσκει ἡμᾶς, ὅτι οὐκ [c] ἔγνω αὐτόν.

[a] δίδωμι.
[b] καλέω.
[c] γινώσκω.

2 Ἀγαπητοὶ, νῦν τέκνα Θεοῦ [d] ἐσμὲν, ϗ οὔπω [e] ἐφανερώθη τί [d] ἐσόμεθα· [f] οἴδαμεν δὲ ὅτι ἐὰν [e] φανερωθῇ, ὅμοιοι αὐτῷ [d] ἐσόμεθα, ὅτι [e] ὀψόμεθα αὐτὸν καθώς [d] ἐστι.

[d] εἰμί.
[e] φαίνω.
[f] εἴδω.

3 Καὶ πᾶς ὁ ἔχων τὴν ἐλπίδα ταύτην ἐπ' αὐτῷ, ἁγνίζει ἑαυτὸν, καθὼς ἐκεῖνος ἁγνός [c] ἐστι.

4 Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, ϗ τὴν ἀνομίαν ποιεῖ· ϗ ἡ ἁμαρτία [d] ἐστὶν ἡ ἀνομία.

5 Καὶ [f] οἴδατε ὅτι ἐκεῖνος [e] ἐφανερώθη, ἵνα τὰς ἁμαρτίας ἡμῶν [h] ἄρῃ, ϗ ἁμαρτία ἐν αὐτῷ οὐκ [d] ἔστι.

[h] αἴρω.

6 Πᾶς ὁ ἐν αὐτῷ μένων οὐχ ἁμαρτάνει· πᾶς ὁ ἁμαρτάνων, οὐχ [i] ἑώρακεν αὐτὸν, οὐδὲ [e] ἔγνωκεν αὐτόν.

[i] ὁράω.

7 Τεκνία, μηδεὶς πλανάτω ὑμᾶς· ὁ ποιῶν

τὴν δικαιοσύνην, δίκαιός [d] ἐστι, καθὼς ἐκεῖνος δίκαιός ἐστιν.

[k] λύω.

8 Ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου [d] ἐστίν· ὅτι ἀπ᾽ ἀρχῆς ὁ διάβολος ἁμαρτάνει· εἰς τοῦτο [e] ἐφανερώθη ὁ υἱὸς τοῦ Θεοῦ ἵνα [k] λύσῃ τὰ ἔργα τοῦ διαβόλου.

[l] γεννάω.

9 Πᾶς ὁ [l] γεγεννημένος ἐκ τοῦ Θεοῦ ἁμαρτίαν οὐ ποιεῖ· ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει· καὶ οὐ δύναται ἁμαρτάνειν, ὅτι ἐκ τοῦ Θεοῦ [l] γεγέννηται.

10 Ἐν τούτῳ φανερά [c] ἐστι τὰ τέκνα τοῦ Θεοῦ, καὶ τὰ τέκνα τοῦ διαβόλου· πᾶς ὁ μὴ ποιῶν δικαιοσύνην, οὐκ [d] ἔστιν ἐκ τοῦ Θεοῦ, καὶ ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ.

[m] ἀκούω.

11 Ὅτι αὕτη [d] ἐστὶν ἡ ἀγγελία ἣν [m] ἠκούσατε ἀπ᾽ ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους.

12 Οὐ καθὼς Κάϊν ἐκ τοῦ πονηροῦ [d] ἦν, καὶ [n] ἔσφαξε τὸν ἀδελφὸν αὐτοῦ· καὶ χάριν τίνος [n] ἔσφαξεν αὐτόν; ὅτι τὰ ἔργα αὐτοῦ πονηρὰ [c] ἦν, τὰ δὲ τοῦ ἀδελφοῦ αὐτοῦ δίκαια.

13 Μὴ θαυμάζετε, ἀδελφοί μου, εἰ μισεῖ ὑμᾶς ὁ κόσμος.

[o] βαίνω.

14 Ἡμεῖς [f] οἴδαμεν ὅτι [o] μεταβεβήκαμεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν, ὅτι ἀγαπῶμεν τοὺς ἀδελφούς· ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν, μένει ἐν τῷ θανάτῳ.

[p] κτείνω.

15 Πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, [p] ἀνθρωποκτόνος [c] ἐστί· καὶ [f] οἴδατε ὅτι πᾶς [p] ἀνθρωποκτόνος οὐκ ἔχει ζωὴν αἰώνιον ἐν αὐτῷ μένουσαν[c].

16 Ἐν τούτῳ [c] ἐγνώκαμεν τὴν ἀγάπην τοῦ Θεοῦ, ὅτι ἐκεῖνος ὑπὲρ ἡμῶν τὴν ψυχὴν αὐτοῦ [q] ἔθηκε· καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ τῶν ἀδελφῶν τὰς ψυχὰς [q] τιθέναι.

[q] τίθημι.

[r] κλείω.

17 Ὃς δ᾽ ἂν ἔχῃ τὸν βίον τοῦ κόσμου, καὶ θεωρῇ τὸν ἀδελφὸν αὐτοῦ χρείαν ἔχοντα· καὶ [r] κλείσῃ τὰ σπλάγχνα αὐτοῦ ἀπ᾽ αὐτοῦ, πῶς ἡ ἀγάπη τοῦ Θεοῦ μένει ἐν αὐτῷ;

18 Τεκνία μου, μὴ ἀγαπῶμεν λόγῳ μηδὲ γλώσσῃ, ἀλλ᾽ ἔργῳ καὶ ἀληθείᾳ.

19 Καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐκ τῆς ἀληθείας [c] ἐσμὲν, καὶ ἔμπροσθεν αὐτοῦ [f] πείσομεν τὰς καρδίας ἡμῶν,

[f] πείθω.

20 Ὅτι ἐὰν καταγινώσκῃ ἡμῶν ἡ καρδία, ὅτι μείζων [c] ἐστὶν ὁ Θεὸς τῆς καρδίας ἡμῶν, καὶ γινώσκει πάντα.

21 Ἀγαπητοὶ, ἐὰν ἡ καρδία ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παῤῥησίαν ἔχομεν πρὸς τὸν Θεόν.

22 Καὶ ὃ ἐὰν αἰτῶμεν, λαμβάνομεν παρ' αὐτοῦ, ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν, καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιοῦμεν.

23 Καὶ αὕτη [c] ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιστεύσωμεν τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ, καὶ ἀγαπῶμεν ἀλλήλους, καθὼς [a] ἔδωκεν ἐντολὴν ἡμῖν.

24 Καὶ ὁ τηρῶν τὰς ἐντολὰς αὐτοῦ, ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν αὐτῷ· καὶ ἐν τούτῳ γινώσκομεν ὅτι μένει ἐν ἡμῖν, ἐκ τοῦ πνεύματος οὗ ἡμῖν [a] ἔδωκεν.

Κεφ. δ'. Cap. IV.

Ἀγαπητοὶ, μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ δοκιμάζετε τὰ πνεύματα εἰ ἐκ τοῦ Θεοῦ [a] ἐστιν· ὅτι πολλοὶ ψευδοπροφῆται [b] ἐξεληλύθασιν εἰς τὸν κόσμον.

[a] εἰμί.
[b] ἔρχομαι.

2 Ἐν τούτῳ γινώσκετε τὸ πνεῦμα τοῦ Θεοῦ· πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ [b] ἐληλυθότα, ἐκ τοῦ Θεοῦ [a] ἐστι.

3 Καὶ πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ τὸν Ἰησοῦν Χριστὸν ἐν σαρκὶ [b] ἐληλυθότα, ἐκ τοῦ Θεοῦ οὐκ [a] ἔστι· καὶ τοῦτό [c] ἐστι τὸ τοῦ ἀντιχρίστου, ὃ [c] ἀκηκόατε ὅτι ἔρχεται, καὶ νῦν ἐν τῷ κόσμῳ [a] ἐστὶν ἤδη.

[c] ἀκούω.

4 Ὑμεῖς ἐκ τοῦ Θεοῦ [a] ἐστε, τεκνία, καὶ [d] νενικήκατε αὐτούς· ὅτι μείζων [a] ἐστὶν ὁ ἐν ὑμῖν ἢ ὁ ἐν τῷ κόσμῳ.

[d] νικάω.

5 Αὐτοὶ ἐκ τοῦ κόσμου [a] εἰσί· διὰ τοῦτο ἐκ τοῦ κόσμου λαλοῦσι, καὶ ὁ κόσμος αὐτῶν ἀκούει.

6 Ἡμεῖς ἐκ τοῦ Θεοῦ [a] ἐσμέν· ὁ γινώσκων τὸν Θεὸν, ἀκούει ἡμῶν· ὃς οὐκ [a] ἔστιν ἐκ τοῦ Θεοῦ, οὐκ ἀκούει ἡμῶν· ἐκ τούτου γινώσκομεν τὸ πνεῦμα

τῆς ἀληθείας, καὶ τὸ πνεῦμα τῆς πλάνης.

[e] γεννάομαι. [f] γινώσκω.

7 Ἀγαπητοὶ, ἀγαπῶμεν ἀλλήλους· ὅτι ἡ ἀγάπη ἐκ τοῦ Θεοῦ [a] ἐστί· καὶ πᾶς ὁ ἀγαπῶν ἐκ τοῦ Θεοῦ [e] γεγέννηται, καὶ γινώσκει τὸν Θεόν.

8 Ὁ μὴ ἀγαπῶν, οὐκ [f] ἔγνω τὸν Θεόν· ὅτι ὁ Θεὸς ἀγάπη [a] ἐστίν.

[g] στέλλω. [h] ζάω.

9 Ἐν τούτῳ ἐφανερώθη ἡ ἀγάπη τοῦ Θεοῦ ἐν ἡμῖν, ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ [g] ἀπέσταλκεν ὁ Θεὸς εἰς τὸν κόσμον, ἵνα [h] ζήσωμεν δι' αὐτοῦ.

[i] ἀγαπάω.

10 Ἐν τούτῳ [a] ἐστὶν ἡ ἀγάπη, οὐχ ὅτι ἡμεῖς [i] ἠγαπήσαμεν τὸν Θεὸν, ἀλλ' ὅτι αὐτὸς [i] ἠγάπησεν ἡμᾶς, καὶ [g] ἀπέστειλε τὸν υἱὸν αὐτοῦ ἱλασμὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν.

11 Ἀγαπητοὶ, εἰ οὕτως ὁ Θεὸς [i] ἠγάπησεν ἡμᾶς, καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾷν.

[k] θεάομαι. [l] τέλος.

12 Θεὸν οὐδεὶς πώποτε [k] τεθέαται. ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν μένει, καὶ ἡ ἀγάπη αὐτοῦ [l] τετελειωμένη [a] ἐστὶν ἐν ἡμῖν.

[m] δίδωμι.

13 Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ πνεύματος αὐτοῦ [m] δέδωκεν ἡμῖν.

14 Καὶ ἡμεῖς [k] τεθεάμεθα καὶ μαρτυροῦμεν, ὅτι ὁ πατὴρ [g] ἀπέσταλκε τὸν υἱὸν σωτῆρα τοῦ κόσμου.

[*] λέγω.

15 Ὃς ἂν [*] ὁμολογήσῃ ὅτι Ἰησοῦς [a] ἐστὶν ὁ υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν τῷ Θεῷ.

[n] γινώσκω. [o] πίστις.

16 Καὶ ἡμεῖς [n] ἐγνώκαμεν καὶ [o] πεπιστεύκαμεν τὴν ἀγάπην ἣν ἔχει ὁ Θεὸς ἐν ἡμῖν· ὁ Θεὸς ἀγάπη [a] ἐστί· καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ.

[p] τέλος.

17 Ἐν τούτῳ [p] τετελείωται ἡ ἀγάπη μεθ' ἡμῶν, ἵνα παῤῥησίαν ἔχωμεν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως· ὅτι καθὼς ἐκεῖνός [a] ἐστι, καὶ ἡμεῖς [a] ἐσμὲν ἐν τῷ κόσμῳ τούτῳ.

18 Φόβος οὐκ [a] ἔστιν ἐν τῇ ἀγάπῃ, ἀλλ' ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον· ὅτι ὁ φόβος κόλασιν ἔχει· ὁ δὲ φοβούμενος οὐ [p] τετελείωται ἐν τῇ ἀγάπῃ.

19 Ἡμεῖς [i] ἀγαπῶμεν αὐτὸν, ὅτι αὐτὸς πρῶτον [i] ἠγάπησεν ἡμᾶς.

20 Ἐάν τις εἴπῃ, Ὅτι ἀγαπῶ τὸν Θεὸν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης [a] ἐστίν· ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ὃν [q] ἑώρακε, τὸν Θεὸν ὃν οὐχ [q] ἑώρακε, πῶς δύναται ἀγαπᾷν;

q ὁράω.

21 Καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ' αὐτοῦ, ἵνα ὁ ἀγαπῶν τὸν Θεὸν, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ.

Κεφ. ε. Cap. V.

Πᾶς ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς, ἐκ τοῦ Θεοῦ [a] γεγέννηται· καὶ πᾶς ὁ ἀγαπῶν τὸν [a] γεννήσαντα, ἀγαπᾷ καὶ τὸν [a] γεγεννημένον ἐξ αὐτοῦ.

a γεννάω.

2 Ἐν τούτῳ γινώσκομεν ὅτι ἀγαπῶμεν τὰ τέκνα τοῦ Θεοῦ, ὅταν τὸν Θεὸν ἀγαπῶμεν, καὶ τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν.

3 Αὕτη γάρ [b] ἐστιν ἡ ἀγάπη τοῦ Θεοῦ, ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν, καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσιν.

b εἰμί.

4 Ὅτι πᾶν τὸ [a] γεγεννημένον ἐκ τοῦ Θεοῦ νικᾷ τὸν κόσμον· καὶ αὕτη [b] ἐστὶν ἡ νίκη ἡ [c] νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν.

c νικάω.

5 Τίς [b] ἐστιν ὁ νικῶν τὸν κόσμον εἰ μὴ ὁ πιστεύων ὅτι Ἰησοῦς [b] ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ.

6 Οὗτός [b] ἐστιν ὁ [d] ἐλθὼν δι' ὕδατος καὶ αἵματος, Ἰησοῦς ὁ Χριστὸς· οὐκ ἐν τῷ ὕδατι μόνον, ἀλλ' ἐν τῷ ὕδατι καὶ τῷ αἵματι· καὶ τὸ πνεῦμά [b] ἐστι τὸ μαρτυροῦν ὅτι τὸ πνεῦμά [b] ἐστιν ἡ ἀλήθεια.

d ἔρχομαι.

7 Ὅτι τρεῖς [b] εἰσιν οἱ [e] μαρτυροῦντες ἐν τῷ οὐρανῷ, ὁ Πατὴρ, καὶ ὁ Λόγος, καὶ τὸ ἅγιον Πνεῦμα· καὶ οὗτοι οἱ τρεῖς ἕν [b] εἰσι.

e μαρτυρέω.

8 Καὶ τρεῖς εἰσιν οἱ [e] μαρτυροῦντες ἐν τῇ γῇ, τὸ πνεῦμα, καὶ τὸ ὕδωρ, καὶ τὸ αἷμα· καὶ οἱ τρεῖς εἰς τὸ ἕν [b] εἰσιν.

9 Εἰ τὴν μαρτυρείαν τῶν ἀνθρώπων λαμβάνομεν, ἡ μαρτυρεία τοῦ Θεοῦ μείζων [b] ἐστίν· ὅτι αὕτη [b] ἐστὶν ἡ μαρτυρεία τοῦ Θεοῦ ἣν [o] μεμαρτύρηκε περὶ τοῦ υἱοῦ αὐτοῦ.

f ποιέω.
g πίστις.

10 Ὁ πιστεύων εἰς τὸν υἱὸν τοῦ Θεοῦ, ἔχει τὴν μαρτυρίαν ἐν ἑαυτῷ· ὁ μὴ πιστεύων τῷ Θεῷ, ψεύστην [f] πεποίηκεν αὐτὸν, ὅτι οὐ [g] πεπίστευκεν εἰς τὴν μαρτυρίαν ἣν [e] μεμαρτύρηκεν ὁ Θεὸς περὶ τοῦ υἱοῦ αὐτοῦ.

h δίδωμι.

11 Καὶ αὕτη [b] ἐστὶν ἡ μαρτυρία, ὅτι ζωὴν αἰώνιον [h] ἔδωκεν ἡμῖν ὁ Θεός· καὶ αὕτη ἡ ζωὴ ἐν τῷ υἱῷ αὐτοῦ [b] ἐστιν.

12 Ὁ ἔχων τὸν υἱὸν, ἔχει τὴν ζωήν· ὁ μὴ ἔχων τὸν υἱὸν τοῦ Θεοῦ, τὴν ζωὴν οὐκ ἔχει.

i γράφω.

13 Ταῦτα [i] ἔγραψα ὑμῖν τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ Θεοῦ· ἵνα εἰδῆτε ὅτι ζωὴν ἔχετε αἰώνιον, καὶ ἵνα πιστεύητε εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ Θεοῦ.

k αἰτέω.

14 Καὶ αὕτη [b] ἐστὶν ἡ παῤῥησία ἣν ἔχομεν πρὸς αὐτὸν, ὅτι ἐάν τι [k] αἰτώμεθα κατὰ τὸ θέλημα αὐτοῦ, ἀκούει ἡμῶν.

l εἴδω.

15 Καὶ ἐὰν [l] οἴδαμεν ὅτι ἀκούει ἡμῶν, ὃ ἂν [k] αἰτώμεθα, [l] οἴδαμεν ὅτι ἔχομεν τὰ αἰτήματα ἃ [k] ἠτήκαμεν παρ᾽ αὐτοῦ.

m ἐρωτάω.

16 Ἐάν τις [l] εἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα ἁμαρτίαν μὴ πρὸς θάνατον, αἰτήσει, καὶ δώσει αὐτῷ ζωὴν, τοῖς ἁμαρτάνουσι μὴ πρὸς θάνατον· [b] ἔστιν ἁμαρτία πρὸς θάνατον, οὐ περὶ ἐκείνης λέγω ἵνα [m] ἐρωτήσῃ.

17 Πᾶσα ἀδικία ἁμαρτία [b] ἐστίν· καὶ [b] ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον.

n γεννάω.
o ἅπτω.

18 [l] Οἴδαμεν ὅτι πᾶς ὁ [n] γεγεννημένος ἐκ τοῦ Θεοῦ, οὐχ ἁμαρτάνει· ἀλλ᾽ ὁ [n] γεννηθεὶς ἐκ τοῦ Θεοῦ τηρεῖ ἑαυτὸν, καὶ ὁ πονηρὸς οὐχ [o] ἅπτεται αὐτοῦ.

19 [l] Οἴδαμεν ὅτι ἐκ τοῦ Θεοῦ [b] ἐσμὲν, καὶ ὁ κόσμος ὅλος ἐν τῷ πονηρῷ κεῖται.

20 [l] Οἴδαμεν δὲ ὅτι ὁ υἱὸς τοῦ Θεοῦ ἥκει, καὶ [k] δέδωκεν ἡμῖν διάνοιαν ἵνα γινώσκωμεν τὸν ἀληθινὸν Θεόν· καί [b] ἐσμὲν ἐν τῷ ἀληθινῷ, ἐν τῷ υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ· οὗτός [b] ἐστιν ὁ ἀληθινὸς Θεὸς, καὶ ἡ ζωὴ αἰώνιος.

p φυλάσσω.

21 Τεκνία, [p] φυλάξατε ἑαυτοὺς ἀπὸ τῶν εἰδώλων. Ἀμήν.

ΙΟΑΝΝΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ ΔΕΥΤΕΡΑ.

Ὁ Πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ, καὶ τοῖς τέκνοις αὐτῆς, οὓς ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ, καὶ οὐκ ἐγὼ μόνος, ἀλλὰ καὶ πάντες οἱ [a] ἐγνωκότες τὴν ἀλήθειαν.

2 Διὰ τὴν ἀλήθειαν τὴν [b] μένουσαν ἐν ἡμῖν, καὶ μεθ' ἡμῶν [c] ἔσται εἰς τὸν αἰῶνα.

3 [c] Ἔσται μεθ' ὑμῶν χάρις, ἔλεος, εἰρήνη, παρὰ Θεοῦ πατρὸς, καὶ παρὰ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ πατρὸς, ἐν ἀληθείᾳ καὶ ἀγάπῃ.

4 Ἐχάρην λίαν, ὅτι [d] εὕρηκα ἐκ τῶν τέκνων σου περιπατοῦντας ἐν ἀληθείᾳ, καθὼς ἐντολὴν [e] ἐλάβομεν παρὰ τοῦ πατρός.

5 Καὶ νῦν ἐρωτῶ σε, κυρία, οὐχ ὡς ἐντολὴν γράφων σοι καινὴν, ἀλλὰ ἣν εἴχομεν ἀπ' ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους.

6 Καὶ αὕτη [c] ἐστὶν ἡ ἀγάπη, ἵνα [f] περιπατῶμεν κατὰ τὰς ἐντολὰς αὐτοῦ· αὕτη [c] ἐστὶν ἡ ἐντολὴ, καθὼς * ἠκούσατε ἀπ' ἀρχῆς, ἵνα ἐν αὐτῇ [f] περιπατῆτε.

7 Ὅτι πολλοὶ πλάνοι [g] εἰσῆλθον εἰς τὸν κόσμον, οἱ μὴ ὁμολογοῦντες Ἰησοῦν Χριστὸν ἐρχόμενον ἐν σαρκί· οὗτός [c] ἐστιν ὁ πλάνος καὶ ὁ ἀντίχριστος.

8 Βλέπετε ἑαυτοὺς, ἵνα μὴ [h] ἀπολέσητε ἃ [i] εἰργάσασθε, ἀλλ' μισθὸν πλήρη [c] ἀπολάβητε.

9 Πᾶς ὁ παραβαίνων, καὶ μὴ μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ, Θεὸν οὐκ ἔχει· ὁ μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ, οὗτος καὶ τὸν πατέρα καὶ τὸν υἱὸν ἔχει.

[a] γινώσκω.
[b] μένω.
[c] εἰμί.
[d] εὑρίσκω.
[e] λαμβάνω.
[f] πατέω.
* ἀκούω.
[g] ἔρχομαι.
[h] ὄλλυμι.
[i] ἔργον.

10 Εἴ τις ἔρχεται πρὸς ὑμᾶς, καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν, καὶ χαίρειν αὐτῷ μὴ λέγετε.

11 Ὁ γὰρ λέγων αὐτῷ χαίρειν, κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς.

12 Πολλὰ ἔχων ὑμῖν γράφειν, οὐκ [k] ἐβουλήθην διὰ χάρτου καὶ μέλανος· ἀλλὰ ἐλπίζω ἐλθεῖν πρὸς ὑμᾶς, καὶ στόμα πρὸς στόμα [l] λαλῆσαι, ἵνα ἡ χαρὰ ἡμῶν ᾖ [m] πεπληρωμένη.

[k] βουλή.
[l] λαλέω.
[m] πλέος.

13 Ἀσπάζεταί σε τὰ τέκνα τῆς ἀδελφῆς σου τῆς ἐκλεκτῆς. Ἀμήν.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
ΕΠΙΣΤΟΛΗ ΤΡΙΤΗ.

Ὁ Πρεσβύτερος Γαΐῳ τῷ ἀγαπητῷ, ὃν ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ.

2 Ἀγαπητὲ, περὶ πάντων εὔχομαί σε [a] εὐοδοῦσθαι καὶ ὑγιαίνειν, καθὼς [a] εὐοδοῦταί σου ἡ ψυχή.

[a] ὁδός.

3 [b] Ἐχάρην γὰρ λίαν ἐρχομένων ἀδελφῶν, καὶ [c] μαρτυρούντων σου τῇ ἀληθείᾳ, καθὼς σὺ ἐν ἀληθείᾳ περιπατεῖς.

[b] χαίρω.
[c] μαρτυρ.

4 [d] Μειζοτέραν τούτων οὐκ ἔχω χαράν, ἵνα ἀκούω τὰ ἐμὰ τέκνα ἐν ἀληθείᾳ περιπατοῦντα.

[d] μέγας.

5 Ἀγαπητὲ, πιστὸν ποιεῖς ὃ ἐὰν ἐργάσῃ εἰς τοὺς ἀδελφοὺς καὶ εἰς τοὺς ξένους·

6 Οἳ [c] ἐμαρτύρησάν σου τῇ ἀγάπῃ ἐνώπιον ἐκκλησίας· οὓς καλῶς ποιήσεις [e] προπέμψας ἀξίως τοῦ Θεοῦ.

[e] πέμπω.

7 Ὑπὲρ γὰρ τοῦ ὀνόματος αὐτοῦ [f] ἐξῆλθον, μηδὲν λαμβάνοντες ἀπὸ τῶν ἐθνῶν.

[f] ἔρχομαι.

8 Ἡμεῖς οὖν ὀφείλομεν ἀπολαμβάνειν τοὺς τοιούτους, ἵνα συνεργοὶ [g] γινώμεθα τῇ ἀληθείᾳ.

[g] γίνομαι.

9 [h] Ἔγραψα τῇ ἐκκλησίᾳ· ἀλλ' ὁ φιλοπρωτεύων αὐτῶν Διοτρεφὴς οὐκ [i] ἐπιδέχεται ἡμᾶς.

[h] γράφω.
[i] δέχομαι.

10 Διὰ τοῦτο, ἐὰν [f] ἔλθω, [k] ὑπομνήσω αὐτοῦ τὰ ἔργα ἃ ποιεῖ, λόγοις πονηροῖς φλυαρῶν ἡμᾶς· καὶ μὴ ἀρκούμενος ἐπὶ τούτοις, οὔτε αὐτὸς ἐπιδέχεται τοὺς ἀδελφοὺς, καὶ τοὺς βουλομένους κωλύει, καὶ ἐκ τῆς ἐκκλησίας ἐκβάλλει.

[k] μιμνήσκομαι.

11 Ἀγαπητὲ, μὴ μιμοῦ τὸ κακὸν, ἀλλὰ τὸ ἀγαθόν· ὁ ἀγαθοποιῶν, ἐκ τοῦ Θεοῦ [l] ἐστιν· ὁ δὲ κακοποιῶν, οὐχ [m] ἑώρακε τὸν Θεόν.

[l] εἰμί.
[m] ὁράω.

12 Δημητρίῳ [c] μεμαρτύρηται ὑπὸ πάντων, καὶ ὑπ' αὐτῆς τῆς ἀληθείας· καὶ ἡμεῖς δὲ [c] μαρτυροῦμεν, καὶ [n] οἴδατε ὅτι ἡ μαρτυρία ἡμῶν ἀληθής [l] ἐστι.

[n] εἴδω.

13 Πολλὰ [o] εἶχον γράφειν, ἀλλ' οὐ θέλω διὰ μέλανος καὶ καλάμου σοι [h] γράψαι.

[o] ἔχω.

14 Ἐλπίζω δὲ εὐθέως [p] ἰδεῖν σε, καὶ στόμα πρὸς στόμα [q] λαλήσομεν.

[p] εἴδω.
[q] λαλέω.

15 Εἰρήνη σοι· ἀσπάζονταί σε οἱ φίλοι. Ἀσπάζου τοὺς φίλους κατ' ὄνομα.

ΙΟΥΔΑ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ.

Ἰούδας, Ἰησοῦ Χριστοῦ δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου, τοῖς ἐν Θεῷ πατρὶ [a] ἡγιασμένοις καὶ Ἰησοῦ Χριστῷ [b] τετηρημένοις, κλητοῖς·

[a] ἅγιος.
[b] τηρέω.

2 Ἔλεος ὑμῖν καὶ εἰρήνη καὶ ἀγάπη [c] πληθυνθείη.

[c] πλέος.

3 Ἀγαπητοὶ, πᾶσαν σπουδὴν ποιούμενος

γράφειν ὑμῖν περὶ τῆς κοινῆς σωτηρίας, ἀνάγκην ἔσχον [d] γράψαι ὑμῖν, παρακαλῶν ἐπαγωνίζεσθαι τῇ ἅπαξ [e] παραδοθείσῃ τοῖς ἁγίοις πίστει.

[d] γράφω. [e] δίδωμι. [f] δύω.

4 [f] Παρεισέδυσαν γάρ τινες ἄνθρωποι, οἱ πάλαι [d] προγεγραμμένοι εἰς τοῦτο τὸ κρίμα, ἀσεβεῖς, τὴν τοῦ Θεοῦ ἡμῶν χάριν [g] μετατιθέντες εἰς ἀσέλγειαν, καὶ τὸν μόνον δεσπότην Θεὸν καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι.

[g] τίθημι.

5 [h] Ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι, [i] εἰδότας ὑμᾶς ἅπαξ τοῦτο, ὅτι ὁ Κύριος λαὸν ἐκ γῆς Αἰγύπτου [k] σώσας, τὸ δεύτερον τοὺς μὴ [l] πιστεύσαντας [m] ἀπώλεσεν.

[h] μιμνήσκομαι. [i] εἴδω. [k] σόος. [l] πίστις. [m] ὀλλύω. [n] λείπω.

6 Ἀγγέλους τε τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχήν, ἀλλὰ [n] ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον, εἰς κρίσιν μεγάλης ἡμέρας, δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον [b] τετήρηκεν.

7 Ὡς Σόδομα καὶ Γόμορρα καὶ αἱ περὶ αὐτὰς πόλεις τὸν ὅμοιον τούτοις τρόπον [p] ἐκπορνεύσασαι, καὶ [q] ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας, πρόκεινται δεῖγμα, πυρὸς αἰωνίου δίκην [r] ὑπέχουσαι.

[p] πορνεύω. [q] ἔρχομαι. [r] ἔχω.

8 Ὁμοίως μέντοι καὶ οὗτοι [s] ἐνυπνιαζόμενοι, σάρκα μὲν μιαίνουσι, κυριότητα δὲ ἀθετοῦσι, δόξας δὲ βλασφημοῦσιν.

[s] ὕπνος.

9 Ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος ὅτε τῷ διαβόλῳ [t] διακρινόμενος [u] διελέγετο περὶ τοῦ Μωσέως σώματος, οὐκ [x] ἐτόλμησε κρίσιν [y] ἐπενεγκεῖν βλασφημίας, ἀλλ' εἶπεν, [z] Ἐπιτιμήσαι σοι Κύριος.

[t] κρίνω. [u] λέγω. [x] τολμάω. [y] φέρω. [z] τίω.

10 Οὗτοι δὲ ὅσα μὲν οὐκ [i] οἴδασι βλασφημοῦσιν· ὅσα δὲ φυσικῶς, ὡς τὰ ἄλογα ζῶα, [a] ἐπίστανται, ἐν τούτοις φθείρονται.

[a] ἵστημι.

11 Οὐαὶ αὐτοῖς· ὅτι τῇ ὁδῷ τοῦ Κάϊν [b] ἐπορεύθησαν, καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ [c] ἐξεχύθησαν, καὶ τῇ ἀντιλογίᾳ τοῦ Κορὲ [d] ἀπώλοντο.

[b] πορεύω. [c] χέω. [d] ὀλλύω.

12 Οὗτοί * εἰσιν ἐν ταῖς ἀγάπαις ὑμῶν σπιλάδες, [c] συνευωχούμενοι ὑμῖν, ἀφόβως ἑαυτοὺς ποιμαίνοντες· νεφέλαι ἄνυδροι, ὑπὸ ἀνέ-

* εἰμί. [c] εὐωχέω.

μων περιφερόμεναι· δένδρα φθινοπωρινὰ, ἄκαρπα, δὶς ἀποθανόντα, [f] ἐκριζωθέντα·

[f] ῥίζα.

13 Κύματα ἄγρια θαλάσσης, ἐπαφρίζοντα τὰς ἑαυτῶν αἰσχύνας· ἀστέρες πλανῆται, οἷς ὁ ζόφος τοῦ σκότους εἰς τὸν αἰῶνα [g] τετήρηται.

[g] τηρέω.

14 [h] Προεφήτευσε δὲ καὶ τούτοις ἕβδομος ἀπὸ Ἀδὰμ Ἐνὼχ, λέγων, Ἰδοὺ, [i] ἦλθε Κύριος ἐν μυριάσιν ἁγίαις αὐτοῦ,

[h] φάω.
[i] ἔρχομαι.

15 Ποιῆσαι κρίσιν κατὰ πάντων, καὶ [k] ἐξελέγξαι πάντας τοὺς ἀσεβεῖς αὐτῶν περὶ πάντων τῶν ἔργων ἀσεβείας αὐτῶν ὧν [l] ἠσέβησαν, καὶ περὶ πάντων τῶν σκληρῶν ὧν [m] ἐλάλησαν κατ᾽ αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς.

[k] λέγω.
[l] σέβω.
[m] λαλέω.

16 Οὗτοί * εἰσι γογγυσταὶ, μεμψίμοιροι, κατὰ τὰς ἐπιθυμίας αὐτῶν [b] πορευόμενοι· καὶ τὸ στόμα αὐτῶν λαλεῖ ὑπέρογκα, θαυμάζοντες πρόσωπα, ὠφελείας χάριν.

17 Ὑμεῖς δὲ ἀγαπητοὶ [n] μνήσθητε τῶν ῥημάτων τῶν προειρημένων [o] ὑπὸ τῶν ἀποστόλων τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ·

[n] μιμνήσκομαι.
[o] εἴρω.

18 Ὅτι ἔλεγον ὑμῖν ὅτι ἐν ἐσχάτῳ χρόνῳ * ἔσονται ἐμπαῖκται, κατὰ τὰς ἑαυτῶν ἐπιθυμίας [b] πορευόμενοι τῶν ἀσεβειῶν.

19 Οὗτοί * εἰσιν οἱ [p] ἀποδιορίζοντες ἑαυτοὺς, ψυχικοὶ, πνεῦμα μὴ ἔχοντες.

[p] ὅρος.

20 Ὑμεῖς δὲ, ἀγαπητοὶ, τῇ ἁγιωτάτῃ ὑμῶν πίστει [q] ἐποικοδομοῦντες ἑαυτοὺς, ἐν πνεύματι ἁγίῳ προσευχόμενοι,

[q] δέμω.

21 Ἑαυτοὺς ἐν ἀγάπῃ Θεοῦ [b] τηρήσατε, προσδεχόμενοι τὸ ἔλεος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς ζωὴν αἰώνιον.

22 Καὶ οὓς μὲν ἐλεεῖτε διακρινόμενοι·

23 Οὓς δὲ ἐν φόβῳ σώζετε, ἐκ τοῦ πυρὸς ἁρπάζοντες, μισοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς [r] ἐσπιλωμένον χιτῶνα.

[r] σπίλος.

24 Τῷ δὲ δυναμένῳ φυλάξαι ὑμᾶς ἀπταίστους, καὶ [s] στῆσαι κατενώπιον τῆς δόξης αὐτοῦ ἀμώμους ἐν ἀγαλλιάσει,

[s] ἵστημι.

25 Μόνῳ σοφῷ Θεῷ σωτῆρι ἡμῶν δόξα καὶ μεγαλωσύνη, κράτος καὶ ἐξουσία, καὶ νῦν καὶ εἰς πάντας τοὺς αἰῶνας. Ἀμήν.

BRITISH MUSEUM

ΑΠΟΚΑΛΥΨΙΣ ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ.

Κεφάλαιον α΄. Caput I.

Ἀποκάλυψις Ἰησοῦ Χριστοῦ, ἣν [a] ἔδωκεν αὐτῷ ὁ Θεὸς, [b] δεῖξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ [c] γενέσθαι ἐν τάχει· καὶ [d] ἐσήμανεν [e] ἀποστείλας διὰ τοῦ ἀγγέλου αὐτοῦ τῷ δούλῳ αὐτοῦ Ἰωάννῃ·

[a] δίδωμι.
[b] δείκνυω.
[c] γίνομαι.
[d] σῆμα.
[e] στέλλω.

2 Ὃς [f] ἐμαρτύρησε τὸν λόγον τοῦ Θεοῦ, καὶ τὴν μαρτυρίαν Ἰησοῦ Χριστοῦ, ὅσα τε εἶδε.

[f] μάρτυρ.

3 Μακάριος ὁ ἀναγινώσκων, καὶ οἱ ἀκούοντες τοὺς λόγους τῆς προφητείας, καὶ τηροῦντες τὰ ἐν αὐτῇ [g] γεγραμμένα· ὁ γὰρ καιρὸς ἐγγύς.

[g] γράφω.

4 Ἰωάννης ταῖς ἑπτὰ ἐκκλησίαις ταῖς ἐν τῇ Ἀσίᾳ· χάρις ὑμῖν καὶ εἰρήνη, ἀπὸ τοῦ ὁ ὢν [h] καὶ ὁ [h] ἦν καὶ ὁ ἐρχόμενος· καὶ ἀπὸ τῶν ἑπτὰ πνευμάτων ἃ [h] ἐστιν ἐνώπιον τοῦ θρόνου αὐτοῦ.

[h] εἰμί.

5 Καὶ ἀπὸ Ἰησοῦ Χριστοῦ, ὁ μάρτυς ὁ πιστὸς, ὁ [i] πρωτότοκος ἐκ τῶν νεκρῶν, καὶ ὁ ἄρχων τῶν βασιλέων τῆς γῆς· τῷ ἀγαπήσαντι ἡμᾶς, καὶ λούσαντι ἡμᾶς ἀπὸ τῶν ἁμαρτιῶν ἡμῶν ἐν τῷ αἵματι αὐτοῦ.

[i] τίκτω.

6 Καὶ [k] ἐποίησεν ἡμᾶς βασιλεῖς καὶ ἱερεῖς τῷ Θεῷ καὶ πατρὶ αὐτοῦ· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

[k] ποιέω.

7 Ἰδοὺ, ἔρχεται μετὰ τῶν νεφελῶν, καὶ [l] ὄψεται αὐτὸν πᾶς ὀφθαλμὸς, καὶ οἵτινες αὐτὸν [m] ἐξεκέντησαν· καὶ [n] κόψονται ἐπ' αὐτὸν πᾶσαι αἱ φυλαὶ τῆς γῆς· ναὶ, ἀμήν.

[l] ὄπτομαι.
[m] κεντέω.
[n] κόπτω.

8 Ἐγώ εἰμι τὸ Α καὶ τὸ Ω, ἀρχὴ καὶ τέλος, λέγει ὁ Κύριος, ὁ [h] ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος, ὁ [o] παντοκράτωρ.

[o] κράτος.

9 Ἐγὼ Ἰωάννης, ὁ καὶ ἀδελφὸς ὑμῶν, καὶ συγκοινωνὸς ἐν τῇ θλίψει καὶ ἐν τῇ βασιλείᾳ καὶ ὑπομονῇ Ἰησοῦ Χριστοῦ, [c] ἐγενόμην ἐν τῇ νήσῳ τῇ [p] καλουμένῃ Πάτμῳ, διὰ τὸν λόγον τοῦ Θεοῦ καὶ διὰ τὴν μαρτυρίαν Ἰησοῦ Χριστοῦ.

[p] καλέω.

10 Ἐγενόμην ἐν πνεύματι ἐν τῇ κυριακῇ ἡμέρᾳ· καὶ [q] ἤκουσα ὀπίσω μου φωνὴν μεγάλην ὡς σάλπιγγος,

[q] ἀκούω.

11 Λεγούσης, Ἐγώ εἰμι τὸ Α καὶ τὸ Ω, ὁ πρῶτος καὶ ὁ ἔσχατος· καί, Ὃ βλέπεις [g] γράψον εἰς βιβλίον, καὶ [r] πέμψον ταῖς ἑπτὰ ἐκκλησίαις ταῖς ἐν Ἀσίᾳ· εἰς Ἔφεσον, καὶ εἰς Σμύρναν, καὶ εἰς Πέργαμον, καὶ εἰς Θυάτειρα, καὶ εἰς Σάρδεις, καὶ εἰς Φιλαδέλφειαν, καὶ εἰς Λαοδίκειαν.

[r] πέμπω.

12 Καὶ [ſ] ἐπέστρεψα βλέπειν τὴν φωνὴν ἥτις [t] ἐλάλησε μετ' ἐμοῦ· καὶ [ſ] ἐπιστρέψας εἶδον ἑπτὰ λυχνίας χρυσᾶς.

[ſ] στρέφω.
[t] λαλέω.

13 Καὶ ἐν μέσῳ τῶν ἑπτὰ λυχνιῶν ὅμοιον υἱῷ ἀνθρώπου, [u] ἐνδεδυμένον ποδήρη, καὶ [x] περιεζωσμένον πρὸς τοῖς μαστοῖς ζώνην χρυσῆν.

[u] δύω.
[x] ζώννυμι.

14 Ἡ δὲ κεφαλὴ αὐτοῦ καὶ αἱ τρίχες, λευκαὶ ὡσεὶ ἔριον λευκόν, ὡς χιών· καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς φλὸξ πυρός.

15 Καὶ οἱ πόδες αὐτοῦ ὅμοιοι χαλκολιβάνῳ, ὡς ἐν καμίνῳ [y] πεπυρωμένοι· καὶ ἡ φωνὴ αὐτοῦ ὡς φωνὴ ὑδάτων πολλῶν.

[y] πῦρ.

16 Καὶ ἔχων ἐν τῇ δεξιᾷ αὐτοῦ χειρὶ ἀστέρας ἑπτά· καὶ ἐκ τοῦ στόματος αὐτοῦ ῥομφαία δίστομος ὀξεῖα [z] ἐκπορευομένη· καὶ ἡ ὄψις αὐτοῦ ὡς ὁ ἥλιος φαίνει ἐν τῇ δυνάμει αὐτοῦ.

[z] πορεύω.

17 Καὶ ὅτε εἶδον αὐτόν, [a] ἔπεσα πρὸς τοὺς πόδας αὐτοῦ ὡς νεκρός· καὶ [b] ἐπέθηκε τὴν δεξίαν αὐτοῦ χεῖρα ἐπ' ἐμέ, λέγων μοι, Μὴ [c] φοβοῦ· ἐγώ εἰμι ὁ πρῶτος καὶ ὁ ἔσχατος·

[a] πίπτω.
[b] τίθημι.
[c] φοβέομαι.

18 Καὶ ὁ [d] ζῶν, καὶ [e] ἐγενόμην νεκρός· καὶ ἰδοὺ [d] ζῶν εἰμι εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν·

[d] ζάω.
[e] γίνομαι.

καὶ ἔχω τὰς κλεῖς τοῦ ᾅδου καὶ τοῦ θανάτου.

19 [f] Γράψον ἃ εἶδες, καὶ ἃ [g] εἰσι, καὶ ἃ μέλλει [e] γίνεσθαι μετὰ ταῦτα.

[f] γράφω.

20 Τὸ μυστήριον τῶν ἑπτὰ ἀστέρων ὧν εἶδες ἐπὶ τῆς δεξιᾶς μου, καὶ τὰς ἑπτὰ λυχνίας τὰς χρυσᾶς· οἱ ἑπτὰ ἀστέρες, ἄγγελοι τῶν ἑπτὰ ἐκκλησιῶν [g] εἰσί· καὶ αἱ ἑπτὰ λυχνίαι ἃς εἶδες, ἑπτὰ ἐκκλησίαι [g] εἰσί.

[g] εἰμί.

Κεφ. β΄. Cap. II.

Τῷ ἀγγέλῳ τῆς Ἐφεσίνης ἐκκλησίας [a] γράψον. Τάδε λέγει ὁ κρατῶν τοὺς ἑπτὰ ἀστέρας ἐν τῇ δεξιᾷ αὐτοῦ, ὁ περιπατῶν ἐν μέσῳ τῶν ἑπτὰ λυχνιῶν τῶν χρυσῶν·

[a] γράφω.

2 [b] Οἶδα τὰ ἔργα σου, καὶ τὸν κόπον σου, καὶ τὴν ὑπομονήν σου, καὶ ὅτι οὐ [c] δύνῃ [d] βαστάσαι κακούς· καὶ [e] ἐπειράσω τοὺς φάσκοντας [f] εἶναι ἀποστόλους, καὶ οὐκ εἰσί· καὶ [g] εὗρες αὐτοὺς ψευδεῖς.

[b] εἴδω.
[c] δύναμαι.
[d] βαστάζω.
[e] πειράω.
[f] εἰμί.
[g] εὑρίσκω.

3 Καὶ [d] ἐβάστασας, καὶ ὑπομονὴν ἔχεις, καὶ διὰ τὸ ὄνομά μου [h] κεκοπίακας, καὶ οὐ [i] κέκμηκας.

[h] κόπτω.
[i] κάμνω.

4 Ἀλλ᾽ ἔχω κατὰ σοῦ, ὅτι τὴν ἀγάπην σου τὴν πρώτην [k] ἀφῆκας.

[k] ἕω.

5 [l] Μνημόνευε οὖν πόθεν [m] ἐκπέπτωκας, καὶ [n] μετανόησον, καὶ τὰ πρῶτα ἔργα [o] ποίησον· εἰ δὲ μή, ἔρχομαί σοι ταχύ, καὶ κινήσω τὴν λυχνίαν σου ἐκ τοῦ τόπου αὐτῆς, ἐὰν μὴ [n] μετανοήσῃς.

[l] μιμνήσκομαι.
[m] πίπτω.
[n] νόος.
[o] ποιέω.

6 Ἀλλὰ τοῦτο ἔχεις, ὅτι μισεῖς τὰ ἔργα τῶν Νικολαϊτῶν, ἃ [p] κἀγὼ μισῶ.

[p] καὶ ἐγώ.

7 Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις· Τῷ νικῶντι [q] δώσω αὐτῷ φαγεῖν ἐκ τοῦ ξύλου τῆς ζωῆς, ὃ [f] ἐστιν ἐν μέσῳ τοῦ παραδείσου τοῦ Θεοῦ.

[q] δίδωμι.

8 Καὶ τῷ ἀγγέλῳ τῆς ἐκκλησίας Σμυρναίων γράψον, Τάδε λέγει ὁ πρῶτος καὶ ὁ ἔσχατος, ὃς [r] ἐγένετο νεκρὸς καὶ [s] ἔζησεν·

[r] γίνομαι.
[s] ζάω.

9 Οἶδά σου τὰ ἔργα καὶ τὴν θλῖψιν καὶ τὴν πτωχείαν, (πλούσιος δὲ [f] εἶ) καὶ τὴν βλασφημίαν τῶν λεγόντων Ἰουδαίους [f] εἶναι ἑαυτούς, καὶ οὐκ [f] εἰσίν, ἀλλὰ συναγωγὴ τοῦ σατανᾶ.

10 Μηδὲν φοβοῦ ἃ μέλλεις πάσχειν· ἰδού,

μέλλει βαλεῖν ἐξ ὑμῶν ὁ διάβολος εἰς φυλακήν, ἵνα [c] πειρασθῆτε· καὶ [t] ἕξετε θλῖψιν ἡμερῶν δέκα· γίνου πιστὸς ἄχρι θανάτου, καὶ [q] δώσω σοι τὸν στέφανον τῆς ζωῆς.

[t] ἔχω.

11 Ὁ ἔχων οὖς, [u] ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις, Ὁ νικῶν οὐ μὴ [x] ἀδικηθῇ ἐκ τοῦ θανάτου τοῦ δευτέρου.

[u] ἀκούω.
[x] δικη.

12 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Περγάμῳ ἐκκλησίας [a] γράψον, Τάδε λέγει ὁ ἔχων τὴν ῥομφαίαν τὴν δίστομον τὴν ὀξεῖαν.

13 [b] Οἶδα τὰ ἔργα σου, καὶ ποῦ κατοικεῖς, ὅπου ὁ θρόνος τοῦ σατανᾶ· καὶ κρατεῖς τὸ ὄνομά μου, καὶ οὐκ [y] ἠρνήσω τὴν πίστιν μου, καὶ ἐν ταῖς ἡμέραις ἐν αἷς Ἀντίπας ὁ μάρτυς μου ὁ πιστός, ὃς [z] ἀπεκτάνθη παρ' ὑμῖν, ὅπου κατοικεῖ ὁ σατανᾶς.

[y] ἀρνέομαι.
[z] κτείνω.

14 Ἀλλ' ἔχω κατὰ σοῦ ὀλίγα, ὅτι ἔχεις ἐκεῖ κρατοῦντας τὴν διδαχὴν Βαλαάμ, ὃς [a] ἐδίδαξε τὸν Βαλὰκ βαλεῖν σκάνδαλον ἐνώπιον τῶν υἱῶν Ἰσραήλ, φαγεῖν [b] εἰδωλόθυτα, καὶ πορνεῦσαι.

[a] διδάσκω.
[b] θύω.

15 Οὕτως ἔχεις καὶ σὺ κρατοῦντας τὴν διδαχὴν τῶν Νικολαϊτῶν· ὃ μισῶ.

16 [c] Μετανόησον· εἰ δὲ μή, ἔρχομαί σοι ταχὺ καὶ πολεμήσω μετ' αὐτῶν ἐν τῇ ῥομφαίᾳ τοῦ στόματός μου.

[c] νόος.

17 Ὁ ἔχων οὖς [d] ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις, Τῷ νικῶντι [e] δώσω αὐτῷ φαγεῖν ἀπὸ τοῦ μάννα τοῦ * κεκρυμμένου, καὶ [e] δώσω αὐτῷ ψῆφον λευκήν· καὶ ἐπὶ τὴν ψῆφον ὄνομα καινὸν [f] γεγραμμένον, ὃ οὐδεὶς [g] ἔγνω εἰ μὴ ὁ λαμβάνων.

[d] ἀκούω.
[e] δίδωμι.
* κρύπτω.
[f] γράφω.
[g] γινώσκω.

18 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Θυατείροις ἐκκλησίας [f] γράψον, Τάδε λέγει ὁ υἱὸς τοῦ Θεοῦ, ὁ ἔχων τοὺς ὀφθαλμοὺς αὐτοῦ ὡς φλόγα πυρός, καὶ οἱ πόδες αὐτοῦ ὅμοιοι χαλκολιβάνῳ.

19 [h] Οἶδά σου τὰ ἔργα καὶ τὴν ἀγάπην, καὶ τὴν διακονίαν, καὶ τὴν πίστιν, καὶ τὴν ὑπομονήν σου, καὶ τὰ ἔργα σου· καὶ τὰ ἔσχατα πλείονα τῶν πρώτων.

[h] εἴδω.

[i] πιράω.

20 Ἀλλ᾽ ἔχω κατὰ σοῦ ὀλίγα, ὅτι ἐᾷς τὴν γυναῖκα Ἰεζαβὴλ, τὴν λέγουσαν ἑαυτὴν προφῆτιν, διδάσκειν καὶ πλανᾷν τοὺς ἐμοὺς δούλους, [i] πορνεῦσαι καὶ εἰδωλόθυτα φαγεῖν.

[k] νέος.

21 Καὶ [c] ἔδωκα αὐτῇ χρόνον ἵνα [k] μετανοήσῃ ἐκ τῆς πορνείας αὐτῆς· καὶ οὐ μετενόησεν.

22 Ἰδοὺ, ἐγὼ βάλλω αὐτὴν εἰς κλίνην, καὶ τοὺς μοιχεύοντας μετ᾽ αὐτῆς, εἰς θλίψιν μεγάλην, ἐὰν μὴ [k] μετανοήσωσιν ἐκ τῶν ἔργων αὐτῶν.

[l] κτείνω.

23 Καὶ τὰ τέκνα αὐτῆς [l] ἀποκτενῶ ἐν θανάτῳ· καὶ [g] γνώσονται πᾶσαι αἱ ἐκκλησίαι ὅτι ἐγώ εἰμι ὁ ἐρευνῶν νεφροὺς καὶ καρδίας· καὶ δώσω ὑμῖν ἑκάστῳ κατὰ τὰ ἔργα ὑμῶν.

24 Ὑμῖν δὲ λέγω τοῖς λοιποῖς τοῖς ἐν Θυατείροις, ὅσοι οὐκ ἔχουσι τὴν διδαχὴν ταύτην, καὶ οἵτινες οὐκ [g] ἔγνωσαν τὰ βάθη τοῦ σατανᾶ, ὡς λέγουσιν· οὐ βαλῶ ἐφ᾽ ὑμᾶς ἄλλο βάρος·

[m] κράτος.
[n] ἥκω.

25 Πλὴν ὃ ἔχετε, [m] κρατήσατε ἄχρις οὗ ἂν [n] ἥξω·

26 Καὶ ὁ νικῶν, καὶ ὁ τηρῶν ἄχρι τέλους τὰ ἔργα μου, [c] δώσω αὐτῷ ἐξουσίαν ἐπὶ τῶν ἐθνῶν.

[o] κἀγώ.

27 Καὶ ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ· ὡς τὰ σκεύη τὰ κεραμικὰ συντρίβεται, ὡς [o] κἀγὼ εἴληφα παρὰ τοῦ πατρός μου·

28 Καὶ [c] δώσω αὐτῷ τὸν ἀστέρα τὸν πρωϊνόν.

29 Ὁ ἔχων οὖς, [d] ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

Κεφ. γ΄. Cap. III.

[a] γράφω.
[b] εἴδω.
[c] ζάω.
[d] εἰμί.
[e] γίνομαι.
[f] στηρίζω.
[g] θνήσκω.
[h] εὑρίσκω.
[i] πλέος.
[k] μιμνήσκομαι.
[l] λαμβάνω.
[m] ἀκούω.
[n] νόος.

Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Σάρδεσιν ἐκκλησίας [a] γράψον, Τάδε λέγει ὁ ἔχων τὰ ἑπτὰ πνεύματα τοῦ Θεοῦ, καὶ τοὺς ἑπτὰ ἀστέρας· [b] Οἶδά σου τὰ ἔργα· ὅτι τὸ ὄνομα ἔχεις ὅτι [c] ζῇς, καὶ νεκρὸς [d] εἶ.

2 [e] Γίνου γρηγορῶν, καὶ [f] στήριξον τὰ λοιπὰ ἃ μέλλει [g] ἀποθανεῖν· οὐ γὰρ [h] εὕρηκά σου τὰ ἔργα [i] πεπληρωμένα ἐνώπιον τοῦ Θεοῦ.

3 [k] Μνημόνευε οὖν πῶς [l] εἴληφας καὶ [m] ἤκουσας· καὶ τήρει, καὶ [n] μετανόησον· Ἐὰν οὖν μὴ γρηγορήσῃς,

γορήσῃς, [o] ἥξω ἐπὶ σὲ ὡς κλέπτης, καὶ οὐ μὴ [p] γνῷς ποίαν ὥραν [o] ἥξω ἐπὶ σέ.

[o] ἥκω.
[p] γινώσκω.

4 Ἔχεις ὀλίγα ὀνόματα καὶ ἐν Σάρδεσιν ἃ οὐκ [q] ἐμόλυναν τὰ ἱμάτια αὐτῶν, καὶ [r] περιπατήσουσι μετ᾽ ἐμοῦ ἐν λευκοῖς· ὅτι ἄξιοί [d] εἰσιν.

[q] μολύνω.
[r] πατέω.

5 Ὁ νικῶν, οὗτος περιβαλεῖται ἐν ἱματίοις λευκοῖς· καὶ οὐ μὴ [s] ἐξαλείψω τὸ ὄνομα αὐτοῦ ἐκ τῆς βίβλου τῆς ζωῆς, καὶ [t] ἐξομολογήσομαι τὸ ὄνομα αὐτοῦ ἐνώπιον τοῦ πατρός μου, καὶ ἐνώπιον τῶν ἀγγέλων αὐτοῦ.

[s] ἀλείφω.
[t] λέγω.

6 Ὁ ἔχων οὖς, [m] ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

7 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Φιλαδελφείᾳ ἐκκλησίας [a] γράψον, Τάδε λέγει ὁ ἅγιος, ὁ ἀληθινός, ὁ ἔχων τὴν κλεῖδα τοῦ Δαβίδ· ὁ ἀνοίγων, καὶ οὐδεὶς κλείει, καὶ κλείει, καὶ οὐδεὶς ἀνοίγει·

8 [b] Οἶδά σου τὰ ἔργα· ἰδοὺ [u] δέδωκα ἐνώπιόν σου θύραν [x] ἀνεῳγμένην, καὶ οὐδεὶς δύναται κλεῖσαι αὐτήν· ὅτι μικρὰν ἔχεις δύναμιν, καὶ [y] ἐτήρησάς μου τὸν λόγον, καὶ οὐκ [z] ἠρνήσω τὸ ὄνομά μου.

[u] δίδωμι.
[x] οἴγω.
[y] τηρέω.
[z] ἀρνέομαι.

9 Ἰδού, δίδωμι ἐκ τῆς συναγωγῆς τοῦ σατανᾶ, τῶν λεγόντων ἑαυτοὺς Ἰουδαίους [d] εἶναι, καὶ οὐκ [d] εἰσίν, ἀλλὰ ψεύδονται· ἰδού, ποιήσω αὐτοὺς ἵνα [a] ἥξωσι καὶ [b] προσκυνήσωσιν ἐνώπιον τῶν ποδῶν σου, καὶ [c] γνῶσιν ὅτι ἐγὼ [d] ἠγάπησά σε.

[a] ἥκω.
[b] κύω.
[c] γινώσκω.
[d] ἀγαπάω.

10 Ὅτι [c] ἐτήρησας τὸν λόγον τῆς ὑπομονῆς μου, [f] κἀγώ σε [e] τηρήσω ἐκ τῆς ὥρας τοῦ πειρασμοῦ, τῆς μελλούσης ἔρχεσθαι ἐπὶ τῆς οἰκουμένης ὅλης, [g] πειράσαι τοὺς [h] κατοικοῦντας ἐπὶ τῆς γῆς.

[e] τηρέω.
[f] καὶ ἐγώ.
[g] πειράω.
[h] οἶκος.

11 Ἰδού, ἔρχομαι ταχύ· κράτει ὃ ἔχεις, ἵνα μηδεὶς [i] λάβῃ τὸν στέφανόν σου.

[i] λαμβάνω.

12 Ὁ νικῶν, ποιήσω αὐτὸν στύλον ἐν τῷ ναῷ τοῦ Θεοῦ μου, καὶ ἔξω οὐ μὴ [k] ἐξέλθῃ ἔτι· καὶ [l] γράψω ἐπ᾽ αὐτὸν τὸ ὄνομα τοῦ Θεοῦ μου· καὶ τὸ ὄνομα τῆς πόλεως τοῦ Θεοῦ μου τῆς καινῆς Ἱερουσαλήμ, ἣ καταβαίνει ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ Θεοῦ μου, καὶ τὸ ὄνομά μου τὸ καινόν.

[k] ἔρχομαι.
[l] γράφω.

13 Ὁ ἔχων οὖς [m] ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

[m] ἀκούω.

14 Καὶ τῷ ἀγγέλῳ τῆς ἐκκλησίας Λαοδικέων [l] γράψον, Τάδε λέγει ὁ Ἀμὴν, ὁ μάρτυς ὁ πιστὸς καὶ ἀληθινὸς, ἡ ἀρχὴ τῆς κτίσεως τοῦ Θεοῦ·

[n] εἴδω.
[o] εἰμί.

15 [n] Οἶδά σου τὰ ἔργα, ὅτι οὔτε ψυχρὸς [o] εἶ οὔτε ζεστός· ὄφελον ψυχρὸς [o] εἴης, ἢ ζεστός.

[p] ἐμέω.

16 Οὕτως, ὅτι χλιαρὸς [o] εἶ, καὶ οὔτε ψυχρὸς, οὔτε ζεστὸς, μέλλω σε [p] ἐμέσαι ἐκ τοῦ στόματός μου·

[q] πλοῦτος.

17 Ὅτι λέγεις, Ὅτι πλούσιός εἰμι, καὶ [q] πεπλούτηκα, καὶ οὐδενὸς χρείαν ἔχω· Καὶ οὐκ οἶδας ὅτι σὺ εἶ [o] ὁ ταλαίπωρος, καὶ ὁ ἐλεεινὸς, καὶ πτωχὸς, καὶ τυφλὸς, καὶ γυμνός.

[r] ἀγοράζω.
[s] πῦρ.
[t] φαίνω.
* χρίω.

18 Συμβουλεύω σοι [r] ἀγοράσαι παρ' ἐμοῦ χρυσίον [s] πεπυρωμένον ἐκ πυρὸς, ἵνα πλουτήσῃς· καὶ ἱμάτια λευκὰ, ἵνα περιβάλῃ, καὶ μὴ [t] φανερωθῇ ἡ αἰσχύνη τῆς γυμνότητός σου· καὶ κολλούριον * ἔγχρισον τοὺς ὀφθαλμούς σου, ἵνα βλέπῃς.

19 Ἐγὼ ὅσους ἐὰν φιλῶ, ἐλέγχω καὶ παιδεύω· ζήλωσον οὖν καὶ μετανόησον.

[u] ἵστημι.
[x] οἴγω.
[y] ἔρχομαι.

20 Ἰδοὺ, [u] ἕστηκα ἐπὶ τὴν θύραν καὶ κρούω· ἐάν τις [m] ἀκούσῃ τῆς φωνῆς μου, καὶ [x] ἀνοίξῃ τὴν θύραν, [y] εἰσελεύσομαι πρὸς αὐτὸν, καὶ δειπνήσω μετ' αὐτοῦ καὶ αὐτὸς μετ' ἐμοῦ.

[z] δίδωμι.
[a] ἵζω.
[b] καὶ ἐγώ.
[c] νικάω.
[d] ἀκούω.

21 Ὁ νικῶν, [z] δώσω αὐτῷ [a] καθίσαι μετ' ἐμοῦ ἐν τῷ θρόνῳ μου, ὡς [b] κἀγὼ [c] ἐνίκησα, καὶ [a] ἐκάθισα μετὰ τοῦ πατρός μου ἐν τῷ θρόνῳ αὐτοῦ.

22 Ὁ ἔχων οὖς [d] ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

Κεφ. δ'. Cap. IV.

[a] οἴγω.
[b] ἀκούω.
[c] βαίνω.
[d] δείκνυμι.
[e] γίνομαι.
[f] κεῖμαι.
[g] ἧμαι.
[h] εἰμί.

Μετὰ ταῦτα εἶδον, καὶ ἰδοὺ, θύρα [a] ἠνεῳγμένη ἐν τῷ οὐρανῷ, καὶ ἡ φωνὴ ἡ πρώτη ἣν [b] ἤκουσα, ὡς σάλπιγγος λαλούσης μετ' ἐμοῦ, λέγουσα, [c] Ἀνάβα ὧδε, καὶ [d] δείξω σοι ἃ δεῖ [e] γενέσθαι μετὰ ταῦτα.

2 Καὶ εὐθέως [e] ἐγενόμην ἐν πνεύματι, καὶ ἰδοὺ, θρόνος [f] ἔκειτο ἐν τῷ οὐρανῷ, καὶ ἐπὶ τοῦ θρόνου [g] καθήμενος·

3 Καὶ ὁ καθήμενος [h] ἦν ὅμοιος ὁράσει

λίθῳ ἰάσπιδι καὶ σαρδίῳ· καὶ ἶρις [i] κυκλόθεν τοῦ θρόνου ὁμοία ὁράσει σμαραγδίνῳ.

[i] κύκλος.

4 Καὶ [l] κυκλόθεν τοῦ θρόνου θρόνοι εἴκοσι καὶ τέσσαρες· καὶ ἐπὶ τοὺς θρόνους εἶδον τοὺς εἴκοσι καὶ τέσσαρας πρεσβυτέρους καθημένους, [k] περιβεβλημένους ἐν ἱματίοις λευκοῖς· καὶ [l] ἔσχον ἐπὶ τὰς κεφαλὰς αὐτῶν στεφάνους χρυσοῦς.

[k] βάλλω.
[l] ἔχω.

5 Καὶ ἐκ τοῦ θρόνου [m] ἐκπορεύονται ἀστραπαὶ καὶ βρονταὶ καὶ φωναί· καὶ ἑπτὰ λαμπάδες πυρὸς καιόμεναι ἐνώπιον τοῦ θρόνου, αἵ [h] εἰσι τὰ ἑπτὰ πνεύματα τοῦ Θεοῦ.

[m] πεῖρω.

6 Καὶ ἐνώπιον τοῦ θρόνου θάλασσα ὑαλίνη, ὁμοία κρυστάλλῳ· καὶ ἐν μέσῳ τοῦ θρόνου, καὶ κύκλῳ τοῦ θρόνου, τέσσαρα ζῶα γέμοντα ὀφθαλμῶν ἔμπροσθεν καὶ ὄπισθεν.

7 Καὶ τὸ ζῶον τὸ πρῶτον ὅμοιον λέοντι, καὶ τὸ δεύτερον ζῶον ὅμοιον μόσχῳ, καὶ τὸ τρίτον ζῶον ἔχον τὸ πρόσωπον ὡς ἄνθρωπος, καὶ τὸ τέταρτον ζῶον ὅμοιον ἀετῷ [n] πετωμένῳ.

[n] πετάω.

8 Καὶ τέσσαρα ζῶα, ἓν καθ' ἓν αὐτῶν εἶχον ἀνὰ πτέρυγας ἓξ κυκλόθεν, καὶ ἔσωθεν γέμοντα ὀφθαλμῶν· καὶ ἀνάπαυσιν οὐκ ἔχουσιν ἡμέρας καὶ νυκτὸς, λέγοντα, Ἅγιος, ἅγιος, ἅγιος Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ [h] ἦν καὶ ὁ [h] ὢν καὶ ὁ ἐρχόμενος.

9 Καὶ ὅταν [o] δώσουσι τὰ ζῶα δόξαν καὶ τιμὴν καὶ εὐχαριστίαν τῷ [g] καθημένῳ ἐπὶ τοῦ θρόνου, τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων,

[o] δίδωμι.

10 [p] Πεσοῦνται οἱ εἴκοσι καὶ τέσσαρες πρεσβύτεροι ἐνώπιον τοῦ [g] καθημένου ἐπὶ τοῦ θρόνου, καὶ [q] προσκυνήσουσι τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων· καὶ βαλοῦσι τοὺς στεφάνους αὐτῶν ἐνώπιον τοῦ θρόνου, λέγοντες,

[p] πίπτω.
[q] κυνέω.

11 Ἄξιος εἶ Κύριε [r] λαβεῖν τὴν δόξαν καὶ τὴν τιμὴν καὶ τὴν δύναμιν· ὅτι σὺ [ſ] ἔκτισας τὰ πάντα, καὶ διὰ τὸ θέλημά σου εἰσὶ, καὶ [ſ] ἐκτίσθησαν.

[r] λαμβάνω.
[ſ] κτίζω.

Κεφ. έ. Cap. V.

ΚΑὶ εἶδον ἐπὶ τὴν δεξιὰν τοῦ [a] καθημένου ἐπὶ τοῦ θρόνου βιβλίον [b] γεγραμμένον ἔσωθεν καὶ ὄπισθεν.

[a] ἧμαι.)
[b] γράφω.

ὄπισθεν, [c] κατεσφραγισμένον [c] σφραγῖσιν ἑπτά.

2 Καὶ εἶδον ἄγγελον ἰσχυρὸν κηρύσσοντα φωνῇ μεγάλῃ, Τίς [d] ἐστιν ἄξιος [e] ἀνοῖξαι τὸ βιβλίον, καὶ [f] λῦσαι τὰς [c] σφραγῖδας αὐτοῦ;

3 Καὶ οὐδεὶς [g] ἐδύνατο ἐν τῷ οὐρανῷ, οὐδὲ ἐπὶ τῆς γῆς, οὐδὲ ὑποκάτω τῆς γῆς, [e] ἀνοῖξαι τὸ βιβλίον, οὐδὲ βλέπειν αὐτό.

4 Καὶ ἐγὼ [i] ἔκλαιον πολλά, ὅτι οὐδεὶς ἄξιος [k] εὑρέθη [k] ἀνοῖξαι καὶ [l] ἀναγνῶναι τὸ βιβλίον, οὔτε βλέπειν αὐτό.

5 Καὶ εἷς ἐκ τῶν πρεσβυτέρων λέγει μοι, Μὴ κλαῖε· ἰδοὺ [m] ἐνίκησεν ὁ λέων ὁ ὢν ἐκ τῆς φυλῆς Ἰούδα, ἡ ῥίζα Δαβίδ, [h] ἀνοῖξαι τὸ βιβλίον, καὶ [f] λῦσαι τὰς ἑπτὰ σφραγῖδας αὐτοῦ.

6 Καὶ εἶδον, καὶ ἰδοὺ ἐν μέσῳ τοῦ θρόνου καὶ τῶν τεσσάρων ζώων, καὶ ἐν μέσῳ τῶν πρεσβυτέρων, ἀρνίον [n] ἑστηκὸς ὡς [o] ἐσφαγμένον, ἔχον κέρατα ἑπτά, καὶ ὀφθαλμοὺς ἑπτά· οἵ [d] εἰσι τὰ ἑπτὰ τοῦ Θεοῦ πνεύματα τὰ [p] ἀπεσταλμένα εἰς πᾶσαν τὴν γῆν.

7 Καὶ [q] ἦλθε καὶ [r] εἴληφε βιβλίον ἐκ τῆς δεξιᾶς τοῦ καθημένου ἐπὶ τοῦ θρόνου.

8 Καὶ ὅτε [r] ἔλαβε τὸ βιβλίον, τὰ τέσσαρα ζῶα καὶ οἱ εἰκοσιτέσσαρες πρεσβύτεροι ἔπεσον ἐνώπιον τοῦ ἀρνίου, ἔχοντες ἕκαστος κιθάρας καὶ φιάλας χρυσᾶς γεμούσας θυμιαμάτων, αἵ [d] εἰσιν αἱ προσευχαὶ τῶν ἁγίων.

9 Καὶ [s] ᾄδουσιν ᾠδὴν καινήν, λέγοντες, Ἄξιος εἶ [r] λαβεῖν τὸ βιβλίον, καὶ [e] ἀνοῖξαι τὰς σφραγῖδας αὐτοῦ· ὅτι [o] ἐσφάγης, καὶ [x] ἠγόρασας τῷ Θεῷ ἡμᾶς ἐν τῷ αἵματί σου, ἐκ πάσης φυλῆς καὶ γλώσσης καὶ λαοῦ καὶ ἔθνους·

10 Καὶ [y] ἐποίησας ἡμᾶς τῷ Θεῷ ἡμῶν βασιλεῖς καὶ ἱερεῖς· καὶ βασιλεύσομεν ἐπὶ τῆς γῆς.

11 Καὶ εἶδον, καὶ [z] ἤκουσα φωνὴν ἀγγέλων πολλῶν κυκλόθεν τοῦ θρόνου, καὶ τῶν ζώων καὶ τῶν πρεσβυτέρων· καὶ [a] ἦν ὁ ἀριθμὸς αὐτῶν μυριάδες μυριάδων, καὶ χιλιάδες χιλιάδων·

12 Λέγοντες φωνῇ μεγάλῃ, Ἄξιόν [a] ἐστι τὸ

ἀρνίον

[c] σφραγίς.
[d] εἰμί.
[e] οἴγω.
[f] λύω.
[g] δύναμαι.
[i] κλαίω.
[k] εὑρίσκω.
[l] γινώσκω.
[m] νικάω.
[n] ἵστημι.
[o] σφάζω.
[p] στέλλω.
[q] ἔρχομαι.
[r] λαμβάνω.
[s] ἀείδω.
[x] ἀγοράζω.
[y] ποιέω.
[z] ἀκούω.
[a] εἰμί.

ἀρνίον τὸ [b] ἐσφαγμένον [c] λαβεῖν τὴν δύναμιν ϗ πλοῦτον ϗ σοφίαν ϗ ἰσχὺν ϗ τιμὴν ϗ δόξαν ϗ εὐλογίαν.

[b] σφάζω. [c] λαμβάνω.

13 Καὶ πᾶν κτίσμα ὃ [a] ἐστὶν ἐν τῷ οὐρανῷ, ϗ ἐν τῇ γῇ, ϗ ὑποκάτω τῆς γῆς, ϗ ἐπὶ τῆς θαλάσσης ἃ [a] ἐστι, ϗ τὰ ἐν αὐτοῖς πάντα, [d] ἤκουσα λέγοντας, Τῷ [e] καθημένῳ ἐπὶ τοῦ θρόνου ϗ τῷ ἀρνίῳ ἡ εὐλογία ϗ ἡ τιμὴ ϗ ἡ δόξα ϗ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[d] ἀκούω. [e] ἧμαι.

14 Καὶ τὰ τέσσαρα ζῶα ἔλεγον, Ἀμήν· ϗ οἱ εἰκοσιτέσσαρες πρεσβύτεροι ἔπεσον, ϗ [f] προσεκύνησαν [g] ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[f] κύω. [g] ζάω.

Κεφ. ϛʹ. Cap. VI.

ΚΑὶ εἶδον ὅτε [a] ἤνοιξε τὸ ἀρνίον μίαν ἐκ τῶν σφραγίδων, ϗ [b] ἤκουσα ἑνὸς ἐκ τῶν τεσσάρων ζώων λέγοντος, ὡς φωνῆς βροντῆς, [c] Ἔρχου ϗ βλέπε.

[a] οἴγω. [b] ἀκούω. [c] ἔρχομαι.

2 Καὶ [d] εἶδον, ϗ [d] ἰδοὺ ἵππος λευκός· ϗ ὁ [e] καθήμενος ἐπ' αὐτῷ, ἔχων τόξον· ϗ [f] ἐδόθη αὐτῷ στέφανος, ϗ [c] ἐξῆλθε νικῶν, ϗ ἵνα [g] νικήσῃ.

[d] εἴδω. [e] ἧμαι. [f] δίδωμι. [g] νικάω.

3 Καὶ ὅτε [a] ἤνοιξε τὴν δευτέραν σφραγῖδα, [b] ἤκουσα τοῦ δευτέρου ζώου λέγοντος, Ἔρχου ϗ βλέπε.

4 Καὶ [c] ἐξῆλθεν ἄλλος ἵππος πυῤῥός· ϗ τῷ [c] καθημένῳ ἐπ' αὐτῷ [f] ἐδόθη αὐτῷ [h] λαβεῖν τὴν εἰρήνην ἀπὸ τῆς γῆς, ϗ ἵνα ἀλλήλους [i] σφάξωσι· ϗ [f] ἐδόθη αὐτῷ μάχαιρα μεγάλη.

[h] λαμβάνω. [i] σφάζω.

5 Καὶ ὅτε [d] ἤνοιξε τὴν τρίτην σφραγῖδα, [b] ἤκουσα τοῦ τρίτου ζώου λέγοντος, [c] Ἔρχου ϗ βλέπε. Καὶ εἶδον, ϗ ἰδοὺ ἵππος μέλας, ϗ ὁ [c] καθήμενος ἐπ' αὐτῷ, ἔχων ζυγὸν ἐν τῇ χειρὶ αὐτοῦ.

6 Καὶ [b] ἤκουσα φωνὴν ἐν μέσῳ τῶν τεσσάρων ζώων λέγουσαν, Χοῖνιξ σίτου δηναρίου, ϗ τρεῖς χοίνικες κριθῆς, δηναρίου· ϗ τὸ ἔλαιον ϗ τὸν οἶνον μὴ [k] ἀδικήσῃς.

[k] δίκη.

7 Καὶ ὅτε [a] ἤνοιξε τὴν σφραγῖδα τὴν τετάρτην, [b] ἤκουσα φωνὴν τοῦ τετάρτου ζώου λέγουσαν, Ἔρχου ϗ βλέπε.

8 Καὶ εἶδον, καὶ ἰδοὺ ἵππος χλωρός· καὶ ὁ
[c] καθήμενος ἐπάνω αὐτοῦ, ὄνομα αὐτῷ ὁ Θάνατος·
καὶ ὁ Ἅδης ἀκολουθεῖ μετ᾽ αὐτοῦ· καὶ ἐδό-
[l] κτείνω. θη αὐτοῖς ἐξουσία [l] ἀποκτεῖναι ἐπὶ τὸ τέταρτον
τῆς γῆς, ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ καὶ ἐν θανάτῳ,
καὶ ὑπὸ τῶν θηρίων τῆς γῆς.

9 Καὶ ὅτε [a] ἤνοιξε τὴν πέμπτην σφραγῖδα,
εἶδον ὑποκάτω τοῦ θυσιαστηρίου τὰς ψυχὰς τῶν
[m] σφάζω. [m] ἐσφαγμένων διὰ τὸν λόγον τοῦ Θεοῦ, καὶ διὰ τὴν
[n] ἔχω. μαρτυρίαν ἣν [n] εἶχον.

[o] κράζω. 10 Καὶ [o] ἔκραζον φωνῇ μεγάλῃ, λέγοντες,
Ἕως πότε ὁ δεσπότης ὁ ἅγιος καὶ ὁ ἀληθινὸς οὐ
[p] οἶκος. κρίνεις καὶ ἐκδικεῖς τὸ αἷμα ἡμῶν ἀπὸ τῶν [p] κα-
τοικούντων ἐπὶ τῆς γῆς;

11 Καὶ [f] ἐδόθησαν ἑκάστοις στολαὶ λευκαὶ, καὶ
[q] ῥέω. [q] ἐῤῥέθη αὐτοῖς ἵνα [r] ἀναπαύσωνται ἔτι χρόνον
[r] παύω. μικρὸν, ἕως οὗ [s] πληρωθῶσι καὶ οἱ σύνδουλοι αὐ-
[s] πλίος. τῶν, καὶ οἱ ἀδελφοὶ αὐτῶν, οἱ μέλλοντες [l] ἀποκ-
τείνεσθαι ὡς καὶ αὐτοί.

12 Καὶ εἶδον ὅτε [a] ἤνοιξε τὴν σφραγῖδα
[t] γίνομαι. τὴν ἕκτην, καὶ ἰδοὺ σεισμὸς μέγας [t] ἐγένετο· καὶ
ὁ ἥλιος [t] ἐγένετο μέλας ὡς σάκκος τρίχινος,
καὶ ἡ σελήνη [t] ἐγένετο ὡς αἷμα.

[u] πίπτω. 13 Καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ [u] ἔπεσον εἰς τὴν
γῆν ὡς συκῆ βάλλει τοὺς ὀλύνθους αὐτῆς, ὑπὸ
[x] σείω. μεγάλου ἀνέμου [x] σειομένη.

[y] χῶρος. 14 Καὶ ὁ οὐρανὸς [y] ἀπεχωρίσθη ὡς βιβλίον
[z] εἱλίσσω. [z] εἱλισσόμενον, καὶ πᾶν ὄρος καὶ νῆσος ἐκ τῶν
[a] κινέω. τόπων αὐτῶν [a] ἐκινήθησαν.

15 Καὶ οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ μεγιστᾶνες,
καὶ οἱ πλούσιοι, καὶ οἱ χιλίαρχοι, καὶ οἱ δυνατοὶ, καὶ
[b] κρύπτω. πᾶς δοῦλος καὶ πᾶς ἐλεύθερος [b] ἔκρυψαν ἑαυ-
τοὺς εἰς τὰ σπήλαια καὶ εἰς τὰς πέτρας τῶν ὀρέων·

16 Καὶ λέγουσι τοῖς ὄρεσι καὶ ταῖς πέτραις,
[c] πίπτω. [c] Πέσετε ἐφ᾽ ἡμᾶς, καὶ κρύψατε ἡμᾶς ἀπὸ προ-
[d] ἧμαι. σώπου τοῦ [d] καθημένου ἐπὶ τοῦ θρόνου, καὶ ἀπὸ τῆς ὀρ-
γῆς τοῦ ἀρνίου·

[e] ἔρχομαι. 17 Ὅτι [e] ἦλθεν ἡ ἡμέρα ἡ μεγάλη τῆς ὀργῆς
[f] ἵστημι. αὐτοῦ· καὶ τίς δύναται [f] σταθῆναι;

Κεφ.

Κεφ. ζʹ. Cap. VII.

ΚΑὶ μετὰ ταῦτα εἶδον τέσσαρας ἀγγέλους [a] ἑστῶτας ἐπὶ τὰς τέσσαρας γωνίας τῆς γῆς, [b] κρατοῦντας τοὺς τέσσαρας ἀνέμους τῆς γῆς, ἵνα μὴ [c] πνέῃ ἄνεμος ἐπὶ τῆς γῆς, μήτε ἐπὶ τῆς θαλάσσης, μήτε ἐπὶ πᾶν δένδρον.

2 Καὶ εἶδον ἄλλον ἄγγελον ἀναβαίνοντα ἀπὸ ἀνατολῆς ἡλίου, ἔχοντα σφραγῖδα Θεοῦ [d] ζῶντος· καὶ [e] ἔκραξε φωνῇ μεγάλῃ τοῖς τέσσαρσιν ἀγγέλοις οἷς [f] ἐδόθη αὐτοῖς [g] ἀδικῆσαι τὴν γῆν καὶ τὴν θάλασσαν,

3 Λέγων, Μὴ [g] ἀδικήσητε τὴν γῆν, μήτε τὴν θάλασσαν, μήτε τὰ δένδρα, ἄχρις οὗ [h] σφραγίσωμεν τοὺς δούλους τοῦ Θεοῦ ἡμῶν ἐπὶ τῶν μετώπων αὐτῶν.

4 Καὶ [i] ἤκουσα τὸν ἀριθμὸν τῶν [h] ἐσφραγισμένων· ρμδʹ χιλιάδες ἐσφραγισμένοι ἐκ πάσης φυλῆς υἱῶν Ἰσραήλ·

5 Ἐκ φυλῆς Ἰούδα, ιβʹ χιλιάδες ἐσφραγισμένοι· ἐκ φυλῆς Ῥουβὴν, ιβʹ χιλιάδες ἐσφραγισμένοι· ἐκ φυλῆς Γὰδ, ιβʹ χιλιάδες ἐσφραγισμένοι·

6 Ἐκ φυλῆς Ἀσὴρ, ιβʹ χιλιάδες ἐσφραγισμένοι· ἐκ φυλῆς Νεφθαλεὶμ, ιβʹ χιλιάδες ἐσφραγισμένοι· ἐκ φυλῆς Μανασσῆ, ιβʹ χιλιάδες ἐσφραγισμένοι·

7 Ἐκ φυλῆς Συμεὼν, ιβʹ χιλιάδες ἐσφραγισμένοι· ἐκ φυλῆς Λευῒ, ιβʹ χιλιάδες ἐσφραγισμένοι· ἐκ φυλῆς Ἰσαχὰρ, ιβʹ χιλιάδες ἐσφραγισμένοι·

8 Ἐκ φυλῆς Ζαβουλὼν, ιβʹ χιλιάδες ἐσφραγισμένοι· ἐκ φυλῆς Ἰωσὴφ, ιβʹ χιλιάδες [h] ἐσφραγισμένοι· ἐκ φυλῆς Βενιαμὶν, ιβʹ χιλιάδες ἐσφραγισμένοι.

9 Μετὰ ταῦτα εἶδον, καὶ ἰδοὺ ὄχλος πολὺς, ὃν [k] ἀριθμῆσαι αὐτὸν οὐδεὶς [l] ἠδύνατο, ἐκ παντὸς ἔθνους καὶ φυλῶν καὶ λαῶν καὶ γλωσσῶν, [a] ἑστῶτες ἐνώπιον τοῦ θρόνου καὶ ἐνώπιον τοῦ ἀρνίου, [n] περιβεβλημένοι στολὰς λευκάς· καὶ φοίνικες ἐν ταῖς χερσὶν αὐτῶν.

10 Καὶ

[a] ἵστημι.
[b] κράτος.
[c] πνέω.
[d] ζάω.
[e] κράζω.
[f] δίδωμι.
[g] δίκη.
[h] σφραγίς.
[i] ἀκούω.
[k] ἀριθμός.
[l] δύναμαι.
[n] βάλλω.

10 Καὶ κράζοντες φωνῇ μεγάλῃ, λέγοντες,
[o] ἧμαι — Ἡ σωτηρία τῷ Θεῷ ἡμῶν τῷ [o] καθημένῳ ἐπὶ
τοῦ θρόνου, ϗ τῷ ἀρνίῳ.

11 Καὶ πάντες οἱ ἄγγελοι [a] ἑστήκεσαν κύκλῳ
τοῦ θρόνου ϗ τῶν πρεσβυτέρων ϗ τῶν τεσσάρων
[p] πίπτω. — ζώων· ϗ [p] ἔπεσον ἐνώπιον τοῦ θρόνου ἐπὶ πρόσω-
[q] κύω. — πον αὐτῶν, ϗ [q] προσεκύνησαν τῷ Θεῷ,

12 Λέγοντες, Ἀμήν· ἡ εὐλογία ϗ ἡ δόξα
ϗ ἡ σοφία ϗ ἡ εὐχαριστία ϗ ἡ τιμὴ ϗ ἡ δύνα-
μις ϗ ἡ ἰσχὺς τῷ Θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας τῶν
αἰώνων· ἀμήν.

[r] κρίνω. — 13 Καὶ [r] ἀπεκρίθη εἷς ἐκ τῶν πρεσβυτέρων,
[s] βάλλω. — λέγων μοι, Οὗτοι οἱ [s] περιβεβλημένοι τὰς στο-
[t] εἰμί. — λὰς τὰς λευκὰς, τίνες [t] εἰσὶ, ϗ πόθεν [u] ἦλθον;
[u] ἔρχομαι. — 14 Καὶ [x] εἴρηκα αὐτῷ, Κύριε σὺ [y] οἶδας· Καὶ
[x] εἴρω. — εἶπέ μοι, Οὗτοί [t] εἰσιν οἱ ἐρχόμενοι ἐκ τῆς θλί-
[y] εἴδω. — ψεως τῆς μεγάλης· ϗ [a] ἔπλυναν τὰς στολὰς αὐ-
[a] πλύνω. — τῶν ϗ [b] ἐλεύκαναν αὐτὰς ἐν τῷ αἵματι τοῦ ἀρνίου.
[b] λευκός. — 15 Διὰ τοῦτο εἰσὶν ἐνώπιον τοῦ θρόνου τοῦ Θεοῦ,
ϗ λατρεύουσιν αὐτῷ ἡμέρας ϗ νυκτὸς ἐν τῷ
[c] ἧμαι. — ναῷ αὐτοῦ· ϗ ὁ [c] καθήμενος ἐπὶ τοῦ θρόνου,
[d] σκηνή. — [d] σκηνώσει ἐπ᾽ αὐτούς.

16 Οὐ πεινάσουσιν ἔτι, οὐδὲ διψήσουσιν ἔτι·
[e] πίπτω. — οὐδὲ μὴ [e] πέσῃ ἐπ᾽ αὐτοὺς ὁ ἥλιος, οὐδὲ πᾶν
καῦμα.

17 Ὅτι τὸ ἀρνίον τὸ ἀνὰ μέσον τοῦ θρόνου,
[f] ἄγω. — ποιμανεῖ αὐτοὺς, ϗ [f] ὁδηγήσει αὐτοὺς ἐπὶ [g] ζώ-
[g] ζάω. — σας πηγὰς ὑδάτων· ϗ [h] ἐξαλείψει ὁ Θεὸς
[h] ἀλείφω. — πᾶν δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν.

Κεφ. η΄. Cap. VIII.

[a] οἴγω. — ΚΑὶ ὅτε [a] ἤνοιξε τὴν σφραγῖδα τὴν ἑβδόμην,
[b] γίνομαι — [b] ἐγένετο σιγὴ ἐν τῷ οὐρανῷ ὡς ἡμιώριον.

2 Καὶ εἶδον τοὺς ἑπτὰ ἀγγέλους, οἳ ἐνώπιον
[c] ἵστημι. — τοῦ Θεοῦ [c] ἑστήκασι· ϗ [d] ἐδόθησαν αὐτοῖς ἑπτὰ
[d] δίδωμι. — σάλπιγγες.

3 Καὶ ἄλλος ἄγγελος ἦλθε, [c] ἐστάθη ἐπὶ
τὸ θυσιαστήριον, ἔχων λιβανωτὸν χρυσοῦν· ϗ
[d] ἐδόθη αὐτῷ θυμιάματα πολλὰ, ἵνα [d] δώσῃ ταῖς
προσευχαῖς τῶν ἁγίων πάντων, ἐπὶ τὸ θυσια-

στήριον τὸ χρυσοῦν τὸ ἐνώπιον τοῦ θρόνου.

4 Καὶ [c] ἀνέβη ὁ καπνὸς τῶν θυμιαμάτων ταῖς προσευχαῖς τῶν ἁγίων, ἐκ χειρὸς τοῦ ἀγγέλου, ἐνώπιον τοῦ Θεοῦ.

[c] βαίνω.

5 Καὶ [f] εἴληφεν ὁ ἄγγελος τὸ λιβανωτὸν, καὶ [g] ἐγέμισεν αὐτὸν ἐκ τοῦ πυρὸς τοῦ θυσιαστηρίου, καὶ [h] ἔβαλεν εἰς τὴν γῆν· καὶ [i] ἐγένοντο φωναὶ καὶ βρονταὶ καὶ ἀστραπαὶ καὶ σεισμός.

[f] λαμβάνω.
[g] γέμω.
[h] βάλλω.
[i] γίνομαι.

6 Καὶ οἱ ἑπτὰ ἄγγελοι οἱ ἔχοντες τὰς ἑπτὰ σάλπιγγας, [k] ἡτοίμασαν ἑαυτοὺς ἵνα [l] σαλπίσωσι.

[k] ἕτοιμος.

7 Καὶ ὁ πρῶτος ἄγγελος [l] ἐσάλπισε, καὶ [i] ἐγένετο χάλαζα καὶ πῦρ [m] μεμιγμένα αἵματι, καὶ [h] ἐβλήθη εἰς τὴν γῆν· καὶ τὸ τρίτον τῶν δένδρων [n] κατεκάη, καὶ πᾶς χόρτος χλωρὸς [n] κατεκάη.

[l] σάλπιγξ.
[m] μίγνυμι.
[n] καίω.

8 Καὶ ὁ δεύτερος ἄγγελος [l] ἐσάλπισε, καὶ ὡς ὄρος μέγα πυρὶ καιόμενον [h] ἐβλήθη εἰς τὴν θάλασσαν· καὶ [i] ἐγένετο τὸ τρίτον τῆς θαλάσσης, αἷμα·

9 Καὶ [o] ἀπέθανε τὸ τρίτον τῶν κτισμάτων τῶν ἐν τῇ θαλάσσῃ, τὰ ἔχοντα ψυχάς· καὶ τὸ τρίτον τῶν πλοίων [p] διεφθάρη.

[o] θνήσκω.
[p] φθείρω.

10 Καὶ ὁ τρίτος ἄγγελος [l] ἐσάλπισε, καὶ [q] ἔπεσεν ἐκ τοῦ οὐρανοῦ ἀστὴρ μέγας καιόμενος ὡς λάμπας, καὶ [q] ἔπεσεν ἐπὶ τὸ τρίτον τῶν ποταμῶν, καὶ ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων.

[q] πίπτω.

11 Καὶ τὸ ὄνομα τοῦ ἀστέρος λέγεται Ἄψινθος· καὶ [i] ἐγένετο τὸ τρίτον τῶν ὑδάτων εἰς ἄψινθον· καὶ πολλοὶ τῶν ἀνθρώπων [o] ἀπέθανον ἐκ τῶν ὑδάτων, ὅτι [r] ἐπικράνθησαν.

[r] πικρός.

12 Καὶ ὁ τέταρτος ἄγγελος [l] ἐσάλπισε, καὶ [s] ἐπλήγη τὸ τρίτον τοῦ ἡλίου, καὶ τὸ τρίτον τῆς σελήνης, καὶ τὸ τρίτον τῶν ἀστέρων· ἵνα σκοτισθῇ τὸ τρίτον αὐτῶν, καὶ ἡ ἡμέρα μὴ φαίνῃ τὸ τρίτον αὐτῆς, καὶ ἡ νὺξ ὁμοίως.

[s] πλήσσω.

13 Καὶ εἶδον, καὶ [t] ἤκουσα ἑνὸς ἀγγέλου [u] πετωμένου ἐν [x] μεσουρανήματι, λέγοντος φωνῇ μεγάλῃ, Οὐαὶ οὐαὶ οὐαὶ τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς, ἐκ τῶν λοιπῶν φωνῶν τῆς [l] σάλπιγγος τῶν τριῶν ἀγγέλων τῶν μελλόντων [l] σαλπίζειν.

[t] ἀκούω.
[u] πετάω.
[x] οὐρανός.

Κεφ. θ'. Cap. IX.

[a] σάλπιγξ.
[b] πίπτω.
[c] δίδωμι.

ΚΑὶ ὁ πέμπτος ἄγγελος [a] ἐσάλπισε, καὶ εἶδεν ἀστέρα ἐκ τοῦ οὐρανοῦ [b] πεπτωκότα εἰς τὴν γῆν, καὶ [c] ἐδόθη αὐτῷ ἡ κλεὶς τοῦ φρέατος τῆς ἀβύσσου.

[d] οἴγω.
[e] βαίνω.
[f] σκότος.

2 Καὶ [d] ἤνοιξε τὸ φρέαρ τῆς ἀβύσσου· καὶ [e] ἀνέβη καπνὸς ἐκ τοῦ φρέατος ὡς καπνὸς καμίνου μεγάλης· καὶ [f] ἐσκοτίσθη ὁ ἥλιος καὶ ὁ ἀὴρ ἐκ τοῦ καπνοῦ τοῦ φρέατος.

[g] ἔρχομαι.

3 Καὶ ἐκ τοῦ καπνοῦ [g] ἐξῆλθον ἀκρίδες εἰς τὴν γῆν· καὶ [c] ἐδόθη αὐταῖς ἐξουσία ὡς ἔχουσιν ἐξουσίαν οἱ σκορπίοι τῆς γῆς.

[h] ῥέω.
[i] δίκη.

4 Καὶ [h] ἐῤῥέθη αὐταῖς ἵνα μὴ [i] ἀδικήσωσι τὸν χόρτον τῆς γῆς, οὐδὲ πᾶν χλωρὸν, οὐδὲ πᾶν δένδρον· εἰ μὴ τοὺς ἀνθρώπους μόνους, οἵτινες οὐκ ἔχουσι τὴν σφραγῖδα τοῦ Θεοῦ ἐπὶ τῶν μετώπων αὐτῶν.

[k] κτείνω.
[l] βάσανος.
[m] παίω.

5 Καὶ [c] ἐδόθη αὐταῖς ἵνα μὴ [k] ἀποκτείνωσιν αὐτοὺς, ἀλλ' ἵνα [l] βασανίσωσι μῆνας πέντε· καὶ ὁ βασανισμὸς αὐτῶν ὡς βασανισμὸς σκορπίου, ὅταν [m] παίσῃ ἄνθρωπον.

[n] ζητέω.
[o] εὑρίσκω.
[p] θυμός.
[q] θνήσκω.
[r] φεύγω.

6 Καὶ ἐν ταῖς ἡμέραις ἐκείναις [n] ζητήσουσιν οἱ ἄνθρωποι τὸν θάνατον, καὶ οὐχ [o] εὑρήσουσιν αὐτόν· καὶ [p] ἐπιθυμήσουσιν [q] ἀποθανεῖν, καὶ [r] φεύξεται ὁ θάνατος ἀπ' αὐτῶν.

[s] ἕτοιμος.

7 Καὶ τὰ ὁμοιώματα τῶν ἀκρίδων ὅμοια ἵπποις [s] ἡτοιμασμένοις εἰς πόλεμον· καὶ ἐπὶ τὰς κεφαλὰς αὐτῶν ὡς στέφανοι ὅμοιοι χρυσῷ, καὶ τὰ πρόσωπα αὐτῶν ὡς πρόσωπα ἀνθρώπων.

[t] ἔχω.
[u] θρίξ.

8 Καὶ [t] εἶχον [u] τρίχας ὡς [u] τρίχας γυναικῶν, καὶ οἱ ὀδόντες αὐτῶν ὡς λεόντων ἦσαν.

9 Καὶ [t] εἶχον θώρακας ὡς θώρακας σιδηροῦς· καὶ ἡ φωνὴ τῶν πτερύγων αὐτῶν ὡς φωνὴ ἁρμάτων, ἵππων πολλῶν τρεχόντων εἰς πόλεμον.

[x] εἰμί.

10 Καὶ ἔχουσιν οὐρὰς ὁμοίας σκορπίοις, καὶ κέντρα [x] ἦν ἐν ταῖς οὐραῖς αὐτῶν· καὶ ἡ ἐξουσία αὐτῶν [i] ἀδικῆσαι τοὺς ἀνθρώπους μῆνας πέντε.

11 Καὶ ἔχουσιν ἐφ' αὐτῶν βασιλέα τὸν ἄγγελον τῆς ἀβύσσου· ὄνομα αὐτῷ Ἑβραϊστὶ Ἀβαδδὼν,

καὶ ἐν τῇ Ἑλληνικῇ ὄνομα ἔχει ὁ Ἀπολλύων·
12 Ἡ οὐαὶ ἡ μία [g] ἀπῆλθεν, ἰδοὺ ἔρχονται
ἔτι δύο οὐαὶ μετὰ ταῦτα.
13 Καὶ ὁ ἕκτος ἄγγελος [a] ἐσάλπισε, καὶ [y] ἤ- [y] ἀκούω.
κουσα φωνὴν μίαν ἐκ τῶν τεσσάρων κεράτων τοῦ
θυσιαστηρίου τοῦ χρυσοῦ τοῦ ἐνώπιον τοῦ Θεοῦ,
14 Λέγουσαν τῷ ἕκτῳ ἀγγέλῳ ὃς εἶχε τὴν
σάλπιγγα, [z] Λῦσον τοὺς τέσσαρας ἀγγέλους τοὺς [z] λύω.
[a] δεδεμένους ἐπὶ τῷ ποταμῷ, τῷ μεγάλῳ Εὐ- [a] δέω.
φράτῃ.
15 Καὶ [z] ἐλύθησαν οἱ τέσσαρες ἄγγελοι οἱ
[b] ἡτοιμασμένοι εἰς τὴν ὥραν καὶ ἡμέραν καὶ μῆ- [b] ἕτοιμος.
να καὶ ἐνιαυτόν, ἵνα ἀποκτείνωσι τὸ τρίτον τῶν
ἀνθρώπων.
16 Καὶ ὁ ἀριθμὸς στρατευμάτων τοῦ ἱππι-
κοῦ, δύο μυριάδες μυριάδων· καὶ [c] ἤκουσα τὸν [c] ἀκούω.
ἀριθμὸν αὐτῶν.
17 Καὶ οὕτως εἶδον τοὺς ἵππους ἐν τῇ ὁράσει,
καὶ τοὺς [d] καθημένους ἐπ᾽ αὐτῶν, ἔχοντας θώρα- [d] ἧμαι.
κας πυρίνους καὶ ὑακινθίνους καὶ [e] θειώδεις· καὶ αἱ [e] εἴδω.
κεφαλαὶ τῶν ἵππων ὡς κεφαλαὶ λεόντων, καὶ
ἐκ τῶν στομάτων αὐτῶν [f] ἐκπορεύεται πῦρ καὶ [f] πεῖρω.
καπνὸς καὶ θεῖον.
18 Ὑπὸ τῶν τριῶν τούτων [g] ἀπεκτάνθησαν [g] κτείνω.
τὸ τρίτον τῶν ἀνθρώπων, ἐκ τοῦ πυρὸς καὶ ἐκ
τοῦ καπνοῦ καὶ ἐκ τοῦ θείου τοῦ [f] ἐκπορευομένου ἐκ τῶν
στομάτων αὐτῶν.
19 Ἡ γὰρ ἐξουσία τῶν ἵππων ἐν τῷ στόματι
αὐτῶν [h] ἐστι, καὶ ἐν ταῖς οὐραῖς αὐτῶν· αἱ γὰρ οὐραὶ [h] εἰμί.
αὐτῶν ὅμοιαι ὄφεσιν, ἔχουσαι κεφαλάς· καὶ ἐν
αὐταῖς ἀδικοῦσι.
20 Καὶ οἱ λοιποὶ τῶν ἀνθρώπων οἳ οὐκ [g] ἀ-
πεκτάνθησαν ἐν ταῖς πληγαῖς ταύταις, οὔτε [i] με- [i] νόος.
τενόησαν ἐκ τῶν ἔργων τῶν χειρῶν αὐτῶν, ἵνα μὴ
[k] προσκυνήσωσι τὰ δαιμόνια καὶ τὰ εἴδωλα τὰ [k] κύω.
χρυσᾶ καὶ τὰ ἀργυρᾶ καὶ τὰ χαλκᾶ καὶ τὰ λίθινα
καὶ τὰ ξύλινα, ἃ οὔτε βλέπειν δύναται, οὔτε
ἀκούειν, οὔτε περιπατεῖν.
21 Καὶ οὐ [i] μετενόησαν ἐκ τῶν φόνων αὐτῶν,

οὔτε ἐκ τῶν φαρμακειῶν αὐτῶν, οὔτε ἐκ τῆς πορνεί-
[l] κλέπτω. ας αὐτῶν, οὔτε ἐκ τῶν [l] κλεμμάτων αὐτῶν.

Κεφ. ι. Cap. X.

ΚΑὶ εἶδον ἄλλον ἄγγελον ἰσχυρὸν καταβαί-
[a] βάλλω. νοντα ἐκ τοῦ οὐρανοῦ, [a] περιβεβλημένον νε-
φέλην· καὶ ἶρις ἐπὶ τῆς κεφαλῆς· καὶ τὸ πρόσωπον
αὐτοῦ ὡς ὁ ἥλιος, καὶ οἱ πόδες αὐτοῦ ὡς στύλοι
πυρός.

[b] ἔχω. 2 Καὶ [b] εἶχεν ἐν τῇ χειρὶ αὐτοῦ βιβλαρί-
[c] οἴγω. διον [c] ἀνεῳγμένον· καὶ [d] ἔθηκε τὸν πόδα αὐτοῦ τὸν
[d] τίθημι. δεξιὸν ἐπὶ τὴν θάλασσαν, τὸν δὲ εὐώνυμον ἐπὶ
τὴν γῆν.

[e] κράζω. 3 Καὶ [e] ἔκραξε φωνῇ μεγάλῃ ὥσπερ λέων
[f] λαλέω. μυκᾶται· καὶ ὅτε [e] ἔκραξεν, [f] ἐλάλησαν αἱ ἑπτὰ
βρονταὶ τὰς ἑαυτῶν φωνάς.

4 Καὶ ὅτε [f] ἐλάλησαν αἱ ἑπτὰ βρονταὶ τὰς
[g] ἀκούω. φωνὰς ἑαυτῶν, ἔμελλον γράφειν· καὶ [g] ἤκουσα
[h] σφραγίζω. φωνὴν ἐκ τοῦ οὐρανοῦ λέγουσάν μοι, [h] Σφράγισον
ἃ ἐλάλησαν αἱ ἑπτὰ βρονταί, καὶ μὴ ταῦτα
[i] γράφω. [i] γράψῃς.

[k] ἵστημι. 5 Καὶ ὁ ἄγγελος ὃν εἶδον [k] ἑστῶτα ἐπὶ τῆς
[l] αἴρω. θαλάσσης καὶ ἐπὶ τῆς γῆς, [l] ἦρε τὴν χεῖρα αὐτοῦ
εἰς τὸν οὐρανόν.

[m] ὄμνυμι. 6 Καὶ [m] ὤμοσεν ἐν τῷ [n] ζῶντι εἰς τοὺς αἰῶνας
[n] ζάω. τῶν αἰώνων, ὃς [o] ἔκτισε τὸν οὐρανὸν καὶ τὰ ἐν αὐτῷ,
[o] κτίζω. καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτῇ, καὶ τὴν θάλασσαν καὶ
[p] εἰμί. τὰ ἐν αὐτῇ, ὅτι χρόνος οὐκ [p] ἔσται ἔτι.

7 Ἀλλ᾽ ἐν ταῖς ἡμέραις τῆς φωνῆς τοῦ ἑβδόμου ἀγ-
[q] τέλος. γέλου, ὅταν μέλλῃ σαλπίζειν, καὶ [q] τελεσθῇ τὸ
[r] ἀγγέλλω. μυστήριον τοῦ Θεοῦ, ὡς [r] εὐηγγέλισε τοῖς ἑαυτοῦ
δούλοις τοῖς προφήταις.

8 Καὶ ἡ φωνὴ ἣν ἤκουσα ἐκ τοῦ οὐρανοῦ, πάλιν
[s] λαμβάνω. [s] λαβοῦσα μετ᾽ ἐμοῦ, καὶ λέγουσα, Ὕπαγε, [s] λάβε τὸ
βιβλαρίδιον τὸ [c] ἠνεῳγμένον ἐν τῇ χειρὶ ἀγγέλου
τοῦ [k] ἑστῶτος ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς.

[t] ἔρχομαι. 9 Καὶ [t] ἀπῆλθον πρὸς τὸν ἄγγελον, λέγων
[u] δίδωμι. αὐτῷ, [u] Δός μοι τὸ βιβλαρίδιον. Καὶ λέγει μοι,
[s] Λάβε καὶ κατάφαγε αὐτό· καὶ πικρανεῖ σου τὴν
κοιλίαν, ἀλλ᾽ ἐν τῷ στόματί σου [p] ἔσται γλυκὺ ὡς
μέλι.

10 Καὶ [f] ἔλαβον τὸ βιβλαρίδιον ἐκ τῆς χειρὸς τοῦ ἀγγέλου, ϗ κατέφαγον αὐτό· ϗ [p] ἦν ἐν τῷ στόματί μου ὡς μέλι, γλυκύ· ϗ ὅτε ἔφαγον αὐτό, [x] ἐπικράνθη ἡ κοιλία μου.

[x] πικρός.

11 Καὶ λέγει μοι, Δεῖ σε πάλιν προφητεῦσαι ἐπὶ λαοῖς ϗ ἔθνεσι ϗ γλώσσαις ϗ βασιλεῦσι πολλοῖς.

Κεφ. ια΄. Cap. XI.

ΚΑὶ [a] ἐδόθη μοι κάλαμος ὅμοιος ῥάβδῳ· ϗ ὁ ἄγγελος [b] εἱστήκει, λέγων, [c] Ἔγειραι, ϗ [d] μέτρησον τὸν ναὸν τοῦ Θεοῦ, ϗ τὸ θυσιαστήριον, ϗ τοὺς [e] προσκυνοῦντας ἐν αὐτῷ.

2 Καὶ τὴν αὐλὴν τὴν ἔξωθεν τοῦ ναοῦ [f] ἔκβαλε ἔξω, ϗ μὴ αὐτὴν μετρήσῃς, ὅτι [a] ἐδόθη τοῖς ἔθνεσι· ϗ τὴν πόλιν τὴν ἁγίαν πατήσουσι μῆνας τεσσαρακονταδύο.

[a] δίδωμι.
[b] ἵστημι.
[c] ἐγείρω.
[d] μέτρον.
[e] κύω.
[f] βάλλω.

3 Καὶ [a] δώσω τοῖς δυσὶ μάρτυσί μου· ϗ προφητεύσουσιν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα, [f] περιβεβλημένοι σάκκους.

4 Οὗτοί [g] εἰσιν αἱ δύο ἐλαῖαι, ϗ αἱ δύο λυχνίαι αἱ ἐνώπιον τοῦ Κυρίου τῆς γῆς [b] ἑστῶσαι.

[g] εἰμί.

5 Καὶ εἴτις αὐτοὺς θέλῃ [h] ἀδικῆσαι, πῦρ [i] ἐκπορεύεται ἐκ τοῦ στόματος αὐτῶν· ϗ κατεσθίει τοὺς ἐχθροὺς αὐτῶν· ϗ εἴτις αὐτοὺς θέλῃ [h] ἀδικῆσαι, οὕτω δεῖ αὐτὸν [k] ἀποκτανθῆναι.

[h] δίκη.
[i] πεῖρω.
[k] κτείνω.

6 Οὗτοι ἔχουσιν ἐξουσίαν κλεῖσαι τὸν οὐρανόν, ἵνα μὴ βρέχῃ ὑετὸς ἐν ἡμέραις αὐτῶν τῆς προφητείας· ϗ ἐξουσίαν ἔχουσιν ἐπὶ τῶν ὑδάτων, στρέφειν αὐτὰ εἰς αἷμα, ϗ [l] πατάξαι τὴν γῆν πάσῃ πληγῇ, ὁσάκις ἐὰν [m] θελήσωσι.

[l] πατάσσω.
[m] θέλω.

7 Καὶ ὅταν τελέσωσι τὴν μαρτυρίαν αὐτῶν, τὸ θηρίον τὸ ἀναβαῖνον ἐκ τῆς ἀβύσσου ποιήσει πόλεμον μετ᾽ αὐτῶν, ϗ νικήσει αὐτούς, ϗ ἀποκτενεῖ αὐτούς·

8 Καὶ τὰ πτώματα αὐτῶν ἐπὶ τῆς πλατείας τῆς πόλεως τῆς μεγάλης, ἥτις καλεῖται πνευματικῶς Σόδομα ϗ Αἴγυπτος· ὅπου ϗ ὁ Κύριος ἡμῶν [n] ἐσταυρώθη.

[n] σταυρός.

9 Καὶ [o] βλέψουσιν ἐκ τῶν λαῶν ϗ φυλῶν

[o] βλέπω.

καὶ γλωσσῶν καὶ ἐθνῶν τὰ πτώματα αὐτῶν ἡ-
μέρας τρεῖς καὶ ἥμισυ, καὶ τὰ πτώματα αὐτῶν
[p] ἐάω. οὐκ [p] ἀφήσουσι [q] τεθῆναι εἰς μνήματα.
[q] τίθημι. 10 Καὶ οἱ [r] κατοικοῦντες ἐπὶ τῆς γῆς [s] χαροῦ-
[r] οἶκος. σιν ἐπ' αὐτοῖς, καὶ [t] εὐφρανθήσονται, καὶ δῶρα
[s] χαίρω. πέμψουσιν ἀλλήλοις· ὅτι οὗτοι οἱ δύο προφῆται
[t] φρήν. [u] ἐβασάνισαν τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς.
[u] βάσανος. 11 Καὶ μετὰ τὰς τρεῖς ἡμέρας καὶ ἥμισυ, πνεῦ-
[x] ἔρχομαι. μα ζωῆς ἐκ τοῦ Θεοῦ [x] εἰσῆλθεν ἐπ' αὐτούς· καὶ
[b] ἔστησαν ἐπὶ τοὺς πόδας αὐτῶν, καὶ φόβος μέγας
[y] πίπτω. [y] ἔπεσεν ἐπὶ τοὺς θεωροῦντας αὐτούς.
[z] ἀκούω. 12 Καὶ [z] ἤκουσαν φωνὴν μεγάλην ἐκ τοῦ οὐ-
[a] βαίνω. ρανοῦ, λέγουσαν αὐτοῖς, [a] Ἀνάβητε ὧδε· Καὶ
[b] θεωρέω. [a] ἀνέβησαν εἰς τὸν οὐρανὸν ἐν τῇ νεφέλῃ· καὶ [b] ἐθε-
ώρησαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν.
[c] γίνομαι. 13 Καὶ ἐν ἐκείνῃ τῇ ὥρᾳ [c] ἐγένετο σεισμὸς
[d] πίπτω. μέγας, καὶ τὸ δέκατον τῆς πόλεως [d] ἔπεσε, καὶ [e] ἀ-
[e] κτείνω. πεκτάνθησαν ἐν τῷ σεισμῷ ὀνόματα ἀνθρώπων
[f] γίνομαι. χιλιάδες ἑπτά· καὶ οἱ λοιποὶ ἔμφοβοι [f] ἐγένοντο,
[g] δίδωμι. καὶ [g] ἔδωκαν δόξαν τῷ Θεῷ τοῦ οὐρανοῦ.
[h] ἔρχομαι. 14 Ἡ οὐαὶ ἡ δευτέρα [h] ἀπῆλθεν, ἰδοὺ ἡ οὐαὶ
ἡ τρίτη ἔρχεται ταχύ.
[i] σάλπιγξ. 15 Καὶ ὁ ἕβδομος ἄγγελος [i] ἐσάλπισε· καὶ
[f] ἐγένοντο φωναὶ μεγάλαι ἐν τῷ οὐρανῷ, λέγου-
σαι, [f] Ἐγένοντο αἱ βασιλεῖαι τοῦ κόσμου, τοῦ Κυ-
ρίου ἡμῶν, καὶ τοῦ Χριστοῦ αὐτοῦ· καὶ βασιλεύσει εἰς
τοὺς αἰῶνας τῶν αἰώνων.
16 Καὶ οἱ εἴκοσι καὶ τέσσαρες πρεσβύτεροι
[k] ἧμαι. οἱ ἐνώπιον τοῦ Θεοῦ [k] καθήμενοι ἐπὶ τοὺς θρόνους
αὐτῶν, [y] ἔπεσον ἐπὶ τὰ πρόσωπα αὐτῶν, καὶ
[l] κύω. [l] προσεκύνησαν τῷ Θεῷ,
17 Λέγοντες, Εὐχαριστοῦμέν σοι Κύριε ὁ
[m] εἰμί. Θεὸς ὁ παντοκράτωρ, ὁ [m] ὢν, καὶ ὁ [m] ἦν, καὶ ὁ
[*] λαμβάνω. ἐρχόμενος· ὅτι [*] εἴληφας τὴν δύναμίν σου τὴν με-
γάλην, καὶ ἐβασίλευσας·
[n] ὀργή. 18 Καὶ τὰ ἔθνη [n] ὠργίσθησαν, καὶ [h] ἦλθεν ἡ ὀργή
[o] κρίνω. σου· καὶ ὁ καιρὸς τῶν νεκρῶν, [o] κριθῆναι, καὶ [g] δοῦναι
τὸν μισθὸν τοῖς δούλοις σου τοῖς προφήταις, καὶ τοῖς
[p] σέβομαι. ἁγίοις καὶ τοῖς [p] φοβουμένοις τὸ ὄνομά σου, τοῖς

μικροῖς καὶ τοῖς μεγάλοις· καὶ [q] διαφθεῖραι τοὺς [q] διαφθείροντας τὴν γῆν.

19 Καὶ [r] ἠνοίγη ὁ ναὸς τοῦ Θεοῦ ἐν τῷ οὐρανῷ, καὶ [s] ὤφθη ἡ κιβωτὸς τῆς διαθήκης αὐτοῦ ἐν τῷ ναῷ αὐτοῦ· καὶ [c] ἐγένοντο ἀστραπαὶ καὶ φωναὶ καὶ βρονταὶ, καὶ σεισμὸς καὶ χάλαζα μεγάλη.

Κεφ. ιβʹ. Cap. XII.

ΚΑὶ σημεῖον μέγα [a] ὤφθη ἐν τῷ οὐρανῷ· γυνὴ [b] περιβεβλημένη τὸν ἥλιον, καὶ ἡ σελήνη ὑποκάτω τῶν ποδῶν αὐτῆς· καὶ ἐπὶ τῆς κεφαλῆς αὐτῆς στέφανος ἀστέρων δώδεκα·

2 Καὶ ἐν γαστρὶ ἔχουσα, κράζει [c] ὠδίνουσα, καὶ [d] βασανιζομένη [e] τεκεῖν.

3 Καὶ [a] ὤφθη ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ, καὶ ἰδοὺ δράκων μέγας πυῤῥὸς, ἔχων κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα· καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ διαδήματα ἑπτά.

4 Καὶ ἡ οὐρὰ αὐτοῦ σύρει τὸ τρίτον τῶν ἀστέρων τοῦ οὐρανοῦ, καὶ [b] ἔβαλεν αὐτοὺς εἰς τὴν γῆν· καὶ ὁ δράκων [f] ἕστηκεν ἐνώπιον τῆς γυναικὸς τῆς μελλούσης [e] τεκεῖν, ἵνα ὅταν [e] τέκῃ, τὸ τέκνον αὐτῆς καταφάγῃ.

5 Καὶ [e] ἔτεκεν υἱὸν ἄῤῥενα, ὃς μέλλει ποιμαίνειν πάντα τὰ ἔθνη ἐν ῥάβδῳ σιδηρᾷ· καὶ [g] ἡρπάσθη τὸ τέκνον αὐτῆς πρὸς τὸν Θεὸν καὶ τὸν θρόνον αὐτοῦ.

6 Καὶ ἡ γυνὴ [h] ἔφυγεν εἰς τὴν ἔρημον, ὅπου ἔχει τόπον [i] ἡτοιμασμένον ἀπὸ τοῦ Θεοῦ, ἵνα ἐκεῖ τρέφωσιν αὐτὴν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα.

7 Καὶ [k] ἐγένετο πόλεμος ἐν τῷ οὐρανῷ· ὁ Μιχαὴλ καὶ οἱ ἄγγελοι αὐτοῦ [l] ἐπολέμησαν κατὰ τοῦ δράκοντος, καὶ ὁ δράκων [l] ἐπολέμησε, καὶ οἱ ἄγγελοι αὐτοῦ·

8 Καὶ οὐκ [m] ἴσχυσαν, οὔτε τόπος [n] εὑρέθη αὐτῶν ἔτι ἐν τῷ οὐρανῷ.

9 Καὶ [b] ἐβλήθη ὁ δράκων ὁ μέγας, ὁ ὄφις ὁ ἀρχαῖος, ὁ καλούμενος διάβολος, καὶ σατανᾶς, ὁ πλανῶν τὴν οἰκουμένην ὅλην, [b] ἐβλήθη εἰς τὴν

[q] φθίω.
[r] οἴγω.
[s] ὄπτομαι.
[a] ὄπτομαι.
[b] βάλλω.
[c] ὀδίνη.
[d] βάσανος.
[e] τίκτω.
[f] ἵστημι.
[g] ἁρπάζω.
[h] φεύγω.
[i] ἕτοιμος.
[k] γίνομαι.
[l] πόλεμος.
[m] ἰσχύς.
[n] εὑρίσκω.

γῆν· καὶ οἱ ἄγγελοι αὐτοῦ μετ᾽ αὐτοῦ [b] ἐβλήθησαν.

[o] ἀκούω.

10 Καὶ [o] ἤκουσα φωνὴν μεγάλην λέγουσαν ἐν τῷ οὐρανῷ, Ἄρτι [k] ἐγένετο ἡ σωτηρία καὶ ἡ δύναμις καὶ ἡ βασιλεία τοῦ Θεοῦ ἡμῶν, καὶ ἡ ἐξουσία τοῦ Χριστοῦ αὐτοῦ· ὅτι [b] κατεβλήθη ὁ κατήγορος τῶν ἀδελφῶν ἡμῶν, ὁ κατηγορῶν αὐτῶν ἐνώπιον τοῦ Θεοῦ ἡμῶν ἡμέρας καὶ νυκτός.

[p] νικάω.
[q] ἀγαπάω.

11 Καὶ αὐτοὶ [p] ἐνίκησαν αὐτὸν διὰ τὸ αἷμα τοῦ ἀρνίου, καὶ διὰ τὸν λόγον τῆς μαρτυρίας αὐτῶν· καὶ οὐκ [q] ἠγάπησαν τὴν ψυχὴν αὐτῶν ἄχρι θανάτου.

[r] φρῶ.
[s] βαίνω.
[t] εἴδω.

12 Διὰ τοῦτο [r] εὐφραίνεσθε οἱ οὐρανοὶ καὶ οἱ ἐν αὐτοῖς σκηνοῦντες. Οὐαὶ τοῖς κατοικοῦσι τὴν γῆν καὶ τὴν θάλασσαν, ὅτι [s] κατέβη ὁ διάβολος πρὸς ὑμᾶς ἔχων θυμὸν μέγαν, [t] εἰδὼς ὅτι ὀλίγον καιρὸν ἔχει.

[u] διώκω.

13 Καὶ ὅτε εἶδεν ὁ δράκων ὅτι [b] ἐβλήθη εἰς τὴν γῆν, [u] ἐδίωξε τὴν γυναῖκα ἥτις [c] ἔτεκε τὸν ἄῤῥενα.

[x] δίδωμι.
[y] πετάω.

14 Καὶ [x] ἐδόθησαν τῇ γυναικὶ δύο πτέρυγες τοῦ ἀετοῦ τοῦ μεγάλου, ἵνα [y] πέτηται εἰς τὴν ἔρημον εἰς τὸν τόπον αὐτῆς· ὅπως τρέφηται ἐκεῖ καιρὸν καὶ καιροὺς, καὶ ἥμισυ καιροῦ, ἀπὸ προσώπου τοῦ ὄφεως.

[z] φέρω.

15 Καὶ [b] ἔβαλεν ὁ ὄφις ὀπίσω τῆς γυναικὸς ἐκ τοῦ στόματος αὐτοῦ ὕδωρ ὡς ποταμόν· ἵνα αὐτὴν [z] ποταμοφόρητον [a] ποιήσῃ.

[a] ποιέω.
[b] βοηθός.
[c] οἴγω.
[d] πίνω.
[e] βάλλω.

16 Καὶ [b] ἐβοήθησεν ἡ γῆ τῇ γυναικὶ, καὶ [c] ἤνοιξεν ἡ γῆ τὸ στόμα αὐτῆς, καὶ [d] κατέπιε τὸν ποταμὸν ὃν [e] ἔβαλεν ὁ δράκων ἐκ τοῦ στόματος αὐτοῦ.

[f] ὀργή.
[g] ἔρχομαι.
[h] τηρέω.

17 Καὶ [f] ὠργίσθη ὁ δράκων ἐπὶ τῇ γυναικὶ, καὶ [g] ἀπῆλθε ποιῆσαι πόλεμον μετὰ τῶν λοιπῶν τοῦ σπέρματος αὐτῆς, τῶν [h] τηρούντων τὰς ἐντολὰς τοῦ Θεοῦ, καὶ ἐχόντων τὴν μαρτυρίαν τοῦ Ἰησοῦ Χριστοῦ.

[i] ἵστημι.

18 Καὶ [i] ἐστάθην ἐπὶ τὴν ἄμμον τῆς θαλάσσης.

Κεφ.

Κεφ. ιγʹ. Cap. XIII.

ΚΑὶ εἶδον ἐκ τῆς θαλάσσης θηρίον ἀναβαῖνον, [a] ἔχον κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα· καὶ ἐπὶ τῶν κεράτων αὐτοῦ δέκα διαδήματα, καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ ὀνόματα βλασφημίας.

2 Καὶ τὸ θηρίον ὃ εἶδον [b] ἦν ὅμοιον παρδάλει, καὶ οἱ πόδες αὐτοῦ ὡς ἄρκτου, καὶ τὸ στόμα αὐτοῦ ὡς στόμα λέοντος· καὶ [c] ἔδωκεν αὐτῷ ὁ δράκων τὴν δύναμιν αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ καὶ ἐξουσίαν μεγάλην.

3 Καὶ εἶδον μίαν τῶν κεφαλῶν αὐτοῦ ὡς ἐσφαγμένην εἰς θάνατον· καὶ ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ [d] ἐθεραπεύθη, καὶ [e] ἐθαύμασεν ὅλη ἡ γῆ ὀπίσω τοῦ θηρίου.

4 Καὶ [f] προσεκύνησαν τὸν δράκοντα ὃς [c] ἔδωκεν ἐξουσίαν τῷ θηρίῳ· καὶ [f] προσεκύνησαν τὸ θηρίον, λέγοντες, Τίς ὅμοιος τῷ θηρίῳ; τίς δύναται [g] πολεμῆσαι μετ' αὐτοῦ;

5 Καὶ [c] ἐδόθη αὐτῷ στόμα λαλοῦν μεγάλα καὶ βλασφημίας· καὶ [c] ἐδόθη αὐτῷ ἐξουσία πόλεμον [h] ποιῆσαι μῆνας τεσσαρακονταδύο.

6 Καὶ [i] ἤνοιξε τὸ στόμα αὐτοῦ εἰς βλασφημίαν πρὸς τὸν Θεὸν, βλασφημῆσαι τὸ ὄνομα αὐτοῦ, καὶ τὴν σκηνὴν αὐτοῦ, καὶ τοὺς ἐν τῷ οὐρανῷ [k] σκηνοῦντας.

7 Καὶ [c] ἐδόθη αὐτῷ πόλεμον ποιῆσαι μετὰ τῶν ἁγίων, καὶ [l] νικῆσαι αὐτούς· καὶ [c] ἐδόθη αὐτῷ ἐξουσία ἐπὶ πᾶσαν φυλὴν καὶ γλῶσσαν καὶ ἔθνος.

8 Καὶ [f] προσκυνήσουσιν αὐτῷ πάντες οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς, ὧν οὐ [m] γέγραπται τὰ ὀνόματα ἐν τῇ βίβλῳ τῆς ζωῆς τοῦ ἀρνίου τοῦ [n] ἐσφαγμένου ἀπὸ καταβολῆς κόσμου.

9 Εἴτις ἔχει οὖς, ἀκουσάτω.

10 Εἴτις αἰχμαλωσίαν συνάγει, εἰς αἰχμαλωσίαν ὑπάγει· εἴτις ἐν μαχαίρᾳ ἀποκτενεῖ, δεῖ αὐτὸν ἐν μαχαίρᾳ [o] ἀποκτανθῆναι· ὧδέ [p] ἐστιν ἡ ὑπομονὴ καὶ ἡ πίστις τῶν ἁγίων.

11 Καὶ εἶδον ἄλλο θηρίον ἀναβαῖνον ἐκ τῆς

[a] ἔχω.

[b] εἰμί.

[c] δίδωμι.

[d] θεράπων.

[e] θαῦμα.

[f] κύω.

[g] σκηνή.

[h] ποιέω.

[i] οἴγω.

[k] σκηνή.

[l] νικάω.

[m] γράφω.

[n] σφάζω.

[o] κτείνω.

[p] εἰμί.

q λαλέω.

γῆς, καὶ εἶχε κέρατα δύο ὅμοια ἀρνίῳ· καὶ q ἐλάλει ὡς δράκων.

r οἶκος.

12 Καὶ τὴν ἐξουσίαν τοῦ πρώτου θηρίου πᾶσαν ποιεῖ ἐνώπιον αὐτοῦ· καὶ ποιεῖ τὴν γῆν καὶ τοὺς r κατοικοῦντας ἐν αὐτῇ ἵνα f προσκυνήσωσι τὸ θηρίον τὸ πρῶτον, οὗ d ἐθεραπεύθη ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ.

13 Καὶ ποιεῖ σημεῖα μεγάλα, καὶ πῦρ ἵνα καταβαίνῃ ἐκ τοῦ οὐρανοῦ εἰς τὴν γῆν, ἐνώπιον τῶν ἀνθρώπων.

f ζάω.

14 Καὶ πλανᾷ τοὺς r κατοικοῦντας ἐπὶ τῆς γῆς, διὰ τὰ σημεῖα ἃ c ἐδόθη αὐτῷ ποιῆσαι ἐνώπιον τοῦ θηρίου· λέγων τοῖς r κατοικοῦσιν ἐπὶ τῆς γῆς, h ποιῆσαι εἰκόνα τῷ θηρίῳ ὃ ἔχει τὴν πληγὴν τῆς μαχαίρας, καὶ f ἔζησε.

15 Καὶ ἐδόθη αὐτῷ c δοῦναι πνεῦμα τῇ εἰκόνι τοῦ θηρίου· ἵνα καὶ λαλήσῃ ἡ εἰκὼν τοῦ θηρίου, καὶ ποιήσῃ, ὅσοι ἂν μὴ f προσκυνήσωσι τὴν εἰκόνα τοῦ θηρίου ἵνα o ἀποκτανθῶσι·

16 Καὶ ποιεῖ πάντας, τοὺς μικροὺς καὶ τοὺς μεγάλους, καὶ τοὺς πλουσίους καὶ τοὺς πτωχοὺς, καὶ τοὺς ἐλευθέρους καὶ τοὺς δούλους, ἵνα c δώσῃ αὐτοῖς χάραγμα ἐπὶ τῆς χειρὸς αὐτῶν τῆς δεξιᾶς, ἢ ἐπὶ τῶν μετώπων αὐτῶν·

t δύναμαι.
u ἀγορά.
x πωλέω.
z ψῆφος.

17 Καὶ ἵνα μήτις t δύνηται u ἀγοράσαι ἢ x πωλῆσαι, εἰ μὴ ὁ ἔχων τὸ χάραγμα, ἢ τὸ ὄνομα τοῦ θηρίου, ἢ τὸν ἀριθμὸν τοῦ ὀνόματος αὐτοῦ.

18 Ὧδε ἡ σοφία p ἐστίν· ὁ ἔχων τὸν νοῦν, z ψηφισάτω τὸν ἀριθμὸν τοῦ θηρίου· ἀριθμὸς γὰρ ἀνθρώπου p ἐστί· καὶ ὁ ἀριθμὸς αὐτοῦ χξς′.

Κεφ. ιδ′. Cap. XIV.

a ἵστημι.
b γράφω.
c ἀκούω.

ΚΑΙ εἶδον, καὶ ἰδοὺ ἀρνίον a ἑστηκὸς ἐπὶ τὸ ὄρος Σιὼν, καὶ μετ᾽ αὐτοῦ ἑκατὸν τεσσαρακοντατέσσαρες χιλιάδες, ἔχουσαι τὸ ὄνομα τοῦ πατρὸς αὐτοῦ b γεγραμμένον ἐπὶ τῶν μετώπων αὐτῶν.

2 Καὶ c ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ, ὡς φωνὴν ὑδάτων πολλῶν, καὶ ὡς φωνὴν βροντῆς μεγάλης· καὶ φωνὴν c ἤκουσα κιθαρῳδῶν κιθαριζόντων ἐν ταῖς κιθάραις αὐτῶν.

3 Καὶ [d] ᾄδουσιν ὡς ᾠδὴν καινὴν ἐνώπιον τοῦ θρόνου, καὶ ἐνώπιον τῶν τεσσάρων ζώων, καὶ τῶν πρεσβυτέρων· καὶ οὐδεὶς [e] ἠδύνατο [f] μαθεῖν τὴν ᾠδὴν εἰ μὴ αἱ ἑκατὸν τεσσαρακοντατέσσαρες χιλιάδες, οἱ [g] ἠγορασμένοι ἀπὸ τῆς γῆς.

4 Οὗτοί [h] εἰσιν οἳ μετὰ γυναικῶν οὐκ [i] ἐμολύνθησαν· παρθένοι γάρ [h] εἰσιν· οὗτοί [h] εἰσιν οἱ ἀκολουθοῦντες τῷ ἀρνίῳ ὅπου ἂν ὑπάγῃ· οὗτοι [g] ἠγοράσθησαν ἀπὸ τῶν ἀνθρώπων, ἀπαρχὴ τῷ Θεῷ καὶ τῷ ἀρνίῳ.

5 Καὶ ἐν τῷ στόματι αὐτῶν οὐχ [k] εὑρέθη δόλος· ἄμωμοι γάρ [h] εἰσιν ἐνώπιον τοῦ θρόνου τοῦ Θεοῦ.

6 Καὶ εἶδον ἄλλον ἄγγελον [l] πετώμενον ἐν [m] μεσουρανήματι, ἔχοντα εὐαγγέλιον αἰώνιον, [n] εὐαγγελίσαι τοὺς [o] κατοικοῦντας ἐπὶ τῆς γῆς, καὶ πᾶν ἔθνος καὶ φυλὴν καὶ γλῶσσαν καὶ λαόν·

7 Λέγοντα ἐν φωνῇ μεγάλῃ, [p] Φοβήθητε τὸν Θεὸν, καὶ [q] δότε αὐτῷ δόξαν, ὅτι [r] ἦλθεν ἡ ὥρα τῆς κρίσεως αὐτοῦ· καὶ [s] προσκυνήσατε τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πηγὰς ὑδάτων.

8 Καὶ ἄλλος ἄγγελος [t] ἠκολούθησε, λέγων, [u] Ἔπεσεν [u] ἔπεσε Βαβυλὼν, ἡ πόλις ἡ μεγάλη, ὅτι ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τῆς πορνείας αὐτῆς [x] πεπότικε πάντα τὰ ἔθνη·

9 Καὶ τρίτος ἄγγελος [t] ἠκολούθησεν αὐτοῖς, λέγων ἐν φωνῇ μεγάλῃ, Εἴ τις τὸ θηρίον προσκυνεῖ καὶ τὴν εἰκόνα αὐτοῦ, καὶ λαμβάνει χάραγμα ἐπὶ τοῦ μετώπου αὐτοῦ, ἢ ἐπὶ τὴν χεῖρα αὐτοῦ,

10 Καὶ αὐτὸς [x] πίεται ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τοῦ Θεοῦ, τοῦ [y] κεκερασμένου ἀκράτου ἐν τῷ ποτηρίῳ τῆς ὀργῆς αὐτοῦ, καὶ [z] βασανισθήσεται ἐν πυρὶ καὶ θείῳ ἐνώπιον τῶν ἁγίων ἀγγέλων καὶ ἐνώπιον τοῦ ἀρνίου·

11 Καὶ ὁ καπνὸς τοῦ βασανισμοῦ αὐτῶν ἀναβαίνει εἰς αἰῶνας αἰώνων· καὶ οὐκ ἔχουσιν ἀνάπαυσιν ἡμέρας καὶ νυκτὸς οἱ [a] προσκυνοῦντες τὸ θηρίον καὶ τὴν εἰκόνα αὐτοῦ, καὶ εἴ τις λαμβάνει τὸ χάραγμα τοῦ ὀνόματος αὐτοῦ.

[d] ἀείδω.
[e] δύναμαι.
[f] μανθάνω.
[g] ἀγορά.
[h] εἰμί.
[i] μολύνω.
[k] εὑρίσκω.
[l] πετάω.
[m] οὐρανός.
[n] ἀγγέλλω.
[o] οἶκος.
[p] φοβέω.
[q] δίδωμι.
[r] ἔρχομαι.
[s] κύω.
[t] ἀκόλουθος.
[u] πίπτω.
[x] πίνω.
[y] κεραννύω.
[z] βάσανος.
[a] κύω.

12 Ὧδε ὑπομονὴ τῶν ἁγίων [b] ἐστίν· ὧδε οἱ [c] τηροῦντες τὰς ἐντολὰς τοῦ Θεοῦ, καὶ τὴν πίστιν τοῦ Ἰησοῦ.

13 Καὶ [d] ἤκουσα φωνῆς ἐκ τοῦ οὐρανοῦ, λεγούσης μοι, [e] Γράψον, Μακάριοι οἱ νεκροὶ οἱ ἐν Κυρίῳ [f] ἀποθνήσκοντες ἀπάρτι. Ναὶ, λέγει τὸ πνεῦμα, ἵνα [g] ἀναπαύσωνται ἐκ τῶν κόπων αὐτῶν· τὰ δὲ ἔργα αὐτῶν [h] ἀκολουθεῖ μετ᾽ αὐτῶν.

14 Καὶ εἶδον, καὶ ἰδοὺ νεφέλη λευκὴ, καὶ ἐπὶ τὴν νεφέλην [i] καθήμενος ὅμοιος υἱῷ ἀνθρώπου, ἔχων ἐπὶ τῆς κεφαλῆς αὐτοῦ στέφανον χρυσοῦν, καὶ ἐν τῇ χειρὶ αὐτοῦ δρέπανον ὀξύ.

15 Καὶ ἄλλος ἄγγελος [k] ἐξῆλθεν ἐκ τοῦ ναοῦ, κράζων ἐν μεγάλῃ φωνῇ τῷ [i] καθημένῳ ἐπὶ τῆς νεφέλης, [l] Πέμψον τὸ δρέπανόν σου, καὶ θέρισον· ὅτι [k] ἦλθέ σοι ἡ ὥρα τοῦ θερίσαι· ὅτι [m] ἐξηράνθη ὁ θερισμὸς τῆς γῆς.

16 Καὶ [n] ἔβαλεν ὁ [i] καθήμενος ἐπὶ τὴν νεφέλην τὸ δρέπανον αὐτοῦ ἐπὶ τὴν γῆν· καὶ [o] ἐθερίσθη ἡ γῆ.

17 Καὶ ἄλλος ἄγγελος [k] ἐξῆλθεν ἐκ τοῦ ναοῦ τοῦ ἐν τῷ οὐρανῷ, ἔχων καὶ αὐτὸς δρέπανον ὀξύ.

18 Καὶ ἄλλος ἄγγελος [k] ἐξῆλθεν ἐκ τοῦ θυσιαστηρίου, ἔχων ἐξουσίαν ἐπὶ τοῦ πυρός· καὶ [p] ἐφώνησε κραυγῇ μεγάλῃ τῷ ἔχοντι τὸ δρέπανον τὸ ὀξὺ, λέγων, [l] Πέμψον σου τὸ δρέπανον τὸ ὀξὺ, καὶ [q] τρύγησον τοὺς βότρυας τῆς ἀμπέλου τῆς γῆς, ὅτι [r] ἤκμασαν αἱ σταφυλαὶ αὐτῆς.

19 Καὶ [n] ἔβαλεν ὁ ἄγγελος τὸ δρέπανον αὐτοῦ εἰς τὴν γῆν, καὶ [q] ἐτρύγησε τὴν ἄμπελον τῆς γῆς, καὶ [n] ἔβαλεν εἰς τὴν ληνὸν τοῦ θυμοῦ τοῦ Θεοῦ τὴν μεγάλην.

20 Καὶ [f] ἐπατήθη ἡ ληνὸς ἔξω τῆς πόλεως, καὶ [k] ἐξῆλθεν αἷμα ἐκ τῆς ληνοῦ ἄχρι τῶν χαλινῶν τῶν ἵππων, ἀπὸ σταδίων χιλίων ἑξακοσίων.

Κεφ. ιέ. Cap. XV.

ΚΑὶ εἶδον ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ μέγα καὶ θαυμαστὸν, ἀγγέλους ἑπτὰ, ἔχοντας πληγὰς ἑπτὰ τὰς ἐσχάτας, ὅτι ἐν αὐταῖς [a] ἐτελέσθη ὁ θυμὸς τοῦ Θεοῦ.

[b] εἰμί.
[c] τηρέω.
[d] ἀκούω.
[e] γράφω.
[f] θνήσκω.
[g] παύω.
[h] ἀκόλουθος.
[i] ἧμαι.
[k] ἔρχομαι.
[l] πέμπω.
[m] ξηρός.
[n] βάλλω.
[o] θέρος.
[p] φωνή.
[q] τρύγη.
[r] ἀκμή.
[f] πατέω.
[a] τέλος.

2 Καὶ εἶδον ὡς θάλασσαν ὑαλίνην [b] μεμιγμένην πυρί· καὶ τοὺς [c] νικῶντας ἐκ τοῦ θηρίου καὶ ἐκ τῆς εἰκόνος αὐτοῦ, καὶ ἐκ τοῦ χαράγματος αὐτοῦ, ἐκ τοῦ ἀριθμοῦ τοῦ ὀνόματος αὐτοῦ, [d] ἑστῶτας ἐπὶ τὴν θάλασσαν τὴν ὑαλίνην, ἔχοντας κιθάρας τοῦ Θεοῦ.

3 Καὶ [e] ᾄδουσι τὴν ᾠδὴν Μωσέως, δούλου τοῦ Θεοῦ, καὶ τὴν ᾠδὴν τοῦ ἀρνίου, λέγοντες, Μεγάλα καὶ θαυμαστὰ τὰ ἔργα σου, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ· δίκαιαι καὶ ἀληθιναὶ αἱ ὁδοί σου, ὁ βασιλεὺς τῶν ἁγίων.

4 Τίς οὐ μὴ [f] φοβηθῇ σε, Κύριε, καὶ [g] δοξάσῃ τὸ ὄνομά σου; ὅτι μόνος ὅσιος· ὅτι πάντα τὰ ἔθνη [h] ἥξουσι καὶ [i] προσκυνήσουσιν ἐνώπιόν σου· ὅτι τὰ δικαιώματά σου [k] ἐφανερώθησαν.

5 Καὶ μετὰ ταῦτα εἶδον, καὶ ἰδοὺ [l] ἠνοίγη ὁ ναὸς τῆς σκηνῆς τοῦ μαρτυρίου ἐν τῷ οὐρανῷ.

6 Καὶ [m] ἐξῆλθον οἱ ἑπτὰ ἄγγελοι οἱ ἔχοντες τὰς ἑπτὰ πληγὰς, ἐκ τοῦ ναοῦ [n] ἐνδεδυμένοι λίνον καθαρὸν καὶ λαμπρὸν, καὶ [o] περιεζωσμένοι περὶ τὰ στήθη ζώνας χρυσᾶς.

7 Καὶ ἓν ἐκ τῶν τεσσάρων ζώων [p] ἔδωκε τοῖς ἑπτὰ ἀγγέλοις ἑπτὰ φιάλας χρυσᾶς, [q] γεμούσας τοῦ θυμοῦ τοῦ Θεοῦ τοῦ [r] ζῶντος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

8 Καὶ [q] ἐγεμίσθη ὁ ναὸς καπνοῦ ἐκ τῆς δόξης τοῦ Θεοῦ, καὶ ἐκ τῆς δυνάμεως αὐτοῦ· καὶ οὐδεὶς * ἐδύνατο [m] εἰσελθεῖν εἰς τὸν ναὸν, ἄχρι [ſ] τελεσθῶσιν αἱ ἑπτὰ πληγαὶ τῶν ἑπτὰ ἀγγέλων.

[b] μιγνύω.
[c] νικάω.
[d] ἵστημι.
[e] ἀείδω.
[f] φέβομαι.
[g] δοκέω.
[h] ἥκω.
[i] κυνέω.
[k] φαίνω.
[l] οἴγω.
[m] ἔρχομαι.
[n] δύω.
[o] ζώννυμι.
[p] δίδωμι.
[q] γεμέω.
[r] ζάω.
* δύναμαι.
[ſ] τέλος.

Κεφ. ιϛ΄. Cap. XVI.

Καὶ [a] ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ ναοῦ, λεγούσης τοῖς ἑπτὰ ἀγγέλοις, Ὑπάγετε καὶ [b] ἐκχέατε τὰς φιάλας τοῦ θυμοῦ τοῦ Θεοῦ εἰς τὴν γῆν.

2 Καὶ [c] ἀπῆλθεν ὁ πρῶτος, καὶ [b] ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὴν γῆν· καὶ [d] ἐγένετο ἕλκος κακὸν καὶ πονηρὸν εἰς τοὺς ἀνθρώπους τοὺς ἔχοντας τὸ χάραγμα τοῦ θηρίου, καὶ τοὺς τῇ εἰκόνι αὐτοῦ [e] προσκυνοῦντας.

3 Καὶ ὁ δεύτερος ἄγγελος [b] ἐξέχεε τὴν

[a] ἀκούω.
[b] χέω.
[c] ἔρχομαι.
[d] γίνομαι.
[e] κυνέω.

φιάλην αὐτοῦ εἰς τὴν θάλασσαν· καὶ [d] ἐγένετο
[g] ζάω. αἷμα ὡς νεκροῦ· καὶ πᾶσα ψυχὴ [g] ζῶσα [h] ἀπέ-
[h] θνήσκω. θανεν ἐν τῇ θαλάσσῃ.

4 Καὶ ὁ τρίτος ἄγγελος [b] ἐξέχεε τὴν φιά-
λην αὐτοῦ εἰς τοὺς ποταμοὺς καὶ εἰς τὰς πηγὰς τῶν
ὑδάτων· καὶ [d] ἐγένετο αἷμα.

5 Καὶ [a] ἤκουσα τοῦ ἀγγέλου τῶν ὑδάτων λέ-
[i] εἰμί. γοντος, Δίκαιος, Κύριε, [i] εἶ, ὁ [i] ὢν, καὶ ὁ [i] ἦν,
* κρίνω. καὶ ὁ [i] ἐσόμενος, ὅτι ταῦτα * ἔκρινας.

6 Ὅτι αἷμα ἁγίων καὶ προφητῶν [b] ἐξέχεαν,
[k] δίδωμι. καὶ αἷμα αὐτοῖς [k] ἔδωκας * πιεῖν· ἄξιοι γάρ [i] εἰσι.
* πίνω. 7 Καὶ [a] ἤκουσα ἄλλου ἐκ τοῦ θυσιαστηρίου λέ-
γοντος, Ναὶ Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ἀ-
ληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις σου.

8 Καὶ ὁ τέταρτος ἄγγελος, [b] ἐξέχεε τὴν
φιάλην αὐτοῦ ἐπὶ τὸν ἥλιον, καὶ [k] ἐδόθη αὐτῷ
[l] καυματίσαι τοὺς ἀνθρώπους ἐν πυρί.

[l] καίω. 9 Καὶ [l] ἐκαυματίσθησαν οἱ ἄνθρωποι καῦμα
[m] φάω. μέγα, καὶ [m] ἐβλασφήμησαν τὸ ὄνομα τοῦ Θεοῦ τοῦ
ἔχοντος ἐξουσίαν ἐπὶ τὰς πληγὰς ταύτας· καὶ οὐ
[n] νόος. [n] μετενόησαν [k] δοῦναι αὐτῷ δόξαν.

10 Καὶ ὁ πέμπτος ἄγγελος [b] ἐξέχεε τὴν
φιάλην αὐτοῦ ἐπὶ τὸν θρόνον τοῦ θηρίου· καὶ [f] ἐγένετο
[o] σκότος. ἡ βασιλεία αὐτοῦ [o] ἐσκοτωμένη· καὶ [p] ἐμασῶντο
[p] μασάομαι. τὰς γλώσσας αὐτῶν ἐκ τοῦ πόνου·

11 Καὶ [m] ἐβλασφήμησαν τὸν Θεὸν τοῦ οὐρανοῦ
ἐκ τῶν πόνων αὐτῶν καὶ ἐκ τῶν ἑλκῶν αὐτῶν· καὶ
οὐ [n] μετενόησαν ἐκ τῶν ἔργων αὐτῶν.

12 Καὶ ὁ ἕκτος ἄγγελος [b] ἐξέχεε τὴν φιά-
λην αὐτοῦ ἐπὶ τὸν ποταμὸν τὸν μέγαν τὸν Εὐφρά-
[q] ξηρός. την· καὶ [q] ἐξηράνθη τὸ ὕδωρ αὐτοῦ, ἵνα [r] ἑτοιμα-
[r] ἕτοιμος. σθῇ ἡ ὁδὸς τῶν βασιλέων τῶν ἀπὸ ἀνατολῶν ἡλίου.

13 Καὶ εἶδον ἐκ τοῦ στόματος τοῦ δράκοντος
καὶ ἐκ τοῦ στόματος τοῦ θηρίου καὶ ἐκ τοῦ στόματος τοῦ
ψευδοπροφήτου πνεύματα τρία ἀκάθαρτα ὅ-
μοια βατράχοις.

14 Εἰσὶ γὰρ πνεύματα δαιμόνων ποιοῦντα ση-
[s] πόρος. μεῖα, ἃ [s] ἐκπορεύεται ἐπὶ τοὺς βασιλεῖς τῆς γῆς καὶ
τῆς οἰκουμένης ὅλης, συναγαγεῖν αὐτοὺς εἰς πόλε-

μον τῆς ἡμέρας ἐκείνης τῆς μεγάλης τοῦ Θεοῦ τοῦ παντοκράτορος.

15 Ἰδοὺ, ἔρχομαι ὡς κλέπτης. Μακάριος ὁ γρηγορῶν, καὶ τηρῶν τὰ ἱμάτια αὐτοῦ, ἵνα μὴ γυμνὸς περιπατῇ, καὶ βλέπωσι τὴν ἀσχημοσύνην αὐτοῦ.

16 Καὶ [t] συνήγαγεν αὐτοὺς εἰς τὸν τόπον τὸν καλούμενον Ἑβραϊστὶ Ἀρμαγεδδών.

[t] ἄγω.

17 Καὶ ὁ ἕβδομος ἄγγελος [b] ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς τὸν ἀέρα· καὶ ἐξῆλθε φωνὴ μεγάλη ἀπὸ τοῦ ναοῦ τοῦ οὐρανοῦ, ἀπὸ τοῦ θρόνου, λέγουσα, [d] Γέγονε.

18 Καὶ [d] ἐγένοντο φωναὶ καὶ βρονταὶ καὶ ἀστραπαί· καὶ σεισμὸς [d] ἐγένετο μέγας οἷος οὐκ [d] ἐγένετο ἀφ᾽ οὗ οἱ ἄνθρωποι [d] ἐγένοντο ἐπὶ τῆς γῆς, τηλικοῦτος σεισμὸς οὕτω μέγας.

19 Καὶ [d] ἐγένετο ἡ πόλις ἡ μεγάλη εἰς τρία μέρη, καὶ αἱ πόλεις τῶν ἐθνῶν [u] ἔπεσον· καὶ Βαβυλὼν ἡ μεγάλη [x] ἐμνήσθη ἐνώπιον τοῦ Θεοῦ, [k] δοῦναι αὐτῇ τὸ ποτήριον τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς αὐτοῦ.

[u] πίπτω.
[x] μιμνήσκομαι.

20 Καὶ πᾶσα νῆσος [y] ἔφυγε, καὶ ὄρη οὐκ [z] εὑρέθησαν.

[y] φεύγω.
[z] εὑρίσκω.

21 Καὶ χάλαζα μεγάλη ὡς ταλαντιαία καταβαίνει ἐκ τοῦ οὐρανοῦ ἐπὶ τοὺς ἀνθρώπους· καὶ ἐβλασφήμησαν οἱ ἄνθρωποι τὸν Θεὸν ἐκ τῆς πληγῆς τῆς χαλάζης· ὅτι μεγάλη [i] ἐστὶ ἡ πληγὴ αὐτῆς σφόδρα.

Κεφ. ιζʹ. Cap. XVII.

Καὶ [a] ἦλθεν εἷς ἐκ τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόντων τὰς ἑπτὰ φιάλας, καὶ ἐλάλησε μετ᾽ ἐμοῦ, λέγων μοι, Δεῦρο, [b] δείξω σοι τὸ κρίμα τῆς πόρνης τῆς μεγάλης, τῆς [c] καθημένης ἐπὶ τῶν ὑδάτων τῶν πολλῶν·

[a] ἔρχομαι.
[b] δεικνύω.
[c] ἧμαι.

2 Μεθ᾽ ἧς [d] ἐπόρνευσαν οἱ βασιλεῖς τῆς γῆς, καὶ [e] ἐμεθύσθησαν ἐκ τοῦ οἴνου τῆς πορνείας αὐτῆς οἱ [f] κατοικοῦντες τὴν γῆν.

[d] πείρω.
[e] μέθυ.
[f] οἰκῶ.

3 Καὶ [g] ἀπήνεγκέ με εἰς ἔρημον ἐν πνεύματι, καὶ εἶδον γυναῖκα καθημένην ἐπὶ θηρίον κόκκινον,

[g] φέρω.

κινον, γέμον ὀνομάτων βλασφημίας, ἔχον κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα.

h εἰμί.
i βάλλω.
k χρυσόω.

4 Καὶ ἡ γυνὴ [h] ἦν [i] περιβεβλημένη πορφύρᾳ καὶ κοκκίνῳ, καὶ [k] κεχρυσωμένη χρυσῷ καὶ λίθῳ τιμίῳ καὶ μαργαρείταις, ἔχουσα χρυσοῦν ποτήριον ἐν τῇ χειρὶ αὐτῆς, γέμον βδελυγμάτων καὶ ἀκαθάρτητος πορνείας αὐτῆς.

l γράφω.

5 Καὶ ἐπὶ τὸ μέτωπον αὐτῆς ὄνομα [l] γεγραμμένον, Μυστήριον, Βαβυλὼν ἡ μεγάλη, ἡ μήτηρ τῶν πορνῶν καὶ τῶν βδελυγμάτων τῆς γῆς.

m θαῦμα.
n εἴδω.

6 Καὶ εἶδον τὴν γυναῖκα [c] μεθύουσαν ἐκ τοῦ αἵματος τῶν ἁγίων, καὶ ἐκ τοῦ αἵματος τῶν μαρτύρων Ἰησοῦ· καὶ [m] ἐθαύμασα, [n] ἰδὼν αὐτὴν, θαῦμα μέγα.

o γυνή.

7 Καὶ εἶπέ μοι ὁ ἄγγελος, Διατί [m] ἐθαύμασας; ἐγώ σοι ἐρῶ τὸ μυστήριον τῆς [o] γυναικὸς καὶ τοῦ θηρίου τοῦ βαστάζοντος αὐτὴν, τοῦ ἔχοντος τὰς ἑπτὰ κεφαλὰς καὶ τὰ δέκα κέρατα.

p γράφω.

8 Θηρίον ὃ εἶδες, [h] ἦν καὶ οὐκ [h] ἔστι· καὶ μέλλει ἀναβαίνειν ἐκ τῆς ἀβύσσου, καὶ εἰς ἀπώλειαν ὑπάγειν· καὶ [m] θαυμάσονται οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς, (ὧν οὐ [p] γέγραπται τὰ ὀνόματα ἐπὶ τὸ βιβλίον τῆς ζωῆς ἀπὸ καταβολῆς κόσμου) βλέποντες τὸ θηρίον ὅ,τι [h] ἦν, καὶ οὐκ [h] ἔστι, καίπερ [h] ἐστιν.

9 Ὧδε ὁ νοῦς ὁ ἔχων σοφίαν. Αἱ ἑπτὰ κεφαλαὶ, ὄρη εἰσὶν ἑπτὰ, ὅπου ἡ γυνὴ κάθηται ἐπ' αὐτῶν.

q πίπτω.
r μένω.

10 Καὶ βασιλεῖς ἑπτά [h] εἰσιν· οἱ πέντε [q] ἔπεσον, καὶ ὁ εἷς [h] ἔστιν, ὁ ἄλλος οὔπω [a] ἦλθε· καὶ ὅταν [a] ἔλθῃ, ὀλίγον αὐτὸν δεῖ [r] μεῖναι.

11 Καὶ τὸ θηρίον ὃ [h] ἦν, καὶ οὐκ [h] ἔστι, καὶ αὐτὸς ὄγδοός [h] ἐστι, καὶ ἐκ τῶν ἑπτά [h] ἐστι, καὶ εἰς ἀπώλειαν ὑπάγει.

s λαμβάνω.

12 Καὶ τὰ δέκα κέρατα ἃ εἶδες, δέκα βασιλεῖς [h] εἰσιν, οἵτινες βασιλείαν οὔπω [s] ἔλαβον, ἀλλ' ἐξουσίαν ὡς βασιλεῖς μίαν ὥραν λαμβάνουσι μετὰ τοῦ θηρίου.

t δίδωμι.
u [illegible]

13 Οὗτοι μίαν γνώμην ἔχουσι, καὶ τὴν δύναμιν καὶ τὴν ἐξουσίαν ἑαυτῶν τῷ θηρίῳ [t] διαδιδώσουσιν.

14 Οὗτοι μετὰ τοῦ ἀρνίου [u] πολεμήσουσι, καὶ τὸ

ἀρνίον νικήσει αὐτούς, ὅτι Κύριος κυρίων [h] ἐστὶ καὶ βασιλεὺς βασιλέων· καὶ οἱ μετ' αὐτοῦ, [x] κλητοὶ καὶ [y] ἐκλεκτοὶ καὶ πιστοί.

[x] καλέω.
[y] λέγω.

15 Καὶ λέγει μοι, Τὰ ὕδατα ἃ εἶδες, οὗ ἡ πόρνη [c] κάθηται, λαοὶ καὶ ὄχλοι [h] εἰσί, καὶ ἔθνη, καὶ γλῶσσαι.

16 Καὶ τὰ δέκα κέρατα ἃ εἶδες ἐπὶ τὸ θηρίον, οὗτοι [z] μισήσουσι τὴν πόρνην, καὶ [a] ἠρημωμένην ποιήσουσιν αὐτὴν καὶ γυμνήν, καὶ τὰς σάρκας αὐτῆς φάγονται, καὶ αὐτὴν [h] κατακαύσουσιν ἐν πυρί.

[z] μῖσος.
[a] ἔρημος.

17 Ὁ γὰρ Θεὸς [c] ἔδωκεν εἰς τὰς καρδίας αὐτῶν ποιῆσαι τὴν γνώμην αὐτοῦ, καὶ ποιῆσαι μίαν γνώμην, καὶ [c] δοῦναι τὴν βασιλείαν αὐτῶν τῷ θηρίῳ ἄχρι [d] τελεσθῇ τὰ ῥήματα τοῦ Θεοῦ.

[c] δίδωμι.
[d] τέλος.

18 Καὶ ἡ γυνὴ ἣν εἶδες, [e] ἔστιν ἡ πόλις ἡ μεγάλη ἡ ἔχουσα βασιλείαν ἐπὶ τῶν βασιλέων τῆς γῆς.

[e] εἰμί.

Κεφ. ιή. Cap. XVIII.

ΚΑὶ μετὰ ταῦτα εἶδον ἄλλον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, ἔχοντα ἐξουσίαν μεγάλην· καὶ ἡ γῆ [a] ἐφωτίσθη ἐκ τῆς δόξης αὐτοῦ.

[a] φῶς.

2 Καὶ [b] ἔκραξεν ἐν ἰσχύϊ, φωνῇ μεγάλῃ, λέγων, [c] Ἔπεσεν [c] ἔπεσε Βαβυλὼν ἡ μεγάλη, καὶ [d] ἐγένετο κατοικητήριον δαιμόνων, καὶ φυλακὴ παντὸς πνεύματος ἀκαθάρτου, καὶ φυλακὴ παντὸς ὀρνέου ἀκαθάρτου [e] καὶ μεμισημένου.

[b] κράζω.
[c] πίπτω.
[d] γίνομαι.
[e] μῖσος.

3 Ὅτι ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τῆς πορνείας αὐτῆς [f] πέπωκε πάντα τὰ ἔθνη· καὶ οἱ βασιλεῖς τῆς γῆς μετ' αὐτῆς [g] ἐπόρνευσαν, καὶ οἱ ἔμποροι τῆς γῆς ἐκ τῆς δυνάμεως τοῦ στρήνους αὐτῆς [h] ἐπλούτησαν.

[f] πίνω.
[g] πορνεύω.
[h] πλοῦτος.

4 Καὶ [i] ἤκουσα ἄλλην φωνὴν ἐκ τοῦ οὐρανοῦ λέγουσαν, [k] Ἐξέλθετε ἐξ αὐτῆς ὁ λαός μου, ἵνα μὴ [l] συγκοινωνήσητε ταῖς ἁμαρτίαις αὐτῆς, καὶ ἵνα μὴ [m] λάβετε ἐκ τῶν πληγῶν αὐτῆς.

[i] ἀκούω.
[k] ἔρχομαι.
[l] κοινός.
[m] λαμβάνω.

5 Ὅτι [n] ἠκολούθησαν αὐτῆς αἱ ἁμαρτίαι ἄχρι τοῦ οὐρανοῦ, καὶ [o] ἐμνημόνευσεν ὁ Θεὸς τὰ ἀδικήματα αὐτῆς.

[n] ἀκόλουθος.
[o] μιμνήσκομαι.

6 [p] Ἀπόδοτε αὐτῇ ὡς καὶ αὐτὴ [p] ἀπέδωκεν ὑμῖν, καὶ [q] διπλώσατε αὐτῇ [q] διπλᾶ κατὰ τὰ ἔργα αὐτῆς· ἐν τῷ ποτηρίῳ ᾧ [r] ἐκέρασε, [r] κεράσατε αὐτῇ διπλοῦν. 7 Ὅσα

[p] δίδωμι.
[q] διπλόος.
[r] κεράννυμι.

7 Ὅσα [s] ἐδόξασεν ἑαυτὴν καὶ [t] ἐστρηνίασε, τοσοῦτον [q] δότε αὐτῇ βασανισμὸν καὶ πένθος· ὅτι ἐν τῇ καρδίᾳ αὐτῆς λέγει, [u] Κάθημαι βασίλισσα, καὶ χήρα οὐκ εἰμί· καὶ πένθος οὐ μὴ [x] ἴδω.

[s] δοκέω.
[t] στρῆνος.
[u] ἧμαι.
[x] εἴδω.

8 Διὰ τοῦτο ἐν μιᾷ ἡμέρᾳ [y] ἥξουσιν αἱ πληγαὶ αὐτῆς, θάνατος καὶ πένθος καὶ λιμός· καὶ ἐν πυρὶ [z] κατακαυθήσεται, ὅτι ἰσχυρὸς Κύριος ὁ Θεὸς ὁ κρίνων αὐτήν.

[y] ἥκω.
[z] καίω.

9 Καὶ [a] κλαύσονται αὐτὴν καὶ [b] κόψονται ἐπ' αὐτῇ οἱ βασιλεῖς τῆς γῆς, οἱ μετ' αὐτῆς [c] πορνεύσαντες καὶ [d] στρηνιάσαντες, ὅταν βλέπωσι τὸν καπνὸν τῆς πυρώσεως αὐτῆς·

[a] κλαίω.
[b] κόπτω.
[c] πόρνος.
[d] στρῆνος.

10 [e] Ἀπομακρόθεν [f] ἑστηκότες, διὰ τὸν φόβον τοῦ βασανισμοῦ αὐτῆς· λέγοντες, Οὐαί, οὐαί, ἡ πόλις ἡ μεγάλη, Βαβυλὼν, ἡ πόλις ἡ ἰσχυρά, ὅτι ἐν μιᾷ ὥρᾳ [g] ἦλθεν ἡ κρίσις σου.

[e] μακρός.
[f] ἵστημι.
[g] ἔρχομαι.

11 Καὶ οἱ ἔμποροι τῆς γῆς κλαίουσι καὶ πενθοῦσιν ἐπ' αὐτῇ, ὅτι τὸν γόμον αὐτῶν οὐδεὶς ἀγοράζει οὐκέτι·

12 Γόμον χρυσοῦ καὶ ἀργύρου καὶ λίθου τιμίου, καὶ μαργαρίτου, καὶ βύσσου, καὶ πορφύρας, καὶ σηρικοῦ, καὶ κοκκίνου· καὶ πᾶν ξύλον θύϊνον, καὶ πᾶν σκεῦος ἐλεφάντινον, καὶ πᾶν σκεῦος ἐκ ξύλου [h] τιμιωτάτου, καὶ χαλκοῦ, καὶ σιδήρου, καὶ μαρμάρου,

[h] τίω.

13 Καὶ κινάμωμον, καὶ θυμιάματα, καὶ μύρον, καὶ λίβανον, καὶ οἶνον, καὶ ἔλαιον, καὶ σεμίδαλιν, καὶ σῖτον, καὶ κτήνη, καὶ πρόβατα, καὶ ἵππων, καὶ ῥεδῶν, καὶ σωμάτων, καὶ ψυχὰς ἀνθρώπων.

14 Καὶ ἡ ὀπώρα τῆς ἐπιθυμίας τῆς ψυχῆς σου [g] ἀπῆλθεν ἀπὸ σοῦ, καὶ πάντα τὰ λιπαρὰ καὶ τὰ λαμπρὰ [g] ἀπῆλθεν ἀπὸ σοῦ· καὶ οὐκέτι οὐ μὴ [i] εὑρήσης αὐτά.

[i] εὑρίσκω.
[k] πλοῦτος.

15 Οἱ ἔμποροι τούτων οἱ [k] πλουτήσαντες ἀπ' αὐτῆς, ἀπομακρόθεν [f] στήσονται, διὰ τὸν φόβον τοῦ βασανισμοῦ αὐτῆς, κλαίοντες καὶ πενθοῦντες·

16 Καὶ λέγοντες, Οὐαί, οὐαί, ἡ πόλις ἡ μεγάλη, ἡ [l] περιβεβλημένη βύσσινον καὶ πορφυροῦν

[l] βάλλω.

καὶ κόκκινον, καὶ [m] κεχρυσωμένοι ἐν χρυσῷ καὶ λίθῳ τιμίῳ καὶ μαργαρίταις· ὅτι μιᾷ ὥρᾳ [n] ἐρημώθη ὁ τοσοῦτος πλοῦτος.

[m] χρυσός.
[n] ἔρημος.

17 Καὶ πᾶς κυβερνήτης, καὶ πᾶς ἐπὶ τῶν πλοίων ὁ ὅμιλος, καὶ ναῦται, καὶ ὅσοι τὴν θάλασσαν [o] ἐργάζονται, ἀπομακρόθεν [s] ἔστησαν,

[o] ἔργον.

18 Καὶ [p] ἔκραζον, [q] ὁρῶντες τὸν καπνὸν τῆς πυρώσεως αὐτῆς· λέγοντες, Τίς ὁμοία τῇ πόλει τῇ μεγάλῃ;

[p] κράζω.
[q] ὁράω.

19 Καὶ [l] ἔβαλον χοῦν ἐπὶ τὰς κεφαλὰς αὐτῶν, καὶ [p] ἔκραζον κλαίοντες καὶ πενθοῦντες, λέγοντες, Οὐαὶ, οὐαὶ, ἡ πόλις ἡ μεγάλη ἐν ᾗ [l] ἐπλούτησαν πάντες οἱ ἔχοντες πλοῖα ἐν τῇ θαλάσσῃ ἐκ τῆς τιμιότητος αὐτῆς, ὅτι μιᾷ ὥρᾳ [n] ἠρημώθη.

20 [r] Εὐφραίνου ἐπ' αὐτὴν οὐρανὲ, καὶ οἱ ἅγιοι ἀπόστολοι καὶ οἱ προφῆται, ὅτι [s] ἔκρινεν ὁ Θεὸς τὸ κρίμα ὑμῶν ἐξ αὐτῆς.

[r] φρήν.
[s] κρίνω.

21 Καὶ [t] ἦρεν εἷς ἄγγελος ἰσχυρὸς λίθον ὡς μύλον μέγαν, καὶ [l] ἔβαλεν εἰς τὴν θάλασσαν, λέγων, Οὕτως ὁρμήματι [l] βληθήσεται Βαβυλὼν ἡ μεγάλη πόλις, καὶ οὐ μὴ [l] εὑρεθῇ ἔτι.

[t] αἴρω.

22 Καὶ φωνὴ κιθαρῳδῶν καὶ μουσικῶν καὶ αὐλητῶν καὶ σαλπιστῶν, οὐ μὴ [u] ἀκουσθῇ ἐν σοὶ ἔτι· καὶ πᾶς τεχνίτης πάσης τέχνης οὐ μὴ [l] εὑρεθῇ ἐν σοὶ ἔτι· καὶ φωνὴ μύλου οὐ μὴ [u] ἀκουσθῇ ἐν σοὶ ἔτι·

[u] ἀκούω.

23 Καὶ φῶς λύχνου οὐ μὴ [x] φανῇ ἐν σοὶ ἔτι· καὶ φωνὴ νυμφίου καὶ νύμφης οὐ μὴ [u] ἀκουσθῇ ἐν σοὶ ἔτι· ὅτι οἱ ἔμποροί σου [y] ἦσαν οἱ μεγιστᾶνες τῆς γῆς, ὅτι ἐν τῇ φαρμακείᾳ σου [z] ἐπλανήθησαν πάντα τὰ ἔθνη.

[x] φαίνω.
[y] εἰμί.
[z] πλανάω.

24 Καὶ ἐν αὐτῇ αἷμα προφητῶν, καὶ ἁγίων εὑρέθη, καὶ πάντων τῶν [a] ἐσφαγμένων ἐπὶ τῆς γῆς.

[a] σφάζω.

Κεφ. ιθ'. Cap. XIX.

ΚΑὶ μετὰ ταῦτα [a] ἤκουσα ὡς φωνὴν ὄχλου πολλοῦ μεγάλην ἐν τῷ οὐρανῷ, λέγοντος, Ἀλληλούϊα· ἡ σωτηρία, καὶ ἡ δόξα, καὶ ἡ τιμὴ, καὶ ἡ δύναμις Κυρίῳ τῷ Θεῷ ἡμῶν·

[a] ἀκούω.

2 Ὅτι ἀληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις αὐτοῦ· ὅτι [b] ἔκρινε τὴν πόρνην τὴν μεγάλην, ἥτις [c] ἔφθειρε τὴν γῆν ἐν τῇ πορνείᾳ αὐτῆς, καὶ [d] ἐξεδίκησε τὸ αἷμα τῶν δούλων αὐτοῦ ἐκ τῆς χειρὸς αὐτῆς.

[b] κρίνω.
[c] φθείρω.
[d] δίκη.
[e] εἴρω.

3 Καὶ δεύτερον [e] εἴρηκαν, Ἀλληλούϊα, Καὶ ὁ καπνὸς αὐτῆς ἀναβαίνει εἰς τοὺ αἰῶνος τῶν αἰώνων.

4 Καὶ [f] ἔπεσον οἱ πρεσβύτεροι οἱ εἴκοσι καὶ τέσσαρες, καὶ τὰ τέσσαρα ζῶα, καὶ [g] προσεκύνησαν τῷ Θεῷ τῷ [h] καθημένῳ ἐπὶ τοῦ θρόνου, λέγοντες, Ἀμήν· Ἀλληλούϊα.

[f] πίπτω.
[g] κύω.
[h] ἧμαι.

5 Καὶ φωνὴ ἐκ τοῦ θρόνου [i] ἐξῆλθε, λέγουσα, Αἰνεῖτε τὸν Θεὸν ἡμῶν πάντες οἱ δοῦλοι αὐτοῦ, καὶ οἱ [k] φοβούμενοι αὐτὸν, καὶ οἱ μικροὶ καὶ οἱ μεγάλοι.

[i] ἔρχομαι.
[k] φέβομαι.

6 Καὶ [a] ἤκουσα ὡς φωνὴν ὄχλου πολλοῦ, καὶ ὡς φωνὴν ὑδάτων πολλῶν, καὶ ὡς φωνὴν βροντῶν ἰσχυρῶν, λεγόντων, Ἀλληλούϊα· ὅτι ἐβασίλευσε Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ.

7 Χαίρωμεν καὶ ἀγαλλιώμεθα, καὶ [l] δῶμεν τὴν δόξαν αὐτῷ, ὅτι [i] ἦλθεν ὁ γάμος τοῦ ἀρνίου, καὶ ἡ γυνὴ αὐτοῦ [m] ἡτοίμασεν ἑαυτήν.

[l] δίδωμι.
[m] ἕτοιμος.
[n] βάλλω.

8 Καὶ [l] ἐδόθη αὐτῇ ἵνα [n] περιβάληται βύσσινον καθαρὸν καὶ λαμπρόν· τὸ γὰρ βύσσινον, τὰ δικαιώματά [o] ἐστι τῶν ἁγίων.

[o] εἰμί.
[p] γράφω.
[q] καλέω.

9 Καὶ λέγει μοι, [p] Γράψον, Μακάριοι οἱ εἰς τὸ δεῖπνον τοῦ γάμου τοῦ ἀρνίου [q] κεκλημένοι. Καὶ λέγει μοι, Οὗτοι οἱ λόγοι ἀληθινοί [o] εἰσι τοῦ Θεοῦ.

10 Καὶ [f] ἔπεσον ἔμπροσθεν τῶν ποδῶν αὐτοῦ [g] προσκυνῆσαι αὐτῷ· καὶ λέγει μοι, Ὅρα μή· σύνδουλός σου εἰμὶ· καὶ τῶν ἀδελφῶν σου τῶν ἐχόντων τὴν μαρτυρείαν τοῦ Ἰησοῦ· Τῷ Θεῷ [g] προσκύνησον, ἡ γὰρ μαρτυρεία τοῦ Ἰησοῦ [o] ἐστι, τὸ πνεῦμα τῆς προφητείας.

11 Καὶ εἶδον τὸν οὐρανὸν [r] ἀνεῳγμένον, καὶ ἰδοὺ ἵππος λευκὸς, καὶ ὁ [h] καθήμενος ἐπ' αὐτὸν καλούμενος πιστὸς καὶ ἀληθινὸς, καὶ ἐν δικαιοσύνῃ κρίνει καὶ πολεμεῖ.

[r] οἴγω.

12 Οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ ὡς φλὸξ πυρὸς,

καὶ

ϗ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ διαδήματα πολλά· ἔχων ὄνομα [p] γεγραμμένον ὃ οὐδεὶς [r] οἶδεν εἰ μὴ αὐτός·

[r] εἴδω.

13 Καὶ [t] περιβεβλημένος ἱμάτιον [u] βεβαμμένον αἵματι· ϗ καλεῖται τὸ ὄνομα αὐτοῦ, Ὁ λόγος τοῦ Θεοῦ.

[t] βάλλω.
[u] βάπτω.

14 Καὶ τὰ στρατεύματα τὰ ἐν τῷ οὐρανῷ [x] ἠκολούθει αὐτῷ ἐφ' ἵπποις λευκοῖς, [y] ἐνδεδυμένοι βύσσινον λευκὸν ϗ καθαρόν.

[x] ἀκόλουθος.
[y] δύω.

15 Καὶ ἐκ τοῦ στόματος αὐτοῦ [z] ἐκπορεύεται ῥομφαία ὀξεῖα, ἵνα ἐν αὐτῇ πατάσσῃ τὰ ἔθνη· ϗ αὐτὸς ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ· ϗ αὐτὸς πατεῖ τὴν ληνὸν τοῦ οἴνου τοῦ θυμοῦ ϗ τῆς ὀργῆς τοῦ Θεοῦ τοῦ παντοκράτορος.

[z] πείρω.

16 Καὶ ἔχει ἐπὶ τὸ ἱμάτιον ϗ ἐπὶ τὸν μηρὸν αὐτοῦ τὸ ὄνομα [a] γεγραμμένον, Βασιλεὺς βασιλέων, ϗ Κύριος κυρίων.

[a] γράφω.

17 Καὶ εἶδον ἕνα ἄγγελον [b] ἑστῶτα ἐν τῷ ἡλίῳ· ϗ [c] ἔκραξε φωνῇ μεγάλῃ, λέγων πᾶσι τοῖς ὀρνέοις τοῖς [d] πετωμένοις ἐν [c] μεσουρανήματι, Δεῦτε ϗ [f] συνάγεσθε εἰς τὸ δεῖπνον τοῦ μεγάλου Θεοῦ,

[b] ἵστημι.
[c] κράζω.
[d] πετάω.
[e] οὐρανός.
[f] ἄγω.

18 Ἵνα φάγητε σάρκας βασιλέων, ϗ σάρκας χιλιάρχων, ϗ σάρκας ἰσχυρῶν, ϗ σάρκας ἵππων ϗ τῶν [g] καθημένων ἐπ' αὐτῶν, ϗ σάρκας πάντων ἐλευθέρων ϗ δούλων, ϗ μικρῶν ϗ μεγάλων.

[g] ἧμαι.

19 Καὶ εἶδον τὸ θηρίον, ϗ τοὺς βασιλεῖς τῆς γῆς, ϗ τὰ στρατεύματα αὐτῶν [f] συνηγμένα [h] ποιῆσαι πόλεμον μετὰ τοῦ [g] καθημένου ἐπὶ τοῦ ἵππου ϗ μετὰ τοῦ στρατεύματος αὐτοῦ.

[h] ποιέω.

20 Καὶ [i] ἐπιάσθη τὸ θηρίον, ϗ μετὰ τούτου ὁ ψευδοπροφήτης ὁ ποιήσας τὰ σημεῖα ἐνώπιον αὐτοῦ, ἐν οἷς [k] ἐπλάνησε τοὺς [l] λαβόντας τὸ χάραγμα τοῦ θηρίου, ϗ τοὺς [m] προσκυνοῦντας τῇ εἰκόνι αὐτοῦ· [n] ζῶντες [o] ἐβλήθησαν οἱ δύο εἰς τὴν λίμνην τοῦ πυρὸς τὴν καιομένην ἐν τῷ θείῳ·

[i] πιάζω.
[k] πλανάω.
[l] λαμβάνω.
[m] κύω.
[n] ζάω.
[o] βάλλω.

21 Καὶ οἱ λοιποὶ [p] ἀπεκτάνθησαν ἐν τῇ ῥομφαίᾳ

[p] κτείνω.

φαίᾳ

[q] πορεύω. ῥομφαίᾳ τοῦ καθημένου ἐπὶ τοῦ ἵππου, τῇ [q] ἐκπορευομένῃ
ἐκ τοῦ στόματος αὐτοῦ· καὶ πάντα τὰ ὄρνεα
[r] χόρτος. [r] ἐχορτάσθησαν ἐκ τῶν σαρκῶν αὐτῶν.

Κεφ. κ'. Cap. XX.

ΚΑὶ εἶδον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ,
ἔχοντα τὴν κλεῖδα τῆς ἀβύσσου, καὶ ἅλυσιν
μεγάλην ἐπὶ τὴν χεῖρα αὐτοῦ.

[a] κράτος. 2 Καὶ [a] ἐκράτησε τὸν δράκοντα, τὸν ὄφιν τὸν
ἀρχαῖον, ὅς ἐστι διάβολος, καὶ σατανᾶς· καὶ
[b] δέω. [b] ἔδησεν αὐτὸν χίλια ἔτη.

[c] βάλλω. 3 Καὶ [c] ἔβαλεν αὐτὸν εἰς τὴν ἄβυσσον, καὶ ἔκλεισεν
[d] σφραγίς. αὐτόν, καὶ [d] ἐσφράγισεν ἐπάνω αὐτοῦ, ἵνα
[e] πλάνη. μὴ [e] πλανήσῃ τὰ ἔθνη ἔτι, ἄχρι [f] τελεσθῇ τὰ
[f] τέλος. χίλια ἔτη· καὶ μετὰ ταῦτα δεῖ αὐτὸν [g] λυθῆναι
[g] λύω. μικρὸν χρόνον.

[h] ἵζω. 4 Καὶ εἶδον θρόνους, καὶ [h] ἐκάθισαν ἐπ' αὐτούς,
[i] δίδωμι. καὶ κρίμα [i] ἐδόθη αὐτοῖς· καὶ τὰς ψυχὰς
[k] πέλεκυς. τῶν [k] πεπελεκισμένων διὰ τὴν μαρτυρίαν Ἰησοῦ, καὶ
[l] κύω. διὰ τὸν λόγον τοῦ Θεοῦ, καὶ οἵτινες οὐ [l] προσεκύνησαν
[m] λαμβάνω. τῷ θηρίῳ, οὔτε τῇ εἰκόνι αὐτοῦ· καὶ οὐκ [m] ἔλαβον
τὸ χάραγμα ἐπὶ τὸ μέτωπον αὐτῶν, καὶ ἐπὶ τὴν
χεῖρα αὐτῶν· καὶ ἔζησαν, καὶ ἐβασίλευσαν μετὰ
τοῦ Χριστοῦ τὰ χίλια ἔτη.

[n] ζάω. 5 Οἱ δὲ λοιποὶ τῶν νεκρῶν οὐκ [n] ἀνέζησαν ἕως
[f] τελεσθῇ τὰ χίλια ἔτη. Αὕτη ἡ ἀνάστασις ἡ
πρώτη.

6 Μακάριος καὶ ἅγιος ὁ ἔχων μέρος ἐν τῇ
ἀναστάσει τῇ πρώτῃ· ἐπὶ τούτων ὁ θάνατος ὁ
[o] εἰμί. δεύτερος οὐκ ἔχει ἐξουσίαν· ἀλλ' [o] ἔσονται ἱερεῖς
τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ, καὶ βασιλεύσουσι μετ' αὐτοῦ
χίλια ἔτη.

7 Καὶ ὅταν [f] τελεσθῇ τὰ χίλια ἔτη, [g] λυθήσεται
ὁ σατανᾶς ἐκ τῆς φυλακῆς αὐτοῦ.

[p] ἔρχομαι. 8 Καὶ [p] ἐξελεύσεται [q] πλανῆσαι τὰ ἔθνη τὰ
[q] πλάνη. ἐν ταῖς τέσσαρσι γωνίαις τῆς γῆς, τὸν Γὼγ καὶ τὸν
[r] ἄγω. Μαγώγ, [r] συναγαγεῖν αὐτοὺς εἰς τὸν πόλεμον,
ὧν ὁ ἀριθμὸς ὡς ἡ ἄμμος τῆς θαλάσσης.

[s] βαίνω. 9 Καὶ [s] ἀνέβησαν ἐπὶ τὸ πλάτος τῆς γῆς, καὶ
[t] κύκλος. [t] ἐκύκλωσαν τὴν παρεμβολὴν τῶν ἁγίων, καὶ τὴν

πόλιν τὴν [u] ἠγαπημένην· καὶ [s] κατέβη πῦρ ἀπὸ τοῦ Θεοῦ ἐκ τοῦ οὐρανοῦ, καὶ κατέφαγεν αὐτούς·

10 Καὶ ὁ διάβολος ὁ πλανῶν αὐτοὺς [c] ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρὸς καὶ θείου, ὅπου τὸ θηρίον καὶ ὁ ψευδοπροφήτης· καὶ [x] βασανισθήσονται ἡμέρας καὶ νυκτὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

11 Καὶ εἶδον θρόνον λευκὸν μέγαν, καὶ τὸν [y] καθήμενον ἐπ' αὐτοῦ, οὗ ἀπὸ προσώπου [z] ἔφυγεν ἡ γῆ καὶ ὁ οὐρανός· καὶ τόπος οὐχ [a] εὑρέθη αὐτοῖς.

12 Καὶ εἶδον τοὺς νεκροὺς, μικροὺς καὶ μεγάλους, [b] ἑστῶτας ἐνώπιον τοῦ Θεοῦ, καὶ βιβλία [c] ἠνεῴχθησαν· καὶ βιβλίον ἄλλο [c] ἠνεῴχθη, ὅ ἐστι τῆς ζωῆς· καὶ [d] ἐκρίθησαν οἱ νεκροὶ ἐκ τῶν [e] γεγραμμένων ἐν τοῖς βιβλίοις κατὰ τὰ ἔργα αὐτῶν.

13 Καὶ [f] ἔδωκεν ἡ θάλασσα τοὺς ἐν αὐτῇ νεκροὺς, καὶ ὁ θάνατος καὶ ὁ ᾅδης [f] ἔδωκεν τοὺς ἐν αὐτοῖς νεκρούς· καὶ [g] ἐκρίθησαν ἕκαστος κατὰ τὰ ἔργα αὐτῶν·

14 Καὶ ὁ θάνατος καὶ ὁ ᾅδης [h] ἐβλήθησαν εἰς τὴν λίμνην τοῦ πυρός· οὗτός [i] ἐστιν ὁ δεύτερος θάνατος.

15 Καὶ εἴ τις οὐχ [k] εὑρέθη ἐν τῇ βίβλῳ τῆς ζωῆς [e] γεγραμμένος, [h] ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρός.

[u] ἀγαπάω.
[x] βάσανος.
[y] ἧμαι.
[z] φεύγω.
[a] εὑρίσκω.
[b] ἵστημι.
[c] οἴγω.
[d] κρίνω.
[e] γράφω.
[f] δίδωμι.
[g] κρίνω.
[h] βάλλω.
[i] εἰμί.
[k] εὑρίσκω.

Κεφ. κα΄. Cap. XXI.

ΚΑὶ εἶδον οὐρανὸν καινὸν καὶ γῆν καινήν· ὁ γὰρ πρῶτος οὐρανὸς καὶ ἡ πρώτη γῆ [a] παρῆλθε· καὶ ἡ θάλασσα οὐκ [b] ἔστιν ἔτι.

2 Καὶ ἐγὼ Ἰωάννης εἶδον τὴν πόλιν τὴν ἁγίαν, Ἱερουσαλὴμ καινὴν καταβαίνουσαν ἀπὸ τοῦ Θεοῦ ἐκ τοῦ οὐρανοῦ, [c] ἡτοιμασμένην ὡς νύμφην [d] κεκοσμημένην τῷ ἀνδρὶ αὐτῆς.

3 Καὶ [e] ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ οὐρανοῦ λεγούσης, Ἰδοὺ ἡ σκηνὴ τοῦ Θεοῦ μετὰ τῶν ἀνθρώπων, καὶ σκηνώσει μετ' αὐτῶν, καὶ αὐτοὶ λαοὶ αὐτοῦ [b] ἔσονται, καὶ αὐτὸς ὁ Θεὸς [b] ἔσται μετ' αὐτῶν, Θεὸς αὐτῶν.

[a] ἔρχομαι.
[b] εἰμί.
[c] ἕτοιμος.
[d] κόσμος.
[e] ἀκούω.

[f] ἀλείφω.

4 Καὶ [f] ἐξαλείψει ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν, καὶ ὁ θάνατος οὐκ [b] ἔσται ἔτι· οὔτε πένθος, οὔτε κραυγὴ, οὔτε πόνος οὐκ [b] ἔσται ἔτι, ὅτι τὰ πρῶτα [a] ἀπῆλθον.

[g] ἧμαι.
[h] γράφω.

5 Καὶ εἶπεν ὁ [g] καθήμενος ἐπὶ τοῦ θρόνου, Ἰδοὺ καινὰ πάντα ποιῶ. Καὶ λέγει μοι, [h] Γράψον, ὅτι οὗτοι οἱ λόγοι ἀληθινοὶ καὶ πιστοί [b] εἰσι.

[i] γίνομαι.
[k] δίδωμι.

6 Καὶ εἶπέ μοι, [i] Γέγονε· ἐγώ εἰμι τὸ Α καὶ τὸ Ω, ἡ ἀρχὴ καὶ τὸ τέλος· ἐγὼ τῷ διψῶντι [k] δώσω ἐκ τῆς πηγῆς τοῦ ὕδατος τῆς ζωῆς δωρεάν·

7 Ὁ νικῶν κληρονομήσει πάντα, καὶ [b] ἔσομαι αὐτῷ Θεὸς, καὶ αὐτὸς [b] ἔσται μοι ὁ υἱός.

[l] βδέω.

8 Δειλοῖς δὲ καὶ ἀπίστοις καὶ [l] ἐβδελυγμένοις καὶ φονεῦσι καὶ πόρνοις καὶ φαρμακεῦσι καὶ εἰδωλολάτραις, καὶ πᾶσι τοῖς ψευδέσι, τὸ μέρος αὐτῶν ἐν τῇ λίμνῃ τῇ καιομένῃ πυρὶ καὶ θείῳ ὅ [b] ἐστι δεύτερος θάνατος.

[m] γεμέω.
[n] λαλέω.
[o] δεικνύω.

9 Καὶ [a] ἦλθε πρός με εἷς τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόντων τὰς ἑπτὰ φιάλας τὰς [m] γεμούσας τῶν ἑπτὰ πληγῶν τῶν ἐσχάτων· καὶ [n] ἐλάλησε μετ' ἐμοῦ, λέγων, Δεῦρο [o] δείξω σοι τὴν νύμφην τοῦ ἀρνίου τὴν γυναῖκα.

[p] φέρω.

10 Καὶ [p] ἀπήνεγκέ με ἐν πνεύματι ἐπ' ὄρος μέγα καὶ ὕψηλον, καὶ [o] ἔδειξέ μοι τὴν πόλιν τὴν μεγάλην, τὴν ἁγίαν Ἱερουσαλὴμ, καταβαίνουσαν ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ Θεοῦ·

11 Ἔχουσαν τὴν δόξαν τοῦ Θεοῦ· καὶ ὁ φωστὴρ αὐτῆς ὅμοιος λίθῳ τιμιωτάτῳ, ὡς λίθῳ ἰάσπιδι κρυσταλλίζοντι·

12 Ἔχουσάν τε τεῖχος μέγα καὶ ὕψηλον, ἔχουσαν πυλῶνας δώδεκα, καὶ ἐπὶ τοῖς πυλῶσιν ἀγγέλους δώδεκα, καὶ ὀνόματα [h] ἐπιγεγραμμένα, ἅ [b] ἐστι τῶν δώδεκα φυλῶν τῶν υἱῶν Ἰσραήλ.

13 Ἀπ' ἀνατολῆς πυλῶνες τρεῖς· ἀπὸ βοῤῥᾶ, πυλῶνες τρεῖς· ἀπὸ νότου, πυλῶνες τρεῖς· ἀπὸ δυσμῶν, πυλῶνες τρεῖς.

14 Καὶ τὸ τεῖχος τῆς πόλεως ἔχων θεμελίους δώδεκα, καὶ ἐν αὐτοῖς ὀνόματα τῶν δώδεκα ἀποστόλων τοῦ ἀρνίου.

15 Καὶ ὁ λαλῶν μετ' ἐμοῦ, εἶχε κάλαμον χρυσοῦν, ἵνα [q] μετρήσῃ τὴν πόλιν, καὶ τοὺς πυλῶνας αὐτῆς, καὶ τὸ τεῖχος αὐτῆς.

16 Καὶ ἡ πόλις τετράγωνος κεῖται, καὶ τὸ μῆκος αὐτῆς τοσοῦτόν ἐστιν ὅσον καὶ τὸ πλάτος, καὶ [q] ἐμέτρησε τὴν πόλιν τῷ καλάμῳ ἐπὶ σταδίων δώδεκα χιλιάδων· τὸ μῆκος καὶ τὸ πλάτος, καὶ τὸ ὕψος αὐτῆς ἴσα [b] ἐστί.

17 Καὶ [q] ἐμέτρησε τὸ τεῖχος αὐτῆς ἑκατὸν τεσσαρακοντατεσσάρων πηχῶν, μέτρον ἀνθρώπου, ὅ [b] ἐστιν ἀγγέλου.

18 Καὶ [b] ἦν ἡ ἐνδόμησις τοῦ τείχους αὐτῆς, ἴασπις· καὶ [b] ἦν ἡ πόλις χρυσίον καθαρὸν, ὅμοια ὑάλῳ καθαρῷ·

19 Καὶ οἱ θεμέλιοι τοῦ τείχους τῆς πόλεως παντὶ λίθῳ τιμίῳ [d] κεκοσμημένοι· ὁ θεμέλιος ὁ πρῶτος, ἴασπις· ὁ δεύτερος, σάπφειρος· ὁ τρίτος, χαλκηδών· ὁ τέταρτος, σμάραγδος.

20 Ὁ πέμπτος, σαρδόνυξ· ὁ ἕκτος, σάρδιος· ὁ ἕβδομος, χρυσόλιθος· ὁ ὄγδοος, βήρυλλος· ὁ ἔννατος, τοπάζιον· ὁ δέκατος, χρυσόπρασος· ὁ ἑνδέκατος, ὑάκινθος· ὁ δωδέκατος, ἀμέθυσος.

21 Καὶ οἱ δώδεκα πυλῶνες, δώδεκα μαργαρεῖται, ἀνὰ εἷς ἕκαστος τῶν πυλώνων ἦν ἐξ ἑνὸς μαργαρείτου· καὶ ἡ πλατεῖα τῆς πόλεως, χρυσίον καθαρὸν, ὡς ὕαλος διαφανής.

22 Καὶ ναὸν οὐκ εἶδον ἐν αὐτῇ· ὁ γὰρ Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ, ναὸς αὐτῆς [b] ἐστι, καὶ τὸ ἀρνίον.

23 Καὶ ἡ πόλις οὐ χρείαν ἔχει τοῦ ἡλίου οὐδὲ τῆς σελήνης, ἵνα φαίνωσιν ἐν αὐτῇ· ἡ γὰρ δόξα τοῦ Θεοῦ [r] ἐφώτισεν αὐτὴν, καὶ ὁ λύχνος αὐτῆς τὸ ἀρνίον.

24 Καὶ τὰ ἔθνη τῶν [s] σωζομένων ἐν τῷ φωτὶ αὐτῆς [t] περιπατήσουσι· καὶ οἱ βασιλεῖς τῆς γῆς φέρουσι τὴν δόξαν καὶ τὴν τιμὴν αὐτῶν εἰς αὐτήν.

25 Καὶ οἱ πυλῶνες αὐτῆς οὐ μὴ [u] κλεισθῶσιν ἡμέρας· νὺξ γὰρ οὐκ [b] ἔσται ἐκεῖ.

26 Καὶ οἴσουσι τὴν δόξαν καὶ τὴν τιμὴν τῶν ἐθνῶν εἰς αὐτήν.

27 Καὶ

[q] μέτρον.

[r] φάος.

[s] σόος.

[t] πατέω.

[u] κλείω.

27 Καὶ οὐ μὴ [a] εἰσέλθῃ εἰς αὐτὴν πᾶν κοινοῦν καὶ ποιοῦν βδέλυγμα, καὶ ψεῦδος· εἰ μὴ οἱ [h] γεγραμμένοι ἐν τῷ βιβλίῳ τῆς ζωῆς τοῦ ἀρνίου.

Κεφ. κβ'. Cap. XXII.

ΚΑὶ [a] ἔδειξέ μοι καθαρὸν ποταμὸν ὕδατος ζωῆς, λαμπρὸν ὡς κρύσταλλον, [b] ἐκπορευόμενον ἐκ τοῦ θρόνου τοῦ Θεοῦ, καὶ τοῦ ἀρνίου.

2 Ἐν μέσῳ τῆς πλατείας αὐτῆς, καὶ τοῦ ποταμοῦ, ἐντεῦθεν καὶ ἐντεῦθεν, ξύλον ζωῆς, ποιοῦν καρποὺς δώδεκα, κατὰ μῆνα ἕνα ἕκαστον [c] ἀποδιδοῦν τὸν καρπὸν αὐτοῦ· καὶ τὰ φύλλα τοῦ ξύλου εἰς θεραπείαν τῶν ἐθνῶν.

3 Καὶ πᾶν [d] κατανάθεμα οὐκ [e] ἔσται ἔτι· καὶ ὁ θρόνος τοῦ Θεοῦ καὶ τοῦ ἀρνίου ἐν αὐτῇ [e] ἔσται· καὶ οἱ δοῦλοι αὐτοῦ λατρεύσουσιν αὐτῷ.

4 Καὶ [f] ὄψονται τὸ πρόσωπον αὐτοῦ, καὶ τὸ ὄνομα αὐτοῦ ἐπὶ τῶν μετώπων αὐτῶν.

5 Καὶ νὺξ οὐκ [e] ἔσται ἐκεῖ καὶ χρείαν οὐκ ἔχουσι λύχνου καὶ φωτὸς ἡλίου, ὅτι Κύριος ὁ Θεὸς φωτίζει αὐτούς· καὶ βασιλεύσουσιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

6 Καὶ εἶπέ μοι, Οὗτοι οἱ λόγοι, πιστοὶ καὶ ἀληθινοί· καὶ Κύριος ὁ Θεὸς τῶν ἁγίων προφητῶν [g] ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ [a] δεῖξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ [h] γενέσθαι ἐν τάχει.

7 Ἰδοὺ ἔρχομαι ταχύ· μακάριος ὁ τηρῶν τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου.

8 Καὶ ἐγὼ Ἰωάννης ὁ βλέπων ταῦτα καὶ ἀκούων· καὶ ὅτε [i] ἤκουσα καὶ [k] ἔβλεψα, [l] ἔπεσον [m] προσκυνῆσαι ἔμπροσθεν τῶν ποδῶν τοῦ ἀγγέλου τοῦ δεικνύοντός μοι ταῦτα.

9 Καὶ λέγει μοι, Ὅρα μή· σύνδουλός σου γάρ εἰμι, καὶ τῶν ἀδελφῶν σου τῶν προφητῶν, καὶ τῶν [n] τηρούντων τοὺς λόγους τοῦ βιβλίου τούτου· τῷ Θεῷ [m] προσκύνησον.

10 Καὶ λέγει μοι, Μὴ [o] σφραγίσῃς τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου· ὅτι ὁ καιρὸς ἐγγύς [e] ἐστιν.

11 Ὁ [p] ἀδικῶν, [p] ἀδικησάτω ἔτι· καὶ ὁ [q] ῥυπῶν,

[a] δείκνυμι.
[b] πορεύο.
[c] δίδωμι.
[d] τίθημι.
[e] εἰμί.
[f] ὄπτομαι.
[g] στέλλω.
[h] γίνομαι.
[i] ἀκούω.
[k] βλέπω.
[l] πίπτω.
[m] κύω.
[n] τηρέω.
[o] σφραγὶς.
[p] δίκη.
[q] ῥίπτω.

ρῶν, ῥυπωσάτω ἔτι· καὶ ὁ [p] δίκαιος, [p] δικαιωθήτω ἔτι· καὶ ὁ ἅγιος [r] ἁγιαθήτω ἔτι.

[r] ἅγιος.

12 Καὶ ἰδοὺ [s] ἔρχομαι ταχύ· καὶ ὁ μισθός μου μετ' ἐμοῦ, [c] ἀποδοῦναι ἑκάστῳ ὡς τὸ ἔργον αὐτοῦ [c] ἔσται.

[s] ἔρχομαι.

13 Ἐγώ εἰμι τὸ Α καὶ τὸ Ω, ἀρχὴ καὶ τέλος, ὁ πρῶτος καὶ ὁ ἔσχατος.

14 Μακάριοι οἱ ποιοῦντες τὰς ἐντολὰς αὐτοῦ, ἵνα [d] ἔσται ἡ ἐξουσία αὐτῶν ἐπὶ τὸ ξύλον τῆς ζωῆς, καὶ τοῖς πυλῶσιν [s] εἰσέλθωσιν εἰς τὴν πόλιν.

15 Ἔξω δὲ οἱ [t] κύνες καὶ οἱ φαρμακοὶ καὶ οἱ πόρνοι καὶ οἱ φονεῖς καὶ οἱ εἰδωλολάτραι, καὶ πᾶς ὁ φιλῶν καὶ ποιῶν ψεῦδος.

[t] κύων.

16 Ἐγὼ Ἰησοῦς [u] ἔπεμψα τὸν ἄγγελόν μου [x] μαρτυρῆσαι ὑμῖν ταῦτα ἐπὶ ταῖς ἐκκλησίαις· ἐγώ εἰμι ἡ ῥίζα καὶ τὸ γένος τοῦ Δαβίδ, ὁ ἀστὴρ, ὁ λαμπρὸς καὶ ὀρθινός.

[u] πέμπω.
[x] μαρτυρ.

17 Καὶ τὸ πνεῦμα καὶ ἡ νύμφη λέγουσιν, [t] Ἐλθέ· καὶ ὁ ἀκούων εἰπάτω, [t] Ἐλθέ· καὶ ὁ διψῶν ἐλθέτω, καὶ ὁ θέλων λαμβανέτω τὸ ὕδωρ ζωῆς δωρεάν.

18 [x] Συμμαρτυροῦμαι γὰρ παντὶ ἀκούοντι τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου, ἐάν τις [d] ἐπιθῇ πρὸς ταῦτα, [d] ἐπιθήσει ὁ Θεὸς ἐπ' αὐτὸν τὰς πληγὰς τὰς [y] γεγραμμένας ἐν βιβλίῳ τούτῳ.

[y] γράφω.

19 Καὶ ἐάν τις [z] ἀφαιρῇ ἀπὸ τῶν λόγων βίβλου τῆς προφητείας ταύτης, ἀφαιρήσει ὁ Θεὸς τὸ μέρος αὐτοῦ ἀπὸ βίβλου τῆς ζωῆς, καὶ ἐκ τῆς πόλεως τῆς ἁγίας, καὶ τῶν [y] γεγραμμένων ἐν βιβλίῳ τούτῳ.

[z] αἱρέω.

20 Λέγει ὁ μαρτυρῶν ταῦτα· Ναὶ ἔρχομαι ταχύ· ἀμήν. Ναὶ ἔρχου Κύριε Ἰησοῦ.

21 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Ἀμήν.

ΤΕΛΟΣ.

BRITISH MUSEUM
15 SEP 60